Τοῦ ἁγίου Ἀθανασίου· ὅτι ἡ ἐν Νικαίᾳ σύνοδος ἑωρακυῖα τὴν πανουργίαν τῶν περὶ Εὐσέβιον ἐξέθετο πρεπόντως καὶ εὐσεβῶς κατὰ τῆς ἀρειανῆς αἱρέσεως τὰ ὁρισθέντα.

Καλῶς ἐποίησας δηλώσας μοι τὴν γενομένην παρὰ σοῦ ζήτησιν πρὸς τοὺς 1, 1
τὰ Ἀρείου πρεσβεύοντας, ἐν οἷς ἦσαν καὶ τῶν Εὐσεβίου τινὲς ἑταίρων καὶ πλεῖστοι δὲ B 208 M 416 A
τῶν τὰ τῆς ἐκκλησίας φρονούντων ἀδελφῶν. τὴν μὲν οὖν σὴν φιλόχριστον νῆψιν ἀπε-
δεξάμην καλῶς διελέγξασαν τὴν τῆς αἱρέσεως ἀσέβειαν, τὴν δ' ἐκείνων ἀναισχυντίαν
τεθαύμακα, ὅτι καίτοι τῶν Ἀρειανῶν λογισμῶν δειχθέντων σαθρῶν τε καὶ ματαίων, ἀλλὰ
καὶ παρὰ πάντων αὐτοὶ καταγνωσθέντες ἐπὶ πάσῃ κακοφροσύνῃ, ὅμως καὶ μετὰ ταῦτα
διεγόγγυζον κατὰ τοὺς Ἰουδαίους λέγοντες· διατί οἱ ἐν τῇ Νικαίᾳ συνελθόντες ἔγραψαν
ἀγράφους λέξεις τὸ ἐκ τῆς οὐσίας καὶ τὸ ὁμοούσιον; σὺ μὲν οὖν ὡς λόγιος ἀνὴρ καὶ 2
οὕτως αὐτοὺς σχηματιζομένους οὐδὲν ἧττον ἀπέδειξας κενολογοῦντας. ἐκεῖνοι δὲ οὐδὲν B
ξένον τῆς ἑαυτῶν κακονοίας πράττουσι πλαττόμενοι προφάσεις. εἰσὶ γὰρ ποικίλοι
καὶ παλίμβολοι τὰς γνώμας ὡς οἱ χαμαιλέοντες ἐν τοῖς χρώμασι, καὶ ἐλεγχόμενοι μὲν
ἐρυθριῶσιν, ἀνακρινόμενοι δὲ ἀποροῦσι καὶ λοιπὸν ἀναιδευόμενοι προφασίζονται. ἂν
δέ τις αὐτοὺς καὶ ἐν τούτοις διελέγξῃ, κάμνουσιν ἕως ἂν ἐπινοήσωσι τὰ μὴ ὄντα καὶ
κατὰ τὸ γεγραμμένον λογίσωνται μάταια, ἵνα μόνον διαμείνωσιν ἀσεβοῦντες. τὸ 3
δὲ τοιοῦτον ἐπιχείρημα οὐδὲν ἕτερόν ἐστιν ἢ γνώρισμα μὲν ἄντικρυς τῆς ἀλογίας αὐτῶν,
μίμησις δὲ καθὰ προεῖπον τῆς ἰουδαικῆς κακοηθείας. καὶ γὰρ ἐλεγχόμεν|οι κἀκεῖνοι παρὰ M 417 A
τῆς ἀληθείας καὶ μὴ δυνάμενοι πρὸς αὐτὴν ἀντιβλέπειν ἐπροφασίζοντο λέγοντες· »τί
ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ; « καίτοι σημείων | τοσού- B 209
των γενομένων, ὥστε λέγειν καὶ αὐτούς· »τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ ποιεῖ
σημεῖα;« νεκροὶ γὰρ ἠγείροντο, χωλοὶ περιεπάτουν, τυφλοὶ ἀνέβλεπον, λεπροὶ ἐκαθαρί-
ζοντο, καὶ τὸ ὕδωρ οἶνος ἐγίνετο, καὶ ἀπὸ πέντε ἄρτων ἐκορέσθησαν πεντακισχίλιοι.
καὶ οἱ μὲν πάντες ἐθαύμαζον καὶ προσεκύνουν τὸν κύριον, ὁμολογοῦντες ἐν αὐτῷ πλη- 4
ροῦσθαι τὰς προφητείας καὶ αὐτὸν εἶναι θεὸν τοῦ θεοῦ τὸν υἱόν· μόνοι δὲ οἱ Φαρισαῖοι,
εἰ καὶ λαμπρότερα ἡλίου φαινόμενα ἦν τὰ σημεῖα, ὅμως πάλιν ἐγόγγυζον ὡς ἀμαθεῖς καὶ
ἔλεγον· »διατί σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν;« ἄφρονες καὶ τῷ ὄντι τυφλοὶ τὴν B
διάνοιαν. δέον τὸ ἔμπαλιν αὐτοὺς λέγειν· διατί σὺ θεὸς ὢν ἄνθρωπος γέγονας; τὰ 5
γὰρ ἔργα θεὸν αὐτὸν ἐδείκνυεν, ἵνα τὴν μὲν ἀγαθότητα τοῦ πατρὸς προσκυνήσωσι,
τὴν δὲ δι' ἡμᾶς αὐτοῦ οἰκονομίαν θαυμάσωσι. τοῦτο μὲν οὔτε ἔλεγον, ἀλλ' οὔτε τὰ

4 Der Adressat ist unbekannt, die der Schrift vorhergehende Korrespondenz ist nicht überliefert und auch nicht rekonstruierbar; vgl. zu S. 5, 19   10 Vgl. Lc. 15, 2. 19, 7   17 Vgl. Hes. 11, 2   19 Vgl. Z. 10   20 Joh. 6, 30   22 Joh. 11, 47   23 Vgl. Mt. 11, 5   24 Vgl. Joh. 2. Mt. 14, 21   25 Joh. 6, 14   28 Joh. 10, 33

BKPO REFV

1 a. Rd. μ̅ε̅ B λ̅ζ̅ K ς̅ P κ̅ζ̅ u. ἰστέον ὅτι οὗτος ὁ λόγος καὶ ὁ μετ' αὐτὸν ὀφείλει μετὰ τὸν λ̅ζ̅ λόγον ἤτοι τῶν βασιλικῶν ἐπιστολῶν ἀναγινώσκεσθαι R ι̅ε̅ E* ι̅ς̅ E^c ι̅ς̅ V | τοῦ + αὐτοῦ alle Hss. | ἁγίου Ἀθανασίου > KPO REFV Der obenstehende Titel wird schon von Severus v. Antiochien in seinem liber contra impium grammaticum bezeugt: Orat. tert. pars posterior CSCO Script. Syri. Ser. IV, tom. VI textus hrsg. v. J. Lebon Paris 1933. S. 84, 4 ff.   7 ἀπελέγξασαν P   11 οὖν > B   16 κάμνωσιν E   24 ἐγένετο V   26 τὸν υἱὸν τοῦ θεοῦ ∼ EV   27 λαμπρότερον REFV   30 ἐδείκνυον EV   31 οὔτε[1]] οὐκ V | οὔτε[2]] οὐδὲ EV

γινόμενα βλέπειν ἐβούλοντο. ἢ ἔβλεπον μέν — ἐξ ἀνάγκης γὰρ ἦν ὁρᾶν αὐτά — πάλιν
δὲ ἐγόγγυζον μεταβαλλόμενοι· διατί ἐν τῷ σαββάτῳ θεραπεύεις τὸν παραλυτικόν,
6 καὶ τὸν ἐκ γενετῆς τυφλὸν τότε ποιεῖς ἀναβλέπειν; τοῦτο δὲ πρόφασις πάλιν ἦν καὶ
μόνον γογγυσμός. καὶ γὰρ ἐν ταῖς ἄλλαις ἡμέραις θεραπεύοντος τοῦ κυρίου πᾶσαν
C νόσον καὶ πᾶσαν μαλακίαν ἐκεῖνοι συνήθως ἐμέμφοντο καὶ μᾶλλον ἤθελον ἀθεότητος
7 ἔχειν ὑπόνοιαν τὸν Βεελζεβοὺλ ὀνομάζοντες ἢ ἀρνήσασθαι τὴν ἰδίαν πονηρίαν. ἀλλὰ
καὶ οὕτως τοῦ σωτῆρος πολυμερῶς καὶ πολυτρόπως δεικνύοντος ἑαυτοῦ τὴν θεότητα
καὶ εὐαγγελιζομένου πᾶσι τὸν πατέρα οὐδὲν ἧττον ὥσπερ εἰς κέντρα λακτίζοντες ἀντέ-
λεγον ἐκεῖνοι μωρολογοῦντες, ἵνα μόνον κατὰ τὴν θείαν παροιμίαν προφάσεις ἐφευρίσκοντες
χωρίσωσιν ἑαυτοὺς ἀπὸ τῆς ἀληθείας.
2, 1 Ἰουδαῖοι μὲν οὖν οἱ τότε τοιαῦτα πονηρευόμενοι καὶ ἀρνούμενοι τὸν κύριον εἰκότως
τῶν τε νόμων καὶ τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας ἔξω γεγόνασι. καὶ Ἀρειανοὶ δὲ
νῦν ἰουδαΐζοντες ταὐτόν μοι δοκοῦσι πάσχειν τῷ Καιάφᾳ καὶ τοῖς τότε Φαρισαίοις· οὐδὲν
D γὰρ ὁρῶντες εὔλογον ἔχουσαν ἑαυτῶν τὴν αἵρεσιν προφάσεις ἐπινοοῦσι, διατί τοῦτο καὶ
2 μὴ τοῦτο γέγραπται; καὶ μήτοι θαυμάσῃς, εἰ τοιαῦτα νῦν μηχανῶνται. μετ᾽ ὀλίγον γὰρ
καὶ εἰς ὕβρεις ἐκτραπήσονται καὶ μετὰ ταῦτα τὴν σπεῖραν καὶ τὸν χιλίαρχον ἀπειλή-
M 420 A σουσιν· ἐν τούτοις γάρ ἐστιν αὐτῶν ἡ δοκοῦσα σύστασις τῆς κακοδοξίας. τὸν γὰρ | τοῦ
3 θεοῦ λόγον ἀρνούμενοι εἰκότως καὶ λόγου παντός εἰσιν ἔρημοι. ταῦτα γοῦν εἰδὼς
οὐδὲν ἂν ἀπεκρινάμην ἐρωτῶσιν ἐκείνοις. ἐπειδὴ δὲ ἡ σὴ διάθεσις ἀπῄτησε γνῶναι τὰ ἐν
B 210 τῇ συνόδῳ πραχθέντα, οὐχ ὑπερεθέμην· ἀλλ᾽ εὐθύς, ὡς τότε γέγονε, δεδήλωκα | δείξας
δι᾽ ὀλίγων, ὅσον εὐσεβοῦς φρονήσεως ἡ ἀρειανὴ αἵρεσις ἐστέρηται καὶ μόνον προφάσεις
4 πλάττονται. σκόπει δὲ καὶ σύ, ἀγαπητέ, εἰ μὴ οὕτως ἔχει. εἰ θαρροῦσιν οἷς ἐφεῦρον
αὐτοὶ κακοῖς ἐπισπείραντος αὐτοῖς τοῦ διαβόλου τὴν κακοφροσύνην, ἀπολογείσθωσαν
περὶ ὧν ἐγκληθέντες ἀπεδείχθησαν αἱρετικοί, καὶ τότε λοιπὸν αἰτιάσθωσαν, εἰ δύναν-
ται, τὰ κατ᾽ αὐτῶν ὁρισθέντα. οὐδεὶς γὰρ ἐλεγχθεὶς ἐπὶ φόνῳ καὶ μοιχείᾳ μετὰ τὴν δίκην
B χώραν ἔχει τὴν ἀπόφασιν τοῦ κρίναντος αἰτιᾶσθαι, διατί μὴ οὕτως ἀλλ᾽ ἐκείνως ἐλάλησε.
τοῦτο γὰρ οὐκ ἐλευθεροῖ τὸν κριθέντα, ἀλλὰ καὶ μᾶλλον αὐτοῦ τὸ ἔγκλημα διὰ τὴν
5 προπέτειαν καὶ τὴν τόλμαν ἐπαυξάνει. οὐκοῦν καὶ οὗτοι ἢ δεικνύτωσαν τὸ φρό-
νημα ἑαυτῶν εὐσεβές — κατηγορηθέντες γὰρ ἠλέγχθησαν, οὐ μεμψάμενοι πρότερον·
καὶ δίκαιόν ἐστι τοὺς αἰτιαθέντας μηδὲν ἕτερον ποιεῖν ἢ ἀπολογεῖσθαι — ἢ εἰ τὸ συνειδὸς
ἔχουσι ῥυπαρὸν καὶ συνορῶσιν ἑαυτοὺς ἀσεβοῦντας, μὴ αἰτιάσθωσαν ἃ ἀγνοοῦσιν,
6 ἵνα μὴ καὶ διπλοῦν ἀσεβείας ἔγκλημα καὶ ἀπαιδευσίας ἀπενέγκωνται μέμψιν. ἐξε-
ταζέτωσαν δὲ μᾶλλον φιλομαθῶς, ἵν᾽ ἐπιγνόντες ἃ πρότερον ἠγνόουν, ἀπονίψωνται
τὰς ἑαυτῶν ἀσεβεῖς ἀκοὰς τῷ τῆς ἀληθείας νάματι καὶ τοῖς τῆς εὐσεβείας δόγμασιν. οὕτω
γὰρ καὶ ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ γέγονε τοῖς περὶ Εὐσέβιον.

2 Vgl. Joh. 5, 1 ff. 3 Vgl. Joh. 9, 1 ff. 6 Mc. 3, 22 7 Vgl. Hebr. 1, 1 8 Vgl. Act. 26, 14 9/10 Vgl. Prov. 18, 1 12 Vgl. Act. 13, 32 14 αἵρεσιν vgl. Act. 15, 5 15 f. Vgl. Joh. 18, 12. — Da von einer kurzen Zeit des Friedens gesprochen wird und von drohender staatlicher Verfolgung, wird man mit Schwartz, Nachr. d. Gött. Ges. d. Wiss. 1904, 401, diese Angaben zur Datierung benutzen dürfen. Euseb von Caesarea und der von Nikomedien sind tot, der eigentliche Führer der Gegner des Athanasius ist Akakius (c. 3), der vor 350 eine intensive Tätigkeit im Sinne der eusebianischen Partei besonders in Palästina (Einsetzung des Cyrill von Jerusalem; Sozomenus IV 20, 1) entfaltete; nach 351, nach der Schlacht bei Mursa, wandte sich Constantius der Kirchenfrage wieder zu. Also dürfte de decretis etwa in die Zeit um 350/1 fallen

BKPO REFV

1 ἐβούλοντο + οἱ V sp. Hd. 2 τῷ > EV | παραλυτικὸν + λέγοντες V 3 τότε > V 7 αὐτοῦ B 8 τὸν K > BPO REFV 11 οὖν] γὰρ B 13 ταὐτὸ V 14 τὴν ἑαυτῶν ∼ F 17 αὐτῶν v. sp. Hd. B | ἡ δοκοῦσα αὐτῶν ∼ K 19 ἂν > BKF, in K ausradiert? 21 ἀπεστέρηται EV, a. Rd. γρ᾽ ἐστέρηται E 29 μεμψάμενοι + τὸ P 32 διπλοῦν + κακὸν $B^c K^c$ 34 ἀκοὰς[β] ἀσεβεῖς[α] K

Ὡς ἐφιλονείκουν ἀσεβοῦντες καὶ θεομαχεῖν ἐπεχείρουν, τὰ μὲν λεγόμενα παρ' 3,1 C
αὐτῶν ἀσεβείας ἦν μεστά, οἱ δὲ συνελθόντες ἐπίσκοποι, ἦσαν δὲ πλέον ἢ ἔλαττον τρια-
κόσιοι, πρᾴως καὶ φιλανθρώπως ἀπῄτουν αὐτούς, περὶ ὧν ἔλεγον διδόναι λόγον καὶ
ἀποδείξεις εὐσεβεῖς. ὡς δὲ καὶ μόνον φθεγγόμενοι κατεγινώσκοντο καὶ πρὸς ἑαυτοὺς
διεμάχοντο πολλὴν ὁρῶντες τῆς ἑαυτῶν αἱρέσεως τὴν ἀπορίαν, ἀχανεῖς μὲν ἔμενον οὗτοι
καὶ διὰ τῆς σιωπῆς ὡμολόγουν τὴν ἐπὶ τῇ κενοδοξίᾳ αὐτῶν αἰσχύνην. οἱ τοίνυν 2
ἐπίσκοποι λοιπὸν ἀνελόντες τὰ παρ' αὐτῶν ἐπινοηθέντα ῥήματα οὕτως ἐξέθεντο κατ'
αὐτῶν τὴν ὑγιαίνουσαν καὶ ἐκκλησιαστικὴν πίστιν· πάντων τε ὑπογραψάντων ὑπέ-
γραψαν καὶ οἱ περὶ Εὐσέβιον τούτοις τοῖς ῥήμασιν, οἷς αἰτιῶνται νῦν οὗτοι· λέγω δὴ
τῷ ἐκ τῆς οὐσίας καὶ τῷ ὁμοουσίῳ, καὶ ὅτι μήτε κτίσμα ἢ ποίημα μήτε τῶν γενητῶν D
ἐστιν ὁ τοῦ θεοῦ υἱός, ἀλλὰ γέννημα ἐκ τῆς οὐσίας τοῦ πατρός ἐστιν ὁ λόγος. καὶ τό 3
γε παράδοξον, Εὐσέβιος ὁ ἀπὸ Καισαρείας τῆς Παλαιστίνης, καίτοι πρὸ μιᾶς ἀρνούμενος,
ὅμως ὕστερον ὑπογράψας ἐπέστειλε τῇ ἐκκλησίᾳ ἑαυτοῦ, λέγων ταύτην εἶναι τῆς ἐκ-
| κλησίας τὴν πίστιν καὶ τῶν πατέρων τὴν παράδοσιν, πᾶσί τε φανερῶς ἔδειξεν, ὅτι πρό- M 421 A
τερον ἐσφάλλοντο καὶ μάτην ἐφιλονείκουν πρὸς τὴν | ἀλήθειαν. εἰ γὰρ καὶ ᾐσχύνθη 4 B 211
τότε ταύταις ταῖς λέξεσι γράψαι καὶ ὡς ἠθέλησεν αὐτὸς ἀπελογήσατο τῇ ἐκκλησίᾳ,
ἀλλά γε διὰ τῆς ἐπιστολῆς τὸ ὁμοούσιον καὶ τὸ ἐκ τῆς οὐσίας μὴ ἀρνησάμενος φανερῶς
τοῦτο σημᾶναι βούλεται. καὶ πέπονθέ τι δεινόν· ὡς γὰρ ἀπολογούμενος κατηγόρησε
λοιπὸν τῶν Ἀρειανῶν, ὅτι γράψαντες 'οὐκ ἦν ὁ υἱὸς πρὶν γεννηθῆναι' οὐκ ἤθελον
αὐτὸν εἶναι οὐδὲ πρὸ τῆς κατὰ σάρκα γεννήσεως. καὶ τοῦτο οἶδε καὶ Ἀκάκιος, ἂν 5
μὴ καὶ αὐτὸς φοβηθεὶς νῦν διὰ τὸν καιρὸν ὑποκρίνηται καὶ ἀρνήσηται τὴν ἀλήθειαν.
ὑπέταξα γοῦν ἐν τῷ τέλει τὴν ἐπιστολὴν Εὐσεβίου, ἵνα ἐκ ταύτης γνῷς τῶν τε χρι-
στομάχων καὶ κατὰ περιττὸν τὴν Ἀκακίου πρὸς τοὺς ἑαυτῶν διδασκάλους ἀγνωμο- B
σύνην.

Πῶς τοίνυν οὐκ ἀδικοῦσιν οὗτοι κἂν ἐνθυμούμενοι μόνον ἀντιλέγειν τῇ τοσαύτῃ 4,1
καὶ οἰκουμενικῇ συνόδῳ; πῶς οὐ παρανομοῦσι τολμῶντες ἀντιβλέπειν τοῖς καλῶς ὁρι-
σθεῖσι κατὰ τῆς ἀρειανῆς αἱρέσεως καὶ μαρτυρουμένοις ὑπὸ τῶν αὐτοὺς πρότερον ἀσεβεῖν
διδαξάντων; εἰ δὲ καὶ μετὰ τὸ ὑπογράψαι μετεβάλοντο οἱ περὶ Εὐσέβιον καὶ ὡς 2
κύνες εἰς τὸ ἴδιον ἐξέραμα τῆς ἀσεβείας ἐπέστρεψαν, πῶς οὐχὶ καὶ μᾶλλον ἄξιοι μίσους
οἱ νῦν ἀντιλέγοντες, ὅτι τὴν ἐλευθερίαν τῆς ἑαυτῶν ψυχῆς ἄλλοις προπίνοντες τούτους
καὶ καθηγεμόνας τῆς αἱρέσεως ἔχειν ἐθέλουσιν, ἀνθρώπους, ὡς εἶπεν ὁ Ἰάκωβος, »διψύ- C
χους καὶ ἀκαταστάτους ὄντας ἐν πάσαις ταῖς ὁδοῖς αὐτῶν«, καὶ μὴ μίαν μὲν ἔχοντας
γνώμην, ἄλλοτε δὲ ἄλλως μεταβαλλομένους, καὶ νῦν μὲν ἐπαινοῦντας ὃ λέγουσι, μετ'
ὀλίγον δὲ ψέγοντας ὅπερ εἰρήκασι, καὶ πάλιν ἐπαινοῦντας ὅπερ πρὸ μικροῦ διέβαλλον.

2 ff. Vgl. unten c. 37, 1 S. 36, 29 ff. 8 Vgl. die Liste der Unterschriften in Nicäa 10 Worte im Symbol, vgl. c. 37 S. 36. Euseb v. Cäsarea bekannte sich in seinem Brief dazu, vgl. unten c. 33, 9—13 S. 30. Die ausdrückliche Verwerfung der Begriffe οὐσία und ὁμοούσιος findet sich erst in der 2. sirmischen Formel von 357, vgl. de synodis 28 (Migne 26, 741 B) 12 Zu ἀρνούμενος: auf der Synode zu Antiochien 325, vgl. Urk. 18, 14 (Athanasius Werke III 40, 6) 13 Vgl. unten c. 33, 3 S. 29 20 Vgl. c. 33, 16 S. 31, 7 21 Es fällt auf, daß Akakius, der Nachfolger Eusebs v. Cäsarea, verhältnismäßig gut charakterisiert wird, er stehe unter Terror 29 II. Ptr. 2, 22 31 Jac. 1, 8

BKPO REFV

5 αἱρέσεως αὐτῶν ∼ REFV 6 κενοδοξίᾳ BKPO κακοδοξίᾳ REFV 7 ῥήματα] νοήματα F (vgl. III 48, 6), ῥήματα F^c 11 ἐκ τῆς οὐσίας τοῦ πατρός REFV καὶ τῆς τοῦ πατρὸς οὐσίας BKPO 13 ταύτην > BKPO | εἶναι λέγων ∼ K 20 γεννήσεως FV vgl. unten S. 31, 7 γενέσεως BKPO RE 22 ὑπέταξε BPO | ἵνα doppelt R aber das erste exp. | ἵνα + καὶ EFV 25 μόνον > B 27 ἀρειανικῆς K | ἀσεβεῖν > V 29 τῆς doppelt E | ὑπέστρεψαν F 30 προπίνοντες BKPO RE προτείνοντες FV vgl. unten S. 38, 16 31 θέλουσιν REV 34 διέβαλον F

3 τοῦτο δέ, ὡς ὁ Ποιμὴν εἴρηκεν, ἔκγονόν ἐστι διαβόλου καὶ καπήλων δὲ μᾶλλον καὶ οὐ
διδασκάλων ἐστὶ γνώρισμα. ἔστι γάρ, ὡς οἱ πατέρες παραδεδώκασιν, ὄντως διδασκαλία
καὶ διδασκάλων ἀληθῶν τοῦτο τεκμήριον τὸ τὰ αὐτὰ ἀλλήλοις ὁμολογεῖν καὶ μὴ ἀμ-
φισβητεῖν μήτε πρὸς ἑαυτοὺς μήτε πρὸς τοὺς ἑαυτῶν πατέρας. οἱ γὰρ μὴ τοῦτον δια-
4 κείμενοι τὸν τρόπον μοχθηροὶ μᾶλλον καὶ οὐκ ἀληθεῖς ἂν καλοῖντο διδάσκαλοι. Ἕλ-
D ληνες γοῦν οὐχ ὁμολογοῦντες τὰ αὐτά, ἀλλὰ καὶ πρὸς ἀλλήλους ἀμφισβητοῦντες, οὐκ
ἀληθῆ τὴν διδασκαλίαν ἔχουσιν· οἱ δὲ ἅγιοι καὶ τῷ ὄντι τῆς ἀληθείας κήρυκες ἀλλή-
λοις τε συμφωνοῦσι καὶ οὐ διαφέρονται πρὸς ἑαυτούς. εἰ γὰρ καὶ διαφόροις χρόνοις
γεγόνασιν, ἀλλ' εἰς ταὐτὸν ἀλλήλοις ὁρμῶσιν ἑνὸς ὄντες τοῦ θεοῦ προφῆται καὶ τὸν
αὐτὸν συμφώνως εὐαγγελιζόμενοι λόγον.
5,1 | Ἃ γοῦν Μωσῆς ἐδίδασκε, ταῦθ' Ἀβραὰμ ἐφύλαττεν· ἃ δὲ Ἀβραὰμ ἐφύλαττε,
M 424 A ταῦτα Νῶε καὶ Ἐνὼχ ἐγίνωσκον διακρίναντες καθαρὰ καὶ ἀκάθαρτα καὶ εὐάρεστοι
B 212 γινόμενοι τῷ θεῷ. καὶ γὰρ | καὶ Ἄβελ οὕτως ἐμαρτύρησεν ἐπιστάμενος ταῦτα, ἅπερ
ἦν μαθὼν παρὰ τοῦ Ἀδὰμ τοῦ καὶ αὐτοῦ μαθόντος παρὰ κυρίου, ὃς καὶ ἐπὶ συντελείᾳ
τῶν αἰώνων ἐλθὼν εἰς ἀθέτησιν τῆς ἁμαρτίας ἔλεγεν· »οὐκ ἐντολὴν καινὴν δίδωμι
2 ὑμῖν, ἀλλ' ἐντολὴν παλαιάν, ἣν ἠκούσατε ἀπ' ἀρχῆς«. διὰ τοῦτο καὶ ὁ παρ' αὐτοῦ
μαθὼν ὁ μακάριος ἀπόστολος Παῦλος τὰ μὲν ἐκκλησιαστικὰ διατυπῶν οὐδὲ διακόνους
ἠθέλησεν εἶναι διλόγους, μήτι γε ἐπισκόπους, τοῖς δὲ Γαλάταις ἐπιπλήττων ἀπεφήνατο
B καθόλου λέγων· »εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, καθὼς
προείρηκα, καὶ πάλιν λέγω· ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται
3 ὑμᾶς παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω«. τοῦ τοίνυν ἀποστόλου ταῦτα λέγοντος

1 Dies Zitat findet sich im Hermasbuch nicht. Montfaucon verweist auf Mand. 9, 9: ἡ διψυχία θυγάτηρ ἐστὶ τοῦ διαβόλου 15 I. Joh. 2, 7 17 Vgl. I. Tim. 3, 8 19 Gal. 1, 9. 8

BKPO REFV

1 καὶ¹ > F 5 μᾶλλον] πάντως EV | ἂν > BKPO 9 ταὐτὸ V 12 διακρίνοντες B vgl. de doctr. 13 γενόμενοι KF 14 παρὰ] ἀπὸ B de doctr. 18 μήτοιγε BK | Γαλάταις δὲ ~ P 19 λέγων καθόλου ~ EV 21 ὑμᾶς nachgetr. E

Zu 2 ἔστι γάρ — 15/16 δίδωμι ὑμῖν überliefern die Codd. BKPO RES A die Bearbeitung eines Späteren, der den Text des Athanasius zum Anlaß genommen hat, einen kleinen Traktat über die rechte Lehre zusammenzustellen. Felckmann hat den Text in seinen variae lectiones zu der Commelinschen Ausgabe p. 55 ad p. CCCCIII nach Cod. B abgedruckt. Im folgenden sind die Zusätze zu dem Athanasiustext gesperrt. Zu 15—17 vgl. Sermo maior 71 ed. Schwartz.

περὶ διδασκαλίας.

Τοῦτ' ἔστιν ἀληθῶς διδασκαλία, τοῦτ' ἔστιν ἀληθῶν διδασκάλων τεκμήριον τὸ τὰ αὐτὰ ἀλλήλοις ὁμολογεῖν καὶ μὴ ἀμφισβητεῖν μήτε πρὸς ἑαυτοὺς μήτε πρὸς τοὺς ἑαυτῶν πατέρας. οἱ γὰρ μὴ τοῦτον διακείμενοι τὸν τρόπον μοχθηροὶ μᾶλλον καὶ οὐκ ἀληθεῖς ἂν καλοῖντο διδάσκαλοι. διὰ τοῦτο Ἕλληνες οὐχ ὁμολογοῦντες τὰ αὐτά, ἀλλὰ καὶ πρὸς ἀλλήλους ἀμφισβητοῦντες οὐ κρήγυον ἔχουσι τὴν διδασκαλίαν. διαφερόμενοι γὰρ πρὸς ἑαυτοὺς οὐ θείους, ἀλλ' ἀνθρωπίνους τοὺς ἑαυτῶν λόγους ἀποδεικνύουσιν. οἱ δὲ ἅγιοι ἀλλήλοις τε συμφωνοῦσι καὶ οὐ διαφέρονται πρὸς ἑαυτούς, οὐδὲ ἀμφισβητοῦσι περὶ ὧν προφητεύουσιν ἢ διδάσκουσιν. εἰ γὰρ καὶ διαφόροις χρόνοις γεγόνασιν, ἀλλ' εἰς ταὐτὸν ἀλλήλοις ὁρμῶσιν καὶ εἰκότως. ἑνὸς γὰρ ὄντες θεοῦ προφῆται ἕνα καὶ τὸν αὐτὸν συμφώνως ἐκήρυττον λόγον. ἃ γοῦν Μωσῆς ἐδίδασκε, ταῦτα Ἀβραὰμ ἐφύλαττε, Νῶε ἠπίστατο διακρίνων καθαρὰ καὶ ἀκάθαρτα, ταῦτα δὲ καὶ Ἄβελ οὐκ ἠγνόει φέρων ἀπὸ τῶν πρωτοτόκων μανθάνων καὶ αὐτὸς ἀπὸ τοῦ Ἀδὰμ τοῦ παρὰ θεοῦ ἀκούσαντος. διὰ τοῦτο καὶ αὐτὸς ὁ τῶν ὅλων θεὸς τοῖς ὕστερόν ποτε γενομένοις ἐν Αἰγύπτῳ ἐπιφαινόμενος ἐκ πατέρων αὐτοὺς ὑπομιμνήσκει λέγων· (Ex. 3, 6) »ἐγὼ ὁ θεὸς τῶν πατέρων ὑμῶν«. καὶ πάλιν ὁ κύριος ἐπιδημήσας φησίν· »οὐκ ἐντολὴν καινήν, ἀλλ' ἣν ἠκούσατε δίδωμι ὑμῖν«. οὕτως καὶ ὁ μακάριος Λουκᾶς (Lc. 3, 23 ff.) ἀπὸ τοῦ υἱοῦ ἐπὶ τὸν Ἀδὰμ ἀνατρέχει, ἵνα δείξῃ, ὅτι ὃ ἔλαβεν ἑαυτῷ ὁ Ἰησοῦς σῶμα τοῦτο ἀπὸ τοῦ Ἀδάμ ἐστι τοῦ παρὰ θεοῦ πλασθέντος.

1 a. Rd. λδ̄ B λγ̄ K ῑ P κδ̄ S | τοῦ αὐτοῦ vor περὶ K, nach περὶ A 3 ἑαυτῶν] πρὸ αὐτῶν B 7 τε] δὲ O > P 12 τοῦ¹ > KO 16 Ἰησοῦς] υἱὸς A

ἢ καὶ οὗτοι τοὺς περὶ Εὐσέβιον μεταβαλλομένους καὶ λέγοντας ἕτερα παρὰ τὰ ὑπέγραψαν
ἀνάθεμα ποιείτωσαν, ἢ εἰ γινώσκουσιν αὐτοὺς καλῶς ὑπογράψαντας, μὴ γογγυζέτωσαν
κατὰ τῆς τηλικαύτης συνόδου. εἰ δὲ μήτε τοῦτο μήτ' ἐκεῖνο ποιοῦσι, δῆλοί εἰσι καὶ αὐτοὶ
παντὶ ἀνέμῳ καὶ κλύδωνι περιφερόμενοι καὶ μὴ ταῖς ἰδίαις ἀλλὰ ἀλλοτρίαις ἑλκόμενοι
γνώμαις. τοιοῦτοι δὲ ὄντες οὐδὲ νῦν τοιαύτας προβαλλόμενοι προφάσεις ἀξιόπιστοί 4
εἰσιν, ἀλλὰ καὶ παυέσθωσαν αἰτιώμενοι ἃ μὴ γινώσκουσι· τάχα δὲ οὐδὲ διακρίνειν εἰδότες
ἁπλῶς »τὸ μὲν πονηρὸν λέγουσι καλόν, τὸ δὲ καλὸν πονηρόν, καὶ νομίζουσι τὸ μὲν πικρὸν C
εἶναι γλυκύ, τὸ δὲ γλυκὺ πικρόν«. ἀμέλει τὰ μὲν κριθέντα κακὰ καὶ ἀποδοκιμασθέντα 5
κρατεῖν ἐθέλουσι, τὰ δὲ καλῶς ὁρισθέντα βιάζονται διαβάλλειν. ἔδει μὲν οὖν μήθ' ἡμᾶς
ἔτι τινὰ τούτων ἀπόλογον ποιεῖσθαι καὶ πρὸς τὰς ματαίας αὐτῶν προφάσεις ἀποκρί-
νεσθαι μήτ' ἐκείνους ἔτι φιλονεικεῖν, ἀλλὰ συντίθεσθαι, οἷς ὑπέγραψαν οἱ ἡγεμόνες τῆς
αἱρέσεως αὐτῶν, εἰδότας ὡς ἡ μὲν μετὰ ταῦτα μεταβολὴ τῶν περὶ Εὐσέβιον ὕποπτός
ἐστι καὶ κακοήθης. τὸ δὲ ὑπογράψαι μετὰ τὸ δυνηθῆναι κἂν τὸ βραχύτατον ἀπολο- 6
γήσασθαι τοῦτο δείκνυσιν ἀληθῶς ἀσεβῆ τὴν ἀρειανὴν αἵρεσιν. καὶ γὰρ οὐ πρότερον
ὑπέγραψαν, εἰ μὴ κατέγνωσαν αὐτῆς· καὶ οὐ πρότερον κατέγνωσαν, εἰ μὴ πανταχόθεν D
ἀπορήσαντες ᾐσχύνθησαν· ὥστε τὸ μεταβάλλεσθαι τῆς εἰς ἀσέβειαν φιλονεικίας ἔλεγχός
ἐστι. διὸ ἔδει μέν, καθάπερ εἴρηται, καὶ τούτους ἠρεμεῖν. ἐπειδὴ δὲ δεινοὶ πρὸς 7
ἀναισχυντίαν εἰσί, καὶ νομίζουσιν ἴσως αὐτοὶ μᾶλλον ἐκείνων δύνασθαι προστῆναι τῆς
διαβολικῆς ταύτης ἀσεβείας. εἰ καὶ ἔφθασα διὰ τῆς προτέρας ἐπιστολῆς τῆς πρὸς σὲ | γρα- M 425 A
φείσης πλατυτέρῳ τῷ κατ' αὐτῶν ἐλέγχῳ κεχρημένος, ὅμως φέρε καὶ νῦν τούτους ὥσπερ
ἐκείνους καθ' ἕκαστον τῶν ὑπ' αὐτῶν λεγομένων ἐξετάσωμεν. δειχθήσεται | γὰρ οὐδὲν B 213
ἧττον καὶ νῦν οὐχ ὑγιής, ἀλλά τις δαιμονιώδης αὐτῶν ἡ αἵρεσις.

Φασὶ τοίνυν, ὥσπερ κἀκείνοις ἐδόκει, καὶ τετολμήκασι λέγειν· 'οὐκ ἀεὶ πατήρ, 6,1
οὐκ ἀεὶ υἱός· οὐκ ἦν γὰρ ὁ υἱὸς πρὶν γεννηθῇ, ἀλλ' ἐξ οὐκ ὄντων γέγονε καὶ αὐτός· διὸ
καὶ οὐκ ἀεὶ πατὴρ ὁ θεὸς γέγονε τοῦ υἱοῦ, ἀλλ' ὅτε γέγονε καὶ ἐκτίσθη ὁ υἱός, τότε καὶ
ὁ θεὸς ἐκλήθη πατὴρ αὐτοῦ. κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ λόγος καὶ ξένος καὶ ἀνόμοιος
κατ' οὐσίαν τοῦ πατρός ἐστιν· οὔτε δὲ φύσει καὶ ἀληθινὸς λόγος τοῦ πατρός ἐστιν ὁ B
υἱὸς οὔτε ἡ μόνη καὶ ἀληθινὴ σοφία αὐτοῦ ἐστιν, ἀλλὰ κτίσμα καὶ εἷς τῶν ποιημάτων
ὢν καταχρηστικῶς λέγεται λόγος καὶ σοφία. λόγῳ γὰρ τῷ ὄντι ἐν τῷ θεῷ γέγονε καὶ
αὐτὸς ὥσπερ καὶ τὰ πάντα· διὸ οὐδὲ ἀληθινὸς θεός ἐστιν ὁ υἱός'. ἐγὼ δὲ τοῦτο 2

4 Vgl. Eph. 4, 14 7 Jes. 5, 20 19 Der Brief ist nicht erhalten. Der Anlaß zur Abfassung von de decretis ist also ein ähnlicher wie zur ep. II. III. ad Serap., auch dort will Athanasius einen kurzen Abriß der Gedanken der ausführlicheren ep. I. ad Serap. geben. Es liegt nahe, in Or. I. II. III. c. Arianos den πλατύτερος ἔλεγχος gegen die Arianer, der de decretis vorausging, wiederzuerkennen, zumal so starke wörtliche (vgl. zu c. 30 ff. S. 26 ff.) und sachliche Zusammenhänge zwischen beiden Schriften bestehen (vgl. Stülcken, Athanasiana S. 48). Da jedoch jeder genau bestimmbare Anhalt für den Anlaß zur Abfassung der Arianerreden sowie von de decretis fehlt, wird man sich mit der Feststellung des engen inhaltlichen Zusammenhanges der Schriften begnügen müssen. Athanasius hat sich auch in den historischen Apologien oft selbst abgeschrieben 23 ff. Vgl. Alexanders Referat über die Lehre des Arius (unten c. 35, 7 S. 32, 21 ff.). Athanasius zitiert hier nicht aus einer Schrift, sondern gibt die Anschauungen der Arianer in ihren wichtigsten Sätzen wieder, vgl. auch ep. ad episc. Aeg. et Lib. 12 (Migne 25, 564 B), welche Worte wörtlich in or. I. c. Arian. 5 (Migne 26, 21A) wiederkehren 26 κτίσμα — 29 σοφία = unten c. 35, 7 S. 32, 23—26 29 Vgl. Marcell v. Ancyra frg. 45. 46 (193, 8 ff.)

BKPO REFV

1 μεταβαλομένους K | παρὰ τὰ BPRE παρ' ἃ KOFV 2 καλῶς αὐτοὺς ∼ K 3 καὶ > B 4 ἀλλὰ + ταῖς P 5 παραβαλλόμενοι P | προφάσεις προβαλλόμενοι ∼ EV 7 καὶ — 8 πικρόν > EV 9 μὲν > B 10 ἔτι] εἰ B | τοῦτον R*E τούτων R^c | ὑπὸ λόγον R*E FV ἀπόλογον R^c 12 ἡ] εἰ R*E ἡ R^c 19 ἔφθασα Op. φθάσας Hss. 20 ἐχρησάμην ἐλέγχῳ ∼ V 24 a. Rd. τὰ τῶν 'Αρειανῶν F v. sp. Hd. | ἀεὶ + ὁ V | γὰρ ἦν ∼ F | ὁ > EV 25 καὶ[1] > F | γέγονεν ὁ θεὸς ∼ BKPO | τῷ υἱῷ B 30 θεός > EV | ἐστιν θεὸς ∼ F

πρῶτον καὶ τούτους ἐρωτῆσαι βούλομαι, τί ἐστιν ὅλως υἱός, καὶ τίνος ἐστὶ τὸ ὄνομα
τοῦτο σημαντικόν, ἵν' οὕτως αὐτοὶ τὰ λεγόμενα παρ' αὐτῶν κἂν οὕτως νοῆσαι δυνη-
3 θῶσιν. ἡ μὲν γὰρ θεία γραφὴ διπλῆν τὴν ἐκ τοῦ ὀνόματος τούτου διάνοιαν ἡμῖν
σημαίνει, μίαν μὲν περὶ ὧν Μωυσῆς ἐν τῷ νόμῳ φησίν· »ἐὰν εἰσακούσητε τῆς φωνῆς
κυρίου τοῦ θεοῦ ὑμῶν, φυλάσσειν πάσας τὰς ἐντολὰς αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι
C σήμερον, ποιεῖν τὸ καλὸν καὶ ἀρεστὸν ἐνώπιον κυρίου τοῦ θεοῦ σου, υἱοί ἐστε κυρίου
τοῦ θεοῦ ἡμῶν«, καθὼς καὶ ἐν τῷ εὐαγγελίῳ φησὶν ὁ Ἰωάννης· »ὅσοι δὲ ἔλαβον αὐτόν,
ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι«· ἑτέραν δὲ διάνοιαν, καθ' ἣν Ἰσαὰκ τοῦ
4 Ἀβραάμ ἐστιν υἱὸς καὶ ὁ Ἰακὼβ τοῦ Ἰσαὰκ καὶ οἱ πατριάρχαι τοῦ Ἰακώβ. αὐτοὶ
δὲ κατὰ ποίαν ἄρα τούτων νομίσαντες εἶναι τὸν τοῦ θεοῦ υἱὸν τοιαῦτα περὶ αὐτοῦ μυθο-
λογοῦσιν; εἰς γὰρ τὴν αὐτὴν ἀσέβειαν εὖ οἶδ' ὅτι συνδραμοῦνται τοῖς περὶ Εὐσέβιον.
εἰ μὲν οὖν κατὰ τὴν πρώτην, οἷοί εἰσιν οἱ ἐκ βελτιώσεως τρόπων ἐπικτώμενοι τὴν τοῦ
ὀνόματος χάριν καὶ λαμβάνοντες ἐξουσίαν, ἵνα υἱοὶ θεοῦ γένωνται (τοῦτο γὰρ ἔλεγον
κἀκεῖνοι), οὐδὲν διαφέρειν ἡμῶν δόξειεν οὐδὲ μονογενὴς ἂν εἴη ἐξ ἀρετῆς καὶ αὐτὸς ἐσχη-
5 κὼς τὴν τοῦ υἱὸς προσηγορίαν. κἂν γάρ, ὥς φασι, προγνωσθεὶς ἔσεσθαι τοιοῦτος
M 428A προλαμβάνῃ καὶ ἅμα τῷ | γενέσθαι δέχηται τό τε ὄνομα καὶ τὴν τοῦ ὀνόματος δόξαν,
ἀλλ' οὐδὲν διοίσει τῶν μετὰ τὰς πράξεις λαμβανόντων τὸ ὄνομα, ἕως οὕτω καὶ αὐτὸς
6 υἱὸς εἶναι μεμαρτύρηται. καὶ γὰρ Ἀδὰμ προλαμβάνων τὴν χάριν καὶ ἅμα τῷ γε-
B 214 νέσθαι τεθεὶς ἐν τῷ παραδείσῳ οὐδὲν διήνεγκεν οὔτε τοῦ | Ἐνώχ, ὃς μετὰ χρόνον τῆς
γενέσεως εὐαρεστήσας μετετέθη, οὔτε τοῦ ἀποστόλου καὶ αὐτοῦ μετὰ τὰς πράξεις ἁρ-
παγέντος εἰς τὸν παράδεισον, ἀλλ' οὐδὲ τοῦ ποτε λῃστοῦ, ὃς διὰ τὴν ὁμολογίαν ἐπαγ-
γελίαν ἔλαβεν εὐθὺς εἰς τὸν παράδεισον ἔσεσθαι.
7,1 Ἀλλ' ἐν τούτοις διωκόμενοι λέξουσιν ἴσως, ὃ πολλάκις λέγοντες ᾐσχύνθησαν·
B ʻοὕτως νομίζομεν τὸν υἱὸν πλέον ἔχειν παρὰ τὰ ἄλλα καὶ διὰ τοῦτο μονογενῆ λέγεσθαι,
ὅτι μόνος μὲν αὐτὸς ὑπὸ μόνου τοῦ θεοῦ γέγονε, τὰ δ' ἄλλα πάντα παρὰ τοῦ θεοῦ διὰ
τοῦ υἱοῦ ἐκτίσθη'. τίς ἄρα ταύτην ὑμῖν τὴν μωρὰν καὶ καινὴν ἐπίνοιαν ὑπέβαλεν, ἵνα
εἴπητε· ʻτὸν μὲν υἱὸν μόνον μόνος ὁ πατὴρ αὐτούργησε, τὰ δ' ἄλλα πάντα διὰ τοῦ υἱοῦ
2 γέγονεν ὡς δι' ὑπουργοῦ'; εἰ μὲν γὰρ διὰ τὸ κάμνειν ἠρκέσθη μόνον αὐτουργῆσαι τὸν
υἱὸν ὁ θεός, τὰ δ' ἄλλα οὐκέτι, ἀσεβὲς τοιαῦτα περὶ τοῦ θεοῦ λογίζεσθαι μάλιστα τοὺς
ἀκούσαντας Ἡσαίου λέγοντος· »θεὸς αἰώνιος, θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς,
C οὐ πεινάσει οὐδὲ κοπιάσει οὐδέ ἐστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ«. καὶ γὰρ μᾶλλον

4 Dtn. 13, 19; 14, 1 7 Joh. 1, 12 15 Als Anschauung des Arius zitiert Athanasius (aus der Thaleia?) or. I. c. Arianos 5 (Migne PG 26, 21 C): προγινώσκων ὁ θεὸς ἔσεσθαι καλὸν αὐτὸν προλαβὼν αὐτῷ ταύτην τὴν δόξαν δέδωκεν, ἣν ἄνθρωπος καὶ ἐκ τῆς ἀρετῆς ἔσχε μετὰ ταῦτα, ὥστε ἐξ ἔργων αὐτοῦ, ὧν προέγνω ὁ θεός, τοιοῦτον αὐτὸν γεγονέναι πεποίηκε (= ep. ad episc. Aeg. et Lib. 12; Migne 25, 564 C) 19 Vgl. Gen. 5, 24 20/21 Zu ἁρπαγέντος εἰς τὸν παράδεισον vgl. II. Cor. 12, 4, über eine Auferstehung bzw. Himmelfahrt des Paulus vgl. nicht nur Acta Pauli, vielmehr die Paulusapokalypse, für die diese Stelle vielleicht als Zeugnis benutzt werden kann, siehe R. P. Casey in: Journal of theol. Studies 34 (1933) 27 ff. 21 Vgl. Lc. 23, 43 25/26 Zu παρὰ τοῦ θεοῦ διὰ τοῦ υἱοῦ ἐκτίσθη vgl. Origenes Comm. in Joh. II 10, 70 (64, 12 ff.), Euseb Tricennatsrede 12 (229, 25 ff.); eccl. theol. II 14, 9 (115, 34 ff.) 28 Zu ὑπουργός: Euseb hist. eccl. I 2, 2—3 (10, 22); Dem. ev. V 5, 3 (227, 18); Athanasius or. II c. Arianos 29 (Migne 26, 208 B); Asterius bei Athan. or. II. c. Arianos 28 (Migne 26, 205 C): κτίσμα μέν ἐστι καὶ τῶν γενητῶν· ὡς δὲ παρὰ διδασκάλου καὶ τεχνίτου μεμάθηκε τὸ δημιουργεῖν, καὶ οὕτως ὑπηρέτησε τῷ διδάξαντι θεῷ. Vgl. auch Konstantins Polemik gegen Arius unten c. 40, 29 S. 41, 20 30 Jes. 40, 28

BKPO REFV

3 γὰρ > P 5 ἡμῶν EV | σοι > K 6 ποιεῖν[β] σήμερον[α] K | ἀρεστὸν ἐνώπιον BKPO τὸ ἀρεστὸν ἐναντίον REFV Dtn. 10 εἶναι νομίσαντες ~ B 11 εὖ > V 12 εἰσι + καὶ B 15 τοῦ > K | υἱὸς] υἱοῦ FV 20 εὐαρεστήσας > P 24 πλέον τὸν υἱὸν ~ REFV 27 μόνον > V, aber μόνος corr. aus μόνον V | ηὐτούργησεν ὁ πατήρ ~ V | τοῦ > F 31 ἐξεύρευσις B

αὐτὸς τοῖς πεινῶσι δίδωσιν ἰσχὺν καὶ διὰ τοῦ λόγου ἑαυτοῦ τοὺς κάμνοντας ἀναπαύει.
εἰ δὲ ὡς ταπεινὸν ἀπηξίωσεν αὐτὸς τὰ μετὰ τὸν υἱὸν αὐτουργῆσαι, καὶ τοῦτο μὲν ἀσε- 3
βές. οὐκ ἔστι γὰρ τύφος ἐν τῷ θεῷ, ὅς γε μετὰ τοῦ Ἰακὼβ εἰς Αἴγυπτον κατέρχεται,
καὶ διὰ μὲν τὸν Ἀβραὰμ διορθοῦται τὸν Ἀβιμέλεχ χάριν τῆς Σάρρας, τῷ δὲ Μωυσῇ
ἀνθρώπῳ ὄντι στόμα κατὰ στόμα λαλεῖ, καὶ εἰς μὲν τὸ Σινᾶ ὄρος κατέρχεται, τῷ δὲ λαῷ
συνεπολέμει κρυφαίᾳ χάριτι τὸν Ἀμαλήκ. ψεύδεσθε δὲ ὅμως καὶ τοῦτο λέγοντες· 4
»αὐτὸς γὰρ ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς«· αὐτός τέ ἐστιν ὁ διὰ τοῦ λόγου ἑαυτοῦ τὰ
πάντα τά τε μικρὰ καὶ τὰ μεγάλα ποιήσας, καὶ οὐκ ἔστι διελεῖν τὴν κτίσιν, ὥστε εἰπεῖν
τοῦτο μὲν τοῦ πατρός, τοῦτο δὲ τοῦ υἱοῦ, ἀλλ' ἑνός ἐστι θεοῦ ὡς χειρὶ χρωμένου τῷ D
ἰδίῳ λόγῳ καὶ ἐν αὐτῷ ποιοῦντος τὰ πάντα, καὶ τοῦτ' αὐτὸς μὲν ὁ θεὸς δεικνὺς ἔλεγεν·
»ἡ χείρ μου ἐποίησε ταῦτα πάντα«. ὁ δὲ Παῦλος τοῦτο μαθὼν ἐδίδασκεν· »εἷς θεὸς ἐξ
οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα«. αὐτὸς γοῦν ἀεὶ καὶ 5
νῦν λέγει τῷ μὲν ἡλίῳ καὶ ἀνατέλλει, ταῖς δὲ νεφέλαις ἐντέλλεται καὶ βρέχει ἐπὶ μίαν
μερίδα, ἐφ' ἣν δὲ οὐ βρέχει, ξηραίνεται. καὶ τὴν μὲν γῆν κελεύει τοὺς καρποὺς ἀποδιδόναι,
τὸν δὲ Ἱερεμίαν ἐν τῇ κοιλίᾳ πλάττει. εἰ δὲ ταῦτα νῦν αὐτὸς ποιεῖ, οὐκ ἔστιν ἀμφίβολον,
ὅτι καὶ κατὰ τὴν ἀρχὴν οὐκ ἀπηξίωσεν αὐτὸς τὰ | πάντα διὰ τοῦ λόγου ποιῆσαι· μέρη M 429 A
γὰρ τῶν ὅλων ἐστὶ ταῦτα.

Εἰ δὲ ὅτι μὴ ἐδύνατο τὰ λοιπὰ κτίσματα τῆς ἀκράτου χειρὸς τοῦ ἀγενήτου τὴν 8,1
ἐργασίαν βαστάξαι, μόνος ὁ υἱὸς ὑπὸ μόνου τοῦ θεοῦ γέγονε, τὰ δ' ἄλλα ὡς δι' ὑπουργοῦ
καὶ βοηθοῦ τοῦ υἱοῦ γέγονε· καὶ τοῦτο γὰρ Ἀστέριος ὁ θύσας ἔγραψεν, ὁ δὲ Ἄρειος
μεταγράψας | δέδωκε τοῖς ἰδίοις καὶ λοιπὸν ὡς καλάμῳ τεθραυσμένῳ χρῶνται τῷ ῥηματίῳ B 215
τούτῳ ἀγνοοῦντες τὸ ἐν αὐτῷ σαθρὸν οἱ παράφρονες. εἰ γὰρ ἀδύνατον ἦν τὰ γενητὰ 2
βαστάξαι τὴν χεῖρα τοῦ θεοῦ — ἔστι δὲ καθ' ὑμᾶς ὁ υἱὸς εἷς τῶν γενητῶν — πῶς αὐτὸς
ἠδυνήθη γενέσθαι παρὰ μόνου τοῦ θεοῦ; καὶ εἰ ἵνα τὰ γενητὰ γένηται, μεσίτου γέγονε
χρεία, γενητὸς δὲ καθ' ὑμᾶς ἐστιν ὁ υἱός, ἔδει καὶ πρὸ αὐτοῦ μέσον τινὰ εἶναι, ἵνα κτισθῇ. B
τοῦ δὲ μεσίτου πάλιν καὶ αὐτοῦ κτίσματος τυγχάνοντος ἄραρεν ὅτι κἀκεῖνος ἐδέετο μεσίτου
ἑτέρου πρὸς τὴν ἰδίαν σύστασιν. κἂν τις ἄλλον ἐπινοήσῃ, προεπινοήσει τὸν ἐκείνου
μεσίτην, ὥστε καὶ εἰς ἄπειρον ἐκπεσεῖν. οὕτω δὲ ἀεὶ τοῦ μεσίτου ζητουμένου οὐδὲ ἡ

---

4 Vgl. Gen. 20 5 Vgl. Ex. 19, 18 6 Vgl. Ex. 17 7 Ps. 99, 3 9 Zu ὡς χειρὶ vgl. Athan. or. II. c. Arianos 31 (Migne PG 26, 212 C), Methodius, de resurr. I 46, 2 (296, 5); de creatis 9 (498, 29), für Irenäus und Hippolyt vgl. Bonwetschs Komm. zu de resurr. a. a. O. Bei Origenes und Euseb scheint der Gebrauch der Jesaiastelle nicht vorzukommen 11 Jes. 66, 2 | I. Cor. 8, 6 15 Vgl. Jer. 1, 5 18 Vgl. or. II. c. Arianos 24 (Migne PG 26, 200 A): φασὶ (sc. Euseb v. Nik., Arius, Asterius) δὲ ὅμως περὶ τούτου, ὡς ἄρα θέλων ὁ θεὸς τὴν γενητὴν κτίσαι φύσιν, ἐπειδὴ ἑώρα μὴ δυναμένην αὐτὴν μετασχεῖν τῆς τοῦ πατρὸς ἀκράτου χειρὸς καὶ τῆς παρ' αὐτοῦ δημιουργίας, ποιεῖ καὶ κτίζει πρώτως μόνος μόνον ἕνα καὶ καλεῖ τοῦτον υἱὸν καὶ λόγον, ἵνα τούτου μέσου γενομένου οὕτως λοιπὸν καὶ τὰ πάντα δι' αὐτοῦ γενέσθαι δυνηθῇ. Zu μόνος ὑπὸ μόνου: Asterius nach Marcell bei Euseb c. Marc. I 4, 33 (25, 5), Antiochen. Symbol bei Athan. de synodis 23 (Migne PG 26, 721 B) 20 Zu Asterius: G. Bardy, Astérius le sophiste, in: Revue d'hist. eccl. 22 (1926) 221-272. Es fällt auf, daß Asterius als der Vorgänger des Arius bezeichnet wird, vgl. unten c. 20 S. 17, 4 24 μεσίτης für den Logos bei Alexander v. Alexandrien (Urkunde 14, 44; III 26, 27), bei Euseb Tricennatsrede 1, 6 (198, 28); 11, 12 (227, 16); 12, 6. 7 (231, 14 ff.); Dem. ev. IV 6, 6 (159, 21). Die gleiche Argumentation wie oben auch Athan. or. II. c. Arianos 25. 26, hier aber viel schlagkräftiger, vgl. unten c. 24, 5 S. 20, 23

BKPO REFV

---

1 ἑαυτοῦ] αὐτοῦ BV 2 τὰ μετὰ τὸν υἱὸν αὐτὸς ~ REFV 5 ὄντι ἀνθρώπῳ ~ F 6 χάριτι] χειρὶ P | χάριτι + καὶ V, von sp. Hd. 7 ἑαυτοῦ] αὐτοῦ BKPO 11 μου] σου B | εἷς + ὁ RE 16 καὶ κατὰ τὴν ἀρχὴν] κατὰ τὸν Ἰωάννου καὶ Παύλου λόγον V | ἀρχὴν > E | διὰ τοῦ λόγου ποιῆσαι > V 18 ἀκηράτου i. Text F, a. Rd. γρ' ἀκράτου F 1. Hd. | ἀγενήτου BE^c ἀγεννήτου KORE*FV 20 ἔγραψεν ὁ θύσας ~ EV 21 μεταδέδωκε REFV 23 τῶν γενητῶν εἷς ὁ υἱός ~ K 26 τυγχάνοντος] ὄντος EV | ἐδέετο + πάλιν V

κτίσις συστῆναι δυνήσεται διὰ τὸ μὴ δύνασθαι, ὡς λέγετε, μηδένα τῶν γενητῶν βαστάξαι
3 τὴν ἄκρατον χεῖρα τοῦ ἀγενήτου. εἰ δὲ τὸ ἄτοπον τοῦτο συνορῶντες ἄρχεσθε λέγειν,
ὅτι ὁ υἱὸς κτίσμα ὢν ἱκανὸς γέγονεν, ὥστε ὑπὸ τοῦ ἀγενήτου γενέσθαι, ἐξ ἀνάγκης καὶ
τὰ ἄλλα πάντα γενητὰ ὄντα δυνατὰ ἦν παρὰ τοῦ ἀγενήτου ὑπουργηθῆναι· κτίσμα
γὰρ καθ' ὑμᾶς κἀκεῖνος ὥσπερ οὖν καὶ ταῦτα πάντα ἐστί. καὶ περιττὴ λοιπὸν τοῦ
λόγου ἡ γένεσις κατὰ τὴν ἀσεβῆ καὶ μωρὰν ὑμῶν ἐπίνοιαν, αὐτάρκους ὄντος τοῦ θεοῦ
C τὰ πάντα αὐτουργεῖν πάντων τε τῶν γενητῶν δυναμένων τὴν ἄκρατον χεῖρα
4 βαστάξαι τοῦ θεοῦ. ἀνοήτου δὴ οὔσης αὐτῶν τῆς τοιαύτης φρενοβλαβείας, ἴδωμεν
εἰ μὴ καὶ τὸ λεγόμενον τοῦτο τῶν ἀσεβῶν τὸ σόφισμα πλέον τῶν ἄλλων αὐτῶν ἀλογώ-
τερον ἀναφανείη. 'Αδὰμ μόνος ὑπὸ μόνου τοῦ θεοῦ διὰ τοῦ λόγου γέγονεν. ἀλλ' οὐκ
ἐν τῷ πάλιν τὸν 'Αδὰμ πλέον τι τῶν πάντων ἀνθρώπων ἔχειν ἢ διαφέρειν τῶν μετ' αὐτὸν
ἄν τις φήσειεν, εἰ μόνος μὲν αὐτὸς ὑπὸ μόνου τοῦ θεοῦ πεποίηται καὶ πέπλασται, ἡμεῖς δὲ
πάντες ἐκ τοῦ 'Αδὰμ γεννώμεθα καὶ κατὰ διαδοχὴν τοῦ γένους συνιστάμεθα, ἕως μόνον
καὶ αὐτὸς ἐκ γῆς ἐπλάσθη, καὶ μὴ ὢν πρότερον ὕστερον γέγονεν.

9, 1 Εἰ δὲ καὶ πλέον τις τῷ πρωτοπλάστῳ δοίη διὰ τὸ κατηξιῶσθαι τῆς τοῦ θεοῦ χειρὸς
D αὐτόν, ἀλλ' ἐν τιμῇ καὶ μὴ τῇ φύσει τὸ πλέον εἰς αὐτὸν ὁ τοιοῦτος λογιζέσθω. ἐκ γῆς
γὰρ γέγονεν ὥσπερ καὶ πάντες· καὶ ἡ χεὶρ δὲ ἡ πλάσασα τότε τὸν 'Αδὰμ αὕτη καὶ νῦν
M 430 A 2 καὶ ἀεὶ τοὺς μετ' ἐκεῖνον πάλιν | πλάττει καὶ διασυνίστησι. καὶ τοῦτο ὁ θεὸς αὐτὸς τῷ
μὲν 'Ιερεμίᾳ, ὡς προεῖπον, φησίν· »πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε«. περὶ
δὲ τῶν πάντων ἔλεγεν· »ἡ χείρ μου ἐποίησε ταῦτα πάντα«. καὶ πάλιν διὰ 'Ησαίου
φησίν· »οὕτως λέγει κύριος ὁ λυτρούμενός σε καὶ πλάσσων σε ἐν κοιλίᾳ· ἐγὼ κύριος ὁ
συντελῶν πάντα ἐξέτεινα τὸν οὐρανὸν μόνος καὶ ἐστερέωσα τὴν γῆν«. ὁ δὲ Δαυὶδ τοῦτο
B 216 γινώσκων | ἔψαλλεν· »αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με«. καὶ ὁ ἐν τῷ 'Ησαίᾳ
λέγων· »οὕτως λέγει κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ« τοῦτο σημαίνει.
οὐκοῦν κατὰ τὴν φύσιν οὐδὲν ἡμῶν διαφέρει, κἂν προάγῃ τῷ χρόνῳ, ἕως καὶ τῇ αὐτῇ
3 χειρὶ συνιστάμεθα καὶ κτιζόμεθα πάντες. εἰ τοίνυν οὕτως, ὦ 'Αρειανοί, καὶ περὶ τοῦ
B υἱοῦ τοῦ θεοῦ φρονεῖτε, ὅτι οὕτως καὶ αὐτὸς ὑπέστη καὶ γέγονεν, οὐδὲν καθ' ὑμᾶς τῶν
ἄλλων κατὰ τὴν φύσιν διοίσει, ἕως καὶ αὐτὸς οὐκ ἦν καὶ γέγονε καὶ ἐξ ἀρετῆς καὶ αὐτῷ
συνεκτίσθη τοῦ ὀνόματος ἡ χάρις. εἷς γὰρ ἐστι καὶ αὐτός, ἀφ' ὧν λέγετε, περὶ ὧν ἐν
Ψαλμοῖς τὸ πνεῦμά φησιν· »αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθη-
4 σαν«. τίς τοίνυν ἐστίν, ᾧ ὁ θεὸς ἐνετείλατο, ἵνα καὶ οὗτος κτισθῇ; εἶναι γὰρ δεῖ λόγον,
ᾧ ἐντέλλεται ὁ θεὸς καὶ ἐν ᾧ τὰ ποιήματα κτίζεται. ἀλλ' οὐκ ἂν ἔχοιτε δεῖξαι ἕτερον
παρὰ τὸν ἀρνεῖσθε λόγον, εἰ μὴ ἄρα τινὰ πάλιν ἔννοιαν ἐπινοήσητε. ναὶ γάρ, φή-
σουσιν, εὕρομεν· ἣν ποτε λεγόντων καὶ τῶν περὶ Εὐσέβιον ἤκουσα· 'διὰ τοῦτο πλέον

19 Jer. 1, 5 vgl. S. 7, 15 20 Jes. 66, 2 21 Jes. 44, 24 23 Ps. 118, 73 24 Jes. 49, 5 28 Vgl. oben S. 6, 17 30 Ps. 32, 9 34 ff. Vgl. Euseb eccl. theol. I 10, 3 (68, 31 ff.): καὶ μὴν ἐξ αὐτῆς τῆς προσηγορίας ὁ υἱὸς τὴν πρὸς τὸν πατέρα φυσικὴν σχέσιν παρίστησιν, ὡς αὖ πάλιν τὸ μονογενὲς ὄνομα καὶ τοῦ γένους ἐφάπτεται καὶ τῆς γενέσεως αὐτῆς καὶ τοῦ μόνον εἶναι καὶ μηδέτερον αὐτῷ τῆς υἱότητος κοινωνεῖν. Dem. ev. V 4, 11—15 (225, 29 ff.); ferner Asterius de syn. 18 (Migne 26, 716 A = or. I. c. Arianos 32; Migne 26, 77 B = or. II. c. Arianos 37; Migne 26, 225 C—228 A)

BKPO REFV

1 λέγεται ER* λέγετε R^c 2 ἀγενήτου KPO*R*E ἀγεννήτου BFV ἀγενήτου O^cR^c 3 ἀγεννήτου F 4 ἀγεννήτου FV | ὑπουργηθῆναι] corr. in: αὐτουργηθῆναι B 6 ἐπίνοιαν ὑμῶν ~ V | ἐπίνοιαν corr. von 1. Hd. (?) aus ὑπόνοιαν F 7/8 βαστάξαι χεῖρα ~ K 8 δὴ] δὲ V 9 τὸ² ausrad. R | αὐτῶν > FV 10 γέγονε διὰ τοῦ λόγου ~ K 11 τῷ] τούτῳ V | πάντων] ὅλων P 15 τοῦ] ἐκ V 17 τὸν τότε ~ V 18 πλάττει πάλιν ~ K | διασυνίστησι] διανίστησι F συνιστᾷ V 20 τῶν > K 23 ὁ > F 26 πάντες καὶ κτιζόμεθα ~ F 29 λέγεται REF 31 δεῖ] δὴ R^cEV 33 παρὰ τὸν] παρ' ὃν KV παρὰ τὸν ὃν F | ἀρνεῖσθε + θεοῦ P | πάλιν τινὰ ~ K | ἐπινοήσετε KPO FV | ναὶ γάρ] ἀλλὰ γὰρ ναί V 34 ἦν ποτε REFV

τῶν ἄλλων ἔχειν τὸν τοῦ θεοῦ υἱὸν καὶ λέγεσθαι μονογενῆ τοῦτον νομίζομεν, ἐπειδὴ
μόνος μὲν αὐτὸς μετέχει τοῦ πατρός, τὰ δ' ἄλλα πάντα τοῦ υἱοῦ μετέχει'. κεκμήκασι μὲν C
οὖν ἤδη μεταβαλλόμενοι καὶ μεταλλάσσοντες τὰ ῥήματα ὡς τὰ χρώματα, δειχθήσονται
δὲ ὅμως καὶ οὕτως ὡς οἱ ἐκ τῆς γῆς κενολογοῦντες καὶ κυλιόμενοι ὡς ἐν βορβόρῳ ταῖς ἰδίαις
ἐννοίαις.
Εἰ μὲν γὰρ ἐκεῖνος μὲν τοῦ θεοῦ υἱός, ἡμεῖς δὲ τοῦ υἱοῦ υἱοὶ καλούμεθα, πιθανὸν ἦν 10,1
αὐτῶν τὸ πλάσμα· εἰ δὲ τοῦ θεοῦ καὶ ἡμεῖς υἱοὶ λεγόμεθα, οὗ καὶ αὐτός ἐστιν υἱός, δηλονότι
καὶ ἡμεῖς τοῦ πατρὸς μετέχομεν τοῦ λέγοντος· »υἱοὺς ἐγέννησα καὶ ὕψωσα«. εἰ μὴ γὰρ
μετείχομεν αὐτοῦ, οὐκ ἔλεγεν· 'ἐγέννησα'· εἰ δὲ αὐτὸς ἐγέννησεν, οὐχ ἕτερος ἀλλ' αὐτὸς
ἡμῶν ἐστι πατήρ. καὶ οὐ διαφέρει πάλιν, εἰ πλέον ἐκεῖνος ἔχει καὶ πρῶτον γέγονεν· 2
ἡμεῖς δὲ εἰ ἔλαττον καὶ ὕστερον γεγόναμεν, ἕως τοῦ αὐτοῦ πάντες μετέχομεν καὶ τοῦ D
αὐτοῦ πατρὸς υἱοὶ λεγόμεθα. τὸ γὰρ πλέον καὶ ἔλαττον οὐ τὴν φύσιν ἄλλην δείκνυσιν·
ἑκάστῳ γὰρ τῆς ἀρετῆς ἡ πρᾶξις τοῦτο προστίθησι. καὶ ὁ μὲν ἐπὶ δέκα πό|λεων, ὁ δὲ M 433 A
ἐπὶ πέντε καθίσταται· καὶ οἱ μὲν καθέζονται »ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα
φυλὰς τοῦ Ἰσραήλ«, οἱ δὲ ἀκούουσι· »δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου«· καί·
»εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ«. τοιαῦτα μὲν οὖν ἐκεῖνοι φρονοῦντες εἰκότως φαντάζονται 3
τοιούτου υἱοῦ ἀεὶ μὴ εἶναι τὸν θεὸν πατέρα μηδὲ τὸν τοιοῦτον υἱὸν ἀεὶ εἶναι, ἀλλ' ἐξ
οὐκ ὄντων κτίσμα | γεγενῆσθαι καὶ μὴ εἶναι πρὶν γεννηθῇ· ἄλλος γάρ ἐστιν οὗτος παρὰ B 217
τὸν ἀληθινὸν τοῦ θεοῦ υἱόν. ἐπειδὴ δὲ ταῦτα λέγειν ἔτι τούτους οὐκ ἔστιν εὐαγές, 4
μᾶλλον γὰρ Σαδδουκαίων καὶ τοῦ Σαμοσατέως ἐστὶ τοῦτο τὸ φρόνημα, λείπει ἄρα κατὰ
τὴν ἑτέραν διάνοιαν, καθ' ἣν Ἰσαὰκ τοῦ Ἀβραάμ ἐστιν υἱός, λέγειν εἶναι καὶ τὸν τοῦ
θεοῦ υἱόν· τὸ γὰρ ἔκ τινος φύσει γεννώμενον καὶ μὴ ἔξωθεν ἐπικτώμενον υἱὸν οἶδεν ἡ B
φύσις, καὶ τοῦτο τοῦ ὀνόματός ἐστι τὸ σημαινόμενον. ἆρ' οὖν ἀνθρωποπαθὴς ἡ 5
τοῦ υἱοῦ γέννησις; τοῦτο γὰρ ἴσως κατ' ἐκείνους καὶ αὐτοὶ θελήσουσιν ἀντιθεῖναι μὴ
γινώσκοντες. οὐδαμῶς. οὐ γὰρ ὡς ἄνθρωπος ὁ θεός, ἐπεὶ μηδὲ οἱ ἄνθρωποι ὡς ὁ θεός.
οἱ μὲν γὰρ ἐξ ὕλης καὶ ταύτης οὔσης παθητικῆς ἐκτίσθησαν, ὁ δὲ θεὸς ἄυλος καὶ ἀσώματος.
εἰ δὲ αἱ αὐταὶ λέξεις ἐπὶ θεοῦ καὶ ἀνθρώπων ἐν ταῖς θείαις ποτὲ κεῖνται γραφαῖς, ἀλλ' ἀν- 6
θρώπων ἐστὶ διορατικῶν, ὡς παρήγγειλεν ὁ Παῦλος, προσέχειν τῇ ἀναγνώσει καὶ οὕτω
διακρίνειν καὶ κατὰ τὴν ἑκάστου τῶν σημαινομένων φύσιν τὰ γεγραμμένα διαγινώσκειν
καὶ μὴ συγχέειν τὴν διάνοιαν, ὥστε τὰ τοῦ θεοῦ μὴ ἀνθρωπίνως νοεῖν μηδὲ τὰ τῶν C
ἀνθρώπων ὡς περὶ θεοῦ ποτε λογίζεσθαι. τοῦτο γάρ ἐστι τὸν οἶνον ὕδατι μῖξαι καὶ
πῦρ ἀλλότριον ἐπιβάλλειν ἐπὶ τὸ θυσιαστήριον τῷ θείῳ πυρί.
Καὶ γὰρ καὶ ὁ θεὸς κτίζει, καὶ ἐπ' ἀνθρώπων δὲ τὸ κτίζειν εἴρηται. καὶ ὁ μὲν θεὸς 11,1
ὤν ἐστι, λέγονται δὲ καὶ οἱ ἄνθρωποι εἶναι παρὰ θεοῦ καὶ τοῦτο λαβόντες ἔχειν. ἆρ' οὖν
οὕτως ὁ θεὸς κτίζει ὡς ἄνθρωποι; ἢ οὕτως ὤν ἐστιν ὡς ἄνθρωπος; μὴ γένοιτο. ἄλλως
ἐπὶ θεοῦ τὰς λέξεις λαμβάνομεν καὶ ἑτέρως ἐπὶ τῶν ἀνθρώπων ταύτας διανοούμεθα.
ὁ μὲν γὰρ θεὸς κτίζει καλῶν τὰ μὴ ὄντα εἰς τὸ εἶναι οὐδενὸς ἐπιδεόμενος, οἱ δὲ ἄνθρωποι 2
τὴν ὑποκειμένην ὕλην ἐργάζονται εὐξάμενοι πρότερον καὶ τὴν ἐπιστήμην τοῦ ποιεῖν
λαβόντες παρὰ τοῦ πάντα δημιουργήσαντος θεοῦ διὰ τοῦ ἰδίου λόγου. πάλιν τε οἱ 3

4 Vgl. Joh. 3, 31 u. II. Petr. 2, 22 6 Zu τοῦ υἱοῦ υἱοί vgl. etwa Origenes de princ. IV 4, 5 (356, 6) 8 Jes. 1, 2 13 Vgl. Lc. 19, 17. 19 14 Mt. 19, 28 15 Mt. 25, 34 16 Mt. 25, 23 | Die Gegner benutzen die eben zitierten Bibelstellen für eine Unterordnung des Logos 18 Vgl. Urk. 1, 5 (III 3, 3) 28 I. Tim. 4, 13 31 Vgl. Jes. 1, 22 32 Vgl. Lev. 10, 1 37 Vgl. Rm. 4, 17

BKPO REFV

1 τὸν υἱὸν τοῦ θεοῦ ~ K 4 ὡς[2] > V 6 μὲν[1] > F | καλούμεθα B*REFV καλοίμεθα B[c]KPO 7 υἱός ἐστιν ~ K 8 εἰ μὴ — 9 ἐγέννησα > F 14 θρόνων V 16 φαντάζονται + περὶ V 19 ἔτι τούτους] τούτου E > V | εὐαγές + περὶ τοῦ υἱοῦ τοῦ θεοῦ V 20 μᾶλλον ÷ δὲ B, exp.? | τὸ > F 22 υἱόν[1] > EV 25 οἱ > E 26 ἐκτίσθησαν > F 27 εἰ δὲ αἱ αὐταὶ] αἱ δὲ αὐταὶ KPO 35 ὡς[1] + οἱ V

D μὲν ἄνθρωποι οὐ δυνάμενοι καθ' ἑαυτοὺς εἶναι ἐν τόπῳ τυγχάνοντές εἰσι περιεχόμενοι
καὶ συνεστῶτες ἐν τῷ τοῦ θεοῦ λόγῳ, ὁ δὲ θεὸς ὢν ἔστι καθ' ἑαυτὸν περιέχων τὰ πάντα
καὶ ὑπ' οὐδενὸς περιεχόμενος, καὶ ἐν πᾶσι μέν ἐστι κατὰ τὴν ἑαυτοῦ ἀγαθότητα καὶ δύ-
ναμιν, ἔξω δὲ τῶν πάντων πάλιν ἐστὶ κατὰ τὴν ἰδίαν φύσιν. ὥσπερ οὖν οὐ τὸν αὐτὸν
τρόπον οἱ ἄνθρωποι κτίζουσιν, ὅνπερ τρόπον ὁ θεὸς κτίζει, οὐδ' οὕτως εἰσὶν οἱ ἄνθρωποι,
M 436 A ὥσπερ ἐστὶν ὁ θεός· οὕτως ἄλλως ἐστὶν ἡ τῶν ἀνθρώπων γένεσις καὶ ἄλλως | ἐστὶν ὁ
4 υἱὸς ἐκ τοῦ πατρός. τῶν μὲν γὰρ ἀνθρώπων τὰ γεννήματα μέρη πως τῶν γεννώντων
εἰσίν, ἐπεὶ καὶ αὐτῶν τῶν σωμάτων ἡ φύσις οὐχ ἁπλῆ τίς ἐστιν, ἀλλὰ ῥευστή, καὶ ἐκ μερῶν
ἔχει τὴν σύνθεσιν. ἀπορρέουσί τε ἄνθρωποι γεννῶντες καὶ πάλιν ἐπιρρεῖ τὰ ἐκ τῶν τροφῶν
εἰς αὐτοὺς εἰσαγόμενα· | δι' ἣν αἰτίαν καὶ πολλῶν κατὰ καιρὸν τέκνων γίνονται πατέρες
B 218 οἱ ἄνθρωποι. ὁ δὲ θεὸς ἀμερὴς ὢν ἀμερίστως ἐστὶ καὶ ἀπαθὴς τοῦ υἱοῦ πατήρ. | οὔτε
γὰρ ἀπορροὴ τοῦ ἀσωμάτου ἔστιν οὔτ' ἐπιρροή τις εἰς αὐτὸν γίνεται ὡς ἐπ' ἀνθρώπων·
5 ἁπλοῦς δὲ ὢν τὴν φύσιν ἑνὸς καὶ μόνου τοῦ υἱοῦ πατήρ ἐστι. διὰ τοῦτο γὰρ καὶ μονο-
γενής ἐστι καὶ μόνος ἐν τοῖς κόλποις τοῦ πατρός ἐστι, μόνον τε αὐτὸν ἐξ ἑαυτοῦ δείκνυσιν
B ὁ πατὴρ λέγων· »οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα«· λόγος δέ ἐστιν
οὗτος τοῦ πατρός, ἐν ᾧ τὸ ἀπαθὲς καὶ ἀμερὲς τοῦ πατρὸς νοεῖν δυνατόν. λόγος γὰρ
6 οὐδὲ ὁ τῶν ἀνθρώπων κατὰ πάθος καὶ μέρος γεννᾶται, μήτι γε ὁ τοῦ θεοῦ. διὸ καὶ
καθέζεται μὲν αὐτὸς ἐν δεξιᾷ τοῦ πατρὸς ὡς λόγος· ἔνθα γάρ ἐστιν ὁ πατήρ, ἐκεῖ καὶ ὁ
τούτου λόγος ἐστίν· ἡμεῖς δὲ στήκομεν κρινόμενοι παρ' αὐτοῦ ὡς ποιήματα. καὶ προσ-
κυνεῖται μὲν αὐτὸς διὰ τὸ εἶναι αὐτὸν υἱὸν τοῦ προσκυνητοῦ πατρός, ἡμεῖς δὲ προσκυ-
νοῦμεν κύριον καὶ θεὸν αὐτὸν ὁμολογοῦντες διὰ τὸ εἶναι ἡμᾶς κτίσματα καὶ ἄλλους
παρ' ἐκεῖνον.
12,1 Τούτων δὲ οὕτως ὄντων σκοπείτω λοιπὸν ὁ βουλόμενος αὐτῶν καὶ γενέσθω τις
C αὐτοὺς ἐντρέπων, εἰ τὸ ἐκ τοῦ θεοῦ καὶ ἴδιον αὐτοῦ γέννημα θέμις εἰπεῖν ἐξ οὐκ ὄντων ἢ
λόγον ἔχει κἂν εἰς ἐνθύμησίν τινος ὅλως ἐλθεῖν, ὅτι τὸ ἐκ τοῦ θεοῦ ἐπισυμβέβηκεν αὐτῷ,
ἵνα καὶ τολμήσας εἴπῃ, ὅτι οὐκ ἔστιν ἀεὶ ὁ υἱός. καὶ γὰρ ἐν τούτῳ πάλιν τὰς ἀνθρώπων
2 ἐννοίας ὑπερεξῆλθε καὶ ὑπεραναβέβηκεν ἡ τοῦ υἱοῦ γέννησις. ἡμεῖς μὲν γὰρ τῶν ἰδίων
τέκνων ἐν χρόνῳ γινόμεθα πατέρες, ἐπεὶ καὶ αὐτοὶ οὐκ ὄντες πρότερον ὕστερον γεγόναμεν·
ὁ δὲ θεὸς ἀεὶ ὢν ἀεὶ τοῦ υἱοῦ πατήρ ἐστι. καὶ τῶν μὲν ἡ γένεσις ἐκ τῶν ὁμοίως ὄντων
ἔχει τὴν πίστιν. ἐπειδὴ δὲ »οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπι-
γινώσκει εἰ μὴ ὁ υἱός, καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ«, διὰ τοῦτο οἱ ἅγιοι, οἷς ἀπεκάλυψεν
ὁ υἱός, εἰκόνα τινὰ δεδώκασιν ἡμῖν ἐκ τῶν ὁρωμένων λέγοντες· »ὃς ὢν ἀπαύγασμα

---

2 Vgl. Origenes c. Cels. IV 92 (I 365, 19); VII 34 (II 184, 16 f.) 8/9 Vgl. Athan. or. I. c. Arianos 28 (Migne 26, 69 A); Origenes de orat. 27, 8 (367, 16 f.); in Joh. XIII 33, 204 (257, 24 ff.) 12 Vgl. Athan. or. I. c. Arianos 21 (Migne 26, 56 B) 13 Zu ἁπλοῦς τὴν φύσιν vgl. Euseb eccl. theol. II 14, 6 (115, 15) 13/14 Vgl. Joh. 1, 18 15 Mt. 3, 17 28 Vgl. Athan. or. I. c. Arianos 14 (Migne 26, 41 B) 29 Vgl. Urk. 14, 26 (III 23, 28 u. Komm.); außerdem die Darlegungen über ἀεὶ πατὴρ καὶ ἀεὶ υἱός in dem vermutlich Serapion von Thmuis gehörenden Traktat περὶ πατρὸς καὶ υἱοῦ (Texte u. Unters. NF 2, 3b S. 21 ff.), der ganz dieser Frage gewidmet ist 30 Mit ἐπειδὴ δὲ beginnt die Antithese zu τῶν μὲν ἡ γένεσις, die erst unten S. 17, 9 ff. scharf formuliert wird. | Mt. 11, 27; οἶδε statt ἐπιγινώσκει hat Athanasius noch an 3 Stellen (davon eine in c. Apoll. II 14), den gewöhnlichen Text an 5 Stellen. οἶδε lesen auch Didymus, Cyrill v. Jerus., Basilius. 31 ἀποκαλύψῃ bei Athanasius üblich, sonst nur von Kirchenvätern, nicht von Bibelhandschriften bezeugt. 32 Hebr. 1, 3

BKOP REFV 23 γενέσθω — 11, 11 πατέρα = Cramer, Catenae in S. Pauli epistolas ad Tim. Tit. Philem. Hebr., Oxford 1843, S. 302, 24—303, 14 (ἐκ τῶν κατὰ 'Αρειανῶν). Der Text ist schlecht und deshalb nicht herangezogen

---

1 καθ' αὐτοὺς REV 2 καθ' αὐτὸν REFV 8 αὐτῶν] αὐτὴ B 9 τε ÷ οἱ EV 11 ἀπαθῶς V 13 τῇ φύσει EV 19 ἐστήκομεν R*EVF στήκομεν R^{c} 21 αὐτὸν > B 23 αὐτῶν] αὐτὰ KO > F 25 ἔχειν EV | ὅλως > EV | ὅλως τινος ∼ F 29 ὁμοίων E ὁμοίων$^{\varsigma}$ V 30 ἔχειν E 31 ἂν] ἐὰν REFV

τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ«· καὶ πάλιν· »ὅτι παρὰ σοὶ πηγὴ D
ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς«· ὅτε καὶ μεμφόμενος τὸν Ἰσραὴλ ὁ λόγος φησίν·
»ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας«· αὕτη δέ ἐστιν ἡ πηγὴ ἡ λέγουσα· »ἐμὲ ἐγκατ-
έλιπον πηγὴν ὕδατος ζῶντος«. καὶ μικρὸν μέν ἐστι τὸ παράδειγμα καὶ λίαν ἀμυδρὸν 3
πρὸς τὸ ποθούμενον, δυνατὸν δὲ ὅμως ἐξ αὐτοῦ πλέον τῆς ἀνθρώπου φύσεως κατα-
νοεῖν καὶ μὴ νομίζειν ἴσην τὴν ἡμῶν εἶναι καὶ τὴν | τοῦ υἱοῦ γέννησιν. τίς γὰρ δύνα- M 437 A
ται κἂν λογίσασθαι μὴ εἶναί ποτε τὸ ἀπαύγασμα, ἵνα καὶ τολμήσας εἴπῃ μὴ εἶναι ἀεὶ
τὸν υἱόν, ἢ ὅτι οὐκ ἦν ὁ υἱὸς πρὶν γεννηθῇ; ἢ τίς ἱκανὸς διελεῖν ἀπὸ τοῦ ἡλίου τὸ ἀπαύ-
γασμα ἢ τὴν πηγὴν ἐπινοῆσαί ποτε τῆς ζωῆς ἔρημον, ἵνα καὶ μανεὶς εἴπῃ, ἐξ οὐκ ὄντων
ἐστὶν ὁ υἱὸς ὁ λέγων· »ἐγώ εἰμι ἡ ζωή«, ἢ ἀλλότριος τῆς τοῦ πατρὸς οὐσίας ὁ λέγων·
»ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν πατέρα«; | οὕτω γὰρ ἡμᾶς οἱ ἅγιοι βουλόμενοι νοεῖν τοιαῦτα B 219
καὶ παραδείγματα δεδώκασι, καὶ ἔστιν ἄτοπον καὶ λίαν ἀσεβὲς τοιαύτας ἐχούσης τῆς
γραφῆς τὰς εἰκόνας ἐξ ἄλλων ἡμᾶς περὶ τοῦ κυρίου διανοεῖσθαι τῶν μήτε γεγραμμένων
μήτε τινὰ διάνοιαν εἰς εὐσέβειαν ἐχόντων. B

Οὐκοῦν λοιπὸν λεγέτωσαν, πόθεν ἄρα καὶ οὗτοι μαθόντες ἢ τίνος αὐτοῖς παρα- 13,1
δεδωκότος τοιαῦτα περὶ τοῦ σωτῆρος ὑπονοεῖν ἤρξαντο. ἀνέγνωμεν, φήσουσιν, ἐν
ταῖς Παροιμίαις· »κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«. καὶ γὰρ καὶ 2
οἱ περὶ Εὐσέβιον τοῦτο λέγειν ἐδόκουν, καὶ σὺ δὲ γράφων ἐδήλωσας, ὅτι διὰ πολλῶν μὲν
ἀποδείξεων ἀνατρεπόμενοι καὶ οὗτοι κατεγινώσκοντο, τοῦτο δὲ ὅμως αὐτοὶ τὸ ῥητὸν
ἄνω καὶ κάτω περιφέροντες ἓν τῶν κτισμάτων τὸν υἱὸν εἶναι ἔλεγον καὶ τοῖς γενητοῖς
αὐτὸν συνηρίθμουν. ἀλλὰ καὶ τοῦτο δοκοῦσί μοι μὴ νενοηκέναι καλῶς· ἔχει γὰρ τὴν 3
διάνοιαν εὐσεβῆ καὶ λίαν ὀρθήν, ἣν εἰ καὶ αὐτοὶ νενοήκεισαν, οὐκ ἂν τὸν κύριον τῆς
δόξης ἐβλασφήμησαν. τὰ γὰρ προειρημένα εἰς τὸ ῥητὸν τοῦτο συμβαλλέτωσαν, καὶ C
ὄψονται πολλὴν ἐν αὐτοῖς οὖσαν τὴν διαφοράν. τίς γὰρ οὐ συνορᾷ διάνοιαν ἔχων 4
ὀρθήν, ὅτι τὰ μὲν κτιζόμενα καὶ ποιούμενα ἔξωθεν τοῦ ποιοῦντος, ὁ δὲ υἱός, ὡς ἐν τοῖς
ἔμπροσθεν ἔδειξεν ὁ λόγος, οὐκ ἔξωθεν ἀλλ' ἐκ τοῦ γεννῶντος πατρὸς ὑπάρχει; καὶ γὰρ
ἄνθρωπος κτίζει μὲν οἰκίαν, γεννᾷ δὲ υἱόν, καὶ οὐκ ἄν τις ἀναστρέφων εἴποι τὴν μὲν οἰκίαν
καὶ τὴν ναῦν γεννᾶσθαι παρὰ τοῦ κατασκευάζοντος, τὸν δὲ υἱὸν κτίζεσθαι καὶ ποιεῖσθαι
παρὰ τοῦ αὐτοῦ, οὐδὲ πάλιν τὴν μὲν οἰκίαν εἰκόνα τοῦ κτίζοντος, τὸν δὲ υἱὸν ἀνόμοιον
τοῦ γεννῶντος. ἀλλὰ μᾶλλον τὸν μὲν υἱὸν εἰκόνα τοῦ πατρὸς ὁμολογήσει, τὴν δὲ οἰκίαν
τέχνης εἶναι δημιούργημα, εἰ μή τις ἄρα τὴν διάνοιαν νοσοίη καὶ τὰς φρένας παρεξεστη-
κὼς τυγχάνοι. ἀμέλει πάντων μᾶλλον ἡ θεία γραφὴ γινώσκουσα τὴν ἑκάστου φύσιν 5
περὶ μὲν τῶν κτιζομένων διὰ Μωυσέος φησίν· »ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν D
καὶ τὴν γῆν«· περὶ δὲ τοῦ υἱοῦ οὐχ ἕτερον, ἀλλ' αὐτὸν τὸν πατέρα σημαίνει λέγοντα·
»ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε«· καὶ πάλιν· »υἱός μου εἶ σύ, ἐγὼ σήμερον
γεγέννηκά σε«· αὐτός τε περὶ ἑαυτοῦ ὁ κύριος ἐν Παροιμίαις λέγει· | »πρὸ δὲ πάντων M 440 A
βουνῶν γεννᾷ με«· καὶ περὶ μὲν τῶν γενητῶν καὶ κτιστῶν ὁ Ἰωάννης φησί· »πάντα
δι' αὐτοῦ ἐγένετο«· περὶ δὲ τοῦ κυρίου εὐαγγελιζόμενος λέγει· »ὁ μονογενὴς υἱός, ὁ

1 Ps. 35, 10 3 Bar. 3, 12 | Jer. 2, 13 10 Joh. 14, 6 11 Joh. 14, 9 17 Prov. 8, 22
18 Auslegungen von Prov. 8, 22 der Gegenseite sind nicht eigentlich erhalten, doch vgl. man Euseb Dem. ev. V 1; eccl. theol. III 2. 3. Für Athanasius vgl. or. II. c. Arianos 44 ff.; ep. II. ad Serap. 7; ep. ad episc. Aeg. et Lib. 17. Ferner Hilarius de trin. I 35 22 Vgl. I. Cor. 2, 8 33 Gen. 1, 1
35 Ps. 109, 3 | Ps. 2, 7 36 Prov. 8, 25 37 Joh. 1, 3 38 Joh. 1, 18

BKPO REFV 24 τίς — 26 ὑπάρχει; 33—12, 18 = Cramer S. 303, 19—304, 9

1 δόξης + τοῦ θεοῦ F | σοί] σοῦ E 5 αὐτῆς V 10 τοῦ > F 11 ἑρωρακὼς ἐμὲ ~ P
13 τὰς > K 15 λοιπὸν > F 15/16 ἢ — παραδεδωκότος > B 16 νοεῖν B 17 καί¹ > EV
22 νενοήκεσαν O 23 εἰς BKPO πρὸς REFV | συμβαλέτωσαν BK 24 οὖσαν ἐν αὐτοῖς ~ EV
26 ὑπάρχει] ἐστι B 28 κτίζεσθαι — 29 υἱὸν > R 32 τυγχάνει PREF 33 Μωυσέος BKPOEFV Μωυσέως R 36 σε + καὶ πάλιν KO 37 γεννητῶν R*

6 ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο«. εἰ τοίνυν υἱός, οὐ κτίσμα, εἰ δὲ
κτίσμα, οὐχ υἱός· πολλὴ γὰρ ἐν αὐτοῖς ἡ διαφορά. καὶ οὐκ ἂν εἴη αὐτὸς υἱὸς καὶ κτίσμα,
ἵνα μὴ καὶ ἐκ τοῦ θεοῦ καὶ ἔξωθεν τοῦ θεοῦ ἡ οὐσία αὐτοῦ νομίζηται.
14,1 Ἆρ' οὖν μάτην γέγραπται τοῦτο τὸ ῥητόν; τοῦτο γὰρ πάλιν ἐκεῖνοι περιβομ-
βοῦσιν ὡς ἀγέλη κωνώπων. οὐχί γε, οὐ μάτην γέγραπται, ἀλλὰ καὶ μάλα ἀναγκαίως.
B 220 καὶ γὰρ καὶ κτίζεσθαι λέγεται, ἀλλ' | ὅτε γέγονεν ἄνθρωπος· ἀνθρώπου γὰρ ἴδιον τοῦτο.
B τὴν δὲ διάνοιαν ταύτην εὑρήσει καλῶς ἐν τοῖς λογίοις κειμένην ὁ μὴ πάρεργον ἡγούμενος
τὴν ἀνάγνωσιν, ἀλλὰ καὶ τὸν καιρὸν καὶ τὰ πρόσωπα καὶ τὴν χρείαν τῶν γεγραμμένων
2 ἐρευνῶν καὶ οὕτω τὰ ἀναγνώσματα διακρίνων καὶ διανοούμενος. τὸν μὲν οὖν καιρὸν
τοῦ ῥητοῦ τούτου εὑρήσει καὶ γνώσεται, ὅτι ἀεὶ ὢν ὁ κύριος ὕστερον ἐπὶ συντελείᾳ τῶν
αἰώνων γέγονεν ἄνθρωπος, καὶ υἱὸς ὢν τοῦ θεοῦ γέγονε καὶ υἱὸς ἀνθρώπου. τὴν δὲ
χρείαν νοήσειεν, ὅτι τὸν ἡμῶν θάνατον καταργῆσαι θέλων ἔλαβεν ἑαυτῷ σῶμα ἐκ τῆς
παρθένου Μαρίας, ἵνα τοῦτο προσενέγκας θυσίαν ὑπὲρ πάντων τῷ πατρὶ »ἀπαλλάξῃ πάν-
τας ἡμᾶς, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦμεν δουλείας«. τὸ δὲ πρόσωπον
τοῦ μὲν σωτῆρός ἐστι, τότε δὲ λέγεται, ὅτε λοιπὸν λαβὼν τὸ σῶμα λέγει· »κύριος ἔκ-
3 τισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«. ὡς γὰρ υἱῷ θεοῦ ὄντι ἁρμόζει καλῶς
C τὸ ἀϊδίως εἶναι καὶ ἐν κόλποις εἶναι τοῦ πατρός, οὕτως καὶ ἀνθρώπῳ γενομένῳ πρέ-
πουσα φωνὴ τὸ κύριος ἔκτισέ με. τότε γὰρ λέγεται περὶ αὐτοῦ· καὶ ἐπείνασε, καὶ ἐδίψησε,
καὶ ἐπυνθάνετο ποῦ Λάζαρος κεῖται, καὶ πέπονθε, καὶ ἀνέστη. καὶ ὥσπερ ἀκούοντες
αὐτὸν κύριον καὶ θεὸν καὶ φῶς ἀληθινὸν νοοῦμεν αὐτὸν ὄντα ἐκ τοῦ πατρός, οὕτως δίκαιόν
ἐστιν ἀκούοντας τὸ ἔκτισε καὶ τὸ δοῦλος καὶ τὸ πέπονθε μὴ τῇ θεότητι λογίζεσθαι, ἀνοί-
κειον γάρ, ἀλλὰ τῇ σαρκὶ ταῦτα μετρεῖν, ἣν δι' ἡμᾶς ἐφόρεσε. ταύτης γὰρ ἴδια ταῦτα,
4 καὶ αὐτὴ ἡ σὰρξ οὐχ ἑτέρου, ἀλλὰ τοῦ λόγου ἐστίν. εἰ δὲ καὶ τὸ ἐκ τούτου χρήσιμον
ἐθέλοι τις μαθεῖν, εὑρήσει καὶ τοῦτο· »ὁ γὰρ λόγος σὰρξ ἐγένετο«, ἵνα καὶ προσενέγκῃ
D τοῦτο ὑπὲρ πάντων καὶ ἡμεῖς ἐκ τοῦ πνεύματος αὐτοῦ μεταλαβόντες θεοποιηθῆναι δυνη-
θῶμεν ἄλλως οὐκ ἂν τούτου τυχόντες, εἰ μὴ τὸ κτιστὸν ἡμῶν αὐτὸς ἐνεδύσατο σῶμα·
οὕτω γὰρ καὶ ἄνθρωποι θεοῦ λοιπὸν καὶ ἐν Χριστῷ ἄνθρωποι χρηματίζειν ἠρξάμεθα.
5 ἀλλ' ὥσπερ ἡμεῖς τὸ πνεῦμα λαμβάνοντες οὐκ ἀπόλλυμεν τὴν ἰδίαν ἑαυτῶν οὐσίαν,
οὕτως ὁ κύριος γενόμενος δι' ἡμᾶς ἄνθρωπος καὶ σῶμα φορέσας οὐδὲν ἧττον ἦν θεός·
οὐ γὰρ ἠλαττοῦτο τῇ περιβολῇ τοῦ σώματος, ἀλλὰ καὶ μᾶλλον ἐθεοποιεῖτο τοῦτο καὶ
ἀθάνατον ἀπετέλει.
15,1 M 441 A Ἱκανὰ μὲν οὖν ταῦτα στηλιτεῦσαι τὴν αἵρεσιν | τῶν Ἀρειανῶν. καὶ γάρ, ὡς ὁ
κύριος δέδωκεν, ἐξ ὧν ἔλεγον αὐτοὶ διηλέγχθησαν ἀσεβοῦντες. φέρε δὴ καὶ ἡμεῖς προ-
τείνωμεν καὶ ἀπαιτήσωμεν καὶ αὐτοὺς ἀποκρίνασθαι· καιρὸς γάρ ἐστιν ἀπορήσαντας
αὐτοὺς ἐν τοῖς ἰδίοις ἐρωτᾶσθαι λοιπὸν παρ' ἡμῶν· τάχα κἂν οὕτως ἐντραπέντες ἀνα-

4 ῥητόν sc. Prov. 8, 22 8 Vgl. Athan. or. II. c. Arianos 8. 44 (Migne 26, 164 B. 240 C) 12 Vgl. Hebr. 2, 14. Athan. de incarnatione 8, 3 — 10. 16, 4. 20, 2 13 Hebr. 2, 15 15 Prov. 8, 22 17 f. Prov. 8, 22 bezieht Marcell v. Ancyra frg. 9—12 (186, 31—187, 15) wie Athanasius auf den geschichtlichen Jesus, hingegen Euseb v. Cäsarea auf den Logos, vgl. eccl. theol. III 2 24 Joh. 1, 14 25 Zu θεοποιηθῆναι durch den Geist — das sonst wohl nicht vorkommt — vgl. ep. I. ad Serap. 24. 25 (Migne 26, 588 A. 589 B) 27 Zu ἄνθρωποι θεοῦ vgl. I. Tim. 6, 11; II. Tim. 3, 17 u. LXX öfter; zu ἐν Χριστῷ ἄνθρωποι vgl. II. Cor. 12, 2 30 Fast wörtlich or. I. c. Arianos 42 (Migne 26, 100 A), zur Sache vgl. de incarnatione 54, 3 (Migne 25, 192 B) 33 Athanasius kennt also die Beweisführung der Arianer und stellt sie mit den von den Arianern ebenfalls angeführten Bibelstellen zusammen

BKOP REFV

2 εἴη + ὁ F | υἱὸς > BK 4 τοῦτο γέγραπται ∼ P 5 μάλα] σφόδρα V 9 διανοούμενος] διερευνώμενος V 13 ἀπαλλάξει E 15 σωτῆρος μὲν ∼ F | τὸ σῶμα λαβὼν ∼ REFV 20 ἀληθινὸν καὶ φῶς ∼ V 24 ἐθέλει REF 28 ἀπόλλοιμεν R*E ἀπόλλυμεν R[c] 30 ἐθεοποιεῖτο E* ἐθεοποίει E[c]V 31 ἐπετέλει O 33 δή] δὲ F | δὴ + οὖν V 34/35 αὐτοὺς ἀπορήσαντας ∼ F 35 τάχα + γὰρ V

βλέψωσιν, ὅθεν κατέπεσαν, οἱ κακόφρονες. τὸν υἱὸν τοῦ θεοῦ μεμαθήκαμεν ἐκ τῶν 2
θείων γραφῶν, ὡς προείπομεν, αὐτὸν εἶναι τὸν λόγον καὶ τὴν σοφίαν τοῦ πατρός. ὁ
μὲν γὰρ ἀπόστολός φησι· »Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία«· ὁ δὲ Ἰωάννης εἰρη-
κώς· »καὶ ὁ λόγος | σὰρξ ἐγένετο«, ἐπήγαγεν εὐθύς· »καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, B 221
δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας«· ὡς τοῦ λόγου ὄντος
μονογενοῦς υἱοῦ ἔν τε τούτῳ τῷ λόγῳ καὶ τῇ σοφίᾳ γεγενῆσθαι τόν τε οὐρανὸν καὶ B
τὴν γῆν καὶ | πάντα τὰ ἐν αὐτοῖς. καὶ ταύτης τῆς σοφίας πηγὴν εἶναι τὸν θεὸν ἐν 3
τῷ Βαρούχ μεμαθήκαμεν, αἰτιαθέντος τοῦ Ἰσραήλ, ὅτι »ἐγκατέλιπε τὴν πηγὴν τῆς
σοφίας«. εἰ μὲν οὖν ἀρνοῦνται τὰ γεγραμμένα αὐτόθεν ἀλλότριοι καὶ τοῦ ὀνόματος ὄντες,
οἰκείως ἂν καλοῖντο καὶ παρὰ πάντων ἄθεοι καὶ χριστομάχοι· οὕτω γὰρ ἑαυτοὺς ἐπω-
νόμασαν καὶ αὐτοί. εἰ δὲ συνομολογοῦσιν ἡμῖν εἶναι θεόπνευστα τὰ τῆς γραφῆς 4
ῥήματα, τολμησάτωσαν φανερῶς εἰπεῖν, ἃ κεκρυμμένως φρονοῦσιν, ὅτι ἄλογος καὶ ἄσοφος
ἦν ὁ θεός ποτε, καὶ μανέντες εἰπωσιν· 'ἦν ὅτε οὐκ ἦν' καὶ 'πρὶν γεννηθῆναι οὐκ ἦν ὁ
Χριστός'· πάλιν τε ἀποφηνάσθωσαν τὴν πηγὴν μὴ ἐξ ἑαυτῆς γεγεννηκέναι τὴν σοφίαν,
ἀλλ' ἔξωθεν ἑαυτῆς κεκτῆσθαι ταύτην, ἵνα καὶ τολμήσωσιν εἰπεῖν· 'ἐξ οὐκ ὄντων γέγονεν C
ὁ υἱός'. τοῦτο γὰρ οὐκ ἔτι πηγὴν ταύτην δείκνυσιν, ἀλλά τινα λάκκον ὥσπερ ἔξωθεν
ὕδωρ λαβόντα κεχρημένον τῷ ὀνόματι τῆς πηγῆς.
Ὅσης μὲν οὖν ἀσεβείας ἐστὶ τοῦτο μεστόν, οὐδένα τῶν κἂν βραχεῖαν αἴσθησιν **16,1**
ἐχόντων ἀμφιβάλλειν ἡγοῦμαι. ἐπειδὴ δὲ τονθορύζοντες λέγουσιν, ὀνόματα μόνον εἶναι
τοῦ υἱοῦ λόγος καὶ σοφία, ἀναγκαῖον ἐρωτῆσαι τούτους· εἰ ὀνόματα μόνον ἐστὶ ταῦτα
τοῦ υἱοῦ, ἄλλος ἂν αὐτὸς εἴη παρὰ ταῦτα. καὶ εἰ μὲν βελτίων ἐστὶ τῶν ὀνομάτων, 2
οὐχ ὅσιον ἐκ τῶν ἐλαττόνων τὸν βελτίονα σημαίνεσθαι· εἰ δὲ ἐλάττων ἐστὶ τῶν ὀνο- D
μάτων, πάντως ἔχει καὶ τὴν αἰτίαν τῆς ἐπὶ τὸ κάλλιον προσηγορίας· τοῦτο δὲ πάλιν
προκοπὴν αὐτοῦ σημαίνει, καὶ οὐ μεῖόν ἐστι τῶν προτέρων καὶ τοῦτο τὸ ἀσέβημα.
τὸν γὰρ ἐν τῷ πατρὶ ὄντα, ἐν ᾧ καὶ ὁ πατήρ ἐστι, τὸν λέγοντα· »ἐγὼ καὶ ὁ πατὴρ ἕν
ἐσμεν«, ὃν καὶ »ὁ ἑωρακὼς ἑώρακε τὸν πατέρα«, ὀνομάζειν ὑπό τινος ἔξωθεν βελτιοῦσθαι,
πᾶσαν ὑπερβάλλει μανίαν. ἀλλὰ τούτων ἐκπίπτοντες καὶ κατὰ τοὺς περὶ Εὐσέβιον 3
ὑπὸ πολλῆς συνεχόμενοι τῆς ἀπορίας ἐκεῖνο λοιπὸν ἔχουσιν ὑπολειπόμενον, ὃ καὶ ἐν
ᾀσματίοις Ἄρειος καὶ ἐν τῇ | ἑαυτοῦ Θαλίᾳ ὡς ἐπαπορῶν μυθολογεῖ· 'πολλοὺς λαλεῖ M 444 A
λόγους ὁ θεός'. ποῖον αὐτῶν ἄρα λέγομεν ἡμεῖς υἱὸν καὶ λόγον μονογενῆ τοῦ πατρός,
ἀνόητοι καὶ πάντα μᾶλλον ἢ Χριστιανοί; πρῶτον μὲν γὰρ τοιαῦτα λαλοῦντες περὶ 4
θεοῦ μικροῦ δεῖν ἄνθρωπον τὸν θεὸν ὑπολαμβάνουσιν, οὕτω λαλοῦντα καὶ παραμείβοντα
τοὺς προτέρους τοῖς δευτέροις λόγοις, ὥσπερ οὐκ ἀρκοῦντος ἑνὸς τοῦ | ἐκ τοῦ θεοῦ λόγου B 222
πᾶσαν τὴν ἐκ τοῦ βουλήματος τοῦ πατρὸς δημιουργίαν καὶ τὴν τούτου πρόνοιαν πλη-
ρῶσαι. τὸ μὲν γὰρ πολλοὺς αὐτὸν λαλεῖν λόγους ἀσθένεια τῶν πάντων ἐστίν, ἑκάστου 5
λειπομένου τῆς τοῦ ἑτέρου χρείας, τὸ δὲ ἑνὶ κεχρῆσθαι λόγῳ τὸν θεόν, ὡς καὶ ἔστιν

3 I. Cor. 1, 24 4 ff. Joh. 1, 14 8 Bar. 3, 12 19 Zu ὀνόματα μόνον vgl. or. I. c. Arianos 5. 9 (Migne 26, 21 B. 29 B. 32 A) 25 Joh. 10, 30 29 Von den Liedern des Arius berichtet Philostorgius II 2 | Zur Thalia vgl. G. Bardy, La Thalie d'Arius, in: Revue de Philologie de littérature et d'histoire ancienne. 3. Sér. 1 (1927) 211 ff. Das zitierte Wort kommt nur hier vor, es ist wohl von Hebr. 1, 1—2 abhängig. Euseb lehnt dieses Verständnis des Logos ab: Dem. ev. V 5, 8 (228, 15); eccl. theol. II 17, 6 (121, 10 ff.), Athanasius verfolgt die Taktik, die Theologen um Akakius durch die extremen Arianer zu kompromittieren

BKPO REFV 15—17 = Cramer S. 303, 15—19

2 προείπαμεν REV 7 τῆς a. Rd. corr. R 13 ἦν[1] > V 16 ἔξωθεν ὥσπερ ~ REFV 17 ὕδωρ] οἶνον V | λαβόντα + καὶ R*EFV κε R^c | χρημένον R, durch Heranziehung des κε zu κεχρ. corr. R^c | κεχρημένον] κεκτημένον F | τὸ ὄνομα R*EF τῷ ὀνόματι R^c 20 ἐστι μόνον ~ V 24 μεῖόν] σημεῖον P 26 ὀνομάζειν B^c Comm. Montf. ὀνομάζων B*R*EF ὁ ὀνομάζων V ὁ νομίζων $KPOR^c$ 29 αὐτοῦ E αὑτοῦ V | ὡς > V

ἀληθῶς, τοῦτο καὶ τοῦ θεοῦ τὴν δύναμιν δείκνυσι καὶ τοῦ ἐξ αὐτοῦ λόγου τὴν τελειό-
B τητα καὶ τῶν οὕτω φρονούντων τὴν εὐσεβῆ σύνεσιν.
17,1 Εἴθε δὲ καὶ οὗτοι κἂν ἐξ ὧν λέγουσι νῦν ἐθελήσουσιν ὁμολογεῖν τὴν ἀλήθειαν.
εἰ γὰρ ἅπαξ διδόασι τὸν θεὸν προφέροντα λόγους, ἴσασιν ὅλως αὐτὸν πατέρα. τοῦτο
δὲ γινώσκοντες σκοπείτωσαν, ὅτι μὴ θέλοντες ἕνα διδόναι τοῦ θεοῦ λόγον πολλῶν αὐτὸν
εἶναι πατέρα φαντάζονται. καὶ τὸ μὲν ὅλως εἶναι τοῦ θεοῦ λόγον οὐ θέλουσιν ἀρνεῖσθαι,
τὸ δὲ εἶναι τοῦτον τοῦ θεοῦ υἱὸν οὐχ ὁμολογοῦσιν. ἔστι δὲ τοῦτο τῆς ἀληθείας ἀγνωσία
2 καὶ τῶν θείων γραφῶν ἀπειρία. εἰ γὰρ ὅλως ὁ θεὸς πατήρ ἐστι λόγου, διατί μὴ καὶ
ὁ γεννώμενος υἱός ἐστιν; υἱὸς δὲ πάλιν τοῦ θεοῦ τίς ἂν εἴη ἢ ὁ λόγος αὐτοῦ; καὶ γὰρ
C οὐ πολλοὶ λόγοι, ἵνα μὴ ἕκαστος ἐνδεής, ἀλλὰ εἷς ὁ λόγος, ἵνα τέλειος μόνος αὐτός, καὶ
3 ὅτι ἑνὸς ὄντος τοῦ θεοῦ μίαν ἔδει καὶ τὴν εἰκόνα εἶναι αὐτοῦ, ἥτις ἐστὶν ὁ υἱός. καὶ
γὰρ ὁ τοῦ θεοῦ υἱός, ὡς ἐξ αὐτῶν τῶν λογίων ἐστὶ μαθεῖν, αὐτός ἐστιν ὁ τοῦ θεοῦ λόγος
καὶ ἡ σοφία καὶ ἡ εἰκὼν καὶ ἡ χεὶρ καὶ ἡ δύναμις· ἓν γάρ ἐστι τὸ τοῦ θεοῦ γέννημα, καὶ
4 ταῦτα τῆς ἐκ τοῦ πατρὸς γεννήσεώς εἰσι γνωρίσματα. ἄν τε γὰρ τὸν υἱὸν εἴπῃς,
τὸ ἐξ αὐτοῦ φύσει δεδήλωκας· ἄν τε τὸν λόγον ἐνθυμηθῇς, τὸ ἐξ αὐτοῦ πάλιν καὶ τὸ
ἀδιαίρετον αὐτοῦ λογίζῃ· καὶ τὴν σοφίαν δὲ λέγων οὐδὲν ἧττον τὸ μὴ ἔξωθεν, ἀλλὰ
τὸ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ πάλιν φρονεῖς· ἂν δὲ καὶ τὴν δύναμιν καὶ τὴν χεῖρα ὀνομάσῃς,
5 τὸ ἴδιον πάλιν τῆς οὐσίας λέγεις· καὶ τὴν εἰκόνα δὲ λέγων, τὸν υἱὸν σημαίνεις. τί
D γὰρ ἂν εἴη ὅμοιον τῷ θεῷ ἢ τὸ ἐξ αὐτοῦ γέννημα; ἀμέλει ἅπερ διὰ τοῦ λόγου γέγονε,
ταῦτα τῇ σοφίᾳ τεθεμελίωται· καὶ ἃ ἐν τῇ σοφίᾳ τεθεμελίωται, ταῦτα πάντα ἐν τῇ
M 445 A χειρὶ πεποίηται καὶ διὰ τοῦ υἱοῦ γέγονε. καὶ τούτων | οὐκ ἔξωθεν ἡμεῖς, ἀλλ' ἐκ τῶν
6 γραφῶν ἔχομεν τὴν πίστιν. ὁ μὲν γὰρ θεὸς αὐτὸς διὰ Ἡσαίου τοῦ προφήτου λέγει·
»ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν«, καὶ πάλιν·
»καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε, ἐν ᾗ ἔστησα τὸν οὐρανὸν καὶ ἐθεμελίωσα
τὴν γῆν«. ὁ δὲ Δαυὶδ τοῦτο μαθὼν καὶ εἰδὼς τὴν χεῖρα αὐτὴν οὖσαν τὴν σοφίαν ἔψαλλε·
»πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου«· ὡς καὶ Σαλομὼν παρὰ
7 θεοῦ λαβὼν ἔλεγεν· »ὁ θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν«. Ἰωάννης τε γινώσκων
τὴν χεῖρα καὶ τὴν σοφίαν εἶναι τὸν λόγον εὐηγγελίζετο· »ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ
B 223 λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. | πάντα
B δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν«. ὁ δὲ ἀπόστολος βλέπων τὴν χεῖρα,
τὴν σοφίαν, τὸν λόγον αὐτὸν ὄντα τὸν υἱόν φησι· »πολυμερῶς καὶ πολυτρόπως πάλαι
ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλά-
λησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκεν κληρονόμον πάντων· δι' οὗ καὶ ἐποίησε τοὺς αἰῶνας«, καὶ
8 πάλιν· »εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ«. εἰδὼς δὲ
πάλιν τὸν λόγον, τὴν σοφίαν, τὸν υἱὸν αὐτὸν ὄντα τὴν εἰκόνα τοῦ πατρός φησιν ἐν τῇ
πρὸς Κολασσαεῖς ἐπιστολῇ· »εὐχαριστοῦντες τῷ θεῷ καὶ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς
εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας
C τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν
τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου,
πρωτότοκος πάσης κτίσεως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τά τε ἐν τοῖς οὐρανοῖς καὶ

8 Die Argumentation des Athanasius bewegt sich hier durchaus in den gleichen Bahnen wie die des Akakius bei Epiphanius haer. 72, 9, 5 (III 263, 21) 23 Jes. 48, 13 24 Jes. 51, 16 26 Ps. 103, 24 27 Prov. 3, 19 28 ff. Joh. 1, 1—3 31 Hebr. 1, 1. 2 34 I. Cor. 8, 6 36 ff. Col. 1, 12—17

BKPO REFV

1 ἀληθές V 2 τῶν > R 3 ἐθελήσωσιν V 5 διδόναι + τὸν V 6 οὐ > F 9 γεννώμενος Comm. Montf. γεννῶν ἑνὸς Hss. | Wegen ἑνὸς corr. V υἱὸς in υἱοῦ 10 ἐνδεής + ᾖ Comm. Montf. | καὶ doppelt O 11 αὐτοῦ εἶναι ~ B 14 εἰσι] ἐστι REFV 18/19 τί — ὅμοιον] τί γὰρ ἕτερον εἴη ἂν ὅμοιον V 20 καὶ — τεθεμελίωται > PEV 26 Σολομὼν P 30 οὐδέν] οὐδὲ ἕν, ὃ γέγονεν V 33 τοὺς αἰῶνας ἐποίησε ~ FV 36 Κολλοσσαεῖς K 40 τοῖς > V

τὰ ἐπὶ τῆς γῆς τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξου-
σίαι, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα
ἐν αὐτῷ συνέστηκεν«. ὡς γὰρ διὰ τοῦ λόγου, οὕτως εἰκόνος αὐτοῦ ὄντος ἐν αὐτῷ 9
ἐκτίσθη τὰ πάντα. οὕτως δέ τις περὶ τοῦ κυρίου διανοούμενος οὐ προσκόψει τῷ λίθῳ
τοῦ προσκόμματος, ἀλλὰ μᾶλλον πορεύσεται πρὸς τὴν λάμψιν κατέναντι τοῦ φωτὸς
τῆς ἀληθείας. τοῦτο γὰρ ὄντως ἐστὶ τῆς εὐσεβείας τὸ φρόνημα, κἂν διαρραγῶσιν οὗτοι D
φιλονεικοῦντες μήτε τὸν θεὸν σεβόμενοι μήτε τοὺς ἐκ τῶν ἀποδείξεων ἐλέγχους ἐντρε-
πόμενοι.

Οἱ μὲν οὖν περὶ Εὐσέβιον οὕτως ἐξεταζόμενοι τότε διὰ πολλῶν καὶ καταγνόντες 18, 1
ἑαυτῶν, καθὰ προεῖπον, ὑπέγραψαν καὶ μεταγνόντες ἠρέμησαν καὶ ἀνεχώρησαν. ἐπειδὴ
δὲ οὗτοι νεανιευόμενοι ταῖς ἀσεβείαις καὶ σκοτοδινιῶντες περὶ τὴν ἀλήθειαν οὐδὲν ἕτερον
ἢ κακηγορεῖν τὴν σύνοδον | ἐπιχειροῦσιν, εἰπάτωσαν ἡμῖν, ἐκ ποίων αὐτοὶ γραφῶν M 448 A
μαθόντες ἢ παρὰ τίνος τῶν ἁγίων ἀκούσαντες συμπεφορήκασιν ἑαυτοῖς ῥημάτια, τὸ
'ἐξ οὐκ ὄντων' καὶ 'οὐκ ἦν πρὶν γεννηθῇ' καὶ τὸ 'ἦν ποτε ὅτε οὐκ ἦν' καὶ τὸ 'τρεπτόν'
καὶ τὸ 'προυπάρχειν' καὶ τὸ 'θελήματι', ἐν οἷς κατὰ τοῦ κυρίου παίζοντες μυθολογοῦσιν.
ὁ μὲν γὰρ μακάριος Παῦλος ἐν τῇ πρὸς Ἑβραίους φησί· »πίστει νοοῦμεν κατηρτίσθαι 2
τοὺς αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὸ βλεπόμενον γεγονέναι«. ἀλλ' οὐδὲν
κοινὸν τῷ λόγῳ πρὸς τοὺς αἰῶνας· αὐτὸς γάρ ἐστιν ὁ προυπάρχων πρὸ τῶν αἰώνων,
δι' οὗ καὶ οἱ αἰῶνες γεγόνασιν. ἐν δὲ τῷ Ποιμένι γέγραπται, ἐπειδὴ καὶ τοῦτο καίτοι 3
μὴ ὂν ἐκ τοῦ κανόνος προφέρουσι· »πρῶτον πάντων πίστευσον, | ὅτι εἷς ἐστιν ὁ θεός, B 224
ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα«. B
ἀλλὰ καὶ τοῦτο πάλιν οὐδὲν πρὸς τὸν υἱόν ἐστι· περὶ γὰρ τῶν πάντων λέγει τῶν δι'
αὐτοῦ γενομένων, ὧν καὶ ἄλλος ἐστὶν αὐτός. οὐ γὰρ οἷόν τε τὸν δημιουργοῦντα τοῖς
ὑπ' αὐτοῦ γενομένοις συγκαταριθμεῖν, εἰ μὴ καὶ τὸν ἀρχιτέκτονα τοῖς ὑπ' αὐτοῦ γενο-
μένοις οἰκοδομήμασι τὸν αὐτὸν ἄν τις παραφρονῶν λέγοι. διατί τοίνυν ἀγράφους 4
αὐτοὶ λέξεις πρὸς ἀσέβειαν ἐφευρόντες, αἰτιῶνται τοὺς ἀγράφοις λέξεσιν εὐσεβοῦντας;
τὸ μὲν γὰρ ἀσεβεῖν παντελῶς κεκώλυται, κἂν ποικίλοις ῥήμασι καὶ πιθανοῖς σοφίσμασι
περιβάλλειν αὐτό τις ἐπιχειρῇ· τὸ δὲ εὐσεβεῖν ὅσιον παρὰ πᾶσιν ὡμολόγηται, κἂν
ξενιζούσαις λέξεσί τις χρήσηται, ἕως μόνον ὁ λέγων εὐσεβὲς ἔχοι τὸ φρόνημα καὶ δι' αὐτῶν, C
ὃ νενόηκεν, εὐσεβῶς βούλεται σημαίνειν. τὰ μὲν οὖν προειρημένα τῶν χριστομάχων 5
χαμαίζηλα ῥημάτια προαπέδειξεν ὁ λόγος καὶ τότε καὶ νῦν πάσης ἀσεβείας ὄντα μεστά,
τὰ δὲ παρὰ τῆς συνόδου γραφέντα καὶ ὁρισθέντα κατ' αὐτῶν ἐὰν ἐρευνήσῃ τις ἀκριβῶς,
εὑρήσει πάντως ἐν αὐτοῖς τὸν τῆς ἀληθείας νοῦν περιεχόμενον, ἂν μάλιστα καὶ τὴν πρό-
φασιν τῶν τοιούτων λέξεων ἔχουσαν τὸ εὔλογον φιλομαθῶς ἐρωτήσας ἀκούσῃ· ἔστι
γὰρ αὕτη.

Τῆς συνόδου βουλομένης τὰς μὲν τῶν Ἀρειανῶν τῆς ἀσεβείας λέξεις ἀνελεῖν, τὰς 19, 1
δὲ τῶν γραφῶν ὁμολογουμένας φωνὰς γράψαι, ὅτι τε υἱός ἐστιν οὐκ ἐξ οὐκ ὄντων, ἀλλ' ἐκ D
τοῦ θεοῦ, καὶ λόγος ἐστὶ καὶ σοφία, ἀλλ' οὐ κτίσμα οὐδὲ ποίημα, ἴδιον δὲ ἐκ τοῦ πατρὸς

4 Vgl. Rm. 9, 32. Die Argumentation von hier ab bis c. 18 findet sich unter Verwendung von Rm. 9 und der Hermasstelle auch ep. ad Afros 5 16 Hebr. 11, 3. Vgl. de incarnatione 3, wo das Hermaswort und Hebr. 11, 3 gleichfalls angezogen werden 19 Vgl. ep. festalis 39 (Migne 26, 1437 C) 20 Hermas mand. 1, 1 25 Vgl. de synodis 36 (Migne 26, 757 A) 26 ἀγράφοις d. h. mit ὁμοούσιος 36 ff. Wörtlich in ep. ad Afros 5 (Migne 26, 1037 A) mit den Bibelstellen S. 16, 3; § 3. 4 jedoch fehlen dort. Die Darlegung in ep. ad Afros 5. 6 ist wörtlich aus de decretis übernommen

BKPO REFV

6 εὐσεβείας] ἀληθείας B 12 κατηγορεῖν Comm. Montf. | ἐπιχειροῦσιν τὴν σύνοδον ~ K 13 τὸ R[c] τοῦ R* 14 οὐκ ἦν[1] > F 15 τὸ[2]] τῷ E 17 τὰ βλεπόμενα V 18 πρὸ > REFV 21 τὰ πάντα[2] > F 25 ἂν > V 26 ἐγγράφοις R[c] 29 ἔχῃ REFV 30 βούληται F 33 πάντως ∔ τις R, aber exp. 38 οὐδὲ] ἀλλ' οὐ KO

γέννημα, οἱ περὶ Εὐσέβιον ὑπὸ τῆς πολυχρονίου κακοδοξίας ἑαυτῶν ἑλκόμενοι ἐβούλοντο
τὸ ἐκ τοῦ θεοῦ κοινὸν εἶναι πρὸς ἡμᾶς καὶ τὸν τοῦ θεοῦ λόγον μηδέν τε ἐν τούτῳ διαφέρειν
M 449 A ἡμῶν αὐτὸν | διὰ τὸ γεγράφθαι· »εἷς θεὸς ἐξ οὗ τὰ πάντα«, καὶ πάλιν· »τὰ ἀρχαῖα
2 παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά, τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ«. ἀλλ' οἱ πατέρες
θεωρήσαντες ἐκείνων τὴν πανουργίαν καὶ τὴν τῆς ἀσεβείας κακοτεχνίαν ἠναγκάσθησαν
λοιπὸν λευκότερον εἰπεῖν τὸ ἐκ τοῦ θεοῦ καὶ γράψαι 'ἐκ τῆς οὐσίας τοῦ θεοῦ εἶναι τὸν
υἱόν' ὑπὲρ τοῦ μὴ τὸ ἐκ τοῦ θεοῦ κοινὸν καὶ ἴσον τοῦ τε υἱοῦ καὶ τῶν γενητῶν νομίζεσθαι,
3 ἀλλὰ τὰ μὲν ἄλλα πάντα κτίσμα, τὸν δὲ λόγον μόνον ἐκ τοῦ πατρὸς πιστεύεσθαι. κἂν
γὰρ ἐκ τοῦ θεοῦ τὰ πάντα λέγηται, ἀλλὰ ἄλλως ἢ ὡς ἔστιν ὁ υἱὸς εἴρηται. τὰ μὲν γὰρ
κτίσματα διὰ τὸ μὴ εἶναι εἰκῇ καὶ ἐκ ταὐτομάτου μηδὲ κατὰ τύχην ἔχειν τὴν γένεσιν κατὰ
τοὺς λέγοντας ἐξ ἀτόμων συμπλοκῆς καὶ ὁμοιομερῶν, ἢ ὥς τινες τῶν αἱρετικῶν ἄλλον
B δημιουργὸν λέγουσιν, ἢ ὡς πάλιν ἄλλοι ὑπό τινων ἀγγέλων λέγουσιν εἶναι τὴν τῶν
B 225 πάντων σύστασιν, | ἀλλ' ὅτι τοῦ θεοῦ ὄντος τὰ πάντα παρ' αὐτοῦ διὰ τοῦ λόγου οὐκ
4 ὄντα πρότερον εἰς τὸ εἶναι γέγονε, διὰ τοῦτο εἴρηται τὸ ἐκ τοῦ θεοῦ. ὁ δὲ λόγος,
ἐπεὶ μὴ κτίσμα ἐστίν, εἴρηται καὶ ἔστι μόνος ἐκ τοῦ πατρός, τῆς δὲ τοιαύτης διανοίας
γνώρισμα τὸ εἶναι τὸν υἱὸν ἐκ τῆς οὐσίας τοῦ πατρός· οὐδενὶ γὰρ τῶν γενητῶν ὑπάρχει
τοῦτο. ἀμέλει τὰ πάντα λέγων ὁ Παῦλος ἐκ τοῦ θεοῦ εὐθὺς ἐπήγαγε· »καὶ εἷς κύριος
Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα«, ἵνα δείξῃ πᾶσιν, ὅτι ἄλλος μέν ἐστιν ὁ υἱὸς τῶν πάντων
τῶν ἐκ τοῦ θεοῦ γενομένων· τὰ γὰρ ἐκ τοῦ θεοῦ γενόμενα διὰ υἱοῦ γέγονε· τῆς δὲ δημι-
C ουργίας χάριν τῆς παρὰ θεοῦ γενομένης ταῦτ' εἴρηκε καὶ οὐ διὰ τὸ εἶναι καὶ τὰ πάντα
5 ὡς ἔστιν ὁ υἱὸς ἐκ τοῦ πατρός. οὔτε γὰρ τὰ πάντα ὡς ὁ υἱὸς οὔτε ὁ λόγος εἷς τῶν
πάντων ἐστί· τῶν γὰρ πάντων κύριος καὶ δημιουργός ἐστι. διὰ τοῦτο γὰρ καὶ ἡ ἁγία
σύνοδος λευκότερον εἴρηκεν ἐκ τῆς οὐσίας αὐτὸν εἶναι τοῦ πατρός, ἵνα καὶ ἄλλος παρὰ
τὴν τῶν γενητῶν φύσιν ὁ λόγος εἶναι πιστευθῇ μόνος ὢν ἀληθῶς ἐκ τοῦ θεοῦ, καὶ μη-
κέτι πρόφασις πρὸς ἀπάτην ὑπολείπηται τοῖς ἀσεβοῦσι. περὶ μὲν οὖν τοῦ γεγράφθαι
ἐκ τῆς οὐσίας ἡ πρόφασις αὕτη.

20,1 Τῶν δὲ ἐπισκόπων πάλιν λεγόντων δεῖν γραφῆναι δύναμιν ἀληθινὴν καὶ εἰκόνα
τοῦ πατρὸς τὸν λόγον ὅμοιόν τε καὶ ἀπαράλλακτον αὐτὸν κατὰ πάντα τῷ πατρὶ καὶ
D ἄτρεπτον καὶ ἀεὶ καὶ ἐν αὐτῷ εἶναι ἀδιαιρέτως — οὐδέποτε γὰρ οὐκ ἦν, ἀλλὰ ἦν ὁ λόγος
ἀεὶ ὑπάρχων ἀιδίως παρὰ τῷ πατρὶ ὡς ἀπαύγασμα φωτός — οἱ περὶ Εὐσέβιον ἠνείχοντο
μὲν μὴ τολμῶντες ἀντιλέγειν διὰ τὴν αἰσχύνην, ἣν εἶχον ἐφ' οἷς ἠλέγχθησαν, κατελήφθη-
σαν δὲ πάλιν πρὸς ἑαυτοὺς τονθορύζοντες καὶ διανεύοντες τοῖς ὀφθαλμοῖς, ὅτι καὶ τὸ
ὅμοιον καὶ τὸ ἀεὶ καὶ τὸ τῆς δυνάμεως ὄνομα καὶ τὸ ἐν αὐτῷ κοινὰ πάλιν ἐστὶ πρὸς ἡμᾶς
2 καὶ τὸν υἱόν, καὶ οὐδὲν λυπεῖ τούτοις ἡμᾶς | συνθέσθαι. τὸ μὲν ὅμοιον, ὅτι καὶ περὶ
M 452 A ἡμῶν ἐγράφη· »εἰκὼν ἐστιν ὁ ἄνθρωπος καὶ δόξα θεοῦ ὑπάρχει«, τὸ δὲ ἀεί, ὅτι γέγραπται·
»ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες«, τὸ δὲ ἐν αὐτῷ, ὅτι »ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν«,
καὶ τὸ ἄτρεπτον δέ, ὅτι γέγραπται· »οὐδὲν ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ«,
περὶ δὲ τῆς δυνάμεως, ὅτι καὶ ἡ κάμπη καὶ ὁ βροῦχος μὲν λέγονται δύναμις καὶ δύναμις

---

3 I. Cor. 8, 6 | II. Cor. 5, 17. 18   10 Vgl. Dionysius Alex. περὶ φύσεως (133, 1 ff. Feltoe). Vgl. de incarnatione 3 (Migne 25, 101 A). Wiederholt von Athan. de synodis 35 (Migne 26, 756 A/B), dies und das Folgende in de synodis aus de decretis übernommen   17 I. Cor. 8, 6   22 ff. Fast wörtlich de synodis 36 (Migne 26, 756 C)   25—17, 19 findet sich verkürzt, aber großenteils wörtlich in ep. ad Afros 5. 6 (Migne 26, 1037 C—1040 B) wieder   35 I. Cor. 11, 7   36 II. Cor. 4, 11 | Act. 17, 28, als Argument der Arianer erwähnt or. III. c. Arianos 1 (Migne 26, 324 A)   37 Rm. 8, 35. 39   38 Vgl. Joel 2, 25, als Argument der Arianer erwähnt or. I. c. Arianos 5 (Migne 26, 21 B/C); or. II. c. Arianos 37 (Migne 26, 228 A)

BKPO REFV

---

8 κτίσματα EFV   10 ἐξ αὐτομάτου F   19 διὰ + τοῦ F   21 ὁ 1 > EV   25 προφάσεις RE | ὑπολείπηται KPOR*EV ὑπολίπηται R^c ἀπολίπηται F ὑπολειφθήσεται B   38 μὲν > V, ausradiert R

μεγάλη, πολλάκις δὲ καὶ περὶ τοῦ λαοῦ γέγραπται, ὥσπερ· »ἐξῆλθε πᾶσα ἡ δύναμις κυρίου
ἐκ γῆς Αἰγύπτου«, καὶ ἄλλαι δὲ οὐράνιαι δυνάμεις εἰσί· »κύριος γάρ«, φησί, »τῶν δυνά-
μεων μεθ' ἡμῶν· ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς Ἰακώβ«. τοιαῦτα γὰρ καὶ Ἀστέριος ὁ
λεγόμενος σοφιστὴς παρ' αὐτῶν μαθὼν ἔγραψε καὶ παρ' αὐτοῦ δὲ Ἄρειος μαθών, ὥσπερ B
εἴρηται. ἀλλ' οἱ ἐπίσκοποι | καὶ ἐν τούτῳ θεωρήσαντες τὴν ὑπόκρισιν ἐκείνων καὶ 3 B 226
ὅτι κατὰ τὸ γεγραμμένον »ἐν καρδίαις τῶν ἀσεβῶν δόλος ἐστὶ τεκταινομένων κακά«,
ἠναγκάσθησαν καὶ αὐτοὶ αὖθις συναγαγεῖν ἐκ τῶν γραφῶν τὴν διάνοιαν καί, ἅπερ πρό-
τερον ἔλεγον, ταῦτα πάλιν λευκότερον εἰπεῖν καὶ γράψαι, ὁμοούσιον εἶναι τῷ πατρὶ τὸν
υἱόν, ἵνα μὴ μόνον ὅμοιον τὸν υἱόν, ἀλλὰ ταὐτὸν τῇ ὁμοιώσει ἐκ τοῦ πατρὸς εἶναι ση-
μαίνωσι καὶ ἄλλην οὖσαν τὴν τοῦ υἱοῦ ὁμοίωσιν καὶ ἀτρεψίαν δείξωσι παρὰ τὴν ἐν ἡμῖν
λεγομένην μίμησιν, ἣν ἐξ ἀρετῆς διὰ τὴν τῶν ἐντολῶν τήρησιν ἡμεῖς προσλαμβάνομεν.
τὰ μὲν γὰρ τῶν σωμάτων ὅμοια πρὸς ἑαυτὰ τυγχάνοντα δυνατόν πως διίστασθαι καὶ 4
μακρὰν ἀπ' ἀλλήλων γίνεσθαι, οἷοί εἰσιν οἱ τῶν ἀνθρώπων υἱοὶ πρὸς τοὺς γεννήσαντας, C
ὡς γέγραπται περὶ τοῦ Ἀδὰμ καὶ τοῦ ἐξ αὐτοῦ γεννηθέντος Σήθ, ὃς ἦν ὅμοιος αὐτῷ
»κατὰ τὴν ἰδέαν αὐτοῦ«. ἐπειδὴ δὲ ἡ ἐκ πατρὸς τοῦ υἱοῦ γέννησις ἄλλη παρὰ τὴν 5
ἀνθρώπων φύσιν ἐστὶ καὶ οὐ μόνον ὅμοιος, ἀλλὰ καὶ ἀδιαίρετός ἐστι τῆς τοῦ πατρὸς
οὐσίας καὶ ἓν μέν εἰσιν αὐτὸς καὶ ὁ πατήρ, ὡς αὐτὸς εἴρηκεν, ἀεὶ δὲ ἐν τῷ πατρί ἐστιν ὁ
λόγος καὶ ὁ πατὴρ ἐν τῷ λόγῳ, ὡς ἔστι τὸ ἀπαύγασμα πρὸς τὸ φῶς — τοῦτο γὰρ καὶ ἡ
λέξις σημαίνει —, διὰ τοῦτο ἡ σύνοδος τοῦτο νοοῦσα καλῶς ὁμοούσιον ἔγραψεν, ἵνα
τήν τε τῶν αἱρετικῶν κακοήθειαν ἀνατρέψωσι καὶ δείξωσιν ἄλλον εἶναι τῶν γενητῶν
τὸν λόγον. καὶ γὰρ τοῦτο γράψαντες εὐθὺς ἐπήγαγον· »τοὺς δὲ λέγοντας ἐξ οὐκ
ὄντων τὸν υἱὸν τοῦ θεοῦ ἢ κτιστὸν ἢ τρεπτὸν ἢ ποίημα ἢ ἐξ ἑτέρας οὐσίας τούτους ἀνα- D
θεματίζει ἡ ἁγία καὶ καθολικὴ ἐκκλησία«. ταῦτα δὲ εἰρηκότες ἐδήλωσαν φανερῶς, ὅτι 6
τὸ ἐκ τῆς οὐσίας καὶ τὸ ὁμοούσιον ἀναιρετικὰ τῶν τῆς ἀσεβείας λογαρίων εἰσίν, ἅπερ ἐστὶ
κτίσμα καὶ ποίημα καὶ γενητὸν καὶ τρεπτὸν καὶ οὐκ ἦν πρὶν γεννηθῇ. ὁ γὰρ ταῦτα
φρονῶν ἀντιλέγει τῇ συνόδῳ, ὁ δὲ τὰ Ἀρείου μὴ φρονῶν ἐξ ἀνάγκης τὰ τῆς συνόδου
φρονεῖ καὶ διανοεῖται καλῶς αὐτὰ βλέπων, ὅπως ἐστὶ τὸ ἀπαύγασμα πρὸς τὸ φῶς, καὶ
ἐξ αὐτοῦ τὴν εἰκόνα τῆς ἀληθείας λαμβάνων. | M 453 A

Οὐκοῦν εἰ τὰ ῥήματα καὶ οὗτοι ὡς ξένα προφασίζονται, φρονείτωσαν τὴν διάνοιαν, 21,1
καθ' ἣν ἡ σύνοδος οὕτως ἔγραψεν, ἀναθεματίζοντες ἅπερ ἀνεθεμάτισεν ἡ σύνοδος καὶ
λοιπόν, εἰ δύνανται, μεμφέσθωσαν τὰς λέξεις. εὖ δὲ οἶδα, ὅτι φρονήσαντες τὴν διάνοιαν
τῆς συνόδου καὶ τὰ ῥήματα τῆς διανοίας πάντως ἀποδέξονται. ἂν δὲ καὶ ταύτην αἰ-
τιᾶσθαι θελήσωσι, δῆλοι πᾶσίν εἰσι μάτην καὶ περὶ ἐκείνων λέγοντες καὶ μόνον ἀφορμὰς

---

1 Exod. 12, 41 2 Ps. 45, 8 4 Oben c. 8, 1 5 Athanasius gibt hier keinen historischen Bericht über die Verhandlungen in Nicäa, dazu vgl. c. 33, sondern eine Argumentation von seinem Standpunkte aus 6 Prov. 12, 20 7 Oben c. 19, 2. 5 9 Vgl. unten zu c. 30, 3 S. 26, 31 ff. 14 Vgl. Gen. 5, 3. Athanasius wendet hier die Stelle nur auf das menschliche Vater-Sohn-Verhältnis an, Origenes de princ. I 2, 6 (34, 22 ff.) und Hilarius de synodis 73 (Migne PL 10, 528 A) benutzen sie als Zeugnis für die Einheit von Gott und Logos 17 Vgl. Joh. 10, 30 21—23 Anathematismen, die dem Symbol von Nicäa angehängt sind, vgl. unten c. 37 S. 36, 40 ff. vgl. Athan. de synodis 40 (Migne 26, 764 C)

BKPO REFV

---

3 ὁ θεὸς > P 4 παρ'[2] Op. nach der richtigen Beobachtung von Tillemont, Mémoires 6, 751 note 21, daß Athanasius mit ὥσπερ εἴρηται auf c. 8, 1 S. 7, 21 verweist. πρὸ Hss. | μαθὼν Ἄρειος ~ KO 9 ὁμοιώσει + καὶ V | ἐκ nachgetr. E 12 ἑαυτὰ] ἑαυτὸν E 14 περὶ + δὲ R*EF (δὲ > R[c]) + τε V | ὃς] ὡς BKPO 15 τὴν[2] BPOR τῶν E τὴν τῶν KVF 16 τῆς + τῆς R 17 ἐστιν ἐν τῷ πατρὶ ~ V 18 λόγος + καὶ λόγος ἐν τῷ πατρί, aber exp. B 19 σημαίνει > F 22 ἐξ > EV | τούτους] τοῦτον EV* τούτους V[c] 24 εἰσίν] ἐστίν V | ἅπερ] ὅπερ P 26 συνόδου V συνόδου ταῦτα BKPORE συνόδου ταύτης F 32 πάντως > F

2 ἑαυτοῖς εἰς ἀσέβειαν ἐπινοοῦντες. ἡ μὲν οὖν πρόφασις τῶν τοιούτων λέξεων αὕτη·
εἰ δ' ὅτι καὶ μὴ ἔγγραφοί εἰσι πάλιν γογγύζουσιν, αὐτόθεν μὲν αὐτοὶ ἐκβαλλέσθωσαν ὡς
B 227 κενολογοῦντες καὶ τὸν νοῦν οὐχ ὑγιαίνοντες· | ἑαυτοὺς δὲ καὶ ἐν τούτοις αἰτιάσθωσαν, ὅτι
πρῶτοι παρασχόντες τὴν τοιαύτην πρόφασιν ἐξ ἀγράφων θεομαχεῖν ἤρξαντο. γινω-
B σκέτω δὲ ὅμως, εἴ τίς ἐστι φιλομαθής, ὅτι εἰ καὶ μὴ οὕτως ἐν ταῖς γραφαῖς εἰσιν αἱ λέξεις,
ἀλλά, καθάπερ εἴρηται πρότερον, τὴν ἐκ τῶν γραφῶν διάνοιαν ἔχουσι καὶ ταύτην ἐκφω-
3 νούμεναι σημαίνουσι τοῖς ἔχουσιν εἰς εὐσέβειαν τὴν ἀκοὴν ὁλόκληρον. σκοπεῖν δὲ
τοῦτό σε μὲν ἔξεστιν, ἐκείνους δὲ κατακούειν τοὺς ἀπαιδεύτους. δέδεικται ἐν τοῖς ἔμπροσθεν,
καὶ τοῦτ' ἔστιν ἀληθὲς πιστεύειν, τὸν λόγον ἐκ τοῦ πατρὸς εἶναι καὶ μόνον ἴδιον αὐτοῦ
καὶ φύσει γέννημα. πόθεν γὰρ ἄλλοθεν νοήσειέ τις τὸν υἱόν, ὅς ἐστιν ἡ σοφία καὶ ὁ
4 λόγος, ἐν ᾧ τὰ πάντα γέγονεν, ἢ ἐξ αὐτοῦ τοῦ θεοῦ; ὅμως δὲ τοῦτο καὶ παρὰ τῶν
γραφῶν μεμαθήκαμεν, τοῦ μὲν πατρὸς διὰ τοῦ Δαυὶδ λέγοντος· »ἐξηρεύξατο ἡ καρδία
C μου λόγον ἀγαθόν«, καί· »ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε«, τοῦ δὲ υἱοῦ περὶ
ἑαυτοῦ δεικνύντος τοῖς Ἰουδαίοις · »εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ
γὰρ ἐκ τοῦ πατρὸς ἐξῆλθον«, καὶ πάλιν· »οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν
παρὰ τοῦ θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα«, καὶ μὴν καὶ τό· »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«,
καί· »ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί« ἴσον ἐστὶ τῷ λέγειν· ἐγὼ ἐκ τοῦ πατρός
εἰμι καὶ ἀδιαίρετος αὐτοῦ. καὶ ὁ Ἰωάννης δὲ λέγων· »ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν
κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο«, μαθὼν ταῦτα παρὰ τοῦ πατρὸς εἴρηκε. τί
γὰρ ἄλλο τὸ ἐν κόλποις σημαίνει ἢ τὴν γνησίαν ἐκ τοῦ πατρὸς τοῦ υἱοῦ γέννησιν;
22,1 Εἰ μὲν οὖν τὸν θεὸν ἡγεῖταί τις εἶναι σύνθετον ὡς ἐν τῇ οὐσίᾳ τὸ συμβεβηκὸς ἢ
D ἔξωθέν τινα περιβολὴν ἔχειν καὶ καλύπτεσθαι ἢ εἶναί τινα περὶ αὐτὸν τὰ συμπληροῦντα
τὴν οὐσίαν αὐτοῦ, ὥστε λέγοντας ἡμᾶς θεὸν ἢ ὀνομάζοντας πατέρα μὴ αὐτὴν τὴν ἀόρατον
M 456 A αὐτοῦ καὶ ἀκατάληπτον οὐσίαν σημαίνειν, ἀλλά τι τῶν περὶ αὐτόν, μεμφέσθωσαν | μὲν
τὴν σύνοδον γράψασαν ἐκ τῆς οὐσίας εἶναι τοῦ θεοῦ τὸν υἱόν, κατανοείτωσαν δέ, ὅτι
2 δύο ταῦτα βλασφημοῦσιν οὕτω διανοούμενοι. τόν τε γὰρ θεὸν σωματικόν τινα εἰσά-
γουσι καὶ τὸν κύριον οὐκ αὐτοῦ τοῦ πατρός, ἀλλὰ τῶν περὶ αὐτὸν εἶναι υἱὸν κατα-
ψεύδονται. εἰ δὲ ἁπλοῦν τί ἐστιν ὁ θεός, ὥσπερ οὖν καὶ ἔστι, δηλονότι λέγοντες τὸν θεὸν
καὶ ὀνομάζοντες τὸν πατέρα οὐδέν τι ὡς περὶ αὐτὸν ὀνομάζομεν, ἀλλ' αὐτὴν τὴν οὐσίαν
3 αὐτοῦ σημαίνομεν. κἂν γὰρ καταλαβεῖν ὅ, τί ποτέ ἐστιν ἡ τοῦ θεοῦ οὐσία, μὴ ᾖ δυνατόν,
ἀλλὰ μόνον νοοῦντες εἶναι τὸν θεὸν καὶ τῆς γραφῆς ἐν τούτοις αὐτὸν σημαινούσης οὐκ
ἄλλον τινὰ καὶ ἡμεῖς ἢ αὐτὸν σημᾶναι θέλοντες λέγομεν θεὸν καὶ πατέρα καὶ κύριον. ὅταν
B 228 B γοῦν λέγῃ· »ἐγώ εἰμι ὁ ὤν«, καὶ τὸ »ἐγώ εἰμι κύριος | ὁ θεός«, καὶ ὅπου ποτὲ λέγει ἡ
γραφὴ 'ὁ θεός', ἡμεῖς ἀναγινώσκοντες οὐδὲν ἕτερον ἢ αὐτὴν τὴν ἀκατάληπτον αὐτοῦ
4 οὐσίαν σημαινομένην νοοῦμεν καὶ ὅτι ἔστιν ὅνπερ λέγουσιν. οὐκοῦν μὴ ξενιζέσθω
τις ἀκούων ἐκ τῆς οὐσίας τοῦ θεοῦ εἶναι τὸν υἱὸν τοῦ θεοῦ, ἀλλὰ καὶ μᾶλλον ἀποδεχέσθω

---

6 Oben S. 16, 15 ff. 12 Ps. 44, 2, Euseb bezieht dies Dem. ev. IV 15, 47 ff. (180, 24 ff.) auf den Menschen Christus, vgl. auch Euseb ecl. proph. IV 12 (191, 19 Gaisford), Comm. in Ps. 44 (Coll. nova patr. I 185 f. Montfaucon) 13 Ps. 109, 3 14 Joh. 8, 42 15 Joh. 6, 46 16 Joh. 10, 30 17 Joh. 14, 10 18 Joh. 1, 18 21 ff. Diese Beweisführung kann die Gegner kaum treffen, denn z. B. Euseb führt den gleichen Gedanken eccl. theol. II 14, 4 (115, 6 ff.) gegen Marcell ins Feld, vgl. Akakius bei Epiphanius 72, 7, 7 (III 262, 6—7) 26 ff. Athanasius folgert hier bis ins Unsinnige 30 ff. Vgl. Hilarius de trinitate XII 24 (Migne PL 10, 447 B) 33 Exod. 3, 14; 20, 2

BKPO REFV

---

3 ἑαυτοὺς] ἑαυτοῖς R 4 ἤρξατο R, ν von R^c 7 τὴν ἀκοὴν εἰς εὐσέβειαν ~ K 8 σε] σοι F 9 τοῦτ' > V 15 ἐξῆλθον + καὶ ἥκω V vgl. Joh. 8, 42 17 ἐγὼ² > K 18 ὁ² > R* (doch R^c) EF | ὁ³ > F 19 πατρὸς² BKPOEV σωτῆρος RF 20 τοῦ¹ > REFV | τοῦ² > EV 22 περιβολῆς RE 24 καὶ ἀκατάληπτον αὐτοῦ ~ K | αὐτόν] αὐτήν B 25 τοῦ θεοῦ εἶναι ~ V 27 τῶν] τὸν E 28 τὸν θεὸν λέγοντες ~ EV 29 ὡς] τῶν V 32 καὶ² > K 33 τὸ > F | λέγῃ P

τοὺς πατέρας διακαθάραντας τὸν νοῦν καὶ λευκότερον καὶ ὡς ἐκ παραλλήλου τὸ ἐκ τοῦ
θεοῦ γράψαντας τὸ ἐκ τῆς οὐσίας. ταὐτὸν γὰρ ἡγήσαντο τὸ λέγειν ἐκ τοῦ θεοῦ καὶ
τὸ λέγειν ἐκ τῆς οὐσίας τοῦ θεοῦ εἶναι τὸν λόγον, ἐπεὶ καὶ τὸ θεός, καθὰ προεῖπον, οὐδὲν
ἕτερον ἢ τὴν οὐσίαν αὐτοῦ τοῦ ὄντος σημαίνει. εἰ μὲν οὖν μὴ ἐκ τοῦ θεοῦ ἐστιν ὁ λόγος, 5
ὡς ἂν εἴη υἱὸς φύσει γνήσιος ἐκ πατρός, ἀλλ' ὡς τὰ κτίσματα διὰ τὸ δεδημιουργῆσθαι
λέγεται καὶ αὐτὸς ὡς τὰ πάντα ἐκ τοῦ θεοῦ, οὔτε ἐκ τῆς οὐσίας ἐστὶ τοῦ πατρὸς οὔτε C
αὐτὸς ὁ υἱὸς κατ' οὐσίαν ἐστὶν υἱός, ἀλλ' ἐξ ἀρετῆς, ὡς ἡμεῖς οἱ κατὰ χάριν καλούμενοι
υἱοί. εἰ δὲ ἐκ τοῦ θεοῦ ἐστι μόνος ὡς υἱὸς γνήσιος, ὥσπερ οὖν καὶ ἔστι, λεχθείη ἂν εἰκότως
καὶ ἐκ τῆς οὐσίας τοῦ θεοῦ ὁ υἱός.

Καὶ γὰρ καὶ τὸ παράδειγμα τοῦ φωτὸς καὶ τοῦ ἀπαυγάσματος τοιοῦτον ἔχει τὸν 23,1
νοῦν. οὐ γὰρ κατὰ τὸ ἐξαπτόμενον ἐκ τῆς θέρμης τοῦ ἡλίου πῦρ, ὅπερ καὶ σβέννυσθαι D
πάλιν εἴωθεν, εἰρήκασιν οἱ ἅγιοι εἶναι τὸν λόγον πρὸς τὸν θεόν, τοῦτο γὰρ ἔργον ἔξωθεν
καὶ κτίσμα τοῦ ποιοῦντος ἦν, ἀλλὰ ἀπαύγασμα αὐτὸν εὐηγγελίσαντο πάντες, ἵνα τὸ
ἐκ τῆς οὐσίας ἴδιον καὶ ἀδιαίρετον καὶ τὴν πρὸς τὸν πατέρα ἑνότητα δηλώσωσι. καὶ 2
γὰρ οὕτω καὶ τὸ ἄτρεπτον καὶ ἀναλλοίωτον αὐτὸν ἀληθῶς εἶναι σωθήσεται· πῶς γὰρ
ἂν ἄλλως εἴη τοιοῦτος, εἰ μὴ τῆς τοῦ πατρὸς οὐσίας ἴδιόν ἐστι γέννημα; ἀνάγκη γὰρ καὶ
ἐν τούτῳ τὴν ταυτότητα πρὸς τὸν ἑαυτοῦ πατέρα σώζειν. οὕτω δὴ τοῦ λόγου φα-
νέντος εὐσεβοῦς ἀκόλουθον ἂν εἴη μηδὲ ἐπὶ τῷ ὁμοουσίῳ ξενίζεσθαι τοὺς χριστομάχους,
ἐχούσης καὶ τῆς λέξεως ταύτης ὑγιῆ τὴν διάνοιαν καὶ τὴν ἀπόδειξιν. εἰ γὰρ δή φαμεν 3
ἐκ | τῆς οὐσίας εἶναι τοῦ θεοῦ τὸν λόγον (λοιπὸν γὰρ ἡ λέξις ὁμολογείσθω καὶ παρ' αὐτῶν), M 457 A
τί ἂν εἴη τοῦτο ἢ τὸ ἀληθῶς καὶ ἀίδιον τῆς οὐσίας, ἐξ ἧς καὶ γεγέννηται; οὐ γὰρ ἑτερο-
ειδές, ἵνα μὴ ξένον καὶ ἀνόμοιον τῇ οὐσίᾳ τοῦ πατρὸς ἐπιμιγνύηται, οὐδὲ ἔξωθεν ἁπλῶς
ὅμοιος, ἵνα μὴ καθ' ἕτερον ἢ ὅλως ἑτεροούσιος φαίνηται, ὥσπερ χαλκὸς στίλβων καὶ χρυσὸς
καὶ ἄργυρος καὶ κασσίτερος. ταῦτα γὰρ ξένα καὶ ἑτεροφυῆ ἀλλήλων καὶ ἀπεσχοινισ-
μένα τῇ φύσει καὶ τῇ δυνάμει τυγχάνουσι· καὶ οὔτε ὁ χαλκὸς ἴδιος τοῦ χρυσοῦ οὔτε ἡ
φάσσα ἐκ τῆς περιστερᾶς, ἀλλὰ ὅμοια μὲν νομίζεται εἶναι, ἑτεροούσια δὲ ἀλλήλων ἐστίν.
εἰ μὲν οὖν καὶ ὁ υἱὸς οὕτως ἐστίν, ἔστω κτίσμα ὥσπερ καὶ ἡμεῖς καὶ μὴ ὁμοούσιος· εἰ δὲ 4
υἱός ἐστι λόγος, σοφία, εἰκὼν τοῦ πατρός, | ἀπαύγασμα, εἰκότως ὁμοούσιος ἂν εἴη. εἰ B 229
⟨μὴ⟩ γὰρ τὸ μὴ ἐκ τοῦ θεοῦ, ἀλλ' ὡς ὄργανον ἑτεροφυὲς καὶ ἑτεροούσιον δείκνυται, B
καλῶς ἄρα ἡ σύνοδος ἔγραψε καὶ νενόηκεν ὀρθῶς.

Ἐξῃρήσθω δὲ πάλιν ἐν τούτοις πᾶς λογισμὸς σωματικός, φαντασίαν τε πάσης 24,1
αἰσθήσεως ὑπερβάντες καθαρᾷ τῇ νοήσει καὶ μόνῳ τῷ νῷ νοῶμεν υἱοῦ πρὸς πατέρα τὸ
γνήσιον καὶ λόγου τὴν πρὸς τὸν θεὸν ἰδιότητα καὶ τὴν ἀπαράλλακτον ὁμοιότητα τοῦ

---

2 So hat bereits Euseb v. Cäsarea das ἐκ τῆς οὐσίας in Nicäa verstanden, vgl. unten c. 33, 9. 10 S. 30, 12 ff. Vgl. Athan. de synodis 34 (Migne 26, 753 A/B), die Ausführungen in de synodis 34 ff. berühren sich vielfach mit de decretis   4 οὐσία τοῦ ὄντος auch Athan. de synodis 35 (Migne 26, 753 C), aus den gleichen Bibelstellen entwickelt; der Begriff ist von Athanasius auf Grund von Ex. 3, 14 (oben S. 18, 33) gebildet, berührt sich aber mit den Theorien von der οὐσία, die Origenes de orat. 27, 8 (II 367, 13 ff. 368, 3) vorträgt; Hippolyt nennt einmal refut. IV 43, 2 (65, 2) Gott die οὐσία τῶν ὄντων   7 Vgl. zu κατὰ χάριν Urkunde 14, 31 (III 24, 24 Komm.)   10 ff. Wie Euseb ἀπαύγασμα und φῶς deutet, vgl. Dem. ev. IV 3, 1 ff. (152, 20 ff.)   13 ἀπαύγασμα nach Hebr. 1, 3   16 Vgl. Athan. or. I. c. Arianos 17 (Migne 26, 48 B), ep. ad Afros 8 (Migne 26, 1044 A)   26 Vgl. Athan. de synodis 41 (Migne 26, 765 B)

BKPO REFV

---

1 καὶ[2] > B | τὸ] τῷ KF, ob besser τοῦ?   2 τὸ[2] F > BKPOREV   5 υἱὸς εἴη ~ REFV | ὁ υἱὸς K   6 τοῦ πατρός ἐστιν ~ EV   9 ὁ > EV   10 φωτὸς] φαινομένου E φαινομένου ἡλίου V   12 τὸν λόγον εἶναι ~ K   15 ἀληθῶς v. 1. Hd. a. Rd. nach ἄτρεπτον, da ausgelassen K | εἶναι ἀληθῶς ~ V   16 ἂν > BKPO   19 τὴν[2] > V   23 ἢ > V   28 ἂν ὁμοούσιος ~ F   29 ⟨μὴ⟩ Montf. | δείκνυται, ε v. sp. Hd. R

ἀπαυγάσματος πρὸς τὸ φῶς. ὡς γὰρ τὸ γέννημα καὶ τὸ υἱὸς οὐκ ἀνθρώπινον, ἀλλ' ὡς
θεῷ πρέπον ἐστίν, εἴρηταί τε καὶ ἔστι, τὸν αὐτὸν τρόπον τὴν λέξιν τοῦ ὁμοουσίου ἀκού-
C οντες μὴ εἰς τὰς ἀνθρωπίνας αἰσθήσεις πίπτοντες μερισμοὺς καὶ διαιρέσεις τῆς θεότητος
λογιζώμεθα· ἀλλ' ὡς ἐπὶ ἀσωμάτων διανοούμενοι τὴν ἑνότητα τῆς φύσεως καὶ τὴν
ταυτότητα τοῦ φωτὸς μὴ διαιρῶμεν. τοῦτο γὰρ ἴδιον υἱοῦ πρὸς πατέρα καὶ τοῦτο
2 δείκνυσι τὸν θεὸν ἀληθῶς ὄντα πατέρα τοῦ λόγου. πάλιν γὰρ τὸ παράδειγμα τοῦ
φωτὸς καὶ τοῦ ἀπαυγάσματος ἀναγκαῖον εἰς τοῦτο. τίς τολμήσει λέγειν τὸ ἀπαύγασμα
ξένον καὶ ἀνόμοιον εἶναι τοῦ ἡλίου; ἢ τίς μᾶλλον ἐνορῶν οὕτως τὸ ἀπαύγασμα πρὸς
τὸν ἥλιον καὶ τὴν ταυτότητα τοῦ φωτὸς οὐκ ἂν εἴποι θαρρήσας· ὄντως τὸ φῶς καὶ
τὸ ἀπαύγασμα ἕν εἰσι καὶ τοῦτο ἐν ἐκείνῳ δείκνυται καὶ τὸ ἀπαύγασμα ἐν τῷ ἡλίῳ τυγ-
χάνει ὄν, ὥστε τὸν ὁρῶντα τοῦτο βλέπειν κἀκεῖνο; τὴν δὲ τοιαύτην ἑνότητα καὶ φυ-
D σικὴν ἰδιότητα πῶς ἂν οἱ πιστεύοντες καὶ βλέποντες ὀρθῶς καλέσαιεν ἢ ὁμοούσιον γέν-
3 νημα; τὸ δὲ τοῦ θεοῦ γέννημα τί ἄν τις οἰκείως καὶ πρεπόντως νοήσειεν ἢ λόγον
καὶ σοφίαν καὶ δύναμιν, ἥνπερ οὔτε τοῦ πατρὸς λέγειν ξένην ὅσιόν ἐστιν οὔτε μὴ ἀιδίως
εἶναι παρὰ τῷ πατρὶ κἂν φαντάζεσθαι θέμις ἐστί; τούτῳ γὰρ τῷ γεννήματι τὰ πάντα
πεποίηκεν ὁ πατὴρ καὶ τὴν εἰς πάντα πρόνοιαν ἐκτείνων δι' αὐτοῦ φιλανθρωπεύεται.
4 καὶ οὕτως ἓν αὐτός καὶ ὁ πατήρ εἰσιν, ὥσπερ εἴρηται, εἰ μὴ ἄρα οἱ κακόφρονες τολμή-
M 460 A σαντες πάλιν | εἴποιεν ἄλλην εἶναι τὴν τοῦ λόγου οὐσίαν καὶ ἄλλο τὸ ἐκ τοῦ πατρὸς ἐν
αὐτῷ φῶς, ἵν' ᾖ τὸ μὲν ἐν τῷ υἱῷ φῶς ἓν πρὸς τὸν πατέρα, αὐτὸς δὲ ξένος κατ' οὐσίαν ὡς
κτίσμα. ἀλλὰ τοῦτο τοῦ Καιάφα καὶ τοῦ Σαμοσατέως ἀτεχνῶς ἐστι τὸ φρόνημα, ὅπερ
ἡ μὲν ἐκκλησία ἐξέβαλεν, οὗτοι δὲ νῦν ὑποκρίνονται, διὸ καὶ αὐτοὶ τῆς ἀληθείας ἐκπε-
5 σόντες ἀπεδείχθησαν αἱρετικοί. εἰ γὰρ ὅλως μετέχει τοῦ ἐκ τοῦ πατρὸς φωτός, διατί
μὴ μᾶλλον αὐτός ἐστι τὸ μετεχόμενον, ἵνα μὴ μέσον αὐτοῦ τι καὶ τοῦ πατρὸς εὑρίσκηται;
εἰ γὰρ μὴ οὕτως ἐστίν, οὐκέτι δείκνυται διὰ τοῦ υἱοῦ γεγενῆσθαι τὰ πάντα, ἀλλὰ δι'
ἐκείνου, οὗ καὶ αὐτὸς μετέχει. εἰ δὲ οὗτός ἐστιν ὁ λόγος, ἡ σοφία τοῦ πατρός, ἐν ᾧ ὁ
πατὴρ ἀποκαλύπτεται καὶ γινώσκεται καὶ δημιουργεῖ καὶ οὗ ἄνευ οὐδὲν ὁ πατὴρ ποιεῖ,
B 230 B | δηλονότι αὐτός ἐστι τὸ ἐκ τοῦ πατρός· αὐτοῦ γὰρ καὶ πάντα τὰ γενητὰ μετέχει, μετέ-
χοντα τοῦ ἁγίου πνεύματος. οὕτω δὲ ὢν οὐκ ἔσται ἐξ οὐκ ὄντων οὔτε ὅλως κτίσμα,
ἀλλὰ μᾶλλον ἐκ τοῦ πατρὸς ἴδιον γέννημα ὡς ἐκ φωτὸς τὸ ἀπαύγασμα.
25,1 Οἱ μὲν οὖν ἐν τῇ Νικαίᾳ συνελθόντες ταύτην ἔχοντες τὴν διάνοιαν τοιαύτας καὶ
τὰς λέξεις ἔγραψαν. ὅτι δὲ οὐχ ἑαυτοῖς πλάσαντες ἐπενόησαν ταύτας, ἐπειδὴ καὶ τοῦτο
προφασίζονται, ἀλλ' ἄνωθεν παρὰ τῶν πρὸ αὐτῶν παραλαβόντες εἰρήκασι, φέρε καὶ
2 τοῦτο διελέγξωμεν, ἵνα μηδὲ αὕτη αὐτοῖς ἡ πρόφασις περιλείπηται. μάθετε τοίνυν,
C ὦ χριστομάχοι Ἀρειανοί, ὅτι Θεόγνωστος μέν, ἀνὴρ λόγιος, οὐ παρῃτήσατο τὸ ἐκ
τῆς οὐσίας εἰπεῖν. γράφων γὰρ περὶ υἱοῦ ἐν τῷ δευτέρῳ τῶν ὑποτυπώσεων οὕτως

17 Vgl. Joh. 10, 30 und c. 20 S. 17, 17 23 Hier weicht Athanasius nicht nur von seinen Gegnern ab (vgl. oben c. 8, 2 S. 7, 24), sondern auch von Alexander von Alexandrien vgl. Urkunde 14, 44 (III 26, 26 Komm.) 30 ff. Zum Väterbeweis werden, was sehr bemerkenswert ist, mit Ausnahme von Dionysius v. Rom Origenes und seine echtesten Schüler herangezogen 34 Zu Theognost vgl. Harnack in Texte u. Unters. N. F. 9, 3. Das Theognost- wie das Origeneszitat (c. 27) diente in den Kämpfen um Origenes als ein wichtiges Testimonium, vgl. Sokrates h. e. VI 13, 11; Stephan Gobarus bei Photius Bibl. cod. 232 S. 291 b 18 Bekker. Vgl. auch ep. IV. ad Serap. 9—11

BKPO REFV 34 Θεόγνωστος — S. 21, 7 υἱόν = Cramer S. 361, 24—31 (= Cat.), jedoch fehlt 34 οὐ — S. 21, 1 εἴρηκεν, also nur das Theognostzitat

2 ἐστίν > K | τὴν λέξιν > B 7 τίς + λοιπὸν V 8 εἶναι καὶ ἀνόμοιον ~ K 9 φωτὸς + πρὸς τὸν ἥλιον F, dann getilgt 10 ἕν εἰσι — ἀπαύγασμα > K 14 ἥνπερ] ἣν B 15 π̈αρ̈ὰ παρὰ E 19 ἓν] ὃ R 23 τι μέσον αὐτοῦ ~ V 26 ὁ πατὴρ οὐδὲν ~ F 27 ἐστι + αὐτός ἐστι E 30 τῇ > V 34 a. Rd. Θεόγνωστος F v. sp. Hd.

εἴρηκεν· »οὐκ ἔξωθέν τίς ἐστιν ἐφευρεθεῖσα ἡ τοῦ υἱοῦ οὐσία οὐδὲ ἐκ μὴ ὄντων ἐπεισήχθη,
»ἀλλὰ ἐκ τῆς τοῦ πατρὸς οὐσίας ἔφυ ὡς τοῦ φωτὸς τὸ ἀπαύγασμα, ὡς ὕδατος ἀτμίς.
»οὔτε γὰρ τὸ ἀπαύγασμα οὔτε ἡ ἀτμὶς αὐτὸ τὸ ὕδωρ ἐστὶν ἢ αὐτὸς ὁ ἥλιος οὔτε ἀλλό-
»τριον, καὶ οὔτε ⟨ἡ τοῦ υἱοῦ οὐσία⟩ αὐτός ἐστιν ὁ πατὴρ οὔτε ἀλλότριος, ἀλλὰ ἀπόρροια
»τῆς τοῦ πατρὸς οὐσίας, οὐ μερισμὸν ὑπομεινάσης τῆς τοῦ πατρὸς οὐσίας. ὡς γὰρ μένων
»ὁ ἥλιος ὁ αὐτὸς οὐ μειοῦται ταῖς ἐκχεομέναις ὑπ' αὐτοῦ αὐγαῖς, οὕτως οὐδὲ ἡ οὐσία
»τοῦ πατρὸς ἀλλοίωσιν ὑπέμεινεν εἰκόνα ἑαυτῆς ἔχουσα τὸν υἱόν«. ὁ μὲν οὖν Θεόγνωσ-
τος τὰ πρότερα ὡς ἐν γυμνασίᾳ ἐξετάσας, ὕστερον τὴν ἑαυτοῦ δόξαν τιθεὶς οὕτως εἴρηκεν.
Διονύσιος δὲ ὁ | γενόμενος ἐπίσκοπος τῆς Ἀλεξανδρείας κατὰ Σαβελλίου γράφων 3 M 461 A
τήν τε κατὰ σάρκα οἰκονομίαν τοῦ σωτῆρος διὰ πλειόνων ἐξηγούμενος καὶ ἐξ αὐτῆς
διελέγχων τοὺς Σαβελλίζοντας, ὅτι μὴ ὁ πατήρ ἐστιν ὁ γενόμενος σάρξ, ἀλλ' ὁ τούτου
λόγος, ὡς εἶπεν ὁ Ἰωάννης, ἐπειδὴ ὑπενοήθη ὡς ποίημα καὶ γενητὸν λέγων τὸν υἱὸν
καὶ μὴ ὁμοούσιον τῷ πατρί, γράφει πρὸς τὸν ὁμώνυμον αὐτῷ Διονύσιον τὸν ἐπίσκοπον
Ῥώμης ἀπολογούμενος συκοφαντίαν εἶναι ταύτην κατ' αὐτοῦ. μήτε γὰρ ποιητὸν εἰρη-
κέναι τὸν υἱόν, ἀλλὰ καὶ ὁμοούσιον αὐτὸν ὁμολογεῖν διεβεβαιώσατο. ἔχει δὲ αὐτοῦ 4
ἡ λέξις οὕτως· »καὶ δι' ἄλλης ἐπιστολῆς ἔγραψα, ἐν οἷς ἤλεγξα καὶ ὃ προφέρουσιν ἔγ-
»κλημα κατ' ἐμοῦ ψεῦδος ὄν, ὡς οὐ λέγοντος τὸν Χριστὸν ὁμοούσιον εἶναι τῷ θεῷ. εἰ γὰρ B
»καὶ τὸ ὄνομα τοῦτό φημι μὴ εὑρηκέναι που τῶν ἁγίων γραφῶν, | ἀλλά γε τὰ ἐπιχει- B 231
»ρήματά μου τὰ ἑξῆς, ἃ σεσιωπήκασι, τῆς διανοίας ταύτης οὐκ ἀπᾴδει. καὶ γὰρ ἀν-
»θρωπίνην γονὴν παρεθέμην δῆλον ὡς οὖσαν ὁμογενῆ, φήσας πάντως τοὺς γονεῖς μόνον
»ἑτέρους εἶναι τῶν τέκνων, ὅτι μὴ αὐτοὶ εἶεν τὰ τέκνα, ἢ μήτε γονεῖς ἀναγκαῖον ὑπ-
»άρχειν εἶναι μήτε τέκνα. καὶ τὴν μὲν ἐπιστολήν, ὡς προεῖπον, διὰ τὰς περιστάσεις 5
»οὐκ ἔχω προκομίσαι· εἰ δ' οὖν, αὐτά σοι τὰ τότε ῥήματα, μᾶλλον δὲ καὶ πάσης ἂν
»ἔπεμψα τὸ ἀντίγραφον· ὅπερ ἂν εὐπορήσω, ποιήσω. οἶδα δὲ καὶ μέμνημαι πλείονα
»προσθεὶς τῶν συγγενῶν ὁμοιώματα· καὶ γὰρ καὶ φυτὸν εἶπον ἀπὸ σπέρματος ἢ ἀπὸ
»ῥίζης ἀνελθὸν ἕτερον εἶναι τοῦ ὅθεν ἐβλάστησε, καὶ πάντως ἐκείνῳ καθέστηκεν ὁμοφυές. C
»καὶ ποταμὸν εἶπον ἀπὸ πηγῆς ῥέοντα ἕτερον ὄνομα μετειληφέναι· μήτε γὰρ τὴν
»πηγὴν ποταμὸν μήτε τὸν ποταμὸν πηγὴν λέγεσθαι καὶ ἀμφότερα ὑπάρχειν καὶ τὸν
»ποταμὸν εἶναι τὸ ἐκ τῆς πηγῆς ὕδωρ«.

Ὅτι δὲ οὐ ποίημα οὐδὲ κτίσμα ὁ τοῦ θεοῦ λόγος, ἀλλὰ ἴδιον τῆς τοῦ πατρὸς 26,1
οὐσίας γέννημα ἀδιαίρετόν ἐστιν, ὡς ἔγραψεν ἡ μεγάλη σύνοδος, ἰδοὺ καὶ ὁ τῆς Ῥώμης
ἐπίσκοπος Διονύσιος γράφων κατὰ τῶν τὰ Σαβελλίου φρονούντων σχετλιάζει κατὰ

9 Dionys von Rom und Dionys von Alexandrien werden auf Grund dieser Stelle auch in ep. ad Afros 6 (Migne 26, 1040 B) erwähnt 12 Vgl. Joh. 1, 14 16—29 Das Stück ist Buch 1 der Schrift Ἔλεγχος καὶ ἀπολογία entnommen, vgl. The letters and others remains of Dionysius of Alexandria ed. by Ch. L. Feltoe, Cambridge 1904, S. 188, 9—190, 3. Der Text findet sich vollständiger: Athanasius de sent. Dion. 18 (Migne 25, 505 B/C) und de synodis 44 (Migne 26, 769 B/C), zum Texte vgl. de sent. Dion.

BKPO REFV

2 ὡς ὕδατος — 3 ἀλλότριον > Cat. | ὡς ὕδατος — 3 ἀπαύγασμα > EV (Homoioteleuton) 4 καὶ οὔτε — ἀλλότριος Cat., fehlt Hss. wegen Homoioteleuton; vermutlich hat ein ἀλλότριος (statt ἀλλότριον) den Fehler veranlaßt | ⟨ἡ τοῦ υἱοῦ οὐσία⟩ Harnack vgl. Texte u. Unters. N. F. 9, 3 S. 76 f. 5 οὐ μερισμὸν — οὐσίας > EFV Cat. 6 ὑπ'] ἀπ' F 8 γυμνασίῳ EFV 9 Διονύσιος F a. Rd. v. sp. Hd. | κατὰ + τοῦ B 10 τοῦ σωτῆρος > F 11 ὅτι] ἵνα O 12 γεννητὸν E 15 διεβεβαιώσαντο B 17 ὄν] ὧν R ὄν R^c 18 ἁγίων] θείων P 20 ὁμογενῆ] μονογενῆ EV ὁμογενῆ V^c 21 ἢ μήτε — 22 τέκνα > F 21/22 ὑπάρχειν nach de sent. Dion. u. de syn. ὑπάρχον Hss. 23 πάσης R^cEFV vgl. de sent. de syn. πᾶσιν BKPOR* 24 μέμνημαι > V 27 πηγῆς, πη v. sp. Hd. R | ἕτερον + σχῆμα καὶ de sent. de syn. 28 ὑπάρχειν + καὶ τὴν μὲν πηγὴν οἱονεὶ πατέρα εἶναι de sent. de syn. Cat. 30 ἀλλὰ ἴδιον BKPOFV vgl. S. 20, 29, ἀλλ' ἀΐδιον RE | τῆς > RE 31 γέννημα + καὶ V 32 τὰ + τοῦ B vgl. oben Z. 9

2 τῶν ταῦτα τολμώντων λέγειν καί φησιν οὕτως· »ἑξῆς δ' ἂν εἰκότως λέγοιμι καὶ
D »πρὸς τοὺς διαιροῦντας καὶ κατατέμνοντας καὶ ἀναιροῦντας τὸ σεμνότατον κήρυγμα
»τῆς ἐκκλησίας τοῦ θεοῦ, τὴν μοναρχίαν, εἰς τρεῖς δυνάμεις τινὰς καὶ μεμερισμένας ὑπο-
»στάσεις καὶ θεότητας τρεῖς. πέπυσμαι γὰρ εἶναί τινας τῶν παρ' ὑμῖν κατηχούντων
»καὶ διδασκόντων τὸν θεῖον λόγον ταύτης ὑφηγητὰς τῆς φρονήσεως, οἳ κατὰ διάμετρον,
M 464 A 3 »ὡς ἔπος εἰπεῖν, ἀντίκεινται τῇ Σαβελλίου | γνώμῃ. ὁ μὲν γὰρ βλασφημεῖ αὐτὸν
»τὸν υἱὸν εἶναι λέγων τὸν πατέρα καὶ ἔμπαλιν, οἱ δὲ τρεῖς θεοὺς τρόπον τινὰ κηρύττουσιν,
»εἰς τρεῖς ὑποστάσεις ξένας ἀλλήλων παντάπασι κεχωρισμένας διαιροῦντες τὴν ἁγίαν
»μονάδα. ἡνῶσθαι γὰρ ἀνάγκη τῷ θεῷ τῶν ὅλων τὸν θεῖον λόγον, ἐμφιλοχωρεῖν δὲ
»τῷ θεῷ καὶ ἐνδιαιτᾶσθαι δεῖ τὸ ἅγιον πνεῦμα. ἤδη καὶ τὴν θείαν τριάδα εἰς ἕνα, ὥσπερ
»εἰς κορυφήν τινα, τὸν θεὸν τῶν ὅλων τὸν παντοκράτορα λέγω, συγκεφαλαιοῦσθαί τε
»καὶ συνάγεσθαι πᾶσα ἀνάγκη. Μαρκίωνος γὰρ τοῦ ματαιόφρονος δίδαγμα εἰς τρεῖς
»ἀρχὰς τῆς μοναρχίας τομὴ καὶ διαίρεσις, παίδευμα ὂν διαβολικόν, οὐχὶ δὲ τῶν ὄντως
»μαθητῶν τοῦ Χριστοῦ καὶ τῶν ἀρεσκομένων τοῖς τοῦ σωτῆρος μαθήμασιν. οὗτοι γὰρ
B »τριάδα μὲν κηρυττομένην ὑπὸ τῆς θείας γραφῆς σαφῶς ἐπίστανται, τρεῖς δὲ θεοὺς οὔτε
4 »παλαιὰν οὔτε καινὴν διαθήκην κηρύττουσαν. οὐ μεῖον δ' ἂν τις καταμέμφοιτο καὶ
»τοὺς ποίημα τὸν υἱὸν εἶναι δοξάζοντας καὶ γεγονέναι τὸν κύριον ὥσπερ ἕν τι τῶν ὄντως
B 232 »γενομένων | νομίζοντας, τῶν θείων λογίων γέννησιν αὐτῷ τὴν ἁρμόττουσαν καὶ πρέ-
»πουσαν, ἀλλ' οὐχὶ πλάσιν τινὰ καὶ ποίησιν προσμαρτυρούντων. βλάσφημον οὖν οὐ
»τὸ τυχόν, μέγιστον μὲν οὖν, χειροποίητον τρόπον τινὰ λέγειν τὸν κύριον. εἰ γὰρ γέ-
»γονεν υἱός, ἦν ὅτε οὐκ ἦν· ἀεὶ δὲ ἦν, εἴ γε ›ἐν τῷ πατρί‹ ἐστιν, ὡς αὐτός φησι, καὶ εἰ λόγος
»καὶ σοφία καὶ δύναμις ὁ Χριστός. ταῦτα γὰρ εἶναι τὸν Χριστὸν αἱ θεῖαι λέγουσι γραφαί,
»ὥσπερ ἐπίστασθε· ταῦτα δὲ δυνάμεις οὖσαι τοῦ θεοῦ τυγχάνουσιν. εἰ τοίνυν γέγονεν
C »ὁ υἱός, ἦν ὅτε οὐκ ἦν ταῦτα, ἦν ἄρα καιρός, ὅτε χωρὶς τούτων ἦν ὁ θεός. ἀτοπώτατον
5 »δὲ τοῦτο. καὶ τί ἂν ἐπὶ πλέον περὶ τούτων πρὸς ὑμᾶς διαλεγοίμην, πρὸς ἄνδρας
»πνευματοφόρους καὶ σαφῶς ἐπισταμένους τὰς ἀτοπίας τὰς ἐκ τοῦ ποίημα λέγειν τὸν
»υἱὸν ἀνακυπτούσας; αἷς μοι δοκοῦσι μὴ προσεσχηκέναι τὸν νοῦν οἱ καθηγησάμενοι
»τῆς δόξης ταύτης καὶ διὰ τοῦτο κομιδῇ τοῦ ἀληθοῦς διημαρτηκέναι, ἑτέρως ἢ βούλεται
»ταύτῃ ἡ θεία καὶ προφητικὴ γραφὴ τὸ ›κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ‹ ἐκδεξά-

1—S. 23, 16 Vgl. Feltoe S. 177, 1—182, 8. Novation de trinitate 30. 31 behandelt gleiche Fragen wie hier Dionys, der sich offenbar in seiner Beweisführung von dem Gegner bestimmen läßt 3 Zu τρεῖς ὑποστάσεις vgl. Dionys. v. Alex. bei Basilius de spir. s. 29 (196, 1 Feltoe), Origenes in Joh. II 10 (75) (65, 16) 12/13 Zu τρεῖς ἀρχαί vgl. Harnack, Marcion[2] S. 99 A. 1 17 Gemeint ist wohl Dionys v. Alexandrien, der sich de sent. Dion. c. 20 (Migne 25, 509 B) dagegen energisch verteidigt 21 Joh. 14, 11; I. Cor. 1, 24 29 Prov. 8, 22

BKPO REFV 1 ἑξῆς — 12 ἀνάγκη = Severus Antiochenus lib. contra impium Grammaticum or. III 28, CSCO Script. Syri Ser. IV. tom. VI. textus hrsg. v. J. Lebon. S. 84, 15—85, 2 (= Sev.)

1 ἐξ ἧς RE 2 καταδιαιροῦντας REFV | καὶ ἀναιροῦντας καὶ κατατέμνοντας ~ K | διαιροῦντας — 3 μοναρχίαν] ἀναιροῦντας τ. σεμν. κήρ. τ. ἐκκλ. τοῦ θεοῦ καὶ διαιροῦντας καὶ κατατέμνοντας τὴν μοναρχίαν ~ Sev. 4 πέπεισμαι FV 6 ἀντίκειται RE 7 λέγων εἶναι ~ O 8 παντάπασι + καὶ V Sev. 10 ἤδη > V 11 τινα > Sev. | τῶν ὅλων τὸν θεὸν ~ Sev. | λέγω FV Sev. Comm. Montf. λέγων BKPOR(?)E 13 ἀρχὰς + πιστεύειν καὶ V | τομὴ καὶ διαίρεσις K τομὴν καὶ διαίρεσιν BPOREF τομὴν ποιεῖν καὶ δ. V, διαίρεσιν + ⟨διορίζει⟩ Routh, dem Harnack, Marcion[2] S. 336* A. 1 folgt | ὄντων V 16 κηρύττουσαν + οἴδαμεν V 17 δοξάζοντας B* δοξάσαντας B^cKPO REFV | τῶν ὄντως BKREFV ὄντως PO ὂν τῶν Feltoe 20 μὲν οὖν] δὲ V 21 ἀεὶ δὲ ἦν > F | γε] δὲ B 25 πρὸς[2] > F 26 σαφῶς //// + ὡς? E 28 ταύτης > BKPO | ἡ] ἣ R 29 ταύτῃ BPORF ταύτην EV αὕτη K αὐτὴ Routh | αὐτοῦ + εἰς ἔργα αὐτοῦ EFV vgl. Prov. 8

»μενοι. οὐ μία γὰρ ἡ τοῦ ἔκτισεν, ὡς ἴστε, σημασία· ἔκτισε γὰρ ἐνταῦθα ἀκουστέον 6
»ἀντὶ τοῦ ἐπέστησε τοῖς ὑπ' αὐτοῦ γεγονόσιν ἔργοις, γεγονόσι δὲ δι' αὐτοῦ τοῦ υἱοῦ.
»οὐχὶ δέ γε τὸ ἔκτισε νῦν λέγοιτ' ἂν ἐπὶ τοῦ ἐποίησε· διαφέρει γὰρ τοῦ ποιῆσαι τὸ D
»κτίσαι. ›οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔκτισέ σε;‹ τῇ
»ἐν τῷ Δευτερονομίῳ μεγάλῃ ᾠδῇ ὁ Μωσῆς φησι. πρὸς οὓς καὶ εἴποι ἄν τις· ὦ ῥιψοκίν-
»δυνοι ἄνθρωποι, ποίημα ὁ πρωτότοκος πάσης κτίσεως, ὁ ἐκ γαστρὸς πρὸ ἑωσφόρου
»γεννηθείς, ὁ εἰπὼν ὡς σοφία· ›πρὸ δὲ πάντων βουνῶν γεννᾷ με‹; καὶ πολλαχοῦ δὲ
»τῶν | θείων λογίων γεγεννῆσθαι, ἀλλ' οὐ γεγονέναι τὸν υἱὸν λεγόμενον εὕροι τις ἄν. M 465 A
»ὑφ' ὧν καταφανῶς ἐλέγχονται τὰ ψεύδη περὶ τῆς τοῦ κυρίου γεννήσεως ὑπολαμβάνοντες
»οἱ ποίησιν αὐτοῦ τὴν θείαν καὶ ἄρρητον γέννησιν λέγειν τολμῶντες. οὔτ' οὖν κατα- 7
»μερίζειν χρὴ εἰς τρεῖς θεότητας τὴν θαυμαστὴν καὶ θείαν μονάδα οὔτε ποιήσει κωλύειν
»τὸ ἀξίωμα καὶ τὸ ὑπερβάλλον μέγεθος τοῦ κυρίου, ἀλλὰ πεπιστευκέναι εἰς θεὸν πατέρα
»παντοκράτορα καὶ εἰς Χριστὸν Ἰησοῦν τὸν υἱὸν αὐτοῦ καὶ εἰς τὸ ἅγιον πνεῦμα, ἡνῶσθαι
»δὲ τῷ θεῷ τῶν ὅλων τὸν λόγον· ›ἐγὼ γάρ, φησί, καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ ἐγὼ ἐν
»τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί‹. οὕτω γὰρ ἂν καὶ ἡ θεία τριὰς καὶ τὸ ἅγιον κήρυγμα
»τῆς μοναρχίας διασῴζοιτο«.

Περὶ δὲ τοῦ ἀιδίως συνεῖναι τὸν λόγον τῷ πατρὶ καὶ μὴ ⟨ἐξ⟩ ἑτέρας οὐσίας ἢ ὑπο- 27, 1
στάσεως, ἀλλὰ τῆς τοῦ πατρὸς ἴδιον ⟨γέννημα⟩ αὐτὸν εἶναι, ὡς εἰρήκασιν οἱ ἐν τῇ συν- B
όδῳ, ἐξέστω πάλιν ὑμᾶς ἀκοῦσαι καὶ παρὰ τοῦ φιλοπόνου Ὠριγένους. ἃ μὲν γὰρ ὡς
ζητῶν καὶ γυμνάζων ἔγραψε, ταῦτα μὴ ὡς αὐτοῦ φρονοῦντος | δεχέσθω τις, ἀλλὰ τῶν B 233
πρὸς ἔριν φιλονεικούντων ἐν τῷ ζητεῖν· ⟨ἃ δὲ⟩ ἀδεῶς ὁρίζων ἀποφαίνεται, τοῦτο τοῦ
φιλοπόνου τὸ φρόνημά ἐστι. μετὰ γοῦν τὰ ὡς ἐν γυμνασίᾳ λεγόμενα πρὸς τοὺς 2
αἱρετικοὺς εὐθὺς αὐτὸς ἐπιφέρει τὰ ἴδια λέγων οὕτως· »εἰ ἔστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀο-
»ράτου, ἀόρατος εἰκών· ἐγὼ δὲ τολμήσας προσθείην ἄν, ὅτι καὶ ὁμοιότης τυγχάνων
»τοῦ πατρὸς οὐκ ἔστιν ὅτε οὐκ ἦν. πότε γὰρ ὁ θεὸς ὁ κατὰ τὸν Ἰωάννην φῶς λεγόμενος,
»›ὁ θεὸς γὰρ φῶς ἐστιν‹, ἀπαύγασμα οὐκ εἶχε τῆς ἰδίας δόξης, ἵνα τολμήσας τις ἀρχὴν C
»δῷ εἶναι υἱοῦ πρότερον οὐκ ὄντος; πότε δὲ ἡ τῆς ἀρρήτου καὶ ἀκατονομάστου καὶ
»ἀφθέγκτου ὑποστάσεως τοῦ πατρὸς εἰκών, ὁ χαρακτήρ, ⟨ὁ⟩ λόγος ὁ 'γινώσκων τὸν
»πατέρα' οὐκ ἦν; κατανοείτω γὰρ ὁ τολμῶν καὶ λέγων· 'ἦν ποτε ὅτε οὐκ ἦν ὁ υἱός',
»ὅτι ἐρεῖ καὶ τὸ σοφία ποτὲ οὐκ ἦν καὶ λόγος οὐκ ἦν καὶ ζωὴ οὐκ ἦν«. καὶ πάλιν 3

1 Vgl. Euseb eccl. theol. III 2, 12. 14 (141, 14. 26): τὸ »κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ« ἀντὶ τοῦ κατέταξέν με εἰς τὸ ἄρχειν τῶν ἔργων αὐτοῦ λέλεκται, also das Argument des Dionysius v. Rom traf die Gegner des Athanasius nicht 4 Dtn. 32, 6 6 Vgl. Col. 1, 15; vgl. Ps. 109, 3 7 Vgl. Prov. 8, 25 14 Joh. 10, 30; 14, 10 17 Vgl. die Anathematismen, unten c. 37 S. 36, 40 19 Vgl. oben zu S. 20, 34 20 Origenes wird gegen seine Gegner, die aber nicht die des Athanasius sind, in Schutz genommen, vgl. Euseb c. Marc. I 4, 18 ff. (21, 7 ff.) und zu den anderen Stellen bei Athanasius über Origenes die Zeugnisse in Koetschaus Ausgabe von de principiis S. XVI f. 23—S. 24, 3 Origenes de princ. IV 4, 1 (349, 15 ff.) 25 f. I. Joh. 1, 5 26 Vgl. Hebr. 1, 3 28 Joh. 10, 15 30 Vgl. I. Cor. 1, 24

BKPO REFV 19 ἐξέστω — S. 24, 3 νοηθήσεται (es fehlt 19 ἃ μὲν — 23 οὕτως) = Cramer S. 361, 32—362, 12 (= Cat.) im Anschluß an das Theognostzitat oben S. 20, 34

2 ὑπέστησε F 3 γε > V | λέγοιτ' ἂν νῦν ~ V 4 ἐκτίσατο E^c V | ἔκτισε] ἔπλασε V 7 ὡς] ἐν K 8 γεγεννῆσθαι] γεγέννησε R γεγένησε E τὸ ἐγέννησεν V γεγεννῆσθαι R^c 9 ψεύδη Comm. Montf. ψευδῆ Hss. 10 οἱ] ἢ EV 17 ⟨ἐξ⟩ Op. 18 ⟨γέννημα⟩ Op. | ὡς > F 19 ἐξέστω + δὲ F 20 ἀλλὰ BPOREF ἀλλ' ἃ KV Montf. 21 ⟨ἃ δὲ⟩ Op. Gegensatz zu 19 ἃ μέν, so hat Montf. auch in seiner Übersetzung ergänzt | τοῦτο KPOREF τούτου B ταῦτα V 22 τὸ > V 23 εἰκὼν > Cat. | τοῦ[1] > F 24 ἡ εἰκών V | προσθείην ἂν τολμήσας ~ Cat. 25 τοῦ > EV Cat. | τὸν > F 26 ὁ θεὸς γὰρ φῶς ἐστιν > Cat. | τῆς ἰδίας δόξης οὐκ εἶχεν ~ K 27 δὲ] δὴ F | ἡ] ὁ V > Cat. 28 εἰκών > REFV Cat. | ὁ[1] > V | ⟨ὁ⟩ Op.] καὶ V 30 καὶ λόγος οὐκ ἦν > Cat.

ἐν ἑτέροις οὕτω λέγει· »ἀλλ' οὐ θέμις ἐστὶν οὐδὲ ἀκίνδυνον διὰ τὴν ἀσθένειαν ἡμῶν τὸ
»ὅσον ἐφ' ἡμῖν ἀποστερεῖσθαι τὸν θεὸν τοῦ ἀεὶ συνόντος αὐτῷ λόγου μονογενοῦς, σο-
»φίας ὄντος ᾗ προσέχαιρεν· οὕτω γὰρ οὐδὲ ἀεὶ χαίρων νοηθήσεται«.
4 Ἰδοὺ ἡμεῖς μὲν ἐκ πατέρων εἰς πατέρας διαβεβηκέναι τὴν τοιαύτην διάνοιαν ἀπο-
D δεικνύομεν, ὑμεῖς δέ, ὦ νέοι Ἰουδαῖοι καὶ τοῦ Καιάφα μαθηταί, τίνας ἄρα τῶν ῥημάτων
ὑμῶν ἔχετε δεῖξαι πατέρας; ἀλλ' οὐδένα τῶν φρονίμων καὶ σοφῶν ἂν εἴποιτε· πάντες
γὰρ ὑμᾶς ἀποστρέφονται, πλὴν μόνου τοῦ διαβόλου. μόνος γὰρ ὑμῖν οὗτος τῆς τοιαύτης
ἀποστασίας πατὴρ γέγονεν, ὁ καὶ κατὰ τὴν ἀρχὴν ὑμῖν ἐπισπείρας τὴν ἀσέβειαν ταύτην
M 468 A καὶ νῦν λοιδορεῖν τὴν οἰκουμενικὴν σύνοδον πείσας ὑμᾶς, ὅτι μὴ τὰ ' ὑμέτερα ἀλλὰ ταῦτα
γεγράφασιν, ἅπερ οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου γενόμενοι παρα-
5 δεδώκασιν. ἣν γὰρ ἡ σύνοδος ἐγγράφως ὡμολόγησε πίστιν, αὕτη τῆς καθολικῆς
ἐκκλησίας ἐστί. ταύτην ἐκδικοῦντες οἱ μακάριοι πατέρες οὕτως ἔγραψαν καὶ κατέκριναν
τὴν ἀρειανὴν αἵρεσιν· διὸ μάλιστα καὶ διαβάλλειν τὴν σύνοδον ἐπιχειροῦσιν. οὐ γὰρ
αἱ λέξεις αὐτοὺς λυποῦσιν, ἀλλ' ὅτι ἐν αὐταῖς ἀπεδείχθησαν αἱρετικοὶ καὶ τῶν ἄλλων
B αἱρέσεων τολμηρότεροι.
28,1 Ἀμέλει τῶν λεξειδίων αὐτῶν δειχθέντων τότε φαύλων καὶ ἀεὶ δὲ εὐελέγκτων ὄντων
B 234 ὡς ἀσεβῶν ἐχρήσαντο παρ' Ἑλλήνων λοιπὸν τὴν λέξιν τοῦ ἀγενήτου, ' ἵνα προφάσει
καὶ τούτου τοῦ ὀνόματος ἐν τοῖς γενητοῖς πάλιν καὶ τοῖς κτίσμασι συναριθμῶσι τὸν τοῦ
θεοῦ λόγον, δι' οὗ αὐτὰ τὰ γενητὰ γέγονεν· οὕτως εἰσὶ πρὸς ἀσέβειαν ἀναίσχυντοι καὶ
2 πρὸς τὰς τοῦ κυρίου βλασφημίας φιλόνεικοι. εἰ μὲν οὖν ἀγνοοῦντες τὸ ὄνομα οὕτως
ἀναισχυντοῦσιν, ἔδει μαθεῖν αὐτοὺς παρὰ τῶν αὐτοῖς δεδωκότων αὐτό, ὅτι καὶ ὃν λέ-
γουσιν ἐκ τοῦ ἀγαθοῦ νοῦν καὶ τὴν ἐκ τοῦ νοῦ ψυχήν, καίτοι γινώσκοντες τὸ ἐξ ὧν εἰσιν
οὐκ ἐφοβήθησαν ὅμως καὶ αὐτὰ εἰπεῖν ἀγένητα εἰδότες, ὅτι καὶ τοῦτο λέγοντες οὐκ ἐλατ-
C τοῦσι τὸ πρῶτον ἐξ οὗ καὶ ταῦτα πέφυκε, καὶ ἢ καὶ αὐτοὺς οὕτω λέγειν ἢ μηδ' ὅλως
λέγειν περὶ ὧν οὐκ ἴσασιν. εἰ δὲ νομίζουσι γινώσκειν, ἀναγκαῖον αὐτοὺς ἐρωτῆσαι, ἐπεὶ

2 f. Vgl. Prov. 8, 30   16 Zu c. 28 u. ff. vgl. or. I. c. Arianos 30 ff.; die Ausführungen dort finden sich großenteils in de decretis wörtlich wieder, allerdings im ganzen verkürzt, so daß de decretis gerade in diesem Teil ein Compendium der Arianerreden ist. Daß die Abschnitte aus or. I. c. Arianos entnommen sind, hat A. Stülcken, Athanasiana (Texte u. Unters. N. F. 4, 4 S. 48 f.) mit Recht bewiesen, und nach Stülcken J. Gummerus, die homöusianische Partei bis zum Tode des Konstantius S. 186 ff. bestätigt. Vgl. ferner de synodis c. 46 ff., welche Abschnitte von de decretis abhängig sind. Die folgenden Ausführungen sind ein Anhang zur Erklärung der nicänischen Beschlüsse, die eigentlich mit dem Väterbeweis abgeschlossen wäre. Veranlaßt wurde Athanasius dazu, weil seine Gegner sich wohl auf ein Wort des Asterius (siehe Komm. zu S. 25, 9) beriefen und ihre Logostheorie im Anschluß an die von Plato (Phaedrus 245 C D, und für die Prinzipienlehre: Timaeus 52 A) zuerst gebrauchte Definition der Seele entwickelten. Die Schreibung und das Verständnis von ἀγένητος und ἀγέννητος geht nicht nur in den Handschriften durcheinander, sondern die Theologen brauchten die Wörter vermischt (vgl. Journal of theol. Studies 24, 486 ff.). Alle kirchlichen Theologen und die Arianer lehnen das Prädikat ἀγέννητος für den Logos ab, um sich gegen die Zweigötterlehre abzugrenzen. Die Darstellung des Athanasius ist hier zutreffend, wenn er besonders c. 29 S. 25, 30 sagt, man habe durch die Definition des ἀγένητον als τὸ μὴ ἔχον τοῦ εἶναι τὸν αἴτιον den Logos von Gott distanzieren wollen   17 In der Schrift des Ps. Anthimus ad Theodorum de sancta ecclesia (Studi e testi 5 S. 95 ff.), übrigens einem einzigartigen Dokument aus dem arianischen Streit, wird mit Sachkenntnis die Theologie des Asterius und Euseb von Cäsarea von den griechischen Philosophen (Hermes Trismegistus und Plato) abgeleitet und gezeigt, daß Euseb zum ἀγέννητος (so!) durch die von Hermes bzw. Plato übernommene Theorie vom πρῶτος und δεύτερος θεός gekommen sei (S. 97, 64)

BKPO REFV

1 λέγει οὕτως ~ K | ἡμῶν ἀσθένειαν ~ Cat. | ἡμῶν + διὰ EV | τὸ > Cat.   2 ἡμῖν] ἡμῶν B   9 λοιδορεῖν > P   10 γενόμενοι τοῦ λόγου ~ V   17 τῇ λέξει F | ἀγεννήτου R*EFV   18 γεννητοῖς V* γενητοῖς V^{c} 19 αὐτὰ τὰ γενητὰ] ταῦτα K   23 ἀγένητα + καὶ F

μάλιστα καὶ οὐκ ἔστιν ἐκ τῶν θείων γραφῶν ἡ λέξις, ἀλλὰ πάλιν ἀγράφως λαλοῦντες
φιλονεικοῦσιν. ἐγὼ μὲν γὰρ τὴν αἰτίαν καὶ τὴν διάνοιαν, καθ' ἣν ἡ σύνοδος τὸ ἐκ 3
τῆς οὐσίας καὶ τὸ ὁμοούσιον συμφώνως τοῖς ἐκ τῶν γραφῶν περὶ τοῦ σωτῆρος εἰρημένοις
καὶ ὅσοι πρὸ αὐτῶν ἐξέθεντο πατέρες καὶ ἔγραψαν, | διηγησάμην· καὶ αὐτοὶ δέ, εἴπερ M 469 A
ἄρα δύνανται, ἀποκρινέσθωσαν, πῶς εὗρον τὴν ἄγραφον ταύτην λέξιν, ἢ ποίᾳ διανοίᾳ
τὸν θεὸν ἀγένητον λέγουσι. διαφόρους γὰρ σημασίας ἔχειν τὸ ὄνομα ἀκήκοα. λέ- 4
γεσθαι γάρ φασιν ἀγένητον τὸ μήπω μὲν γενόμενον, δυνάμενον δὲ γενέσθαι, καὶ πάλιν
τὸ μήτε ὑπάρχον μήτε δυνάμενον εἰς τὸ εἶναι γενέσθαι, καὶ τρίτον ἐστὶν αὐτοῦ σημαινό-
μενον τὸ ὑπάρχον μέν, μήτε δὲ γενητὸν μήτε ἀρχὴν ἐσχηκὸς εἰς τὸ εἶναι, ἀλλ' ἀίδιον ὂν
καὶ ἀδιάφθορον. ἴσως μὲν οὖν τὰς πρώτας δύο διανοίας παρελθεῖν ἐθελήσουσι διὰ 5
τὸ ἐκεῖθεν ἄτοπον· κατὰ γὰρ τὴν πρώτην ἔσται τά τε ἤδη γινόμενα καὶ τὰ προσδοκώ-
μενα γενέσθαι ἀγένητα· τὸ γὰρ δεύτερον πλέον ἔχει τούτου τὸ ἄτοπον. ἐπὶ δὲ τὴν
τρίτην λοιπὸν βαδιοῦνται κατ' αὐτὴν ὀνομάζοντες τὸ ἀγένητον. ἀλλὰ καὶ τοῦτο λέ- B
γοντες οὐδὲν ἧττόν εἰσιν ἀσεβεῖς. εἰ γὰρ τὸ μὴ ἔχον ἀρχὴν εἰς τὸ εἶναι μηδὲ γενητὸν 6
ἢ κτιστόν, ἀλλ' ἀίδιον ὄν, τοῦτο λέγουσιν ἀγένητον, τοὐναντίον δὲ τούτων εἶναι τὸν
τοῦ θεοῦ λόγον, τίς οὐ συνορᾷ τὴν πανουργίαν τῶν θεομάχων; τίς οὐκ ἂν αὐτοὺς οὕτω
μαινομένους καταλιθώσειεν; ἐπειδὴ γὰρ αἰσχύνονται προφέρειν ἔτι τὰ πρῶτα τῶν μύθων
ἑαυτῶν λογάρια, ἐφ' οἷς κατεγνώσθησαν, ἄλλως πάλιν αὐτὰ σημαίνειν ἐπενόησαν οἱ
δείλαιοι | διὰ τοῦ ὀνόματος τοῦ ὡς αὐτοὶ λέγουσιν ἀγενήτου. εἰ γὰρ ὁ υἱὸς τῶν γενητῶν B 235
ἐστι, δηλονότι ἐξ οὐκ ὄντων καὶ αὐτὸς γέγονε, καὶ εἰ ἀρχὴν ἔχει τοῦ εἶναι, οὐκ ἦν ἄρα
πρὶν γεννηθῇ, καὶ εἰ μή ἐστιν ἀίδιος, ἦν ποτε ὅτε οὐκ ἦν. C
Ἔδει οὖν ταῦτα πάλιν αὐτοὺς φρονοῦντας ἐν αὐτοῖς τοῖς ἰδίοις αὐτῶν ῥήμασι 29, 1
σημαίνειν ἑαυτῶν τὴν ἑτεροδοξίαν καὶ μὴ τῇ λέξει δῆθεν τοῦ ἀγενήτου σκέπειν ἑαυτῶν
τὴν κακόνοιαν. ἀλλ' οὐ ποιοῦσι τοῦτο οἱ κακοήθεις, πάντα δὲ κατὰ τὸν πατέρα ἑαυ-
τῶν τὸν διάβολον μετὰ πανουργίας πράττουσιν. ὡς γὰρ ἐκεῖνος μετὰ ἀλλοτρίων ἐνδυ-
μάτων ἀπατᾶν ἐπιχειρεῖ, οὕτως οὗτοι τὸ ἀγένητον ἐπενόησαν ὀνομάζειν, ἵνα προσποιού-
μενοι τὸν θεὸν εὐφημεῖν κεκρυμμένην ἔχωσι τὴν κατὰ τοῦ κυρίου βλασφημίαν καὶ μετὰ
καλύμματος αὐτὴν ἄλλοις σημαίνωσιν. ἀλλὰ καὶ τούτου τοῦ σοφίσματος αὐτῶν γνωσθέν-
τος, τί ἄρα πάλιν αὐτοῖς ἕτερον περιλείπεται, λεγέτωσαν. εὕρομεν, φασὶν οἱ κακοῦργοι 2
καὶ προστιθέντες τοῖς προτέροις λέγουσιν, ἀγένητον εἶναι τοῦτο τὸ μὴ ἔχον τοῦ εἶναι τὸν D

6—10 = or. I. c. Arianos 30 (Migne 26, 73 C). Nach or. I. c. Arianos wiederholt von Cyrill v. Alex. Thesaurus ass. I (Migne PG 75, 24 A). Die drei Definitionen gehen über nicht mehr feststellbare, gewiß aber neuplatonische Quellen auf Aristoteles de coelo I 11 (p. 280 b 1 ff. ed. acad. Boruss.) zurück; jedoch fehlt die erste aristotelische Definition, die hier durch eine dritte ersetzt ist. Diese dritte erklärt aber ἀγένητος nach Plato vgl. die Stellen oben zu S. 24, 16. Vgl. die Erklärungen bei Themistius: in libros A. de caelo paraphrasis A 11 (V p. 64, 35 ff. ed. acad. Boruss.) und Simplicius: in lib. de caelo I 11 (VII p. 313, 15 ff. u. p. 119, 25 ff. ed. acad. Boruss.), der Athanasius def. 2 mit τὸ ὅλως ἀδύνατον γενέσθαι erklärt (Gegen P. Stiegele, Der Agennesiebegriff i. d. griech. Theologie d. 4. Jhdts. S. 56 A. 4)
9 f. Asterius nach or. I. c. Arianos 30 (Migne 26, 76 A): ἀγένητον εἶναι τὸ μὴ ποιηθέν, ἀλλ' ἀεὶ ὄν
25 Vgl. Mt. 7, 15 30 Vgl. Athanasius de synodis 46 (Migne 26, 776 A) und Synode in Antiochien 344 in de synodis 26 IV (Migne 26, 729 B/C)

BKPO REFV

6 ἀγέννητον PRE* ἀγένητον E^c | a. Rd. περὶ ἀγενήτου E | ἀκήκοα τὸ ὄνομα ~ F 7 ἀγένητον R^cE^c ἀγέννητον R^*E^* | μὲν > EV | μὲν + ἀγένητον B, aber exp. 8 a. Rd.: τὸ ἀγένητον ἐν τῷ περὶ οὐρανοῦ ᾱ F sp. Hd. 9 γεννητὸν R^* γενητὸν R^c | μήτε^2 + δὲ E 11 γινόμενα W. Jaeger vgl. Simplicius p. 314, 20 γενόμενα Hss. 12 ἀγέννητα R^*F ἀγένητα R^c | γὰρ] δὲ K 13 ἀγέννητον R 15 τούτων V Montf. τοῦτον BKPOREF 17 καταλιθάσειεν V | ἔτι] οὕτω O 22 αὐτῶν] ἑαυτῶν REFV 23 ἀγενήτου R^cE^c ἀγεννήτου R^*E^* 26 ἀγένητον R^cE^c ἀγέννητον R^*E^* | ὀνομάζειν ἐπενόησαν ~ REV | ὀνομάζειν > F 28 αὐτῶν] αὐτοῖς B 29 φησὶν BPORE 30 καὶ — λέγουσιν > V | ἀγένητον R^cE^c ἀγέννητον R^*E^*

αἴτιον, ἀλλὰ καὶ τοῖς γενητοῖς αὐτὸν αἴτιον εἰς τὸ γενέσθαι τυγχάνοντα. ἀχάριστοι
καὶ τῷ ὄντι τῶν γραφῶν ἀνήκοοι, οἱ μὴ διὰ τιμὴν τὴν εἰς τὸν θεόν, ἀλλὰ διὰ τὴν εἰς τὸν
υἱὸν ἀτιμίαν πάντα καὶ ποιοῦντες καὶ λαλοῦντες οὐκ εἰδότες, ὅτι ὁ τὸν υἱὸν ἀτιμάζων
3 ἀτιμάζει τὸν πατέρα. πρῶτον μὲν γὰρ κἂν οὕτω τὸν θεὸν ὀνομάζωσιν, οὐ δείκνυται
M 472 A τῶν γενητῶν ὁ λόγος. τῆς γὰρ οὐσίας τοῦ πατρὸς ὡς γέννημα πάλιν οὕτως | παρ' αὐτῷ
ἐστιν ἀιδίως. οὐ γὰρ τὸ ὄνομα τοῦτο παραιρεῖ τὴν τοῦ λόγου φύσιν, οὐδὲ πάλιν τὸ
4 ἀγένητον πρὸς τὸν υἱὸν ἔχει τὸ σημαινόμενον, ἀλλὰ πρὸς τὰ διὰ τοῦ υἱοῦ γενόμενα. καὶ
ὥσπερ ὁ τὸν ἀρχιτέκτονα προσφωνῶν καὶ λέγων δημιουργὸν οἰκίας ἢ πόλεως οὐ συναριθ-
μεῖ τῷ ὀνόματι τούτῳ τὸν ἐξ αὐτοῦ γεννηθέντα υἱόν, ἀλλὰ διὰ μὲν τὴν εἰς τὰ ἔργα τέχνην
καὶ τὴν ἐπιστήμην σημαίνων μὴ εἶναι αὐτὸν τοιοῦτον, οἷά ἐστι τὰ παρ' αὐτοῦ γε-
νόμενα, δημιουργὸν αὐτὸν καλεῖ, τὴν δὲ φύσιν τοῦ ποιήσαντος εἰδὼς οἶδεν ἄλλον εἶναι
παρὰ ταῦτα τὸν ἐξ αὐτοῦ γεννηθέντα καὶ διὰ μὲν τὸν υἱὸν πατέρα αὐτὸν καλεῖ, διὰ δὲ
τὰ ἔργα κτίστην καὶ ποιητήν. τὸν αὐτὸν τρόπον ὁ λέγων οὕτως τὸν θεὸν ἀγένητον ἐκ
B τῶν ἔργων αὐτὸν ὀνομάζει σημαίνων μὴ μόνον μὴ εἶναι αὐτὸν γενητόν, ἀλλ' ὅτι καὶ τῶν
γενητῶν ποιητής ἐστιν, οἶδε μέντοι τὸν λόγον ἄλλον ὄντα τῶν γενητῶν καὶ μόνον ἴδιον
τοῦ πατρὸς γέννημα, δι' οὗ καὶ τὰ πάντα γέγονε καὶ συνέστηκε.

30,1 Καὶ γὰρ καὶ παντοκράτορα τὸν θεὸν οἱ προφῆται λέγοντες οὐ διὰ τὸ εἶναι τὸν λόγον
B 236 ἕνα τῶν πάντων οὕτως αὐτὸν ἐπεκαλοῦντο — ᾔδεισαν γὰρ | τὸν υἱὸν ἄλλον ὄντα τῶν
γενητῶν καὶ πάντων καὶ αὐτὸν κρατοῦντα κατὰ τὴν τοῦ πατρὸς ὁμοιότητα — ἀλλ' ὅτι
πάντων, ὧν διὰ τοῦ υἱοῦ πεποίηκεν, αὐτὸς κρατεῖ, τούτων τε τὴν ἐξουσίαν τῷ υἱῷ δέ-
δωκε καὶ δεδωκὼς πάλιν αὐτὸς τῶν πάντων διὰ τοῦ λόγου κυριεύει. πάλιν τε κύριον
τῶν δυνάμεων λέγοντες τὸν θεὸν οὐ διὰ τὸ εἶναι καὶ τὸν λόγον ἕνα τούτων τῶν δυνάμεων
C τοῦτ' ἔλεγον, ἀλλ' ὅτι τοῦ μὲν υἱοῦ πατήρ ἐστι, τῶν δὲ διὰ τοῦ υἱοῦ γενομένων δυνάμεων
2 κύριός ἐστι. καὶ γὰρ καὶ αὐτὸς πάλιν ὁ λόγος ἐν τῷ πατρὶ ὢν πάντων τούτων ἐστὶ
κύριος καὶ πάντων κρατεῖ· πάντα γάρ, ὅσα ἔχει ὁ πατήρ, τοῦ υἱοῦ ἐστιν. ὥσπερ οὖν
τοῦτο τοιοῦτον ἔχει τὸν νοῦν, οὕτως ὁ βουλόμενος λέγειν τὸν θεὸν ἀγένητον, λεγέτω μέν,
εἰ ἅπαξ οὕτως αὐτῷ δοκεῖ, μὴ μέντοι διὰ τὸ εἶναι τὸν λόγον τῶν γενητῶν, ἀλλ' ὅτι, καθὰ
προεῖπον, ὁ θεὸς οὐ μόνον οὐκ ἔστι γενητός, ἀλλὰ καὶ τῶν γενητῶν ποιητής ἐστι διὰ
3 τοῦ ἰδίου λόγου. καὶ γὰρ καὶ οὕτως λεγομένου τοῦ πατρὸς πάλιν εἰκὼν ὁ λόγος ἐστὶ
καὶ ὁμοούσιος τοῦ πατρός· εἰκὼν δὲ ὢν αὐτοῦ ἄλλος ἂν εἴη τῶν γενητῶν καὶ τῶν πάντων.
D οὗ γάρ ἐστιν εἰκών, τούτου καὶ τὴν ἰδιότητα καὶ τὴν ὁμοίωσιν ἔχει, ὥστε τὸν λέγοντα
ἀγένητον καὶ παντοκράτορα τὸν πατέρα νοεῖν ἐν τῷ ἀγενήτῳ καὶ παντοκράτορι καὶ

7 Vgl. or. I. c. Arianos 33 (Migne 26, 80 B/C) 13 Vgl. or. I. c. Arianos 33 (Migne 26, 81 A) 17 παντοκράτωρ kommt fast ausschließlich bei den Propheten, vor allem bei Zephanja vor 21 f. κύριος τῶν δυνάμεων = Zebaoth, z. B. Ps. 45, 8 26 ff. Vgl. or. I. c. Arianos 33 (Migne 26, 80 C) 30 Vgl. or. I. c. Arianos 31 (Migne 26, 76 C) 31 ff. Die Bildspekulation gibt hier die Grundlage für die These von der Wesenseinheit von Vater und Sohn (vgl. c. 20. 23. 24), was Akakius und die Gegner des Athanasius nicht billigten vgl. Akakius bei Epiph. haer. 72, 9. 10. Überhaupt unterscheidet sich Athanasius dadurch von seinen Gegnern, daß er die Termini ὁμοίωσις, ἰδιότης und ἑνότης als Ausdrücke der ταυτότης (= Identität) faßt (vgl. besonders c. 20, 3; S. 17, 9); darin weicht er ab sowohl von Origenes (de princ. I 2, 6; S. 34, 23 f.) wie von Euseb v. Cäsarea (vgl. etwa Dem. ev. IV 3, 12; S. 154, 6 ff.; größtmögliche Einheit). Origenes bestimmt die Einheit durch die Einheit des Wirkens, ähnlich Euseb

BKPO REFV

6 παραιρεῖ BKPOR^cE^cF παραιρεῖται V παραινεῖ R*E* 13 ἀγέννητον R*F* ἀγένητον R^cF^c 14 ὅτι > EV 15 ποιητής ἐστιν] ποιητήν V 17 τὸ εἶναι > EV 20 πεποίηκε διὰ τοῦ υἱοῦ ~ F 22 οὐ διὰ — 23 τοῦτ' ἔλεγον doppelt E, jedoch beim ersten Mal statt τοῦτ' ἔλεγον: λέγοντες τὸν θεὸν (Z. 22) 25 πάντα — ἐστιν > F 26 τοῦτο] τὸ REFV | τοιοῦτον + τοῦτον F | τὸν[1] ÷ οἰκεῖον V | ἀγέννητον R*E*F ἀγένητον R^cE^c 27/28 καθὰ προεῖπον] καθάπερ εἶπον F 32 ἀγέννητον R*E* ἀγένητον R^cE^c | καὶ[2] + τῷ REFV

τὸν τούτου λόγον καὶ τὴν σοφίαν, ἥτις ἐστὶν ὁ υἱός. ἀλλ' οἱ θαυμαστοὶ καὶ εἰς ἀσέβειαν 4
εὐχερεῖς οὐ τῆς εἰς τὸν θεὸν τιμῆς φροντίζοντες ἐφεῦρον τὸ ὄνομα τοῦ ἀγενήτου, τῆς δὲ
κατὰ τοῦ σωτῆρος χάριν κακονοίας· εἰ γὰρ ἔμελεν αὐτοῖς τιμῆς καὶ εὐφημίας, ἔδει μᾶλλον,
καὶ τοῦτο βέλτιον ἦν, πατέρα τὸν θεὸν εἰδέναι τε καὶ λέγειν αὐτούς, ἢ ἐκείνως ὀνομάζειν ¦ M 473 A
αὐτούς. λέγοντες μὲν γὰρ ἐκεῖνοι τὸν θεὸν ἀγένητον ἐκ τῶν γενομένων αὐτόν, καθὰ προ-
εῖπον, ποιητὴν μόνον λέγουσιν, ἵνα καὶ τὸν λόγον ποίημα σημάνωσι κατὰ τὴν ἰδίαν
ἡδονήν· ὁ δὲ τὸν θεὸν πατέρα λέγων εὐθὺς ἐν αὐτῷ καὶ τὸν υἱὸν σημαίνει καὶ οὐκ ἀγνο-
ήσει, ὅτι υἱοῦ ὄντος διὰ τοῦ υἱοῦ τὰ γενόμενα ἐκτίσθη πάντα.
Οὐκοῦν καὶ μᾶλλον ἀληθέστερον ἂν εἴη τὸν θεὸν ἐκ τοῦ υἱοῦ σημαίνειν καὶ 31, 1
πατέρα λέγειν ἢ ἐκ μόνων τῶν ἔργων ὀνομάζειν καὶ λέγειν αὐτὸν ἀγένητον. τοῦτο
μὲν γὰρ τὰ ἐκ τοῦ βουλήματος τοῦ θεοῦ διὰ τοῦ λόγου γενόμενα ἔργα σημαίνει, τὸ B
δὲ τοῦ πατρὸς ὄνομα τὸ ἴδιον ἐκ τῆς οὐσίας αὐτοῦ γέννημα γνωρίζει. ὅσῳ
δὲ ὁ λόγος τῶν γενητῶν διαφέρει, τοσοῦτον καὶ πλέον τὸ λέγειν τὸν θεὸν πατέρα
τοῦ λέγειν ἀγένητον διαφέροι ἄν. καὶ γὰρ τοῦτο μὲν ἄγραφον καὶ ὕποπτον ποικί- 2
λην ἔχον ἐστὶ τὴν σημασίαν, ἐκεῖνο δὲ ἁπλοῦν καὶ ἔγγραφον καὶ ἀληθέστερον καὶ μό-
νον σημαῖνον τὸν υἱόν. καὶ τὸ μὲν ἀγένητον παρ' Ἑλλήνων ¦ εὕρηται τῶν μὴ γινω- B 237
σκόντων τὸν υἱόν, τὸ δὲ πατὴρ παρὰ τοῦ κυρίου ἡμῶν ἐγνώσθη καὶ κεχάρισται. καὶ
γὰρ εἰδὼς αὐτός, τίνος υἱός ἐστιν, ἔλεγεν· »ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί«, καί·
»ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα«, καί· »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«. καὶ οὐδαμοῦ
φαίνεται τὸν πατέρα καλῶν ἀγένητον αὐτός, ἀλλὰ καὶ ἡμᾶς εὔχεσθαι διδάσκων οὐκ εἶπεν·
ὅταν δὲ προσεύχησθε, λέγετε· 'θεὸς ἀγένητε', ἀλλὰ μᾶλλον· »ὅταν προσεύχησθε, λέγετε· C
πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς«. καὶ τὸ κεφάλαιον δὲ τῆς πίστεως ἡμῶν εἰς τοῦτο 3
συντείνειν ἠθέλησεν· ἐκέλευσε γὰρ ἡμᾶς βαπτίζεσθαι οὐκ εἰς ὄνομα ἀγενήτου καὶ γενητοῦ
οὐδὲ εἰς ὄνομα ἀκτίστου καὶ κτίσματος, ἀλλ' εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύ-
ματος. οὕτως γὰρ τελειούμενοι υἱοποιούμεθα καὶ ἡμεῖς ἀληθῶς, καὶ τὸ τοῦ πατρὸς
δὲ ὄνομα λέγοντες ἐπιγινώσκομεν ἐκ τοῦ ὀνόματος τούτου καὶ τὸν ἐν τῷ πατρὶ λόγον.
εἰ δὲ καὶ πατέρα θέλει λέγειν ἡμῶν τὸν ἴδιον ἑαυτοῦ πατέρα, οὐ χρὴ διὰ τοῦτο συνεκτεί- 4
νειν ἑαυτοὺς τῷ υἱῷ κατὰ τὴν φύσιν. καὶ τοῦτο γὰρ δι' αὐτὸν λέγεται παρ' ἡμῶν. ἐπειδὴ
γὰρ τὸ ἡμέτερον ὁ λόγος ἐφόρεσε σῶμα καὶ γέγονεν ἐν ἡμῖν, ἀκολούθως διὰ τὸν ἐν ἡμῖν D
λόγον καὶ ἡμῶν ὁ θεὸς λέγεται πατήρ. τὸ γὰρ ἐν ἡμῖν πνεῦμα τοῦ λόγου δι' ἡμῶν
τὸν ἑαυτοῦ πατέρα ὡς ἡμῶν ὀνομάζει· οὗτος τοῦ ἀποστόλου νοῦς ἐστι λέγοντος·
»ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν κρᾶζον· ἀββᾶ
ὁ πατήρ«.

---

7 = or. I. c. Arianos 33 (Migne 26, 81 A); vgl. Origenes de princ. I 2, 10 (41, 11) und besonders Dionysius Alex. (Athanasius de sent. Dion. 17; Migne 25, 504 C; Feltoe 192, 1 ff.): πατέρα εἶπον καὶ πρὶν ἐπαγάγω τὸν υἱὸν ἐσήμανα καὶ τοῦτον ἐν τῷ πατρί. υἱὸν ἐπήγαγον· εἰ καὶ μὴ προειρήκειν τὸν πατέρα, πάντως ἂν ἐν τῷ υἱῷ προείληπτο 9—26 λόγον = or. I. c. Arianos 34 (Migne 26, 81 A—84 A), nur unbedeutend hier und da gekürzt 18 Joh. 14, 10. 9 19 Joh. 10, 30 21 Mt. 6, 9 24 Vgl. Mt. 28, 19 29 Vgl. die gleiche Argumentation in or. II. c. Arianos 59 (Migne 26, 273 B) 32 Gal. 4, 6

BKPO REFV

---

2 δὲ > F 3 ἔμελλεν EV 4 αὐτούς] αὐτοῦ F 9 μᾶλλον R^{c}V μᾶλλον + ἢ BKPOR*EF or. I. c. Arianos 34 13 τοσοῦτον] τοσούτῳ EV or. I. c. Arianos 34 14 ἀγέννητον R*E* ἀγένητον R^{c}E^{c} | ὕποπτον + καὶ V 15 ἐστὶ τὴν σημασίαν KPOREFV or. I. c. Arianos 34 τὴν σημασίαν ἐστίν ~ B Montf. | ἐκεῖνο] ἐκεῖ B 16 ἀγέννητον E* ἀγένητον E^{c} 18 ἐστιν υἱός ~ REFV or. I. c. Arianos 34 20 ἀγέννητον R*E* ἀγένητον R^{c}E^{c} 21 θεὸς E^{c} θὲ (= θεὸς) BKOV θεὲ PRE*(?)F or. I. c. Arianos 34 einige Hss. | ἀγέννητε E* ἀγένητε E^{c} | μᾶλλον > F 23 ἀγεννήτου E* ἀγενήτου E^{c} 24 κτίσματος] κτιστοῦ F 27 καὶ + ἡμᾶς R*EFV, ausradiert R^{c} | ἑαυτοῦ] αὐτοῦ EV 29 ὁ λόγος τὸ ἡμέτερον ~ K | ἐν^{1} > E 31 οὗτος + δὲ REFV

32,1 Ἀλλ' ἴσως καὶ διὰ τὸ ὄνομα τὸ ἀγένητον ἐλεγχθέντες πονηροὶ τὸν τρόπον ὄντες
ἐθελήσουσι καὶ αὐτοὶ λέγειν· ἔδει καὶ περὶ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ
M 476 A ἐκ τῶν γραφῶν τὰ | περὶ αὐτοῦ γεγραμμένα λέγεσθαι καὶ μὴ ἀγράφους ἐπεισάγεσθαι
λέξεις. ναὶ ἔδει, φαίην ἂν καὶ ἔγωγε, ἀκριβέστερα γὰρ ἐκ τῶν γραφῶν μᾶλλον ἢ ἐξ ἑτέρων
ἐστὶ τὰ τῆς ἀληθείας γνωρίσματα· ἀλλ' ἡ κακοήθεια καὶ μετὰ πανουργίας παλίμβολος
ἀσέβεια τῶν περὶ Εὐσέβιον ἠνάγκασε, καθὰ προεῖπον, τοὺς ἐπισκόπους λευκότερον
2 ἐκθέσθαι τὰ τὴν ἀσέβειαν αὐτῶν ἀνατρέποντα ῥήματα. καὶ τὰ μὲν παρὰ τῆς συνόδου
γραφέντα διάνοιαν ὀρθὴν ἔχοντα δέδεικται, τῶν δ' Ἀρειανῶν καὶ τὰ λογάρια σαθρὰ καὶ
ὁ τρόπος πονηρὸς ἐφάνη. καὶ γὰρ καὶ τὸ ἀγένητον ὄνομα, ἰδίαν ἔχον διάνοιαν καὶ δυνά-
μενον εὐσεβῶς προφέρεσθαι, αὐτοὶ πάλιν κατὰ τὴν ἰδίαν ἐνθύμησιν ὡς ἠθέλησαν ὀνομάζου-
3 σιν ἐπ' ἀτιμίᾳ τοῦ σωτῆρος, ἵνα μόνον ὡς γίγαντες θεομαχεῖν φιλονεικῶσιν. ἀλλ' οὔτε
B ἐκεῖνα τὰ λογάρια προφέροντες ἔμειναν ἀκατάγνωστοι | οὔτε τὸ ἀγένητον καλῶς καὶ
εὐσεβῶς δυνάμενον ὀνομάζεσθαι, ὅμως κακῶς αὐτοὶ φρονοῦντες λαθεῖν οὐκ ἠδυνήθησαν·
κατῃσχύνθησαν γὰρ ἐν πᾶσι καὶ ἡ αἵρεσις αὐτῶν ἐστηλιτεύθη πανταχοῦ.
4 Ταῦτα μέν, ὡς ἠδυνήθην, ἀπομνημονεύσας τὰ ἐν τῇ συνόδῳ τότε πραχθέντα δεδή-
B 338 λωκα, | οἶδα δὲ ὅτι τῶν χριστομάχων οἱ φιλέριδες οὐδὲ τούτων ἀκούσαντες μεταβάλ-
λεσθαι θελήσουσιν, ἀλλὰ περιδραμοῦνται πάλιν ἑτέρας ζητοῦντες προφάσεις καὶ μετὰ
ταύτας πάλιν ἑτέρας ἐπινοήσουσι. κατὰ γὰρ τὸ προφητικὸν »εἰ ἀλλάξεται Αἰθίοψ τὸ
δέρμα αὐτοῦ καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς« καὶ αὐτοὶ θελήσουσιν εὐσεβῶς φρονεῖν
5 μεμαθηκότες ἀσεβεῖν. σὺ μέντοι, ἀγαπητέ, δεξάμενος ἔντυχε κατὰ σαυτόν, καὶ εἰ δοκι-
C μάσειας καλῶς ἔχειν, ἀνάγνωθι καὶ τοῖς τότε παροῦσιν ἀδελφοῖς, ἵνα καὶ αὐτοὶ ταῦτα
μαθόντες ἀποδέξωνται μὲν τῆς συνόδου τὸν ζῆλον τῆς ἀληθείας καὶ τὴν τῆς διανοίας ἀκρί-
βειαν, καταγνῶσι δὲ τῆς τόλμης τῶν χριστομάχων Ἀρειανῶν καὶ τῶν ματαίων προφά-
σεων αὐτῶν, ἃς τῆς ἀσεβοῦς ἑαυτῶν χάριν αἱρέσεως ἀναπλάττειν ἐν αὐτοῖς μεμελετή-
κασιν· ὅτι τῷ θεῷ καὶ πατρὶ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ συνανάρχῳ αὐτοῦ
υἱῷ καὶ λόγῳ ἅμα τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ εἰς τοὺς ἀτελευτήτους
αἰῶνας τῶν αἰώνων. ἀμήν.

Εὐσεβίου Καισαρέως τοῦ ἀρειανόφρονος ἐπιστολὴ πρὸς τοὺς τῆς παροικίας αὐτοῦ.

33,1 Τὰ περὶ τῆς ἐκκλησιαστικῆς πίστεως πραγματευθέντα κατὰ τὴν μεγάλην σύνοδον
τὴν ἐν Νικαίᾳ συγκροτηθεῖσαν εἰκὸς μὲν ὑμᾶς, ἀγαπητοί, καὶ ἄλλοθεν μεμαθηκέναι, τῆς

6 Oben c. 19, 2. 5 S. 16, 6. 23   10 Vgl. den gleichen Gedanken or. I. c. Arianos 33 (Migne 26, 80 B)   18 Jer. 13, 23   28 Athanasius hat bereits oben c. 3 S. 3, 22 angekündigt, daß der Brief Eusebs hier folgen soll. Dieser wie die übrigen Briefe, die ausschließlich mit Nicäa in Verbindung stehen (auch c. 39. 40 läßt Athanasius als Urkunden für Nicäa gelten), sollen die Häresie der Arianer beweisen. Daß das Aktenfaszikel wirklich zu der Schrift de decretis gehört, hat gegen Loeschcke (Rhein. Mus. N. F. 59 (1904) 451 ff.) E. Schwartz (Nachr. d. Gött. Ges. d. Wiss. 1904, 391 ff.) bewiesen. Es sei noch darauf hin-

BKPO REFVV¹   4 μᾶλλον — 27 von jüngerem Schreiber in Cod. V wiederholt = V¹; vgl. Überlieferungsgeschichte S. 89   Ab 28: BKOR

1 ἴσως + μὲν F | ἀγέννητον E*V* ἀγένητον EᶜVᶜ   2 καὶ σωτῆρος ἡμῶν > EV   7 αὐτῶν > F   9 ἀγέννητον E* ἀγένητον Eᶜ   12 ἀγέννητον V¹   13 φρονοῦντες αὐτοὶ ∼ F   16 οὐδὲ — 17 ἀλλὰ > F   16/17 μεταβαλέσθαι BKPREV¹   17 περιδραμοῦνται + τοῦτοι exp. B   20/21 δοκιμάσεις V¹   22 ἀποδέξονται RE   23 τόλμης K (wohl Konjektur des Schreibers, τῆς ist letztes Wort der Zeile, τόλμης dazugestellt, doch ist dieses oder ein ähnliches Wort erforderlich, vgl. Z. 23 Cod. B) >BPOREFV¹ | nach Ἀρειανῶν Lücke von ca. 10 Buchstaben B   24 χάριν αἱρέσεως ἑαυτῶν ∼ B | ἑαυτῶν] αὐτῶν F > K | ἑαυτοῖς F   25 συνανάρχῳ] συνάρχῳ E ἀνάρχῳ F συν vom Schreiber über αναρχῳ K   26 νῦν + καὶ ἀεὶ F | τοὺς > P | ἀτελευτήτους > FP   27 τῶν αἰώνων > F   28 a. Rd. μϛ̄ B λη̄ K κη̄ R | τοῦ ἀρειανόφρονος > R

φήμης προτρέχειν εἰωθυίας τὸν περὶ τῶν πραττομένων ἀκριβῆ λόγον. ἀλλ' ἵνα μὴ ἐκ
τοιαύτης ἀκοῆς τὰ τῆς ἀληθείας ἑτεροίως ὑμῖν ἀπαγγέλληται, ἀναγκαίως διεπεμψάμεθα
ὑμῖν πρῶτον μὲν τὴν ὑφ' ἡμῶν προταθεῖσαν περὶ τῆς πίστεως γραφήν, ἔπειτα τὴν δευτέ-
ραν, ἣν ταῖς ἡμετέραις φωναῖς προσθήκας ἐπιβαλόντες ἐκδεδώκασιν. τὸ μὲν οὖν παρ' 2
ἡμῶν γράμμα ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου ἡμῶν βασιλέως ἀναγνωσθὲν εὖ τε ἔχειν
καὶ δοκίμως ἀποφανθὲν τοῦτον ἔχει τὸν τρόπον·

»Καθὼς παρελάβομεν παρὰ τῶν πρὸ ἡμῶν ἐπισκόπων καὶ ἐν τῇ πρώτῃ κατηχήσει 3
καὶ ὅτε τὸ λουτρὸν ἐλαμβάνομεν καὶ καθὼς ἀπὸ τῶν θείων γραφῶν μεμαθήκαμεν καὶ ὡς
ἐν τῷ πρεσβυτερίῳ καὶ ἐν αὐτῇ τῇ ἐπισκοπῇ ἐπιστεύομέν τε καὶ ἐδιδάσκομεν, οὕτως καὶ
νῦν πιστεύοντες τὴν ἡμετέραν πίστιν ὑμῖν προσαναφέρομεν· ἔστι δὲ αὕτη·

»Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα, παντοκράτορα, τὸν τῶν ἁπάντων ὁρατῶν τε καὶ 4
ἀοράτων ποιητήν, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ θεοῦ λόγον, θεὸν ἐκ θεοῦ,
φῶς ἐκ φωτός, ζωὴν ἐκ ζωῆς, υἱὸν μονογενῆ, πρωτότοκον πάσης κτίσεως, πρὸ πάντων
τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεγεννημένον, δι' οὗ καὶ ἐγένετο τὰ πάντα· τὸν διὰ τὴν ἡμε-
τέραν σωτηρίαν σαρκωθέντα καὶ | ἐν ἀνθρώποις πολιτευσάμενον καὶ παθόντα καὶ ἀνα- B 239
στάντα τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθόντα πρὸς τὸν πατέρα καὶ ἥξοντα πάλιν ἐν δόξῃ κρῖναι
ζῶντας καὶ νεκρούς. πιστεύομεν δὲ καὶ εἰς ἓν πνεῦμα ἅγιον. τούτων ἕκαστον εἶναι 5
καὶ ὑπάρχειν πιστεύοντες πατέρα ἀληθῶς πατέρα καὶ υἱὸν ἀληθῶς υἱὸν καὶ πνεῦμα
ἅγιον ἀληθῶς ἅγιον πνεῦμα, καθὼς καὶ ὁ κύριος ἡμῶν ἀποστέλλων εἰς τὸ κήρυγμα τοὺς
ἑαυτοῦ μαθητὰς εἶπεν· 'πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς
τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος'. περὶ ὧν καὶ διαβεβαιούμεθα
οὕτως ἔχειν καὶ οὕτως φρονεῖν καὶ πάλαι οὕτως ἐσχηκέναι καὶ μέχρι θανάτου ὑπὲρ ταύτης
ἐνίστασθαι τῆς πίστεως ἀναθεματίζοντες πᾶσαν ἄθεον αἵρεσιν. ταῦτα ἀπὸ καρδίας καὶ 6
ψυχῆς πάντοτε πεφρονηκέναι, ἐξ οὗπερ ἴσμεν ἑαυτούς, καὶ νῦν φρονεῖν τε καὶ λέγειν ἐξ
ἀληθείας ἐπὶ τοῦ θεοῦ τοῦ παντοκράτορος καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μαρτυ-
ρόμεθα, δεικνύναι ἔχοντες δι' ἀποδείξεων καὶ πείθειν ὑμᾶς, ὅτι καὶ τοὺς παρεληλυθότας
χρόνους οὕτως ἐπιστεύομέν τε καὶ ἐκηρύσσομεν«.

Ταύτης ὑφ' ἡμῶν ἐκτεθείσης τῆς πίστεως οὐδενὶ παρῆν ἀντιλογίας τόπος, ἀλλ' αὐτός 7
τε πρῶτος ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς ὀρθότατα περιέχειν αὐτὴν ἐμαρτύρησεν. οὕτω
τε καὶ ἑαυτὸν φρονεῖν συνωμολόγησε καὶ ταύτῃ τοὺς πάντας συγκαταθέσθαι ὑπογράφειν
τε τοῖς δόγμασι καὶ συμφωνεῖν τούτοις αὐτοῖς παρεκελεύετο, ἑνὸς μόνου προσεγγραφέντος
ῥήματος τοῦ ὁμοουσίου, ὃ καὶ αὐτὸς ἑρμήνευε λέγων· ὅτι μὴ κατὰ τῶν σωμάτων πάθη
λέγοιτο ὁμοούσιος ⟨ὁ υἱός⟩, οὔτ' οὖν κατὰ διαίρεσιν οὔτε κατά τινα ἀποτομὴν ἐκ τοῦ
πατρὸς ὑποστῆναι· μηδὲ γὰρ δύνασθαι τὴν ἄυλον καὶ νοερὰν καὶ ἀσώματον φύσιν σωμα-
τικόν τι πάθος ὑφίστασθαι, θείοις δὲ καὶ ἀπορρήτοις λόγοις προσήκειν τὰ τοιαῦτα νοεῖν.
καὶ ὁ μὲν σοφώτατος ἡμῶν καὶ εὐσεβέστατος βασιλεὺς τοιάδε ἐφιλοσόφει. οἱ δὲ προφάσει
τῆς τοῦ ὁμοουσίου προσθήκης τήνδε τὴν γραφὴν πεποιήκασιν·

---

gewiesen, daß c. 33, 13 in der ep. ad Afros zitiert wird, wie ja gerade de decretis mehrmals in der ep. ad Afros ausgeschrieben wird. Ferner übernehmen Sokrates und Gelasius mit Ausnahme der Briefe in c. 34. 35, die vor Nicäa geschrieben sind, die Urkunden in der Reihenfolge wie sie in den Athanasius-handschriften überliefert sind. Schließlich stimmt der einleitende Text zum Symbol (c. 37) wörtlich mit dem Beginn von c. 3 überein c. 33 = Urkunde 22 (III 42). Der Brief wird nach Athanasius von Sokrates I 8, 35 (= Sokr.), der wieder die Quelle für Theodorus Lector (= Th; Cod. Marc. gr. 344 fol. 29[b]) ist, und ferner von Theodoret h. e. I 12, 1 (= Thdt.) überliefert; von Theodoret ist Gelasius II 35, 1 (= Gel.) abhängig 20/21 Mt. 28, 19

BKO R

---

2 ὑμῖν] ἡμῖν BKO 8 καί² > B 9 καί¹ > K 32 αὐτὸς nach Sokr. αὐτὸ BKOR Thdt. Gel. Th. | κατὰ + τὰ K Sokr. 33 ὁμοούσιος B Thdt. Gel. ὁμοούσιον KOR Sokr. Th. | ⟨ὁ υἱός⟩ Op.

8 [Ἡ ἐν τῇ συνόδῳ ὑπαγορευθεῖσα πίστις.]
»Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα, παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων
ποιητήν, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς
μονογενῆ τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν
ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί, δι' οὗ τὰ πάντα ἐγένετο
B 240 τά τε ἐν τῷ οὐρανῷ | καὶ τὰ ἐν τῇ γῇ, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σω-
τηρίαν κατελθόντα καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ
ἡμέρᾳ, ἀνελθόντα εἰς οὐρανοὺς καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ ἅγιον
πνεῦμα. τοὺς δὲ λέγοντας 'ἦν ποτε ὅτε οὐκ ἦν' καὶ 'πρὶν γεννηθῆναι οὐκ ἦν' καὶ ὅτι
'ἐξ οὐκ ὄντων ἐγένετο' ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ κτιστὸν
ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ ἀναθεματίζει ἡ καθολικὴ ἐκκλησία«.
9 Καὶ δὴ ταύτης τῆς γραφῆς ὑπ' αὐτῶν ὑπαγορευθείσης, ὅπως εἴρηται αὐτοῖς τὸ
»ἐκ τῆς οὐσίας τοῦ πατρὸς« καὶ τὸ »τῷ πατρὶ ὁμοούσιον«, οὐκ ἀνεξέταστον αὐτοῖς κατελιμ-
πάνομεν. ἐπερωτήσεις τοιγαροῦν καὶ ἀποκρίσεις ἐντεῦθεν ἀνεκινοῦντο ἐβασάνιζέν τε
ὁ λόγος τὴν διάνοιαν τῶν εἰρημένων. καὶ δὴ τὸ »ἐκ τῆς οὐσίας« ὡμολογεῖτο πρὸς αὐτῶν
δηλωτικὸν εἶναι τοῦ ἐκ μὲν τοῦ πατρὸς εἶναι, οὐ μὴν ὡς μέρος ὑπάρχειν τοῦ πατρός.
10 ταύτῃ δὲ καὶ ἡμῖν ἐδόκει καλῶς ἔχειν συγκατατίθεσθαι τῇ διανοίᾳ τῆς εὐσεβοῦς διδασκαλίας
ὑπαγορευούσης ἐκ τοῦ πατρὸς εἶναι τὸν υἱόν, οὐ μὴν μέρος αὐτοῦ τῆς οὐσίας τυγχάνειν.
διόπερ τῇ διανοίᾳ καὶ ἡμεῖς συνετιθέμεθα οὐδὲ τὴν φωνὴν τοῦ ὁμοουσίου παραιτούμενοι
τοῦ τῆς εἰρήνης σκοποῦ πρὸ ὀφθαλμῶν ἡμῖν κειμένου καὶ τοῦ μὴ τῆς ὀρθῆς ἐκπεσεῖν
διανοίας.
11 Κατὰ τὰ αὐτὰ δὲ καὶ τὸ »γεννηθέντα καὶ οὐ ποιηθέντα« κατεδεξάμεθα, ἐπειδὴ τὸ
»ποιηθὲν« κοινὸν ἔφασκεν εἶναι πρόσρημα τῶν λοιπῶν κτισμάτων τῶν διὰ τοῦ υἱοῦ
γενομένων, ὧν οὐδὲν ὅμοιον ἔχειν τὸν υἱόν· διὸ δὴ μὴ εἶναι αὐτὸν ποίημα τοῖς δι' αὐτοῦ
γενομένοις ἐμφερές, κρείττονος δὲ ἢ κατὰ πᾶν ποίημα τυγχάνειν οὐσίας, ἣν ἐκ τοῦ πατρὸς
γεγεννῆσθαι τὰ θεῖα διδάσκει λόγια, τοῦ τρόπου τῆς γεννήσεως ἀνεκφράστου καὶ ἀνεπι-
λογίστου πάσῃ γενητῇ φύσει τυγχάνοντος.
12 Οὕτω δὲ καὶ τὸ »ὁμοούσιον εἶναι τοῦ πατρὸς τὸν υἱὸν« ἐξεταζόμενος ὁ λόγος συν-
ίστησιν, οὐ κατὰ τὸν τῶν σωμάτων τρόπον οὐδὲ τοῖς θνητοῖς ζῴοις παραπλησίως,
οὔτε γὰρ κατὰ διαίρεσιν τῆς οὐσίας οὔτε κατὰ ἀποτομήν, ἀλλ' οὐδὲ κατά τι πάθος ἢ
τροπὴν ἢ ἀλλοίωσιν τῆς τοῦ πατρὸς οὐσίας τε καὶ δυνάμεως. τούτων γὰρ πάντων ἀλλο-
13 τρίαν εἶναι τὴν ἀγένητον τοῦ πατρὸς φύσιν. παραστατικὸν δὲ εἶναι τὸ »ὁμοούσιον τῷ
B 241 πατρὶ« τοῦ μηδεμίαν ἐμφέρειαν πρὸς τὰ γενητὰ κτίσματα τὸν υἱὸν τοῦ θεοῦ | φέρειν, μόνῳ
δὲ τῷ πατρὶ τῷ γεγεννηκότι κατὰ πάντα τρόπον ἀφωμοιῶσθαι καὶ μὴ εἶναι ἐξ ἑτέρας
τινὸς ὑποστάσεώς τε καὶ οὐσίας, ἀλλ' ἐκ τοῦ πατρός. ᾧ καὶ αὐτῷ τοῦτον ἑρμηνευθέντι
τὸν τρόπον καλῶς ἔχειν ἐφάνη συγκαταθέσθαι, ἐπεὶ καὶ τῶν παλαιῶν τινας λογίους
καὶ ἐπιφανεῖς ἐπισκόπους καὶ συγγραφεῖς ἔγνωμεν ἐπὶ τῆς τοῦ πατρὸς καὶ υἱοῦ θεο-
λογίας τῷ τοῦ ὁμοουσίου χρησαμένους ὀνόματι.
14 Ταῦτα μὲν οὖν περὶ τῆς ἐκτεθείσης εἰρήσθω πίστεως, ᾗ συνεφωνήσαμεν οἱ πάντες
οὐκ ἀνεξετάστως, ἀλλὰ κατὰ τὰς ἀποδοθείσας διανοίας ἐπ' αὐτοῦ τοῦ θεοφιλεστάτου
15 βασιλέως ἐξετασθείσας καὶ τοῖς εἰρημένοις λογισμοῖς συνομολογηθείσας. καὶ τὸν
ἀναθεματισμὸν δὲ τὸν μετὰ τὴν πίστιν πρὸς αὐτῶν ἐκτεθέντα ἄλυπον εἶναι ἡγησάμεθα διὰ

2 ff. Vgl. c. 37 36—38 Zitiert in ep. ad Afros 6 (Migne 26, 1040 C)

BKO R

1 Zusatz der Überlieferung des Athan.? | a. Rd. λθ K | ἐν τῇ συνόδῳ] ἐκ τῆς συνόδου B 19 ἡμεῖς BKO αὐτοὶ R Sokr. Thdt. | συντιθέμεθα B Sokr. 25 τυγχάνειν nach Sokr. Thdt. τυγχάνει BKOR 33 τοῦ ¹] τὸ R Sokr. 35 τε > K 38 συγχρησαμένους R Sokr.

τὸ ἀπείργειν ἀγράφοις χρῆσθαι φωναῖς, διὸ σχεδὸν ἡ πᾶσα γέγονε σύγχυσις καὶ ἀκαταστασία τῆς ἐκκλησίας. μηδεμιᾶς γοῦν θεοπνεύστου γραφῆς τῷ »ἐξ οὐκ ὄντων« καὶ τῷ »ἦν ποτε ὅτε οὐκ ἦν« καὶ τοῖς ἑξῆς ἐπιλεγομένοις κεχρημένης οὐκ εὔλογον ἐφάνη ταῦτα λέγειν καὶ διδάσκειν. ᾧ καὶ αὐτῷ καλῶς δόξαντι συνεθέμεθα, ἐπεὶ μηδὲ ἐν τῷ πρὸ τούτου χρόνῳ τούτοις εἰώθαμεν συγχρῆσθαι τοῖς ῥήμασιν.

Ἔτι μὴν τὸ ἀναθεματίζεσθαι τὸ »πρὸ τοῦ γεννηθῆναι οὐκ ἦν« οὐκ ἄτοπον ἐνομίσθη 16
τῷ παρὰ πᾶσιν ὁμολογεῖσθαι τὸ εἶναι τὸν υἱὸν τοῦ θεοῦ πρὸ τῆς κατὰ σάρκα γεννήσεως. ἤδη δὲ ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς τῷ λόγῳ κατεσκεύαζε καὶ κατὰ τὴν ἔνθεον αὐτοῦ γέννησιν τὴν πρὸ πάντων αἰώνων εἶναι αὐτόν, ἐπεὶ καὶ πρὶν ἐνεργείᾳ γεννηθῆναι δυνάμει ἦν ἐν τῷ πατρὶ ἀγεννήτως, ὄντος τοῦ πατρὸς ἀεὶ πατρὸς ὡς καὶ βασιλέως ἀεὶ καὶ σωτῆρος ἀεί, δυνάμει πάντα ὄντος, ἀεί τε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος.

Ταῦτα ὑμῖν ἀναγκαίως διεπεμψάμεθα, ἀγαπητοί, τὸ κεκριμένον τῆς ἡμετέρας ἐξε- 17
τάσεώς τε καὶ συγκαταθέσεως φανερὸν ὑμῖν καθιστῶντες καὶ ὡς εὐλόγως τότε μὲν καὶ μέχρις ἐσχάτης ὥρας ἐνιστάμεθα, ὅθ' ἡμῖν τὰ ἑτεροίως γραφέντα προσέκοπτε, τότε δὲ ἀφιλονείκως τὰ μὴ λυποῦντα κατεδεξάμεθα, ὅθ' ἡμῖν εὐγνωμόνως τῶν λόγων ἐξετάζουσι τὴν διάνοιαν | ἐφάνη συντρέχειν τοῖς ὑφ' ἡμῶν αὐτῶν ἐν τῇ προεκτεθείσῃ πίστει ὡμολο- B 242
γημένοις.

Καθαίρεσις Ἀρείου καὶ τῶν σὺν αὐτῷ ὑπὸ Ἀλεξάνδρου ἀρχιεπισκόπου B 396
Ἀλεξανδρείας.

Ἀλέξανδρος πρεσβυτέροις καὶ διακόνοις Ἀλεξανδρείας καὶ Μαρεώτου, παρὼν 34,1
παροῦσιν, ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίῳ χαίρειν.

Εἰ καὶ φθάσαντες ὑπεγράψατε οἷς ἐπέστειλα τοῖς περὶ Ἄρειον προτρέπων αὐτοὺς 2
ἀρνήσασθαι μὲν τὴν ἀσέβειαν πεισθῆναι δὲ τῇ ὑγιαινούσῃ καὶ καθολικῇ πίστει, καὶ ἐδείξατε ἑαυτῶν ὀρθὴν τὴν προαίρεσιν καὶ τὴν ἐν τοῖς δόγμασι συμφωνίαν τῆς καθολικῆς ἐκκλησίας, ὅμως ἐπειδὴ καὶ πρὸς τοὺς ἁπανταχοῦ συλλειτουργοὺς ἐπέστειλα περὶ τῶν περὶ Ἄρειον, ἀναγκαῖον ἡγησάμην ὑμᾶς μὲν τοὺς τῆς πόλεως κληρικοὺς συναγαγεῖν, ὑμᾶς δὲ τοὺς ἀπὸ τοῦ Μαρεώτου μεταπέμψασθαι· μάλιστα ὅτι καὶ ἀφ' ὑμῶν Χάρης 3
καὶ Πιστὸς πρεσβύτεροι, καὶ Σαραπίων καὶ Παράμμων καὶ Ζώσιμος καὶ Εἰρηναῖος διάκονοι ἐπηκολούθησαν τοῖς περὶ Ἄρειον καὶ ἠγάπησαν σὺν αὐτοῖς καθαιρεθῆναι· ἵνα καὶ τὰ νῦν γραφόμενα γνῶτε τήν τε ἐν τούτοις | συμφωνίαν ἑαυτῶν ἐπιδείξησθε καὶ τῇ καθαι- B 397
ρέσει τῶν περὶ Ἄρειον καὶ τῶν περὶ Πιστὸν σύμψηφοι γένησθε. πρέπει γὰρ τὰ 4
παρ' ἐμοῦ γραφόμενα γινώσκειν ὑμᾶς καὶ ἕκαστον ὡς παρ' αὐτοῦ γραφόμενα ἐν τῇ καρδίᾳ κατέχειν.

Ἀντίγραφον. Τοῖς ἀγαπητοῖς καὶ τιμιωτάτοις συλλειτουργοῖς τοῖς ἁπανταχοῦ 35,1
τῆς καθολικῆς ἐκκλησίας Ἀλέξανδρος ἐν κυρίῳ χαίρειν.

Ἑνὸς σώματος ὄντος τῆς καθολικῆς ἐκκλησίας ἐντολῆς τε οὔσης ἐν ταῖς θείαις γρα- 2
φαῖς τηρεῖν τὸν σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρήνης ἀκόλουθόν ἐστι γράφειν ἡμᾶς καὶ

c. 34 = Urkunde 4a (III 6) c. 35 = Urkunde 4b (III 6). Der Brief wird nach Athanasius von Sokrates I 6, 4 überliefert, von dem wieder Gelasius II 3, 1 und Theodorus Lector (Cod. Marc. gr. 344 fol. 13[a]) abhängig sind 36 Vgl. Eph. 4, 3. 4

1—17: BKO R 18—33: BKO RE 34 ff.: B RE

2 θεοπνεύστου > BKO 2 u. 3 τῷ] τὸ R Sokr. Thdt. 6 ἔτι BKO ὅτι R | μὴν R τὴν BKO | τὸ[1] Thdt. τοῦ BKOR | ἀναθεματίζειν B 7 τῷ] τὸ R 9 γέννησιν K Thdt. γένεσιν BOR 15 μὴ > BKO 16 ὡμολογουμένοις B 18 a. Rd. μθ̄ B μ̄ K κθ̄ τοῦτο πρὸ τῶν πρὸ αὐτοῦ β̄ λόγων ὤφειλε γραφῆναι R κϛ̄ E* κθ̄ E[c] 22 αὐτοὺς Schw. αὐτοῖς BRE 23 μὲν > B 25 περὶ > E 26 ἀνάγκην E 27 τοῦ > E 28 Σεραπίων K 34 a. Rd. ν̄ B λ̄ R λ E[c] | τοῖς[2] > RE

σημαίνειν ἀλλήλοις τὰ παρ' ἑκάστου γινόμενα, ἵνα εἴτε πάσχει εἴτε χαίρει ἓν μέλος ἢ συμ-
3 πάσχωμεν ἢ συγχαίρωμεν ἀλλήλοις. ἐν τῇ ἡμετέρᾳ τοίνυν παροικίᾳ ἐξῆλθον νῦν ἄνδρες
παράνομοι καὶ χριστομάχοι διδάσκοντες ἀποστασίαν, ἣν εἰκότως ἄν τις πρόδρομον
4 τοῦ ἀντιχρίστου ὑπονοήσειε καὶ καλέσειεν. καὶ ἐβουλόμην μὲν σιωπῇ παραδοῦναι τὸ
τοιοῦτον, ὅπως ἐν τοῖς προστάταις μόνοις ἀναλωθῇ τὸ κακὸν καὶ μὴ εἰς ἑτέρους τόπους
διαβὰν τὸ τοιοῦτον ῥυπώσῃ τινῶν ἀκεραίων τὰς ἀκοάς. ἐπειδὴ δὲ Εὐσέβιος ὁ νῦν ἐν
τῇ Νικομηδείᾳ νομίσας ἐπ' αὐτῷ κεῖσθαι τὰ τῆς ἐκκλησίας, ὅτι καταλείψας τὴν Βηρυτὸν
καὶ ἐποφθαλμίσας τῇ ἐκκλησίᾳ Νικομηδέων [καὶ] οὐκ ἐκδεδίκηται κατ' αὐτοῦ, προΐσταται
καὶ τούτων τῶν ἀποστατῶν καὶ γράφειν ἐπεχείρησε πανταχοῦ συνιστῶν αὐτούς, ὅπως
ὑποσύρῃ τινὰς ἀγνοοῦντας εἰς τὴν αἰσχίστην ταύτην καὶ χριστομάχον αἵρεσιν, ἀνάγκην
ἔσχον εἰδὼς τὸ ἐν τῷ νόμῳ γεγραμμένον μηκέτι μὲν σιωπῆσαι, ἀναγγεῖλαι δὲ πᾶσιν ὑμῖν,
5 ἵνα γινώσκητε τούς τε ἀποστάτας γενομένους καὶ τὰ τῆς αἱρέσεως αὐτῶν δύστηνα ῥήματα
καί, ἐὰν γράφῃ Εὐσέβιος, μὴ προσέχητε. παλαιὰν γὰρ αὐτοῦ κακόνοιαν τὴν χρόνῳ
σιωπηθεῖσαν νῦν διὰ τούτων ἀνανεῶσαι βουλόμενος σχηματίζεται μὲν ὡς ὑπὲρ τού-
των γράφειν, ἔργῳ δὲ δείκνυσιν, ὅτι ὑπὲρ ἑαυτοῦ σπουδάζων τοῦτο ποιεῖ.

6 Οἱ μὲν οὖν ἀποστάται γενόμενοί εἰσιν Ἄρειος καὶ Ἀχιλεὺς καὶ Ἀειθαλῆς καὶ Καρ-
B 398 πώνης καὶ ἕτερος Ἄρειος καὶ Σαρμάτης οἱ ποτὲ πρεσβύτεροι· | καὶ Εὐζώιος καὶ Λούκιος
καὶ Ἰούλιος καὶ Μηνᾶς καὶ Ἑλλάδιος καὶ Γάιος οἱ ποτὲ διάκονοι· καὶ σὺν αὐτοῖς Σεκοῦνδος
7 καὶ Θεωνᾶς οἱ ποτὲ λεχθέντες ἐπίσκοποι. ποῖα δὲ παρὰ τὰς γραφὰς ἐφευρόντες λαλοῦσιν,
ἔστι ταῦτα.

»Οὐκ ἀεὶ ὁ θεὸς πατὴρ ἦν, ἀλλ' ἦν ὅτε ὁ θεὸς πατὴρ οὐκ ἦν. οὐκ ἀεὶ ἦν ὁ τοῦ θεοῦ
λόγος, ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν. ὁ γὰρ ὢν θεὸς τὸν μὴ ὄντα ἐκ τοῦ μὴ ὄντος πεποίηκε.
διὸ καὶ ἦν ποτε ὅτε οὐκ ἦν. κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ υἱός. οὔτε δὲ ὅμοιος κατ' οὐσίαν
τῷ πατρί ἐστιν οὔτε ἀληθινὸς καὶ φύσει τοῦ πατρὸς λόγος ἐστὶν οὔτε ἀληθινὴ σοφία
αὐτοῦ ἐστιν, ἀλλ' εἷς μὲν τῶν ποιημάτων καὶ γενητῶν ἐστι, καταχρηστικῶς δὲ λέγεται
λόγος καὶ σοφία, γενόμενος καὶ αὐτὸς τῷ ἰδίῳ τοῦ θεοῦ λόγῳ καὶ τῇ ἐν τῷ θεῷ σοφίᾳ
8 ἐν ᾗ καὶ τὰ πάντα καὶ αὐτὸν πεποίηκεν ὁ θεός. διὸ καὶ τρεπτός ἐστι καὶ ἀλλοιωτὸς τὴν
φύσιν ὡς καὶ πάντα τὰ λογικά. ξένος τε καὶ ἀλλότριος καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ λόγος
τῆς τοῦ θεοῦ οὐσίας καὶ ἄρρητός ἐστιν ὁ πατὴρ τῷ υἱῷ. οὔτε γὰρ τελείως καὶ ἀκριβῶς
γινώσκει ὁ λόγος τὸν πατέρα, οὔτε τελείως ὁρᾶν αὐτὸν δύναται. καὶ γὰρ καὶ ἑαυτοῦ
9 τὴν οὐσίαν οὐκ οἶδεν ὁ υἱὸς ὡς ἔστι. δι' ἡμᾶς γὰρ πεποίηται, ἵνα ἡμᾶς δι' αὐτοῦ ὡς δι'
10 ὀργάνου κτίσῃ ὁ θεός. καὶ οὐκ ἂν ὑπέστη, εἰ μὴ ἡμᾶς ὁ θεὸς ἠθέλησε ποιῆσαι. ἠρώτησε
γοῦν τις αὐτούς, εἰ δύναται ὁ τοῦ θεοῦ λόγος τραπῆναι ὡς ὁ διάβολος ἐτράπη, καὶ οὐκ
ἐφοβήθησαν εἰπεῖν, ὅτι δύναται· τρεπτῆς γὰρ φύσεώς ἐστι γενητὸς καὶ κτιστὸς
ὑπάρχων.

11 Ταῦτα λέγοντας τοὺς περὶ Ἄρειον καὶ ἐπὶ τούτοις ἀναισχυντοῦντας αὐτούς τε
καὶ τοὺς συνακολουθήσαντας αὐτοῖς ἡμεῖς μὲν μετὰ τῶν κατ' Αἴγυπτον καὶ τὰς Λιβύας
ἐπισκόπων ἐγγὺς ἑκατὸν ὄντων συνελθόντες ἀνεθεματίσαμεν. οἱ δὲ περὶ Εὐσέβιον
προσεδέξαντο σπουδάζοντες ἐγκαταμῖξαι τὸ ψεῦδος τῇ ἀληθείᾳ καὶ τῇ εὐσεβείᾳ τὴν ἀσέ-
βειαν. ἀλλ' οὐκ ἰσχύσουσι· νικᾷ γὰρ ἡ ἀλήθεια καὶ οὐδεμία ἐστὶ κοινωνία φωτὶ πρὸς
12 σκότος, οὐδὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ. τίς γὰρ ἤκουσε πώποτε τοιαῦτα;

1—2 Vgl. I. Cor. 12, 26   21—35 bei Georgius Monachus 504, 22—506, 16 de Boor   40 Vgl. I. Esra 3, 12   40/41 Vgl. II. Cor. 6, 14. 15

B RE

---

1 πάσχῃ u. χαίρῃ RE, aber πάσχει E   5 ὅπως Gel. Th.   ἴσως BRE ἵν' ἴσως R sp. Hd.   8 [καὶ] Schw. nach Sokr. Gel. Th. | κατ' αὐτοῦ] παρ' αὐτοῦ B   9 ὅπως Gel. ἴσως BRE   14 ὡς ὑπὲρ τούτων μὲν ~ E   16 Ἀχιλλεὺς E   18 καὶ Γάιος > E   19 ταῖς γραφαῖς BR   24 οὔτε¹ — λόγος ἐστὶν > E   30 αὐτὸν ὁρᾶν ~ B | καὶ² > R Sokr. Th.

ἢ τίς νῦν ἀκούων οὐ ξενίζεται καὶ τὰς ἀκοὰς βύει ὑπὲρ τοῦ μὴ τὸν ῥύπον τούτων τῶν
ῥημάτων ψαῦσαι τῆς ἀκοῆς; τίς ἀκούων Ἰωάννου λέγοντος, »ἐν ἀρχῇ ἦν ὁ λόγος«, οὐ
καταγινώσκει τούτων λεγόντων, ἦν ποτε ὅτε οὐκ ἦν, ἢ τίς ἀκούων ἐν τῷ εὐαγγελίῳ
»μονογενὴς υἱός«, καὶ »δι' αὐτοῦ ἐγένετο πάντα«, οὐ μισήσει τούτους | φθεγγομένους, B 399
ὅτι εἷς ἐστιν τῶν ποιημάτων; πῶς γὰρ δύναται εἷς εἶναι τῶν δι' αὐτοῦ γενομένων, ἢ
πῶς μονογενὴς ὁ τοῖς πᾶσι κατ' ἐκείνους συναριθμούμενος, εἴπερ καὶ αὐτὸς κτίσμα ἐστὶ
καὶ ποίημα; πῶς δὲ ἐξ οὐκ ὄντων ἂν εἴη τοῦ πατρὸς λέγοντος »ἐξηρεύξατο ἡ καρδία
μου λόγον ἀγαθὸν« καὶ »ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε«; ἢ πῶς ἀνόμοιος 13
τῇ οὐσίᾳ τοῦ πατρὸς ὁ ὢν εἰκὼν τελεία καὶ ἀπαύγασμα τοῦ πατρὸς καὶ λέγων »ὁ ἑωρακὼς
ἐμὲ ἑώρακε τὸν πατέρα«; πῶς δέ, εἰ λόγος καὶ σοφία ἐστὶ τοῦ θεοῦ ὁ υἱός, ἦν ποτε ὅτε
οὐκ ἦν; ἴσον γάρ ἐστι αὐτοὺς λέγειν ἄλογον καὶ ἄσοφόν ποτε τὸν θεόν.

Πῶς δὲ τρεπτὸς καὶ ἀλλοιωτὸς ὁ λέγων δι' ἑαυτοῦ μὲν »ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ 14
πατὴρ ἐν ἐμοί« καὶ »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«, διὰ δὲ τοῦ προφήτου »ἴδετέ με ὅτι ἐγώ
εἰμι καὶ οὐκ ἠλλοίωμαι«; εἰ γὰρ καὶ ἐπ' αὐτόν τις τὸν πατέρα δύναται τὸ ῥητὸν ἀναφέρειν,
ἀλλὰ ἁρμοδιώτερον ἂν εἴη περὶ τοῦ λόγου νῦν λεγόμενον, ὅτι καὶ γενόμενος ἄνθρω-
πος οὐκ ἠλλοίωται, ἀλλ' ὡς εἶπεν ὁ ἀπόστολος· »Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ
αὐτὸς καὶ εἰς τοὺς αἰῶνας«. τίς δὲ ἄρα εἰπεῖν αὐτοὺς ἔπεισεν, ὅτι δι' ἡμᾶς γέγονε καίτοι
τοῦ Παύλου γράφοντος »δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα«. περὶ γὰρ τοῦ βλασ- 15
φημεῖν αὐτούς, ὅτι οὐκ οἶδεν τελείως ὁ υἱὸς τὸν πατέρα, οὐ δεῖ θαυμάζειν. ἅπαξ γὰρ προ-
θέμενοι χριστομαχεῖν παρακρούονται καὶ τὰς φωνὰς αὐτοῦ λέγοντος »καθὼς γινώσκει
με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα«. εἰ μὲν οὖν ἐκ μέρους ὁ πατὴρ γινώσκει τὸν υἱόν,
δῆλον ὅτι καὶ ὁ υἱὸς μὴ τελείως γινωσκέτω τὸν πατέρα. εἰ δὲ τοῦτο λέγειν οὐ θέμις,
οἶδεν δὲ τελείως ὁ πατὴρ τὸν υἱόν, δῆλον ὅτι καθὼς γινώσκει ὁ πατὴρ τὸν ἑαυτοῦ λόγον,
οὕτως καὶ ὁ λόγος γινώσκει τὸν ἑαυτοῦ πατέρα, οὗ καὶ ἔστι λόγος.

Ταῦτα λέγοντες καὶ ἀναπτύσσοντες τὰς θείας γραφὰς πολλάκις ἐνετρέψαμεν αὐτούς, 16
καὶ πάλιν ὡς χαμαιλέοντες μετεβάλοντο φιλονεικοῦντες εἰς ἑαυτοὺς ἐφελκύσαι τὸ γεγραμ-
μένον »ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν καταφρονεῖ«. πολλαὶ γοῦν αἱρέσεις πρὸ
αὐτῶν γεγόνασιν, αἵτινες πλέον τοῦ δέοντος τολμήσασαι πεπτώκασιν εἰς ἀφροσύνην.
οὗτοι δὲ διὰ πάντων ἑαυτῶν τῶν ῥηματίων ἐπιχειρήσαντες εἰς ἀναίρεσιν τῆς τοῦ λόγου
θεότητος ἐδικαίωσαν ἐξ ἑαυτῶν ἐκείνας ὡς ἐγγύτεροι τοῦ ἀντιχρίστου γενόμενοι. διὸ
καὶ ἀπεκηρύχθησαν καὶ ἀνεθεματίσθησαν ἀπὸ τῆς ἐκκλησίας. λυπούμεθα μὲν οὖν 17
ἐπὶ τῇ ἀπωλείᾳ τούτων καὶ μάλιστα, ὅτι μαθόντες ποτὲ καὶ αὐτοὶ τὰ τῆς ἐκκλησίας νῦν
ἀπεπήδησαν, οὐ ξενιζόμεθα δέ. τοῦτο γὰρ καὶ Ὑμέναιος καὶ Φίλητος πεπόνθασι καὶ
πρὸ αὐτῶν Ἰούδας ὁ ἀκολουθήσας τῷ σωτῆρι, ὕστερον γὰρ προδότης καὶ ἀποστάτης
γέγονε.

Καὶ περὶ τούτων δὲ αὐτῶν οὐκ ἀδίδακτοι μεμενήκαμεν, ἀλλ' ὁ μὲν | κύριος 18 B 400
προείρηκε »βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέ-
γοντες ὅτι ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικε καὶ πολλοὺς πλανήσουσι. μὴ πορευθῆτε ὀπίσω
αὐτῶν«. ὁ δὲ Παῦλος μαθὼν ταῦτα παρὰ τοῦ σωτῆρος ἔγραψεν »ὅτι ἐν ὑστέροις καιροῖς
ἀποστήσονταί τινες τῆς ὑγιαινούσης πίστεως προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκα-
λίαις δαιμονίων ἀποστρεφομένων τὴν ἀλήθειαν«. Τοῦ τοίνυν κυρίου καὶ σωτῆρος ἡμῶν 19

2 Joh. 1, 1 4 Joh. 1, 18; 1, 3 7/8 Ps. 44, 2 8 Ps. 109, 3 9/10 Joh. 14, 9 12/13 Joh. 14, 10
13 Joh. 10, 30 13/14 Mal. 3, 6 16/17 Hebr. 13, 8 18 Hebr. 2, 10 20/21 Joh. 10, 15
27 Prov. 18, 3 33 Vgl. II. Tim. 2, 17 37—39 Lc. 21, 8 39 ff. I. Tim. 4, 1

B RE

2 ψαῦσαι > B 4 ὁ μονογενὴς E v. sp. Hd.? 27 καταφρονῇ RE 38 πλανήσωσι E
40 πλάνης B 41 τοῦ τοίνυν κυρίου BR τοῦτο τοίνυν τοῦ κυρίου E | κυρίου + καὶ θεοῦ B

Ἰησοῦ Χριστοῦ διά τε ἑαυτοῦ παραγγείλαντος καὶ διὰ τοῦ ἀποστόλου σημάναντος περὶ τῶν τοιούτων ἀκολούθως ἡμεῖς αὐτήκοοι τῆς ἀσεβείας αὐτῶν γενόμενοι ἀνεθεματίσαμεν, καθὰ προείπομεν, τοὺς τοιούτους ἀποδείξαντές [τε] αὐτοὺς ἀλλοτρίους τῆς καθολικῆς ἐκκλησίας τε καὶ πίστεως.

20 Ἐδηλώσαμεν καὶ τῇ ὑμετέρᾳ θεοσεβείᾳ, ἀγαπητοὶ καὶ τιμιώτατοι συλλειτουργοί, ἵνα μήτε τινὰς ἐξ αὐτῶν, εἰ προπετεύσαιντο πρὸς ὑμᾶς ἐλθεῖν, προσδέξησθε μήτε Εὐσεβίῳ ἢ ἑτέρῳ τινὶ γράφοντι περὶ αὐτῶν πεισθῆτε. πρέπει γὰρ ὑμᾶς Χριστιανοὺς ὄντας πάντας τοὺς κατὰ Χριστοῦ λέγοντάς τε καὶ φρονοῦντας ὡς θεομάχους καὶ φθορέας τῶν ψυχῶν ἀποστρέφεσθαι, καὶ μηδὲ κἂν χαίρειν τοῖς τοιούτοις λέγειν, ἵνα μήποτε καὶ ταῖς ἁμαρτίαις αὐτῶν κοινωνοὶ γενώμεθα, ὡς παρήγγειλεν ὁ μακάριος Ἰωάννης. προσείπατε τοὺς παρ' ὑμῖν ἀδελφούς. ὑμᾶς οἱ σὺν ἐμοὶ προσαγορεύουσιν.

21 Ἀλεξανδρείας πρεσβύτεροι.

1 Κόλλουθος πρεσβύτερος σύμψηφός εἰμι τοῖς γεγραμμένοις καὶ τῇ καθαιρέσει Ἀρείου καὶ τῶν σὺν αὐτῷ ἀσεβησάντων.

2 Ἀλέξανδρος πρεσβύτερος ὁμοίως. 3 Διόσκορος πρεσβύτερος ὁμοίως. 4 Διονύσιος πρεσβύτερος ὁμοίως. 5 Εὐσέβιος πρεσβύτερος ὁμοίως. 6 Ἀλέξανδρος πρεσβύτερος ὁμοίως. 7 Νειλαρᾶς πρεσβύτερος ὁμοίως. 8 Ἁρποκρατίων πρεσβύτερος ὁμοίως. 9 Ἀγαθὸς πρεσβύτερος. 10 Νεμέσιος πρεσβύτερος. 11 Λόγγος πρεσβύτερος. 12 Σιλβανὸς πρεσβύτερος. 13 Περώους πρεσβύτερος. 14 Ἆπις πρεσβύτερος. 15 Προτέριος πρεσβύτερος. 16 Παῦλος πρεσβύτερος. 17 Κῦρος πρεσβύτερος ὁμοίως.

Διάκονοι.

18 Ἀμμώνιος διάκονος ὁμοίως. 19 Μακάριος διάκονος. 20 Πιστὸς διάκονος B 401 ὁμοίως. 21 | Ἀθανάσιος διάκονος. 22 Εὐμενὴς διάκονος. 23 Ἀπολλώνιος διάκονος. 24 Ὀλύμπιος διάκονος. 25 Ἀφθόνιος διάκονος. 26 Ἀθανάσιος διάκονος. 27 Μακάριος διάκονος. 28 Παῦλος διάκονος. 29 Πέτρος διάκονος. 30 Ἀμυντιανὸς διάκονος. 31 Γάιος διάκονος. 32 Ἀλέξανδρος διάκονος. 33 Διονύσιος διάκονος. 34 Ἀγάθων διάκονος. 35 Πολύβιος διάκονος. 36 Θεωνᾶς διάκονος. 37 Μάρκος διάκονος. 38 Κώμοδος διάκονος. 39 Σεραπίων διάκονος. 40 Νεῖλος διάκονος. 41 Ῥωμανὸς διάκονος ὁμοίως.

Μαρεώτου πρεσβύτεροι.

42 Ἀπολλώνιος πρεσβύτερος σύμψηφός εἰμι τοῖς γεγραμμένοις καὶ τῇ καθαιρέσει Ἀρείου καὶ τῶν σὺν αὐτῷ ἀσεβησάντων.

43 Ἰνγένιος πρεσβύτερος ὁμοίως. 44 Ἀμμώνιος πρεσβύτερος. 45 Διόσκορος πρεσβύτερος. 46 Σωστρᾶς πρεσβύτερος. 47 Θέων πρεσβύτερος. 48 Τύραννος πρεσβύτερος. 49 Κόπρης πρεσβύτερος. 50 Ἀμμωνᾶς πρεσβύτερος. 51 Ὡρίων πρεσβύτερος. 52 Σερῆνος πρεσβύτερος. 53 Δίδυμος πρεσβύτερος. 54 Ἡρακλῆς πρεσβύτερος. 55 Βόκκων πρεσβύτερος. 56 Ἀγαθὸς πρεσβύτερος. 57 Ἀχιλλᾶς πρεσβύτερος. 58 Παῦλος πρεσβύτερος. 59 Θαλέλαιος πρεσβύτερος. 60 Διονύσιος πρεσβύτερος ὁμοίως.

9/10 Vgl. II. Joh. 10

B RE (Ab Z. 12 fehlt E)

---

3 [τε] Op. nach Sokr. | ἀλλοτρίας R 15/16 Διονύσιος, Διόσκορος ~ B 26 διάκονος[1] + ὁμοίως R 26 Αμυντιανὸς nach Gel. Ἀμβυτιανὸς BR 27 διάκονος[2] + ὁμοίως R 28 διάκονος[2] + ὁμοίως R 29 Νεῖλον R

Διάκονοι.

61 Σαραπίων διάκονος ὁμοίως. 62 Ἰοῦστος διάκονος ὁμοίως. 63 Δίδυμος
διάκονος. 64 Δημήτριος διάκονος. 65 Μαῦρος διάκονος. 66 Ἀλέξανδρος διάκονος. B 402
67 Μάρκος διάκονος. 68 Κόμων διάκονος. 69 Τρύφων διάκονος. 70 Ἀμμώνιος
διάκονος. 71 Δίδυμος διάκονος. 72 Πτολλαρίων διάκονος. 73 Σέρας διάκονος.
74 Γάιος διάκονος. 75 Ἱέραξ διάκονος. 76 Μάρκος διάκονος. 77 Θεωνᾶς διάκονος.
78 Σαρμάτων διάκονος. 79 Κάρπων διάκονος. 80 Ζώιλος διάκονος ὁμοίως.

Ἀντίγραφον ἐπιστολῆς τῆς ἐν Νικαίᾳ συνόδου κατὰ Ἀρείου καὶ τῶν σὺν αὐτῷ.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ θεοῦ χάριτι Ἀλεξανδρέων ἐκκλησίᾳ καὶ τοῖς κατ' Αἴγυπτον 36,1
καὶ Λιβύην καὶ Πεντάπολιν ἀγαπητοῖς ἀδελφοῖς οἱ ἐν Νικαίᾳ συναχθέντες καὶ τὴν μεγάλην
καὶ ἁγίαν σύνοδον συγκροτήσαντες ἐπίσκοποι ἐν κυρίῳ χαίρειν.
Ἐπειδὴ τῆς τοῦ θεοῦ χάριτος καὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου 2
συναγαγόντος ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων ἡ μεγάλη καὶ ἁγία σύνοδος ἐν
Νικαίᾳ συνεκροτήθη, ἐξ ἅπαντος ἀναγκαῖον ἐφάνη παρὰ τῆς ἱερᾶς συνόδου καὶ πρὸς ὑμᾶς
ἐπιτεθῆναι γράμματα, ἵν' εἰδέναι ἔχοιτε, τίνα μὲν ἐκινήθη καὶ ἐξητάσθη, τίνα δὲ ἔδοξε καὶ
ἐκρατύνθη. πρῶτον μὲν οὖν ἁπάντων ἐξητάσθη τὰ κατὰ τὴν ἀσέβειαν καὶ τὴν παρανομίαν
Ἀρείου καὶ τῶν σὺν αὐτῷ ὑπὸ παρουσίᾳ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου. καὶ 3
παμψηφὶ ἔδοξεν ἀναθεματισθῆναι τὴν ἀσεβῆ αὐτοῦ δόξαν καὶ τὰ ῥήματα καὶ τὰ ὀνόματα
τὰ βλάσφημα, οἷς ἐκέχρητο βλασφημῶν τὸν υἱὸν τοῦ θεοῦ, λέγων »ἐξ οὐκ ὄντων εἶναι«
καὶ »πρὶν γεννηθῆναι μὴ εἶναι« καὶ »εἶναί ποτε ὅτε οὐκ ἦν«, καὶ αὐτεξουσιότητι κακίας
καὶ ἀρετῆς δεκτικὸν τὸν υἱὸν τοῦ θεοῦ λέγοντος καὶ κτίσμα ὀνομάζοντος καὶ ποίημα.
ἅπαντα ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος οὐδὲ ὅσον ἀκοῦσαι τῆς ἀσεβοῦς δόξης καὶ τῆς 4
ἀπονοίας καὶ τῶν βλασφήμων ῥημάτων ἀνασχομένη. καὶ τὰ μὲν κατ' ἐκεῖνον οἵου τέλους
τετύχηκε πάντως ἢ ἀκηκόατε ἢ ἀκούσεσθε, ἵνα μὴ δόξωμεν ἐπεμβαίνειν ἀνδρὶ δι' οἰκείαν
ἁμαρτίαν ἄξια τὰ ἐπίχειρα κομισαμένῳ. τοσοῦτον δὲ ἴσχυσεν αὐτοῦ ἡ ἀσέβεια, ὡς καὶ 5
παραπολαῦσαι Θεωνᾶν ἀπὸ Μαρμαρικῆς καὶ Σεκοῦνδον ἀπὸ Πτολεμαΐδος, τῶν γὰρ
αὐτῶν κἀκεῖνοι τετυχήκασιν.
Ἀλλ' ἐπειδὴ ἡ τοῦ θεοῦ χάρις τῆς μὲν κακοδοξίας ἐκείνης καὶ τῆς βλασφημίας καὶ
τῶν προσώπων τῶν τολμησάντων διάστασιν καὶ διαίρεσιν ποιήσασθαι τοῦ εἰρηνευο-
μένου ἄνωθεν λαοῦ ἠλευθέρωσεν τὴν Αἴγυπτον, ἐλείπετο δὲ τὸ κατὰ τὴν προπέτειαν
Μελιτίου καὶ τῶν ὑπ' αὐτοῦ χειροτονηθέντων· καὶ περὶ τούτου τοῦ μέρους ἃ ἔδοξε τῇ
συνόδῳ ἐμφανίζομεν ὑμῖν, ἀγαπητοὶ ἀδελφοί. ἔδοξεν οὖν Μελίτιον μὲν φιλανθρω- 6
πότερον κινηθείσης τῆς συνόδου — κατὰ γὰρ τὸν ἀκριβῆ λόγον οὐδεμιᾶς συγγνώμης ἄξιος
ἦν — μένειν ἐν τῇ ἑαυτοῦ πόλει καὶ μηδεμίαν ἐξουσίαν ἔχειν μήτε προχειρίζεσθαι μήτε
χειροθετεῖν μήτε ἐν χώρᾳ μήτε ἐν πόλει ἑτέρᾳ φαίνεσθαι ταύτης τῆς προφάσεως ἕνεκα,
ψιλὸν δὲ τὸ ὄνομα τῆς τιμῆς κεκτῆσθαι. τοὺς δὲ ὑπ' αὐτοῦ κατασταθέντας μυστικω- 7
τέρᾳ χειροτονίᾳ βεβαιωθέντας κοινωνηθῆναι ἐπὶ τούτοις, ἐφ' ᾧτε ἔχειν μὲν αὐτοὺς τὴν
τιμὴν καὶ λειτουργεῖν, δευτέρους δὲ εἶναι ἐξάπαντος πάντων τῶν ἐν ἑκάστῃ παροικίᾳ

c. 36 = Urkunde 23 (III 47). Der Brief wird nach Athanasius von Sokrates I 9, 1 überliefert, von dem wieder Gelasius II 34, 2 und Theodorus Lector (Cod. Marc. gr. 344 fol. 31[b]) abhängig sind. Theodoret h. e. I, 9, 2 wird eine von Athanasius unabhängige Quelle benutzt haben, ebenso die lateinische Übersetzung des Cod. Veron. 60 (= Ver.)

1—7: BR   8 ff.: BKO RE

3 65 66 > B   5 71 72 73 > B   8 a. Rd. $\overline{να}$ B $\overline{μα}$ K $\overline{λα}$ R $\overline{κζ}$ E* $\overline{λα}$ E[c]   11/12 ἁγίαν καὶ μεγάλην ~ K Gel. Ver.   38 κοινωνηθῆναι nach Thdt. Gel. Th. κοινωθῆναι BKORE

καὶ ἐκκλησίᾳ ἐξεταζομένων τῶν ὑπὸ τὸν τιμιώτατον ⟨ἀδελφὸν⟩ καὶ συλλειτουργὸν ἡμῶν
Ἀλέξανδρον [προκεχειρισμένων], ὡς τούτοις μὲν μηδεμίαν ἐξουσίαν εἶναι τοὺς ἀρέσκοντας
αὐτοῖς προχειρίζεσθαι ἢ ὑποβάλλειν ὀνόματα ἢ ὅλως ποιεῖν τι χωρὶς γνώμης τοῦ τῆς
8 καθολικῆς ἐκκλησίας ἐπισκόπου. τῶν ⟨δὲ⟩ ὑπὸ Ἀλέξανδρον τοὺς χάριτι θεοῦ καὶ εὐχαῖς
ὑμετέραις ἐν μηδενὶ σχίσματι εὑρεθέντας, ἀλλὰ ἀκηλιδώτους ἐν τῇ καθολικῇ καὶ ἀποστο-
λικῇ ἐκκλησίᾳ ὄντας ἐξουσίαν ἔχειν καὶ προχειρίζεσθαι καὶ ὀνόματα ἐπιλέγεσθαι τῶν
ἀξίων τοῦ κλήρου καὶ ὅλως πάντα ποιεῖν [καὶ] κατὰ νόμον καὶ θεσμὸν ἐκκλησιαστικόν.
9 εἰ δέ τινα συμβαίη ἀναπαύσασθαι τῶν ἐν τῇ ἐκκλησίᾳ, τηνικαῦτα προσαναβαίνειν εἰς
τὴν τιμὴν τοῦ τετελευτηκότος τοὺς ἄρτι προσληφθέντας, μόνον εἰ ἄξιοι φαίνοιντο καὶ ὁ
λαὸς αἱροῖτο συνεπιψηφίζοντος αὐτῷ καὶ ἐπισφραγίζοντος τοῦ τῆς Ἀλεξανδρείας ἐπι-
10 σκόπου. τοῦτο δὲ τοῖς μὲν ἄλλοις ἅπασι συνεχωρήθη, ἐπὶ δὲ τοῦ Μελιτίου προσώπου
οὐκέτι τὰ αὐτὰ ἔδοξε διὰ τὴν ἀνέκαθεν αὐτοῦ ἀταξίαν καὶ διὰ τὸ πρόχειρον καὶ προπετὲς
τῆς γνώμης, ἵνα μηδεμία ἐξουσία ἢ αὐθεντία αὐτῷ δοθῇ ἀνθρώπῳ δυναμένῳ πάλιν τὰς
11 αὐτὰς ἀταξίας ποιῆσαι. ταῦτά ἐστι τὰ ἐξαίρετα καὶ διαφέροντα Αἰγύπτῳ καὶ τῇ
ἁγιωτάτῃ ἐκκλησίᾳ Ἀλεξανδρέων· εἰ δέ τι ἄλλο ἢ ἐκανονίσθη ἢ ἐδογματίσθη συμπαρόντος
τοῦ κυρίου καὶ τιμιωτάτου συλλειτουργοῦ καὶ ἀδελφοῦ ἡμῶν Ἀλεξάνδρου, αὐτὸς παρὼν
ἀκριβέστερον ἀνοίσει πρὸς ὑμᾶς ἅτε δὴ καὶ κύριος καὶ κοινωνὸς τῶν γεγενημένων τυγ-
12 χάνων. εὐαγγελιζόμεθα δὲ ὑμᾶς περὶ τῆς συμφωνίας τοῦ ἁγίου πάσχα, ὅτι ὑμετέραις
εὐχαῖς κατωρθώθη καὶ τοῦτο τὸ μέρος, ὥστε πάντας τοὺς ἐν τῇ ἑῴᾳ ἀδελφοὺς τοὺς μετὰ
τῶν Ἰουδαίων τὸ πρότερον ποιοῦντας συμφώνως Ῥωμαίοις καὶ ὑμῖν καὶ πᾶσιν ἡμῖν
13 τοῖς ἐξ ἀρχαίου μεθ' ὑμῶν φυλάσσουσι τὸ πάσχα ἐκ τοῦ δεῦρο ἄγειν. χαίροντες
οὖν ἐπὶ τοῖς κατορθώμασι καὶ ἐπὶ τῇ κοινῇ εἰρήνῃ καὶ συμφωνίᾳ καὶ ἐπὶ τῷ πᾶσαν αἵρε-
σιν ἐκκοπῆναι ἀποδέξασθε μὲν μετὰ μείζονος τιμῆς καὶ πλείονος ἀγάπης τὸν συλλειτουργὸν
ἡμῶν, ὑμῶν δὲ ἐπίσκοπον Ἀλέξανδρον τὸν εὐφράναντα ἡμᾶς τῇ παρουσίᾳ καὶ ἐν ταύτῃ
τῇ ἡλικίᾳ τοσοῦτον πόνον ὑποστάντα ὑπὲρ τοῦ εἰρήνην γενέσθαι καὶ παρ' ὑμῖν. εὔχεσθε
δὲ καὶ περὶ ἡμῶν ἁπάντων, ἵνα τὰ καλῶς ἔχειν δόξαντα ταῦτα βέβαια μένοι διὰ τοῦ
παντοκράτορος θεοῦ καὶ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν ἁγίῳ πνεύματι, ᾧ ἡ
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

37,1 Οἱ ἐν Νικαίᾳ συνελθόντες ἐπίσκοποι ἦσαν δὲ ἐγγὺς τριακόσιοι κατακρίναντες
τὴν ἀρειανὴν αἵρεσιν καὶ καθαιρήσαντες τοὺς περὶ Ἄρειον. λοιπὸν ἐξέθεντο ἐγγράφως
τὴν ἐκκλησιαστικὴν πίστιν πρὸς ἔλεγχον κατὰ πάσης αἱρέσεως.

Τὰ ἐν τῇ Νικαίᾳ ἐκτεθέντα, ἔδοξε τὰ ὑποτεταγμένα.

2 Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα, παντοκράτορα, πάντων ὁρατῶν τε καὶ
ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα
ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός,
θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί, δι' οὗ
τὰ πάντα ἐγένετο τά τε ἐν οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους
καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα
καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, ἀνελθόντα εἰς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ
νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας 'ἦν ποτε ὅτε οὐκ ἦν' ἢ 'οὐκ ἦν πρὶν
γεννηθῇ' ἢ 'ἐξ οὐκ ὄντων ἐγένετο' ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ

c. 37 = Urkunde 24 (III 51)

BKO RE

1 ⟨ἀδελφὸν⟩ Op. nach Z. 16   2 [προκεχειρισμένων] Schw. nach Ver.   4 ἐπισκόπου. τῶν ⟨δὲ⟩ ὑπὸ Ἀλέξανδρον τοὺς Schw. nach Ver. ἐπισκόπου τῶν ὑπὸ Ἀλέξανδρον. τοὺς Hss. | τοὺς + δὲ BK, δὲ über d. Zeile K   5 σχίσματι] σχήματι B   7 [καὶ] Op. nach Thdt. Th   8 ἀναβαίνειν B   12 διὰ > K   13 δοθῇ BKE Thdt. δοθείη OR Sokr.   14 ἐμποιῆσαι E Sokr.   15 Ἀλεξανδρέων ἐκκλησίᾳ ~ RE Sokr.   22 τῷ] τὸ RE   29 δὲ > B | τριακοσίων E   32 a. Rd. κη̅ E[*] λβ̅ E[c] | τῇ > RE   37 ἐν[1] + τῷ BK   38 σαρκωθέντα + καὶ E

κτιστὸν ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ τοὺς τοιούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Κωνσταντῖνος Σεβαστὸς τῇ καθολικῇ Ἀλεξανδρέων ἐκκλησίᾳ. 38,1
Χαίρετε, ἀγαπητοὶ ἀδελφοί. τελείαν παρὰ τῆς θείας προνοίας εἰλήφαμεν χάριν,
ἵνα πάσης πλάνης ἀπαλλαγέντες μίαν καὶ τὴν αὐτὴν ἐπιγινώσκωμεν πίστιν. οὐδὲν 2
λοιπὸν τῷ διαβόλῳ ἔξεστι καθ' ἡμῶν· πᾶν ὅ, τι δ' ἂν κακοτεχνησάμενος ἐπεχείρησεν,
ἐκ βάθρων ἀνῄρηται· τὰς διχονοίας, τὰ σχίσματα, τοὺς θορύβους ἐκείνους καὶ τὰ τῶν
διαφωνιῶν ἵν' οὕτως εἴπω θανάσιμα φάρμακα κατὰ θεοῦ κέλευσιν ἡ τῆς ἀληθείας ἐνίκησε
λαμπρότης. ἕνα τοιγαροῦν ἅπαντες ⟨θεὸν⟩ καὶ τῷ ὀνόματι προσκυνοῦμεν καὶ εἶναι πεπιστεύ-
καμεν. ἵνα δὲ τοῦτο γένηται, ὑπομνήσει θεοῦ συνεκάλεσα εἰς τὴν Νικαέων πόλιν τοὺς 3
πλείστους τῶν ἐπισκόπων, μεθ' ὧν καθάπερ ὡς εἷς ἐξ ὑμῶν ἐγὼ συνθεράπων ὑμέτερος
καθ' ὑπερβολὴν εἶναι χαίρων καὶ αὐτὸς τὴν τῆς ἀληθείας ἐξέτασιν ἀνεδεξάμην. ἠλέγχθη 4
γοῦν ἅπαντα καὶ ἀκριβῶς ἐξήτασται, ὅσα δὴ ἀμφιβολίαν ἢ διχονοίας πρόφασιν ἐδόκει
γεννᾶν, καὶ φεισάσθω ἡ θεία μεγαλειότης, ἡλίκα καὶ ὡς δεινὰ περὶ τοῦ ἡμετέρου σωτῆρος,
περὶ τῆς ἐλπίδος καὶ ζωῆς ἡμῶν ἀπρεπῶς ἐβλασφήμουν τινὲς τἀναντία ταῖς θεοπνεύστοις
γραφαῖς καὶ τῇ ἁγίᾳ πίστει φθεγγόμενοί τε καὶ πιστεύειν ὁμολογοῦντες.
Τριακοσίων γοῦν καὶ πλειόνων ἐπισκόπων ἐπὶ σωφροσύνῃ τε καὶ ἀγχινοίᾳ θαυ- 5
μαζομένων μίαν καὶ τὴν αὐτὴν πίστιν, ἣ καὶ ταῖς ἀληθείαις ἀκριβὴς τοῦ θείου νόμου
πέφυκε πίστις, εἶναι βεβαιούντων, μόνος Ἄρειος ἐφωράθη τῆς διαβολικῆς ἐνεργείας
ἡττημένος καὶ τὸ κακὸν τοῦτο πρῶτον μὲν παρ' ὑμῖν, ἔπειτα δὲ καὶ παρ' ἑτέροις ἀσεβεῖ
γνώμῃ διασπείρας. ἀναδεξώμεθα τοιγαροῦν ἣν ὁ παντοκράτωρ παρέσχε γνώμην· 6
ἐπανέλθωμεν ἐπὶ τοὺς ἀγαπητοὺς ἡμῶν ἀδελφούς, ὧν ἡμᾶς τοῦ διαβόλου ἀναιδής τις
ὑπηρέτης ἐχώρισεν, ἐπὶ τὸ κοινὸν σῶμα καὶ τὰ γνήσια ἡμῶν μέλη σπουδῇ πάσῃ
ἴωμεν. τοῦτο γὰρ καὶ τῇ ἀγχινοίᾳ καὶ τῇ πίστει καὶ τῇ ὁσιότητι τῇ ὑμετέρᾳ πρέπει, ἵνα 7
τῆς πλάνης ἐλεγχθείσης ἐκείνου, ὃν τῆς ἀληθείας ἐχθρὸν εἶναι συνέστηκε, πρὸς τὴν θείαν
ἐπανέλθητε χάριν. ὃ γὰρ τοῖς τριακοσίοις ὁμοῦ ἤρεσεν ἐπισκόποις, οὐδέν ἐστιν ἕτερον 8
ἢ τοῦ θεοῦ γνώμη, μάλιστα ὅπου γε τὸ ἅγιον πνεῦμα τοιούτων καὶ τηλικούτων ἀνδρῶν
ταῖς διανοίαις ἐγκείμενον τὴν θείαν βούλησιν ἐξεφώτισε. διὸ μηδεὶς ἀμφιβαλλέτω, μηδεὶς 9
ὑπερτιθέσθω, ἀλλὰ προθύμως πάντες εἰς τὴν ἀληθεστάτην ὁδὸν ἐπάνιτε, ἵν' ἐπειδὰν
ὅσον οὐδέπω πρὸς ὑμᾶς ἀφίκωμαι, τὰς ὀφειλομένας τῷ παντεφόρῳ θεῷ μεθ' ὑμῶν ὁμολογήσω χάριτας, ὅτι τὴν εἰλικρινῆ πίστιν ἐπιδείξας τὴν εὐκταίαν ἡμῖν ἀγάπην ἀποδέδωκεν.
καὶ ἄλλῃ χειρί. ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί.

Ἀντίγραφον ὧν ἐκόμισαν Συγκλήτιος καὶ Γαυδέντιος μαγιστριανοί.
Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς ἐπισκόποις καὶ λαοῖς. 39,1
Τοὺς πονηροὺς καὶ ἀσεβεῖς μιμησάμενος Ἄρειος δίκαιός ἐστι τὴν αὐτὴν ἐκείνοις
ὑπέχειν ἀτιμίαν. ὥσπερ τοίνυν Πορφύριος ὁ τῆς θεοσεβείας ἐχθρὸς συντάγματα ἄττα

c. 38 = Urkunde 25 (III 52). Der Brief wird nach Athanasius von Sokrates I 9, 17 überliefert, von dem wieder Gelasius II 37, 1 (vielleicht direkt aus Athanasius) und Theodorus Lector (Cod. Marc. gr. 344 fol. 34ª) abhängig sind. Athanasius ist nicht die Vorlage der beiden lateinischen Übersetzungen des Cod. Veron. 60 und des Cod. Paris. lat. 1682 (Acta conc. oec. IV 2 p. 101) c. 39 = Urkunde 33 (III 66). Der Brief wird nach Athanasius von Sokrates I 9, 30 überliefert, von dem wieder Gelasius II 36, 1 (doch vermutlich direkt aus Athanasius) und Theodorus Lector (Cod. Marc. gr. 344 fol. 35ª) abhängig sind. Die beiden lateinischen Übersetzungen des Cod. Veron. 60 und der lateinischen Kirchenrechtssammlungen sowie die syrische benutzen von Athanasius unabhängige Quellen 33 Syncletius und Gaudentius brachten die beiden

BKO RE

3 a. Rd. νβ B μβ K λβ R κθ E* λγ E^c 5 ἐπιγινώσκομεν R 9 ⟨θεὸν⟩ nach Gel. (c), wo diese richtige Ergänzung allein sich findet 11 θεράπων BKO 13 γοῦν] οὖν B 32 διαφυλάξει RE διαφυλάξαι O διαφυλάξοι BK 33 a. Rd. νγ B μγ K λγ R λ E* λδ E^c 35 αὐτὴν] αὐτοῖς R 36 ἄττα > E Sokr.

παράνομα κατὰ τῆς θρησκείας συστησάμενος ἄξιον εὕρατο μισθὸν καὶ τοιοῦτον ὥστε
ἐπονείδιστος μὲν αὐτὸς πρὸς τὸν ἑξῆς γενέσθαι χρόνον καὶ πλείστης ἀναπλησθῆναι κακο-
δοξίας, ἀφανισθῆναι δὲ τὰ ἀσεβῆ αὐτοῦ συγγράμματα, οὕτω καὶ νῦν ἔδοξεν Ἄρειόν
τε καὶ τοὺς Ἀρείῳ ὁμογνώμονας Πορφυριανοὺς μὲν καλεῖσθαι, ἵν' ὧν τοὺς τρόπους μεμίμην-
2 ται, τούτων ἔχωσι καὶ τὴν προσηγορίαν. πρὸς δὲ τούτῳ καὶ εἴ τι σύγγραμμα ὑπὸ
Ἀρείου συντεταγμένον εὑρίσκοιτο, τοῦτο πυρὶ παραδίδοσθαι, ἵνα μὴ μόνον τὰ φαῦλα
αὐτοῦ τῆς διδασκαλίας ἀφανισθείη, ἀλλὰ μηδὲ ὑπόμνημα αὐτοῦ ὅλως ὑπολείποιτο. ἐκεῖ-
νο μέντοι προαγορεύω, ὡς εἴ τις σύγγραμμα ὑπὸ Ἀρείου συνταγὲν φωραθείη κρύψας καὶ
μὴ εὐθέως προσενεγκὼν καὶ πυρὶ καταναλώσας, τούτῳ θάνατος ἔσται ζημία. παρα-
χρῆμα γὰρ ἁλοὺς ἐπὶ τούτῳ κεφαλῆς ὑποστήσεται τιμωρίαν.
καὶ ἄλλῃ χειρί· ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί.

40, 1 Κωνσταντῖνος Σεβαστὸς Ἀρείῳ καὶ τοῖς σὺν αὐτῷ Ἀρειανοῖς.
Κακὸς ἑρμηνεὺς αὐτόχρημα εἰκὼν ⟨τε⟩ καὶ ἀνδριάς ⟨ἐστι⟩ τοῦ διαβόλου. ὥσπερ γὰρ
ἐκεῖνον οἱ δεινοὶ πλάσται πρὸς ἀπάτης δέλεαρ πλάττουσιν, οἱονεὶ κάλλους αὐτῷ εὐπρέ-
πειαν προσμηχανώμενοι αἰσχίστῳ καθάπαξ ὄντι τὴν φύσιν, ὅπως ἂν τοὺς ταλαι-
πώρους ἀπολλύοι πλάνην αὐτοῖς προπίνων, τὸν αὐτὸν οὗτος ἂν οἶμαι τρόπον ποιήσειεν, ᾧ
μόνον σπουδῆς ἄξιον τοῦτ' εἶναι δοκεῖ, τὸ τὰ τῆς οἰκείας ἰταμότητος δηλητήρια ἀφειδῶς
2 προβάλλεσθαι. τοιγάρτοι καινὴν καί, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, οὐδεπώποτε φα-
νεῖσαν ἀπιστίας εἰσάγει πίστιν, διόπερ οὐδὲν τῆς ἀληθείας ἄρα ἀπᾷδον ἐκεῖνο φαίνεται
3 τὸ πάλαι τῇ θείᾳ ῥήσει διηρθρωμένον, ὅτι πρὸς τὸ κακόν εἰσι πιστοί. τί δ' ἄν τις
ἐκεῖνο λέγοιτο τὴν τοῦ βουλεύεσθαι χάριν αὐτὸν ἀπολωλεκότα μηκέτι κουφισμοῦ τινα
ἐπικουρίαν εὕρασθαι ἐπιθυμεῖν; τί τοίνυν φημί, Χριστὲ Χριστέ, κύριε κύριε; τί δήποτε
ἡμᾶς τὸ ἀσεβὲς τοῦτο ληστήριον ὁσημέραι τιτρώσκει; ἕστηκεν ἐξ ἐναντίας δεινή τις
βιαία τόλμα, βρυχᾶται ἐπιπρίουσα τὸν ὀδόντα δύσμορφος ὑπ' ἀτιμίας καὶ παντοδαποῖς
4 περιτετρωμένη ἐγκλήμασιν. αὕτη μέντοι ἐν τῷ νόμῳ καὶ τῷ περὶ σοῦ κηρύγματι
ὥσπερ τισὶ ζάλαις καὶ τρικυμίαις κακῶν διαφορουμένη ἐξερεύγεται μὲν ἐξώλεις λόγους,
γράφουσα δὲ τούτους ἐκφαίνει, οὓς οὐδέποτε σὺ τῷ ἀϊδίῳ τῆς σαυτοῦ πηγῆς τῷ πατρὶ
συνυπάρχων ⟨ἐν⟩ ταῖς περὶ σαυτοῦ γνώσεσιν ἀφώρισας. συνάγει δὲ ὅλως καὶ συμφορεῖ
δεινὰ ἄττα καὶ ἄνομα ἀσεβήματα, νῦν μὲν τὰς γλώττας κραδαίνουσα, νῦν δ' αὖ πάλιν ταῖς
τῶν ἀθλίων σπουδαῖς ἐπαιρομένη, οὓς ἐπ' ἀδείας αὕτη παρόντας ἐξαπατᾷ καὶ φθείρει.
5 Βούλομαι δὲ ἤδη τοῦ προέδρου αὐτῆς τὴν φύσιν ἐξετάσαι. τί γὰρ δὴ λέγει; »ἢ
κατέχωμεν«, φησίν, »οὗ ἤδη ἐγκρατεῖς γεγόναμεν ἢ γενέσθω ὡς αὐτοὶ βουλόμεθα«.
πέπτωκε καὶ ταῦτα πέπτωκε ἀναιρούμενος »δόλῳ«, φησίν, »ἢ δεινότητι πανουργίας«.
οὐδὲν διαφέρει. σεμνὸν μόνον ἡγεῖται, ὃ διὰ πονηρᾶς ἐπινοίας εἰς αὐτὸν εἰσερρύη.
6 »πλήθη«, φησίν, »ἔχομεν«. προβήσομαι δὴ μικρὸν αὐτὸς ἐπὶ τὸ πρόσθεν, ὡς ἂν τῶν

Schreiben in c. 39 und 40 im Jahre 333 nach Alexandrien, vgl. die Subskription unter c. 40 S. 43, 4. Die beiden Magistri begegnen auch Athanasius, Apologia secunda 59 (Migne 25, 357 B)
c. 40 = Urkunde 34 (III 69). Der Brief wird nach Athanasius von Gelasius III 19 überliefert. Der Brief war Sokrates I 9, 64 aus Athanasius unter der Überschrift κατὰ Ἀρείου καὶ τῶν ὁμοδόξων αὐτοῦ bekannt, da er c. 40 und 41 im Zusammenhang mit Nicäa erwähnt

BKO (ab Z. 12 fehlt O) RE

1 τοσοῦτον E 11 καὶ > B | διαφυλάξει RE διαφυλάξαι O διαφυλάξοι BK 12 a. Rd. ν̅δ̅ B μ̅δ̅ K λ̅δ̅ R λ̅α̅ E* λ̅ε̅ E^{c} 13 τε nach Gel. | ἐστι nach Gel. 15 τὴν φύσιν BK τῇ φύσει RE Gel. | ἂν τοὺς BKR^{c} αὐτοὺς R*E | ἂν über d. Zeile B 16 προπίνων BK προπείνων R προπεινῶν E οἶμαι προτείνων ἢ προπίνων E a. Rd. προτείνων K a. Rd. Gel. 18 προσβάλλεσθαι RE 19 ἀπᾷδον ἄρα ~ K 21 αὐτὸν] αὐτῶν RE 22 εὕρεσθαι K εὑρᾶσθαι E 24 τοὺς ὀδόντας E 27 σὺ] ἐν E 28 ⟨ἐν⟩ Heikel | σαυτοῦ] αὐτοῦ E 31 λέγειν E 32 οὗ nach Gel. ἢ οὐ BKRE 33 ἀναιρούμενος nach Gel. ναὶ ἀρνούμενος BKRE καταργούμενος Schw. 34 εἰσερρύει R ἐρρύη E 35 δὴ] δὲ E | μικρὸς E

τῆς μανίας πολέμων θεατὴς γένωμαι. αὐτός, ἔφην, ἐγὼ προβήσομαι ὁ τοὺς τῶν ἀφρόνων
πολέμους παύειν εἰωθώς. ἄγε δή, Ἆρες Ἄρειε, ἀσπίδων [εἰ] χρεία. μὴ σύ γε τοῦτο ποιήσῃς,
ἱκετεύομεν. ἐπισχέτω γοῦν σε ἡ τῆς Ἀφροδίτης ὁμιλία. ἀλλὰ γὰρ εἴθ' ὡς τοῖς ὄχλοις
ἄριστα συνεκροτῆσθαι δοκεῖς, οὕτω σοι τῇ περὶ τὸν Χριστὸν εὐσεβείᾳ προσῆκε ἀκμάζειν.
ἰδοὺ δὴ πάλιν αὖ ἱκέτης ἔρχομαι καὶ τοῖς ὅπλοις παμπληθὲς ἰσχύων μάχεσθαι μὲν οὐκ 7
ἐθέλω, τῇ δὲ τοῦ Χριστοῦ πεφραγμένος πίστει σέ τε ἰάσαθαι καὶ τοὺς ἄλλους θεραπεῦσαι
βούλομαι. τί οὖν φῂς ταῦτα πράττειν, ἃ ⟨μὴ⟩ τοῖς ἤθεσι προσῆκε τοῖς σοῖς; ἀλλὰ μεθ' 8
ὁποίας ἡσυχίας, εἰπέ μοι, ἢ τίνα περιουσίαν περιβεβλημένος, μᾶλλον δὲ ἐφ' ὅ, τι προπε-
τείας ἐληλακώς; ὢ τόλμης ὑπὸ κεραυνῶν ἀξίας καθαιρεθῆναι. ἀκούσατε γάρ, οἷα δεδή-
λωκε πρώην πρός με, ἰὸν ἀποστάζοντι γράφων τῷ καλάμῳ. »οὕτω«, φησί, »πιστεύομεν«.
εἶτ', οἶμαι, προσθεὶς οὐκ οἶδα ἅττα σοβαρῶς πως καὶ μάλα ἀκριβῶς ἐξησκημένα, προιὼν
πορρωτέρω οὐδὲν ὅ, τι τῶν δεινῶν ἀπεσιώπησεν, ἀλλ' ὅλον, ὡς ἂν εἴποι τις, τὸν τῆς
παρανοίας ἀνέῳξε θησαυρόν. »ἀπελαυνόμεθα«, φησί, »καὶ τὴν τοῦ εἰσδεχθῆναι ἡμᾶς
ἄδειαν ἀφαιροῦνται«. ἀλλ' οὐδέν πω ταῦτα πρὸς τὸ πρᾶγμα, τοῖς δὲ ἑξῆς προσέχετε τὸν 9
νοῦν· αὐτοῦ γὰρ χρήσομαι τοῖς ῥήμασι. »δεόμεθα«, φησί, »ἐὰν ἐπὶ τῆς αὐτῆς ἐπιμείνῃ
γνώμης ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος, ἄδειαν ἡμῖν τοῦ λοιποῦ δοθῆναι κατὰ τὴν τοῦ
νόμου διάταξιν τὰς ἐνθέσμους καὶ ἀπαραιτήτους θεραπείας τῷ θεῷ ἐπιτελεῖν«. ὢ 10
δεινῆς ἀναιδείας, ἣν σπουδῇ τῆς ἀληθείας ἀπελέγξαι προσῆκεν. ὃ γὰρ αὐτῷ καθ' ἡδο-
νὴν ἐτύγχανεν ὄν, τοῦτο τῇ συντομίᾳ τῆς φράσεως ἀπετυπώσατο. τί φῂς ἄτοπε;
διάστασιν εὐπρόσωπον ἡμῖν τῷ σαθρῷ τῆς κατεαγυίας σου διανοίας ἐπιτειχίζειν
μηχανᾷ καὶ τοὺς ἐπὶ κακῷ σοι προσπλακέντας ἀπολέσαι σπεύδεις; »τί οὖν«, φῄς, 11
»πράξω, εἰ μηδεὶς ἄξιον ἡγεῖται με δέξασθαι«; τοῦτο γὰρ πολλάκις ἐκ τῆς ἀνοσίας φά-
ρυγγος ἐκβοᾷς. ἐγὼ δὲ τοὐναντίον ἔρομαί σε· ποῦ δὲ σαφὲς γνώρισμα καὶ μαρτύριον
τῆς σεαυτοῦ διανοίας ἐπεδείξω; ἣν ἐχρῆν σε διαπτύξαντα καὶ τοῖς θείοις καὶ τοῖς ἀνθρω-
πίνοις σαφῆ καταστῆσαι. καὶ μάλισθ' ὅτε τὰ ἰοβόλα τῶν ἑρπετῶν τὸ τηνικαῦτα μᾶλλον
ἀγριαίνειν πέφυκεν, ὅταν ἑαυτὰ τοῖς τῶν φωλεῶν μυχοῖς ἐνιδρυνθέντα αἴσθηται.
Ἐκεῖνο δέ γε λίαν ἀστεῖον αὐτοῦ τὸ σπουδαίως εὖ μάλα καθάπερ ὑπό τι προσω- 12
πεῖον αἰδοῦς σιγὴν πλάττεσθαι. τῇ μὲν τοῦ σχήματος τέχνῃ τιθασσὸν σεαυτὸν καὶ χειροήθη
σύ γε παρέχεις, κακῶν δὲ μυρίων καὶ ἐπιβουλῶν ἔνδον γέμων τοὺς πολλοὺς λέληθας.
ἀλλ' ὢ τῆς ἀθλιότητος· ὡς ὁ πονηρὸς βεβούληται, οὕτως Ἄρειος ἡμῖν ἀνομίας ἐργαστή-
ριον κατεστήσατο. λέγε δὴ νῦν μοι παρελθὼν τῆς σεαυτοῦ πίστεως τὸ γνώρισμα 13
καὶ μηδαμῶς γε ἀποσιωπήσῃς, ὢ τὸ μὲν στόμα διάστροφον, τὴν δὲ φύσιν ὀξύρροπον
πρὸς πονηρίαν κεκτημένε· »ἕνα« λέγεις »θεόν«; σύμψηφον ἔχεις κἀμέ, οὕτω φρόνει. »τῆς
οὐσίας αὐτοῦ ἄναρχον καὶ ἀτελεύτητον λόγον εἶναι« φῄς; στέργω τοῦτο· οὕτω πίστευε.
εἴ τι περαιτέρω προσπλέκεις, τοῦτ' ἀναιρῶ· εἴ τι πρὸς ἀσεβῆ χωρισμὸν συγκαττύεις, 14
τοῦτο οὔτε ὁρᾶν οὔτε νοεῖν ὁμολογῶ· εἰ »τὴν τοῦ σώματος ξενίαν πρὸς οἰκονομίαν τῶν
θείων ἐνεργειῶν« παραλαμβάνεις, οὐκ ἀποδοκιμάζω. εἰ »τὸ πνεῦμα τῆς ἀϊδιότητος ἐν
τῷ ὑπερέχοντι λόγῳ γεγενῆσθαι« λέγεις, δέχομαι. τίς ἔγνω τὸν πατέρα, εἰ μὴ ὁ ἐλθὼν ἀπὸ
τοῦ πατρός; τίνα ἔγνω ὁ πατήρ, εἰ μὴ ὃν ἀϊδίως καὶ ἀνάρχως ἐξ αὐτοῦ γεγέννηκε; σὺ
μὲν »ὑπόστασιν ξένην« ὑποτάττειν οἴει δεῖν κακῶς δήπου πιστεύων, ἐγὼ δὲ τῆς ὑπερεξό-
χου καὶ ἐπὶ πάντα διηκούσης δυνάμεως τὸ πλήρωμα τοῦ πατρὸς καὶ υἱοῦ οὐσίαν μίαν

BKRE

2 [εἰ] nach Epiph. haer. 69, 9, 6 (III 160, 5) | ποιήσεις RE 3 nach ἡ Rasur v. ca. 3 Buchstaben R 4 συνκεκροτῆσθαι K σύγκεκροτῆσθαι E^c συνεκροτῆσθαι E | συνεκροτῆσθαι + ἄριστα RE, jedoch ausradiert R^c | προσῆκε Op. προσῆν BKRE 7 μὴ nach Gel. (A^1 H) 9 οἷα BK ἃ RE Gel. 13 παρανοίας RE Gel. παροινίας BK | ἀνεῴξασθαι E 15 ἐπιμένῃ RE Gel. μείνῃ K 19 ἀνετυπώσατο BK 23 δὲ] μὲν οὖν BK 25 ὅτε Schw. ὅτι Gel. τότε BKRE 28 πλάττεσθαι K Gel. πλάττεται BRE 29 παρέχεις] προάγεις aber exp. B 40 δεῖν RE Gel. > BK

15 εἶναι γινώσκω. εἰ τοίνυν σὺ ἀφαιρεῖς μὲν ἀπ' ἐκείνου, ἀφ' οὗ χωρισθῆναι οὐδὲ διανοίᾳ
τῶν ἐρεσχελούντων δεδύνηται οὐδεπώποτε οὐδέν, προσθήκης δὲ χαρακτῆρας εἰδοποιεῖς
καὶ ὅλως γνωρίσματα ζητήσεων διορίζεις ἐκείνῳ, ᾧ ὁλόκληρον μὲν ἐξ ἑαυτοῦ τὴν ἀϊδιότητα
δέδωκεν, ἀδιάφθορον δὲ τὴν ἔννοιαν, ἀθανασίας δὲ δι' ἑαυτοῦ καὶ ἐκκλησίας ἔνειμε πίστιν —
κατάβαλε οὖν δή, κατάβαλε τὸ εὔηθες τοῦτο ἀνόμημα, ὦ ἀστεῖε σὺ καὶ εὔφωνε καὶ τὰ
16 κακὰ πρὸς ἀπιστίαν τῶν ἀνοήτων ἐξᾴδων. εἰκότως ἄρα σε ὁ πονηρὸς τῇ ἑαυτοῦ
κατεστρέψατο κακίᾳ, καὶ τοῖς μὲν ἴσως ἡδὺ τὸ τοιοῦτον εἶναι ἐδόκει (οὕτω γὰρ ⟨ἀστεῖον⟩
17 σεαυτὸν ⟨προσ⟩πεποίηκας), ἔστι δὲ πάντῃ ὀλέθριον τὸ κακόν. φέρε δή, τῆς ἐν τοῖς
ἀτοπήμασι διατριβῆς ἀπαλλαγεὶς ἄκουε, ὦ δαιμόνιε Ἄρειε. σοὶ γὰρ διαλέγομαι. τῆς
ἐκκλησίας δήπου τοῦ θεοῦ ἀποκεκηρυγμένος οὐκ αἰσθάνῃ; ἀπόλωλας, εὖ ἴσθι, ἐὰν μὴ
βλέψας εἰς σεαυτὸν τὴν παροῦσάν σου κατακρίνῃς ἄνοιαν. ἀλλ' ἐρεῖς, ὡς ὄχλοι συμπράτ-
τουσί σοι καὶ τὰς φροντίδας ἀπελαφρύνουσιν.
18 Ἄκουε δὴ οὖν μικρὸν ὑποσχὼν τὰ ὦτα, ὦ ἀνόσιε Ἄρειε, καὶ σύνες τὴν σαυτοῦ
ἄνοιαν. σὺ δέ, ὦ πάντων κηδεμὼν θεός, εὐμενὴς εἴης τῷ λεγομένῳ, εἰ πίστεως ἔχοιτο.
ἐγὼ γὰρ ὁ σὸς ἄνθρωπος ἵλεω ἔχων τὴν παρὰ σοῦ προμήθειαν καὶ ἐξ Ἑλληνικῆς καὶ
ἐκ Ῥωμαικῆς γραφῆς πάνυ ἀρχαιοτάτης σαφῶς ἀποδείξω τὴν Ἀρείου μανίαν πρὸ τρισ-
19 χιλίων που ἐτῶν ὑπὸ τῆς Ἐρυθραίας προρρηθεῖσάν τε καὶ προφημισθεῖσαν. ἔφη
γὰρ ἐκείνη γε· »οὐαί σοι, Λιβύη, ἐν παράλοις κειμένη χώροις· ἥξει γάρ σοι καιρός, ἐν
ᾧ μετὰ τοῦ δήμου καὶ τῶν σαυτῆς θυγατέρων δεινὸν ἀγῶνα καὶ ὠμὸν καὶ παγχάλεπον
ὑπελθεῖν ἀναγκασθήσῃ, ἀφ' οὗ κριτήριον μὲν εἰς ἅπαντας πίστεώς τε καὶ εὐσεβείας δια-
δοθήσεται, σοὶ δὲ πρὸς ἔσχατον ἀποκλινεῖ καταστροφῆς. ὑμεῖς γὰρ τῶν οὐρανίων ἀνθῶν
τὸ δεκτήριον ἀνασπάσαι τετολμήκατε καὶ δήγματι σπαράξαι καὶ μέντοι σιδηροῖς ἐγ-
20 χρᾶναι τοῖς ὀδοῦσι«. τί δῆτα, ὦ πανοῦργε; ποῦ γῆς σαυτὸν εἶναι νῦν ὁμολογεῖς;
ἐκεῖ δηλονότι. κατέχω γάρ σου τὰ γράμματα, ἃ τῷ τῆς μανίας καλάμῳ πρός με διεχάραξας,
ἐν οἷς φῂς πάντα τὸν Λίβυν δῆμον σύμψηφον εἶναί σοι πρὸς σωτηρίαν δήπου. εἰ δὲ οὐ
φήσεις ταυτὶ οὕτως ἔχειν, μαρτύρομαι ἤδη τὸν θεόν, ἦ μὴν ἀρχαιότατον τῆς Ἐρυθραίας
πυκτίον Ἑλληνικῇ συντεταγμένον γλώττῃ εἰς Ἀλεξάνδρειαν ἀποστέλλειν, ὡς ἂν θᾶττον
21 ἀπόλοιο. εἶτα σὺ ἀναμάρτητος, ὦ δικρανοφόρε; εἶτα οὐ σαφῶς ἀπόλωλας, ὦ ἄθλιε, τοιούτῳ
δεινῷ περιεστοιχισμένος; ἴσμεν, ἴσμεν σου τὸ ἐγχείρημα· ποία φροντίς, ποῖόν σε θράττει
δέος; οὐ λέληθεν ἡμᾶς· ὦ δύστηνε καὶ ταλαίπωρε, ὦ τῆς ἀμβλύτητος τῶν σῶν φρενῶν, ὃς
οὐδὲ τὴν νόσον καὶ τὴν ἀμηχανίαν τῆς σεαυτοῦ ψυχῆς ἀναστένεις· ὦ ἀνόσιε, ὃς τὴν ἀλήθειαν
ποικίλοις διορύττεις λόγοις καὶ τοιοῦτος ὢν οὐκ αἰσχύνῃ ἡμᾶς ψέγων καὶ νῦν μὲν ἐλέγχων,
ὥς γε οἴει, νῦν δ' αὖ πάλιν νουθετῶν· ὦ πίστει καὶ λόγοις ὑπερφέρων, παρ' οἵου δῆτα
22 οἱ ἄθλιοι ἐπικουρίαν ἑαυτοῖς πορίζεσθαι γλίχονται. καίτοι οὐδὲ συγγίνεσθαι τῷ
τοιούτῳ ἐχρῆν, οὐδὲ ὅλως αὐτὸν προσφθέγγεσθαι, πλὴν εἰ μή τις ἐν τοῖς ὑπούλοις τούτου
23 ῥήμασι τὴν τοῦ ὀρθῶς βιοῦν ἐλπίδα τοῖς μετρίοις ἀποκεῖσθαι οἴεται. ἀλλ' οὐκ ἔστι
τοῦτο, πολλοῦ γε δεῖ, τὸ δ' ἀληθές, ὦ τῆς ὑμετέρας ἀνοίας, ὅσοι τούτῳ συναναμίγνυσθε.
τίς ἄρα οἶστρος τῆς χαλεπῆς τούτου γλώττης καὶ τῆς ὄψεως ἀνασχέσθαι κατηνάγκασεν;
24 Εἶεν· ἀλλ' ἐπ' αὐτὸν ἤδη σὲ βαδιοῦμαι τῷ λόγῳ· ὦ τὴν μὲν ψυχὴν ἄφρον συ, τὴν
δὲ γλῶτταν στωμύλε, ἄπιστε δὲ τὰς φρένας, δὸς δή μοι τοῦ λόγου οὐκ ἀμφιλαφές τι λέγω
καὶ ἱππήλατον πεδίον, ἀλλ' οὖν κύκλον γε εὐπερίγραφον, μὴ σαθρὸν μόνον, ἀλλ' ἐρρω-

BK RE

1 σὺ > B 2 ἰδιοποιεῖς E 4 ἔδωκεν R 7 εἶναι > BK | δοκεῖ RE 7/8 ⟨ἀστεῖον⟩ und ⟨προσ⟩ Op. etwa lat.: *tam urbanum enim teipsum simulasti* oder *fecisti* vgl. 39, 27 ff. πεποίηκας BKRE πέπεικας Gel. 11 σεαυτὸν K ἑαυτὸν BRE 12 ἐπελαφρύνουσιν E 14 εἴη R 15 ἵλεως RE 21 γὰρ + γὰρ aber ausradiert E 22/23 ἐγχρᾶναι] ἐχράνατε RE Gel. 30 οὐ K^c E^c Gel. > BK*RE* 33 ὑποφέρων E 37 δεῖ] δὴ RE* δεῖ E^c 28 οἶστρος + ὑμᾶς RE Gel.

39 εἶεν > E | σε (ου) u. τὸν (ω) λόγον (ω) E

μένον τε καὶ στερρὸν τῇ φύσει, ὦ ἀνόσιε δῆτα καὶ κάκιστε καὶ κρυψίνου. ἐξάγομαι γὰρ
ταῦτα λέγειν· μᾶλλον δὲ βρόχον ἤδη σοι περιάψας καὶ συμποδίσας τῷ λόγῳ εἰς μέσους
σε καταστήσω, ὡς ἂν πᾶς ὁ δῆμος τὴν σὴν καταμάθῃ φαυλότητα. ἐπ' αὐτὸ δὲ πορεύσο- 25
μαι ἤδη τὸ πρᾶγμα. νενιμμέναι δήπουθέν εἰσιν αἱ χεῖρες· προσίωμεν ταῖς εὐχαῖς· ἐπικά-
λεσαι δὴ τὸν θεόν. μᾶλλον δὲ μικρὸν ἐπισχών, εἰπέ μοι, ὦ πανοῦργέ συ, τίνα θεὸν ἐπικα-
λέσῃ πρὸς βοήθειαν; ἀλλὰ γὰρ ἠρεμεῖν οὐ δύναμαι. ὦ τῶν πάντων ἔχων τὸ κῦρος 26
δέσποτα, ὦ τῆς μονήρους δυνάμεως πάτερ, διὰ τουτονὶ τὸν ἀνόσιον ὀνείδη τε καὶ μώλω-
πας καὶ μέντοι καὶ τραύματα καὶ ὀδύνας ἡ σὴ ἔχει ἐκκλησία. Ἄρειός σοι τόπον ἤδη προσ-
αρμόζει καὶ μάλα γε εὐφυῶς, ἐφ' οὗ καθιζάνων οἶμαι σύνοδον ἑαυτῷ ἢ παῖδα τὸν Χριστὸν
τὸν σὸν τὸν ἐκ σοῦ τὸν τῆς ἡμετέρας ἐπικουρίας ἀρχηγέτην θέσεως νόμῳ περιπεποίηται καὶ
ἴσχει. ἐπάκουσον, ἀντιβολῶ σε, τῆς θαυμασίας πίστεως. σὲ τὴν κατὰ τὸν τόπον 27
κινεῖσθαι, δέσποτα, κίνησιν οἴεται. σὲ τῆς ἀφωρισμένης καθέδρας κύκλῳ περιγράφειν
τολμᾷ. ποῦ γὰρ οὐκ ἔστιν ἡ σὴ παρουσία; ἢ ποῦ τὴν σὴν οὐ πάντες ἐνέργειαν ἐκ τῶν
ἐπὶ πάντα σου διηκόντων νόμων αἰσθάνονται; πάντα γὰρ αὐτὸς περιέχεις, καὶ ἔξω σου
οὔτε τόπον οὔτε ἄλλο οὐδὲν ἐπινοεῖσθαι θέμις. οὕτως ἡ σὴ δύναμις μετ' ἐνεργείας ἐστὶν
ἄπειρος. σὺ μὲν δὴ ἐπάκουσον, ὁ θεός, ὑμεῖς δέ, πᾶς ὁ λαός, προσέχετε τὸν νοῦν. ὁ 28
γὰρ ἀναίσχυντος οὗτος καὶ ἀχρεῖος, ὁ ἐπ' ἄκρον μοχθηρίας τε καὶ ἀνομίας ὁμοίως ἐληλακὼς
εὐλάβειαν σκήπτεται. »ἄπαγε«, φησίν, »οὐ βούλομαι τὸν θεὸν ἐγὼ ὕβρεων πάθει 29
δοκεῖν ἐνέχεσθαι«. καὶ διὰ τοῦτο ὑποτίθεμαι καὶ πλάττω θαυμάσιά γε τῇ πίστει, ὡς ὁ
θεὸς νεογενῆ καὶ νεόκτιστον οὐσίαν Χριστοῦ ποιησάμενος βοήθειαν ἑαυτῷ παρεσκευάσατο,
ὥς γέ μοι δοκεῖ. »ὃ γὰρ ἄν«, φησίν, »ἀπ' αὐτοῦ ἀφέλῃς, τούτῳ ἐλάττονα πεποίηκας«.
εἶτα, ὦ λυμεὼν καὶ ὀλέθριε, σοὶ τοῦτ' ἔστι πίστις; σὺ καθ' ὑπόθεσιν καὶ πλάσμα λαμβάνεις 30
τὸν τὰ πλάσματα τῶν ἐθνῶν κατακρίναντα, σὺ ἐπείσακτον καλεῖς καὶ ὡς ἐπὶ καθηκόντων
ὑπηρέτην τὸν ἄνευ ἐνθυμήσεως καὶ λογισμοῦ τῷ συνυπάρχειν τῇ τοῦ πατρὸς ἀϊδιότητι
πάντα διανύσαντα; ἐφάρμοσον νῦν, εἰ δὴ τολμᾷς, ἐφάρμοσον, φημί, τῷ θεῷ καὶ τὸ εὐλα-
βεῖσθαι καὶ τὸ ἐλπίζειν τὸ ἐκβησόμενον, ἔτι δὲ τὸ ἐνθυμεῖσθαι, τὸ λογίζεσθαι τὸ σκεπτό-
μενον, ⟨τὸ⟩ γνώμην ἀποφαίνεσθαι καὶ διαρθροῦν καὶ ὅλως τὸ τέρπεσθαι, τὸ γελᾶν, τὸ
λυπεῖσθαι. τί τοίνυν φῄς, ὦ τῶν ἀθλίων ἀθλιώτερε, ὦ τῆς κακίας αὐτόχρημα μῆστορ; 31
σύνες δή, εἰ δύνασαι, ὡς ἐν αὐτῇ γέ σου τῇ πανουργίᾳ μοχθηρὸς ὢν ἁλίσκῃ. »ὁ 32
Χριστός«, φησί, »δι' ἡμᾶς πέπονθεν«. ἀλλ' ἤδη φθάσας ἔγωγε εἶπον, ὡς μορφῇ σώματος
ἀπεστάλη. »ναί«, φησίν, »ἀλλὰ δέος μὴ δόξωμεν κατά τι ἐλαττοῦν«. εἶτα, ὦ τῶν θηρίων
μεσίτα, ταῦτα λέγων οὐ μαίνῃ καὶ σαφῶς λυττᾷς; ἰδοὺ γὰρ δὴ ὁ κόσμος αὐτὸς μορφή,
ἤγουν σχῆμα τυγχάνει ὢν καὶ οἱ ἀστέρες γε χαρακτῆρες προβέβληνται, καὶ ὅλως τὸ
πνεῦμα τοῦ σφαιροειδοῦς τούτου κύκλου εἶδος τῶν ὄντων τυγχάνει ὂν καὶ ὥσπερ μόρ-
φωμα. καὶ ὅμως ὁ θεὸς πανταχοῦ πάρεστι. ποῦ τοίνυν εἰσὶν ἐν τῷ θεῷ αἱ ὕβρεις; ἢ κατὰ
τί ὁ θεὸς ἐλαττοῦται; ὦ πατροκτόνε τῆς ἐπιεικείας σύ, λόγισαι δὴ οὖν ἐξ αὐτοῦ 33
τεκμαιρόμενος καὶ ἐνθυμήθητι, εἰ ἁμάρτημα τοῦτ' εἶναι δοκεῖ, τὸ ἐν Χριστῷ παρεῖναι τὸν
θεόν. ἐκεῖνος μὲν οὖν κατεῖδε τὴν ἀτιμίαν τοῦ λόγου καὶ τὴν τιμωρίαν οὐ βραδέως ἐπήγαγε.
χωρὶς δὲ τούτων καθ' ἑκάστην δήπουθεν ἡμέραν ἁμαρτήματα ἐν τῷ κόσμῳ γίνεται.
καὶ ὅμως ὁ θεὸς πάρεστι καὶ τὰ τῆς δίκης οὐχ ὑστερίζει. τί οὖν παρὰ τοῦτο ἐλαττοῦται,

BK RE

1 καὶ 3 > BK 5 πανοῦργε = lat. calidissime Schw.] θερμότατε = callidissime BKRE Gel. 7/8 μώλωπας BK λύπας RE Gel. 10 τὸν τῆς ἐπικουρίας τῆς ἡμετέρας ~ E 11 τὴν nach Gel. τις BKRE 12 τῆς nach Gel. τις BKRE | περιγράφειν + δοκεῖ aber exp. B 14 ἐπὶ πάντας οὐ διῆκον τῶν νόμων RE 16 ὁ 3] οὐ E 21 τούτῳ ἐλάττονα Schw. τοῦτο ἔλαττον BKRE Gel. 22 σοὶ nach Gel. σὺ BKRE 27 ⟨τὸ⟩ Op. 28 μῆστορ nach Gel. νέστορ BKRE 30 μορφῇ nach Gel. Hss. μορφὴ BKRE Loeschcke 33 ἤγουν nach Gel. (A[1]) Loeschcke ἤτουν RE εἴτουν BK | χαρακτῆρας RE Gel.

34 εἰ τὸ μέγεθος αὐτοῦ τῆς δυνάμεως τὰ πανταχοῦ διαισθάνεται; οὐδέν, οἶμαι. ὁ μὲν
γὰρ τοῦ κόσμου νοῦς διὰ τοῦ θεοῦ· δι' αὐτοῦ πᾶσα διαμονή. δι' αὐτοῦ πᾶσα δίκη. ἡ
δὲ τοῦ Χριστοῦ πίστις ἀνάρχως ἐξ αὐτοῦ. ὅλος δὲ θεοῦ νόμος ἐστὶ Χριστός, δι' αὐτοῦ τὸ
ἄπειρον ἅμα καὶ ἀτελεύτητον ἔχων.
35 Ἀλλὰ γὰρ σὺ κατὰ σεαυτὸν ἐννοῶν φαίνῃ, ὦ τῆς μανίας λίαν· περίστρεψον νῦν
εἰς τὴν σαυτοῦ ἀπώλειαν τὸ τοῦ διαβόλου ξίφος. ὁρᾶτε δή, πάντες ὁρᾶτε, ὡς γοερὰς ἤδη
προίσχεται φωνὰς τῷ τοῦ ἔχεως ἐνισχημένος δήγματι, ὡς αἱ φλέβες αὐτοῦ καὶ σάρκες
τῷ ἰῷ ἐγκατειλημμέναι δεινὰς ἀνακινοῦσιν ὀδύνας, ὡς διερρύηκεν αὐτοῦ τὸ σῶμα πᾶν
κατισχνωθέν — αὐχμοῦ τε καὶ ῥύπου καὶ θρήνων καὶ ὠχριάσεως καὶ φρίκης καὶ μυρίων
τε γέμει κακῶν καὶ δεινῶς κατέσκληκεν — ὡς εἰδεχθὲς καὶ κατάρρυπον τὸ τῆς κόμης δάσος,
ὡς ὅλος ἡμιθνὴς καὶ ἐξασθενῶν ἤδη τὸ βλέμμα, ὡς ἄναιμον τὸ πρόσωπον καὶ ὑπὸ μερίμνης
ἐκτετηκός, ὡς ὁμοῦ πάντα εἰς αὐτὸν συνδραμόντα, οἶστρος μανία τε καὶ ματαιότης, διὰ
36 τὸ χρόνιον τοῦ πάθους ἄγριόν τε καὶ θηριώδη σε πεποιήκασιν. αὐτίκα οὐδὲ ἐπαισθανό-
μενος οὗ δὴ κακοῦ τυγχάνει ὢν »αἴρομαι«, φησίν, »ὑφ' ἡδονῆς καὶ πηδῶ γε σκιρτῶν ὑπὸ
37 χαρᾶς καὶ πτεροῦμαι«. καὶ πάλιν νεανικῶς γε λίαν »εἶεν«, φησίν, »ἀπωλόμεθα«. τοῦτο
μέν γε καὶ ἀληθές ἐστι· σοὶ γὰρ μόνῳ ἡ κακία τὰς παρ' ἑαυτῆς σπουδὰς δαψιλῶς κεχορή-
γηκε, καὶ ὃ πολλῆς ἐωνεῖτο τιμῆς, τοῦτό σοι ῥᾷστα δέδωκε. φέρε δὴ νῦν εἰπέ, ποῦ τὰ
σεμνά σού ἐστι παραγγέλματα; ἀπόνιψαι δῆτα τῷ Νείλῳ σαυτόν, εἰ οἷόν τε, ὦ ἀτόπου
γέμων ἄνθρωπε ἀναισθησίας· καίτοι σύ γε τὴν οἰκουμένην ἅπασαν τοῖς σεαυτοῦ ἀσεβή-
38 μασι διαταράξαι ἐσπούδακας. ἆρά γε συνίης ὡς ἅπαντα ἤδη ὁ τοῦ θεοῦ ἄνθρωπος
ἐγὼ ἐξεπίσταμαι; ἀλλὰ γὰρ ἀπορῶ, πότερον μένειν ἢ ἀπιέναι δεῖ· οὔτε γὰρ βλέπειν
εἰς τοῦτον ἔτι δύναμαι καὶ τὴν ἁμαρτίαν ἐπαισχύνομαι, ὦ Ἄρειε δῆτα Ἄρειε. ἡμᾶς μὲν
εἰς φῶς κατέστησας, σαυτὸν δὲ εἰς σκότος, ὦ ταλαίπωρε, κατέβαλες. τοῦτό σου τῶν
πόνων πέφηνε τὸ τέλος.
39 Ἀλλ' ἐκεῖσε πάλιν ἐπάνειμι· πλῆθος εἶναι φῂς τῶν περὶ σὲ ἀλωμένων. εἰκός, οἶμαι,
καὶ δέχου γε τούτους, δέχου, φημί. λύκοις γὰρ ἑαυτοὺς καὶ λέουσι βρωθησομένους ἐκ-
δεδώκασι. πλὴν ἀλλὰ καὶ τούτων ἕκαστος προσθήκῃ κεφαλαίων δέκα καὶ τελέσμασι
τούτων πιεσθεὶς αὐτίκα δὴ μάλα ἰδρώσει, ἐὰν μὴ τὴν ταχίστην ἐπὶ τὴν σωτήριον δραμὼν
40 ἐκκλησίαν τὴν τῆς ἀγάπης εἰρήνην τῷ φίλτρῳ τῆς ὁμονοίας ἐπανέληται. οὐδὲ γὰρ
δὴ ὑπὸ σοῦ λοιπὸν ἐξαπατηθήσονται ἐπὶ πονηρᾷ συνειδήσει κατεγνωσμένου, οὐδ' ἀνέ-
ξονται τέλεον ἀπολέσθαι ταῖς μιαραῖς σου ζητήσεσιν ἐμπλακέντες. σαφῆ καὶ γνώριμα
πᾶσι πρὸς γοῦν τὸν ἑξῆς χρόνον τὰ σά ἐστι σοφίσματα· καὶ μὴν οὐδὲ αὐτὸς ἀνύσαι τι
δυνήσῃ, ἀλλὰ μάτην σχηματιῇ, ἐπιείκειάν τε καὶ πραότητα λόγων καθυποκρινόμενος
καὶ ἀπλότητος ὡς εἰπεῖν προσωπεῖον ἔξωθεν περιτιθέμενος. μάταιον ἔσται σου τὸ
ὅλον τέχνασμα. αὐτίκα γάρ σε ἡ ἀλήθεια περιστήσεται. αὐτίκα σου τὰς φλόγας ὁ τῆς
41 δυνάμεως ὡς εἰπεῖν ὄμβρος ἀποσβέσει. καὶ μέντοι καὶ τοὺς ἑταίρους καὶ ὁμογνώμονάς
σου ἐνόχους ἤδη τῇ βουλῇ γενομένους αἱ τῶν δημοσίων λειτουργημάτων καταλήψονται
φροντίδες, ἐάν γε μὴ τὴν ταχίστην ἀποφεύγοντες τῆς πρὸς σὲ συνουσίας τὴν ἀδιάφθορον
42 ἀνταλλάξωνται πίστιν. σὺ δέ, ὁ σιδηρόφρων ἀνήρ, δεῖγμά μοι δὸς τῆς σῆς προαιρέ-
σεως, εἰ σαυτῷ πιστεύεις καὶ ἔρρωσαι τῷ βεβαίῳ τῆς πίστεως καὶ καθαρὰν ὅλως ἔχεις
συνείδησιν. ἧκε πρὸς ἐμέ, ἧκε, φημί, πρὸς θεοῦ ἄνθρωπον. πίστευσον, ὡς ταῖς ἐμαυτοῦ
πεύσεσι διερευνήσομαί σου τὰ ἀπόρρητα τῆς καρδίας· κἂν μέν τι μανικὸν ἐνεῖναι δόξῃ,
τὴν θείαν ἐπικαλεσάμενος χάριν παραδείγματός σε κάλλιον ἰάσομαι. ἐὰν δὲ ὑγιαίνων

BK RE

5 γὰρ > E 7 ἔχεως RE Gel. ὄφεως BK | ἐνεσχημένος RE 10 τε ausradiert R 14 οὗ δὴ] οὐ δ'εἰ RE 17 ἐωνεῖτο] ἐωρεῖτο B 19 σεαυτοῦ K ἑαυτοῦ BRE 24 τὸ > K 25 ἀλωμένων Schw. ἀλώμενον K ἀλώμενον B ἀλόμενον RE 28 ἰδρώσει, ἐὰν nach Gel. ἰδρώσειεν ἂν BKRE 29 οὐδὲ] οὐ B 32 ἀνύσαι BKE[c] ἀνοῖσαι RE* 39 ἀνταλλάξονται RE

τὰ κατὰ ψυχὴν φανῇς, τὸ τῆς ἀληθείας φῶς ἐπιγνοὺς ἐν σοὶ καὶ τῷ θεῷ χάριν εἴσομαι
καὶ ἐμαυτῷ τῆς εὐσεβείας συνησθήσομαι.

Καὶ ἄλλῃ χειρί· ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγαπητοί. 43

Διὰ Συγκλητίου καὶ Γαυδεντίου μαγιστριανῶν ἐκομίσθη καὶ ταῦτα, ὅτε Πατέριος
ἦν ἔπαρχος Αἰγύπτου, καὶ ἀνεγνώσθη ἐν τῷ παλατίῳ.

Κατὰ Εὐσεβίου καὶ Θεογνίου.

Κωνσταντῖνος Σεβαστὸς τῇ καθολικῇ ἐκκλησίᾳ Νικομηδέων. 41, 1

Τὸν δεσπότην θεὸν δηλαδὴ καὶ σωτῆρα Χριστὸν ἀκριβῶς ἅπαντες ἴστε, ἀγαπητοὶ
ἀδελφοί, πατέρα τε καὶ υἱὸν εἶναι, πατέρα φημὶ ἄναρχον ἄνευ τέλους γονέα τοῦ αἰῶνος
αὐτοῦ, υἱὸν δέ, τοῦτ' ἔστι τὴν τοῦ πατρὸς βούλησιν, ἥτις οὔτε δι' ἐνθυμήσεώς τινος
ἀνείληπται οὔτε πρὸς τὴν τῶν ἔργων αὐτοῦ τελεσιουργίαν διά τινος ἐξεζητημένης
οὐσίας κατελήφθη. ὃς γὰρ τοῦτο καὶ νοεῖ καὶ νοήσει, οὗτος ἕξει πρὸς ἅπαν τιμωρίας
γένος ἀκάματον ὑπομονήν. ἀλλὰ γὰρ ὁ τοῦ θεοῦ υἱὸς Χριστὸς ὁ τῶν ἁπάντων δημι- 2
ουργὸς καὶ τῆς ἀθανασίας αὐτῆς χορηγὸς ἐγεννήθη, ὅσον πρὸς τὴν πίστιν ἀνῆκεν ᾗ
πεπιστεύκαμεν, ἐγεννήθη — μᾶλλον δὲ προῆλθεν αὐτὸς ὁ καὶ πάντοτε ἐν τῷ πατρὶ ὢν
ἐπὶ τὴν τῶν ὑπ' αὐτοῦ γεγενημένων διακόσμησιν — ἐγεννήθη τοίνυν ἀμερίστῳ προε-
λεύσει· ἡ γὰρ βούλησις ὁμοῦ καὶ τῷ οἰκητηρίῳ ἑαυτῆς ἐμπέπηγε καὶ ταῦθ', ἅπερ δια-
φόρου δέεται τημελείας, κατὰ τὴν ἑκάστου ποιότητα πράττει τε καὶ διοικεῖ. τί οὖν 3
ἐστι μεταξὺ τοῦ θεοῦ καὶ πατρὸς καὶ υἱοῦ; οὐδὲν δηλαδή. αὕτη γὰρ ἡ τῶν πραγμάτων
συμπλήρωσις αἰσθήσει παρείληφε τὸ τῆς βουλήσεως πρόσταγμα, οὐχὶ δὲ μερισθεῖσαν
ἐκ τῆς τοῦ πατρὸς οὐσίας τὴν βούλησιν διέστησεν. ὃ δὲ τούτοις ἕπεται· τίς ἐστιν, ὃς 4
τοῦ Χριστοῦ τοῦ ἐμοῦ δεσπότου πάθος δι' αἰδῶ μᾶλλον ἢ μωρίαν δέδιεν; ἆρ' οὖν πάσχει
τὸ θεῖον, ἐπειδὰν ἡ τοῦ σεμνοῦ σώματος οἴκησις πρὸς ἐπίγνωσιν τῆς ἰδίας ἁγιότητος
ὁρμᾷ, ἢ ὑποπίπτει θίξει τὸ τοῦ σώματος ἐκκεχωρισμένον; ἆρ' οὐχὶ διέστηκε τοῦθ' ὅπερ
ἐκ τῆς τοῦ σώματος ἀφῄρηται ταπεινότητος; οὐχὶ δὲ ζῶμεν, κἂν πρὸς θάνατον ἡ τῆς
ψυχῆς εὔκλεια τὸ σῶμα προσκαλέσηται; τί τοίνυν ἐνταῦθα ἡ ἀβλαβής τε καὶ εἰλικρινὴς 5
πίστις ἄξιον ἀμφιβολίας κατείληφεν; ἢ οὐχ ὁρᾷς ὅτι σεμνότατον σῶμα ὁ θεὸς ἐπελέξατο,
δι' οὗ τὰ τῆς πίστεως τεκμήρια καὶ τὰ τῆς οἰκείας ἀρετῆς ὑποδείγματα ἔμελλεν ἐμφανίζειν
καὶ τὴν ἤδη συγκεχυμένην ὀλεθρίῳ πλάνῃ τοῦ ἀνθρωπίνου γένους ἀπώλειαν ἀποσείσασθαι
καινήν τε θρησκείας διδόναι διδασκαλίαν καὶ τῷ τῆς ἁγνείας ὑποδείγματι τὰς ἀναξίας
τοῦ νοῦ πράξεις καθαίρειν, ἔπειτα δὲ τὴν μὲν τοῦ θανάτου βάσανον ἐκλύειν, τὰ δὲ τῆς
ἀθανασίας ἔπαθλα προαναφωνεῖν;

Ἀλλ' ὑμεῖς, οὓς λοιπὸν ἀδελφοὺς ἡ τῆς ἀγάπης κοινωνία εἰκότως ὑπ' ἐμοῦ 6
προσαγορεύεσθαι ποιεῖ, οὐκ ἀγνοεῖτέ με τὸν ὑμέτερον συνθεράποντα, οὐκ ἀγνοεῖτε

4 Paterius war 333 Präfekt, vgl. die Anm. zu Urk. 34 (III 75, 7) c. 41 = Urkunde 27 (III 58). Der Brief wird nach Athanasius von Gelasius III Anhang I überliefert. Der Brief war Sokrates I 9, 65 unter dem Titel κατὰ Εὐσεβίου καὶ Θεόγνιδος bekannt. Vielleicht bestätigt die Übereinstimmung der Titel bei Athanasius und Sokrates wiederum, was auch das Verhältnis des Athanasiustextes der Handschriften und des Sokrates beweist (siehe meine Untersuchungen z. Überlieferung der Schriften des Athanasius S. 155 ff.), daß Sokrates das Apologien-Korpus benutzt hat. Daß die Überschriften in dem Aktenfaszikel auf Athanasius zurückgehen, ist damit nicht gesagt. Eine lateinische Übersetzung ist in Cod. Paris. lat. 1682 (Acta conc. oec. IV 2 p. 102) erhalten.

BK RE

1 φανεὶς RE* φανῇς E^c 2 ἐμαυτῷ + τῷ BRE 3 διαφυλάξαι K διαφυλάξοι B 10 τὴν nachgetr. E | οὔτε] οὐδὲ RE 11 ἐξεζητημένος BKR 14 ἀνῆκεν > E 20 μερισθεῖσαν nach Lat. μερισθεῖσα BKRE 22 πάθος Heikel ὀπαδὸς BKRE | δέδειεν RE 23 οἴκησις — 24 σώματος > R 29 συγκεχωσμένην BK

τὸ τῆς ὑμετέρας σωτηρίας ὀχύρωμα, οὗ τὴν φροντίδα γνησίως ἐπανῄρημαι, καὶ δι'
οὗ τῶν ἡμετέρων ἐχθρῶν οὐ μόνον τὰ ὅπλα κατεμαχεσάμεθα, ἀλλὰ καὶ ζῶντας
ἔτι τὴν ψυχὴν συνκαθείρξαμεν πρὸς τὸ τὴν τῆς φιλανθρωπίας ἀληθῆ πίστιν ἐκφάναι.
7 ἀλλ' ἐγὼ ἐπὶ τοῖς ἀγαθοῖς τούτοις διὰ τὴν τῆς οἰκουμένης μάλιστα ἀνανέωσιν ἔχαιρον.
καὶ γὰρ θαύματος ἦν ἄξιον ἀληθῶς ἔθνη τοσαῦτα εἰς ὁμόνοιαν ἐπαγαγεῖν, ἃ πρὸ
βραχέος ἐλέγετο τὸν θεὸν ἀγνοεῖν. πλὴν τί ἔμελλε γινώσκειν τὰ ἔθνη ταῦτα, ἃ οὐδε-
μίαν φιλονεικίας ἐπανῄρηνται φροντίδα; τί οὖν νοεῖτε, ἀδελφοὶ ἀγαπητοί, ὡς ὑμᾶς αὐτοὺς
8 αἰτιῶμαι; Χριστιανοί ἐσμεν καὶ οἰκτρᾷ διαθέσει διχονοοῦμεν. αὕτη ἄρα ἐστὶν ἡ ἡμετέρα
πίστις, αὕτη ἡ τοῦ ἁγιωτάτου νόμου διδασκαλία; ἀλλὰ τίς ἐστιν αἰτία δι' ἣν ὁ τοῦ
παρόντος κακοῦ ὄλεθρος ἐξεγήγερται; ὢ τῆς ἀτοπίας, ὢ μίσους ὑπερβολὴ πάσης ἀγανακ-
τήσεως μέγεθος ὑπερβαίνουσα. τίς ἡ τοῦ λῃστηρίου τούτου ἀναπέφανται δεινότης, ἣ
τὸν τοῦ θεοῦ υἱὸν ἀρνεῖται ἐξ ἀμερίστου τοῦ πατρὸς οὐσίας προεληλυθέναι; ἆρ' οὐχὶ παν-
ταχοῦ ἐστιν ὁ θεός, καίτοι γε τοῦτον πάντοτε παρεῖναι ἡμῖν αἰσθανόμεθα; ἆρ' οὐχὶ διὰ
τῆς τούτου δυνάμεως ἡ τῶν ὅλων συνέστηκεν εὐκοσμία, καίτοι γε τῆς τοῦ χωρισμοῦ
διαστάσεως ἐστέρηται;
9 Μὴ οὖν ὑμῖν τι πέπρακται; ἀγαπητοὶ ἀδελφοί, καταμάθετε νῦν, ἀξιῶ, τὰς
βασάνους τῆς παρούσης ἀλγηδόνος· ὁμολογητὰς ὑμᾶς εἶναι τούτου ἐπηγγέλλεσθε ὃν
⟨θεὸν⟩ εἶναι ἀρνεῖσθε, τοῦθ' ὑμᾶς τοῦ πανώλου διδασκάλου πείθοντος. ἱκετεύω,
τίς ἐστιν ὁ διδάξας ταῦτα οὕτως ἄκακον πλῆθος; Εὐσέβιος δηλαδὴ ὁ τῆς τυραννικῆς
ὠμότητος συμμύστης. ὅτι γὰρ πανταχοῦ τοῦ τυράννου γεγένηται πρόσφυξ, πολλαχόθεν
ἔστι συνορᾶν. τοῦτο μὲν γὰρ αἱ τῶν ἐπισκόπων σφαγαὶ διαμαρτύρονται, ἀλλὰ τῶν
ἀληθῶς ἐπισκόπων, τοῦτο δὲ ἡ χαλεπωτάτη τῶν Χριστιανῶν ἐκδίωξις διαρρήδην βοᾷ.
10 οὐδὲν γὰρ περὶ τῶν εἰς ἐμὲ γεγενημένων ὕβρεων νῦν ἐρῶ, δι' ὧν, ὅτε μάλιστα αἱ τῶν
ἐναντίων μερῶν ἐπραγματεύσαντο συνδρομαί, οὗτος καὶ ὀφθαλμοὺς κατασκόπους ὑπέ-
11 πεμπε κατ' ἐμοῦ καὶ μόνον οὐκ ἐνόπλους τῷ τυράννῳ συνεισέφερεν ὑπουργίας. μηδ'
ἐμέ τις οἰέσθω εἶναι πρὸς τὴν τούτων ἀπόδειξιν ἀπαράσκευον. ἔλεγχος γάρ ἐστιν ἀκριβής,
ὅτι τοὺς πρεσβυτέρους καὶ τοὺς διακόνους τοὺς Εὐσεβίῳ παρεπομένους φανερῶς ὑπ'
ἐμοῦ συνειλῆφθαι συνέστηκεν. ἀλλὰ ταῦτα μὲν παρίημι, ἃ νῦν οὐκ ἀγανακτήσεως ἕνεκεν,
ἀλλ' εἰς ἐκείνων αἰσχύνην ὑπ' ἐμοῦ προενήνεκται. ἐκεῖνο μόνον δέδια, ἐκεῖνο διαλογίζομαι,
ὅτι ὑμᾶς ὁρῶ πρὸς τὴν τοῦ ἐγκλήματος καλεῖσθαι κοινωνίαν. διὰ γὰρ τῆς Εὐσεβίου
12 ἀγωγῆς τε καὶ διαστροφῆς συνείδησιν τῆς ἀληθείας κεχωρισμένην ἀνειλήφατε. ἀλλ'
ἔστιν οὐ βραδεῖα θεραπεία, εἴ γε ἐπίσκοπον πιστόν τε καὶ ἀκέραιον νῦν γοῦν λαβόντες
πρὸς τὸν θεὸν ἀπίδητε, ὅπερ ἐπὶ τοῦ παρόντος ἐν ὑμῖν ἐστι καὶ πάλαι ἐχρῆν τῆς ὑμετέρας
κρίσεως ἠρτῆσθαι, εἰ μὴ ὁ προειρημένος Εὐσέβιος ⟨σὺν⟩ δίνῃ τῶν συναγομένων αὐτῷ
ἐνταῦθα ἐληλύθει καὶ τὴν τῆς τάξεως ὀρθότητα ἀναισχύντως συνετεταράχει.
13 'Αλλ' ἐπειδὴ περὶ αὐτοῦ τοῦ Εὐσεβίου πρὸς τὴν ὑμετέραν ἀγάπην ὀλίγα προσῆκε
φράσαι, μέμνηται ἡ ὑμετέρα ἀνεξικακία ἐπὶ τῆς Νικαέων πόλεως γεγενῆσθαι σύνοδον,
ᾗ καὶ αὐτὸς ἐγὼ πρεπόντως τῇ τῆς ἐμῆς συνειδήσεως λατρείᾳ παρήμην, οὐδὲν ἕτερον
βουλόμενος ἢ ὁμόνοιαν ἅπασιν ἐργάσασθαι καὶ πρὸ πάντων ἐλέγξαι τε καὶ ἀποσείσασθαι
τὸ πρᾶγμα τοῦτο, ὃ τὴν μὲν ἀρχὴν εἰλήφει διὰ τῆς 'Αρείου τοῦ 'Αλεξανδρέως ἀπονοίας,

---

Ab 19 τίς ἐστιν überliefert von Theodoret h. e. I 20, 1, von dem Gelasius I 11, 22 und Theodorus Lector (Cod. Marc. gr. 344 fol. 54[b]) abhängig sind

---

BK RE

---

3 καθείρξαμεν BK 6 γινώσκειν ν v. sp. Hd. E 13 ὁ > R | αἰσθανόμεθα nach Gel. αἰσθόμεθα BKRE 16 ὢ ἀγαπητοὶ RE 18 ⟨θεὸν⟩ Heikel | πανώδου R 19 ταῦτα διδάξας ~ RE Gel. Thdt. 25 ὑπουργίας RE Gel. Thdt. λειτουργίας BK 34 ⟨σὺν⟩ δίνῃ Lat. Lietzmann δεινῇ B δεῖν' ἢ KE δεῖν η BR ἢ δεῖνα a. Rd. von Hd. d. 16. Jhdts. B 35 ἀνεπαισχύντως E | συνετεταράχει Balforeus συνεπεπράχει BKRE Gel. Thdt.

ἰσχυροποιεῖτο δὲ παραχρῆμα διὰ τῆς Εὐσεβίου ἀτόπου τε καὶ ὀλεθρίας σπουδῆς. ἀλλ' 14
αὐτὸς οὗτος Εὐσέβιος, προσφιλέστατοι καὶ τιμιώτατοι, μεθ' ὅσης νομίζετε συνδρομῆς ἅτε
δὴ ὑπὸ τῆς συνειδήσεως αὐτῆς ἡττώμενος, μεθ' ὅσης δὲ αἰσχύνης τῇ πανταχόθεν ἐληλεγ-
μένῃ ψευδολογίᾳ συνίστατο, ὑποπέμπων μέν μοι διαφόρους τοὺς ἀξιοῦντας ὑπὲρ αὐτοῦ,
ἐξαιτούμενος δὲ παρ' ἐμοῦ συμμαχίαν τινά, ὅπως μὴ ἐπὶ τοσούτῳ ἐλεγχθεὶς πλημμελήματι
τῆς ὑπαρχούσης αὐτῷ τιμῆς ἐκβάλλοιτο; μάρτυς ἐστί μοι τούτου ὁ θεὸς αὐτός, ὅς ἐμοί τε
καὶ ὑμῖν φιλαγάθως ἐπιμένοι, ἐπεὶ καὶ ἐμὲ ἐκεῖνος περιέτρεψε καὶ ἀπρεπῶς ὑφήρπασεν, ὃ
καὶ ὑμεῖς ἐπιγνώσεσθε. πάντα μὲν γὰρ ἐπράχθη τότε, καθὼς αὐτὸς ἐπόθει πᾶν ὁτιοῦν
κακὸν ἐπὶ τῆς ἑαυτοῦ διανοίας ἀποκρυπτόμενος.

'Αλλὰ πρώην, ἵνα τὰ λοιπὰ τῆς τούτου σκαιότητος παρῶ, τί μάλιστα μετὰ Θεογνίου, 15
ὃν τῆς ἀνοίας ἔχει κοινωνόν, διεπράξατο, ἀκούσατε, παρακαλῶ. 'Αλεξανδρέας τινὰς
τῆς ἡμετέρας πίστεως ἀναχωρήσαντας ἐνταῦθα κεκελεύκειν ἀποσταλῆναι, ἐπειδὴ διὰ
τῆς τούτων ὑπηρεσίας ὁ τῆς διχονοίας ἠγείρετο πυρσός. ἀλλ' οὗτοι οἱ καλοί τε καὶ 16
ἀγαθοὶ ἐπίσκοποι, οὓς ἅπαξ ἡ τῆς συνόδου ἀλήθεια πρὸς μετάνοιαν τετηρήκει, οὐ μόνον
ἐκείνους ὑπεδέξαντο καὶ παρ' ἑαυτοῖς ἠσφαλίσαντο, ἀλλὰ καὶ ἐκοινώνησαν αὐτοῖς τῆς
τῶν τρόπων κακοηθείας. διὸ τοῦτο περὶ τοὺς ἀχαρίστους τούτους ἔκρινα πρᾶξαι·
ἁρπαγέντας γὰρ αὐτοὺς ἐκέλευσα ὡς πορρωτάτω ἐξορισθῆναι. νῦν ὑμέτερόν ἐστι πρὸς 17
τὸν θεὸν ἐκείνῃ τῇ πίστει βλέπειν, ᾗ πάντοτε καὶ γεγενῆσθαι [καὶ] συνέστηκε καὶ εἶναι
πρέπει, καὶ διαπράξασθαι οὕτως, ⟨ἵνα⟩ ἐπισκόπους ἁγνούς τε καὶ ὀρθοδόξους καὶ φιλαν-
θρώπους ἔχοντες χαίρωμεν· εἴ τις δὲ ἢ πρὸς μνήμην τῶν λυμεώνων ἐκείνων ἢ πρὸς
ἔπαινον ἀπρονοήτως ἐξαφθῆναι τολμήσει, παραχρῆμα τῆς ἰδίας τόλμης διὰ τῆς τοῦ
θεράποντος τοῦ θεοῦ τοῦτ' ἔστιν ἐμοῦ ἐνεργείας ἀνασταλήσεται.

Νικητὴς Κωνσταντῖνος Σεβαστὸς Θεοδότῳ. 42, 1

Ὅση τῆς θείας ὀργῆς ἡ ἰσχὺς πέφυκε, καὶ ἐξ ὧν Εὐσέβιός τε καὶ Θεόγνιος πεπόνθασιν
εὐχερὲς καὶ σὲ μαθεῖν, οἳ εἰς τὴν ἁγιωτάτην παροινοῦντες θρησκείαν τὸ τοῦ σωτῆρος
θεοῦ ὄνομα τῷ συστήματι τοῦ οἰκείου λῃστηρίου καὶ μετὰ τὸ τυχεῖν συγγνώμης ἐμίαναν.
ὅτε γὰρ μάλιστα μετὰ τὴν τῆς συνόδου ὁμογνώμονα συμφωνίαν ἐχρῆν τὴν προτέραν
ἐπανορθώσασθαι πλάνην, τότε τοῖς αὐτοῖς ἀτοπήμασιν ἐμμένοντες ἑάλωσαν. διὰ 2
τοῦτο γοῦν ἡ θεία πρόνοια αὐτοὺς τοῦ ἑαυτῆς ἀπώσατο λαοῦ. ἐπειδὴ μηδὲ ἔφερε τὰς
ἀκάκους ψυχὰς ὀλίγων ἀπονοίᾳ φθειρομένας καθορᾶν, καὶ νῦν μὲν ἀξίαν παρ' αὐτῶν
ᾔτησε δίκην, μείζονα δὲ καὶ εἰς τὸ ἑξῆς διὰ τοῦ παντὸς αἰῶνος λήψεται.

Ὅπερ τῇ σῇ ἀγχινοίᾳ δηλωθῆναι δεῖν ἡγησάμην, ἵν' εἴ τις κακὴ παραίνεσις τῶν 3
τοιούτων, ὡς ἔγωγε οὐκ οἶμαι, τῇ σῇ ἐνεκαθέσθη προαιρέσει, ταύτην τῆς ψυχῆς ἀφελό-
μενος καθαρὰν ὡς προσῆκε τὴν διάνοιαν εἰλικρινῆ τε καθοσίωσιν καὶ ἄχραντον πίστιν
τῷ σωτῆρι θεῷ παρασχέσθαι προθυμηθῇς. καὶ γὰρ τοῦτο προσῆκόν ἐστιν ὑπὸ τούτου
πράττεσθαι, ὃς δ' ἂν ἀκεραίων τῶν τῆς αἰωνίου ζωῆς ἐπάθλων ἀξιοῦσθαι βουλεύηται.

καὶ ἄλλῃ χειρί·

ὁ θεός σε διαφυλάξει, ἀδελφὲ ἀγαπητέ.

---

c. 42 = Urkunde 28 (III 63). Der Brief wird nach Athanasius von Gelasius III Anhang II überliefert

BK RE

8 μὲν > E 12 κεκελεύκην R 18 [καὶ] zu tilgen mit Gel. Thdt. | συνέστηκε καὶ εἶναι] συν-
εστηκέναι K 19 ⟨ἵνα⟩ einzufügen mit Gel. Lat. 20 χαίρομεν E | μνήμην] λύμην BK |
λυμεώνων] λυμαινομένων E 21 ἀπρονοήτους BK 24 ἡ ἰσχὺς K, v. sp. Hd. B > RE 31 ᾔτησε
RE Gel. ἔτισε B[c]K 32 ἵν' εἴτις BK ἵν' εἴτις E ἣν ἥτις RE? 34 καθαρὰν E[c] Gel. καθορᾶν
BKRE* 38 διαφυλάξαι (!) σε ~ BK

Τοῦ μακαρίου Ἀθανασίου περὶ Διονυσίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας, ὅτι καὶ αὐτὸς κατὰ τῆς ἀρειανῆς αἱρέσεως ἐφρόνει ὡς ἡ ἐν Νικαίᾳ σύνοδος, καὶ μάτην αὐτὸν συκοφαντοῦσιν οἱ Ἀρειομανῖται ὡς ὁμόδοξον ἑαυτῶν.

1, 1 Βραδέως ἐδήλωσας περὶ τῆς νῦν διαλέξεως τῆς γενομένης παρ' ὑμῖν πρὸς τοὺς χριστο-
B 243; M 480 A μάχους· καὶ γὰρ πρὶν γράψαι τὴν σὴν διάθεσιν ἔμαθον φιλοπευστῶν καὶ ἡδέως ἀκούων
περὶ τῶν τοιούτων. τὴν μὲν οὖν σὴν εὐλάβειαν ἀπεδεξάμην καλῶς φρονοῦσαν περὶ
τῶν μακαρίων πατέρων ἡμῶν, τῶν δ' Ἀρειομανιτῶν τὴν ἀλογίαν καὶ νῦν ἐπέγνων.
2 οὐδὲν γὰρ οὔτ' εὔλογον οὔτε πρὸς ἀπόδειξιν ἐκ τῆς θείας γραφῆς ῥητὸν ἐχούσης τῆς
αἱρέσεως αὐτῶν ἀεὶ μὲν προφάσεις ἀναισχύντους ἐπορίζοντο καὶ σοφίσματα πιθανά, νῦν
δὲ καὶ διαβάλλειν τοὺς πατέρας τετολμήκασι. καὶ οὐκ ἀλλότριόν γε ἀλλὰ καὶ οἰκεῖον
τοῦτο τῆς κακονοίας ἐστὶν αὐτῶν· οἱ γὰρ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ
B αὐτοῦ μελετᾶν ἐπιχειρήσαντες, τί θαυμαστὸν εἰ καὶ τὸν μακαρίτην Διονύσιον τὸν
B 244 3 ἐπίσκοπον | Ἀλεξανδρείας ὡς ὁμόδοξον ἑαυτῶν καὶ ὁμόφρονα λοιδοροῦσιν; ὃν γὰρ
ἐὰν οὗτοι πρὸς σύστασιν τῆς ἑαυτῶν αἱρέσεως δόξωσιν εὐφημεῖν, κἂν μακάριον αὐτὸν
ὀνομάζωσι, τοῦτον οὐχ ἁπλῶς ἀλλὰ καὶ μεγάλως διαβάλλουσιν ὥσπερ λῃσταί τινες
καὶ τὸν τρόπον ἄσεμνοι, οἳ ἐπειδὰν ἐπὶ τοῖς ἰδίοις ἐπιτηδεύμασιν ὀνειδίζωνται, τοὺς
σώφρονας συναριθμοῦσιν ἑαυτοῖς καταψευδόμενοι τῆς ἐκείνων σωφροσύνης.

2, 1 Εἰ μὲν οὖν θαρροῦσιν οἷς φρονοῦσι καὶ λέγουσι, | προφερέτωσαν γυμνὴν τὴν
M 481 A αἵρεσιν καὶ δεικνύτωσαν ἐξ αὐτῆς εἴ τινα νομίζουσιν ἢ ἐκ τῶν γραφῶν ἔχειν ἢ κἂν ἀνθρώ-
πινόν τινα λογισμὸν εὐσεβῆ πρὸς ἀπολογίαν, εἰ δὲ μηδέν τι τοιοῦτον ἔχουσι, σιωπάτωσαν.
2 οὐδαμόθεν γὰρ εὑρήσουσιν εἰ μὴ μᾶλλον ἔλεγχον καθ' ἑαυτῶν, ἀπὸ μὲν τῶν γραφῶν, τοῦ
μὲν Ἰωάννου λέγοντος· »ἐν ἀρχῇ ἦν ὁ λόγος«, ὃν οὗτοι λέγουσιν οὐκ ἦν πρὶν γεννηθῇ,

1/4 Vgl. Z. 14 5 Der Adressat und der Anlaß der Schrift sind unbekannt; ob auf den Anlaß des Traktates de decretis nic. angespielt wird? Der Zusammenhang mit de decretis wird wohl auch durch die dort angeführten Stellen aus Dionys nahegelegt. Die Gegner des Athanasius, nicht eigentlich Arianer, sondern die orientalischen Bischöfe, die das Nicaenum gegen die Marcellische Theologie abgrenzten, haben nicht ohne Berechtigung Dionys als Kronzeugen für ihre Theologie in Anspruch genommen 9 ff. Vgl. de decretis 2, 1 (2, 14 ff.) 12 Vgl. Ps. 2, 2 23 Joh. 1, 1

BKP REF WV as

1 a. Rd. μη̅ B μ̅ζ̅ K ζ̅ P λ̅ζ̅ u. ζήτει τὸν κ̅ζ̅ κ̅η̅ λόγον ὄπισθεν καὶ εἶθ' οὕτως τοῦτον τὸν προκείμενον καθ' ἀκολουθίαν R ι̅ε̅ E* ι̅ϛ̅ E^c δ̅ V ι̅ζ̅ s 1—4 wie oben BKPREF as τοῦ αὐτοῦ κατὰ Ἀρειανῶν καὶ κατὰ Σαβελλιανῶν καὶ (καὶ κ. Σ. καὶ > Euthymius) ἀπολογία ὑπὲρ Διονυσίου ἐπισκόπου Ἀλεξανδρείας WV Euthymius Zigabenus (Migne PG 130, 492 A) ἀπὸ τῆς ἀπολογίας τῆς γεγενημένης ὑπὲρ Διονυσίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας Theodoret (u. S. 53) ἐκ τῆς ὑπὲρ Διονυσίου ἀπολογίας Florileg des Cod. Vatic. gr. 1431 (u. S. 52) Athanasius Katene (u. S. 52) Severus (u. S. 50, 51) 1 τοῦ μακαρίου Ἀθανασίου BK RE τοῦ αὐτοῦ PF > a (a. Rd. τοῦ μακαρίου Ἀθανασίου a) s | τοῦ² > as 2 ἐφρόνει αἱρέσεως ∼ a s 4 ἑαυτῶν REF a s αὐτῶν BKP 5 νῦν > WV | διαλέξεως] λέξεως W διαλέξεως V, δια aber übergeschrieben 9 θείας + ἐκ τῆς θείας s 10 αἱρέσεως FWV a s διαιρέσεως BKPRE | μὲν > WV | ἀναισχύντως PWV 12 κακονοίας] κοινωνίας WV | αὐτῶν ἐστιν ∼ WV | οἱ] εἰ R 13 μακαρίτην] μακάριον WV | 13 Διονύσιον — 14 Ἀλεξανδρείας] ἐπίσκοπον Ἀλεξανδρείας Διονύσιον P 14 ἐπίσκοπον + τῆς WV a s | τῆς Ἀλεξανδρείας ἐπίσκοπον ∼ V | ἑαυτῶν RE a s αὐτῶν BKPF αὐτοῖς WV Vgl. oben Z. 4 15 ἐὰν] ἂν WV > a 16 μεγάλως ÷ αὐτὸν WV 19 προσφερέτωσαν s 20 εἴ > WV 22 οὐδαμόθεν γὰρ] ἀλλ' οὐδαμόθεν WV | μὲν + γὰρ W a s 23 ὃν > V | γεννηθῆναι V

τοῦ δὲ Δαυὶδ ψάλλοντος ἐκ προσώπου τοῦ πατρός· »ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγα-
θόν«, ὃν οὗτοι λέγουσι κατ' ἐπίνοιαν εἶναι καὶ ἐξ οὐκ ὄντων γεγενῆσθαι, εἶτα τοῦ μὲν
'Ιωάννου πάλιν εὐαγγελιζομένου, ὅτι »πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο
οὐδὲ ἕν«, τοῦ δὲ Παύλου γράφοντος· »εἷς κύριος 'Ιησοῦς Χριστός, δι' οὗ τὰ πάντα«, καὶ
ἐν ἑτέροις· »ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα«. ποίαν παρρησίαν ἕξουσιν οὗτοι καὶ 3
οὐ μᾶλλον αἰσχύνην ὀφλήσουσιν ἐναντιούμενοι τοῖς τῶν ἁγίων ῥήμασιν, ὅταν λέγωσι B
ποίημα εἶναι τὸν τῶν πάντων δημιουργὸν καὶ κτίσμα τοῦτον, ἐν ᾧ τὰ κτίσματα γέγονε
καὶ συνέστηκεν; οὐδὲ ἀνθρώπινος δέ τις αὐτοῖς λογισμὸς εὐσεβὴς εἰς ἀπολογίαν περι- 4
λείπεται. τίς γὰρ ἀνθρώπων ἢ Ἕλλην ἢ βάρβαρος, ὃν ὁμολογεῖ θεόν, τοῦτον ἐπιχειρήσει
κτίσμα λέγειν ἢ ὅτι οὐκ ἦν πρὶν γένηται; ἢ τίς ἀνθρώπων ἀκούσας παρὰ τούτου, ὃν
ἐπίστευσε μόνον εἶναι θεόν, λέγοντος· »οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός«, καὶ »ἐξη-
ρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν«, τολμήσει κἂν εἰπεῖν ὅτι ὁ ἐκ καρδίας τοῦ θεοῦ C
λόγος ἐξ οὐκ ὄντων γέγονεν ἢ ὁ υἱὸς κτίσμα ἐστὶ καὶ οὐκ ἴδιον τοῦ λέγοντος γέννημα;
πάλιν δὲ τίς ἀκούων τούτου, ὃν ἐπίστευσε κύριον εἶναι καὶ σωτῆρα, λέγοντος· »ἐγὼ
ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί«, καὶ »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«, ἐπιχειρήσει διαιρεῖν
ἃ ἐκεῖνος ἥνωσε καὶ ἀμέριστα τετήρηκε;

Ταῦτα γοῦν καὶ αὐτοὶ συνορῶντες καὶ παρρησίαν οὐκ ἔχοντες ἐν τοῖς ἰδίοις κατα- 3,1
ψεύδονται τῶν εὐσεβῶν. ἀλλ' ἔδει πάντων αὐτοὺς ἐρήμους ὄντας καὶ συνορῶντας
ἑαυτοὺς ἐν ταῖς ἐρωτήσεσι πανταχόθεν ἀποροῦντας καὶ χασμωμένους | μεταγινώσκειν B 245
μᾶλλον ἀποστραφέντας ἀπὸ τῆς ὁδοῦ τῆς πλάνης καὶ μὴ συναριθμεῖν ἑαυτοῖς οὓς οὐκ
ἴσασιν, ἵνα μὴ καὶ παρ' αὐτῶν ἐλεγχόμενοι πλείονα τὴν αἰσχύνην ἀπενέγκωνται. ἴσως 2
δὲ τῆς τοιαύτης πανουργίας οὐ θελήσουσιν ἀποστῆναί ποτε· καὶ | γὰρ καὶ τοῦτο M 484 A
τῶν περὶ Καιάφαν ἐζήλωσαν, ὥσπερ καὶ τὸ ἀρνεῖσθαι τὸν Χριστὸν παρ' αὐτῶν μεμα-
θήκασι. καὶ γὰρ κἀκεῖνοι τοσαῦτα τοῦ κυρίου πεποιηκότος ἔργα, δι' ὧν ἐγνώριζεν ἑαυτὸν
εἶναι τὸν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, ἐλεγχόμενοί τε παρ' αὐτοῦ πάντα παρὰ
τὰς γραφὰς λοιπὸν καὶ φρονοῦντες καὶ λέγοντες καὶ μὴ δυνάμενοι κἂν πρὸς τὸ βραχὺ
πρὸς τοὺς κατ' αὐτῶν ἐλέγχους ἀντιβλέπειν, εἰς τὸν πατριάρχην κατέφυγον λέγοντες·
»ἡμεῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ«, καὶ νομίζοντες ἐν τούτῳ δύνασθαι τὴν ἀλογίαν

1 Ps. 44, 2 2 Zu κατ' ἐπίνοιαν vgl. unten c. 23, 1 S. 63, 1 3 Joh. 1, 3 4 I. Cor. 8, 6 5 Col. 1, 16 11 Vgl. Mt. 3, 17; 17, 5 — Ps. 44, 2 14 Joh. 14, 11 15 Joh. 10, 30 20/21 οὓς οὐκ ἴσασιν d. h. Dionys 28 Zitat nach Mt. 3, 9 = Lc. 3, 8, zum Ganzen aber vgl. Joh. 8, 33—39

BKP REF WV a s (bis 26 γραφὰς dann Blattausfall s), ab 24 καὶ γὰρ — S. 48, 5 ἠγνόησεν = Euthymius Zigabenus Panoplia dogmatica titl. XI; Migne PG 130, 492 A/B nach Cod. Vatic. gr. 666 = z

2 ὃν > V | ἐπίνοιαν + αὐτὸν V | μὲν > WV 3 πάλιν > WV 4 οὐδὲ ἕν] οὐδέν P | γράφοντος] λέγοντος WV | Χριστός > WV a s 5 ἐν[1] > a s 6 οὐ] οὐχὶ WV | αἰσχύνην > a s | ὀφλήσουσιν] ἕξουσιν V > W 7 εἶναι > P | τῶν > F | ἁπάντων WV 8 δέ > W | τις αὐτοῖς] εἰς αὐτοὺς WV 8/9 παραλείπεται a s 9 Ἕλλην] Ἕλλην ὢν V Ἑλλήνων W | ἐπιχειρήσει] τολμήσει V ὁμολογήσει W 10 λέγειν κτίσμα ~ WV a s | ἢ[1] > W | ἀνθρώπων] αὐτῶν WV | ἀκούσας ἀνθρώπων ~ F | παρὰ > P 11 εἶναι > F | εἶναι μόνον ~ WV | θεὸν εἶναι ~ a 12 ὁ > W 13 ὁ übergeschrieben W 14 τούτου] τοῦτον V | εἶναι > s übergeschrieben W | εἶναι κύριον ~ REF WV a | λέγοντα V 16 τετήρηκε] πεποίηκε a s 17 ταῦτα] τοιαῦτα V | γοῦν] τοίνυν V νῦν W 18 ἔδει πάντων αὐτούς] ἐπειδὰν τούτων αὐτοὺς s ἐπειδὰν αὐτοὺς τούτων a | πάντων] πάντως V 19 μεταγινώσκειν + ἐχρῆν a s 20 ἀποστρέφοντας WV 22 δὲ + καὶ WV | οὐ > V | θέλουσιν a s 23 τῶν] τοὺς s | ἀρνήσασθαι WV 24 καὶ γὰρ κἀκεῖνοι] οἱ πάλαι 'Ιουδαῖοι z vgl. S. 48, 5 | ἐγνώριζον αὐτὸν WV z 25 ἐλεγχόμενοί τε] ἐλεγχόμενοι δὲ W καὶ ἐλεγχόμενοι V ἐλεγχόμενοι z | αὐτοῦ] αὐτῶν· ὡς V πάντα — 26 λέγοντες > z 26 λοιπὸν > a | λοιπὸν — λέγοντες] λέγοντες λοιπὸν καὶ φρονοῦντες WV | καὶ μὴ — 27 λέγοντες > E | κἂν > z | τὸ > PV | πρὸς τὸ βραχὺ > z 27 κατ' αὐτῶν > z καθ' ἑαυτῶν WV | κατέφευγον WV a z 28 καὶ > WV a z 28 τὴν ἑαυτῶν ἀλογίαν δύνασθαι ~ a

3 αὐτῶν ἐπικαλύπτειν. ἀλλ' οὔτε ἐκεῖνοι τοῦτο λέγοντες ὤνησάν τι οὔτε οὗτοι Διονύ-
σιον ὀνομάζοντες φυγεῖν τὴν ὁμοίαν ἐκείνοις αἰτίαν δυνήσονται. καὶ γὰρ κἀκείνους
B ἐφ' οἷς παρηνόμουν ἤλεγξεν ὁ κύριος λέγων· »τοῦτο Ἀβραὰμ οὐκ ἐποίησε«, καὶ τούτους
ἀσεβοῦντας καὶ ψευδομένους ἡ αὐτὴ πάλιν ἀλήθεια διελέγξει, ὅτι τὰ Ἀρείου Διονύσιος
ὁ ἐπίσκοπος οὔτ' ἐφρόνησεν οὔτε τὴν ἀλήθειαν ἠγνόησεν. ἀλλὰ καὶ οἱ τότε Ἰουδαῖοι καὶ
οἱ νέοι νῦν παρὰ τοῦ πατρὸς ἑαυτῶν τοῦ διαβόλου τὴν χριστομάχον ἐκληρώσαντο
4 μανίαν. μέγα μὲν οὖν τεκμήριον τοῦ μηδὲ τοῦτο λέγειν αὐτοὺς ἀληθές, ἀλλὰ τὸν
ἄνδρα συκοφαντεῖν, ὅτι μήτε παρ' ἑτέρων ἐπισκόπων ἐπ' ἀσεβείᾳ καταγνωσθεὶς ἀπε-
βλήθη τῆς ἐπισκοπῆς ὥσπερ οὗτοι τοῦ κλήρου μήτε αὐτὸς ὡς αἵρεσιν ἐκδικῶν ἐξῆλθε
τῆς ἐκκλησίας, ἀλλ' ἐν αὐτῇ κεκοίμηται καλῶς καὶ ἡ μνήμη μέχρι νῦν αὐτοῦ μετὰ τῶν
πατέρων ἐστὶ καὶ γέγραπται. εἰ γὰρ ἦν τὰ τούτων φρονήσας ἢ περὶ ὧν ἔγραψε μὴ
C ἦν ἀπολογησάμενος, οὐκ ἦν ἀμφίβολον, ὅτι πάντως τὰ αὐτὰ καὶ αὐτὸς αὐτοῖς ἐπεπόνθει.
4, 1 Καὶ ἤρκει μὲν ταῦτα πρὸς πᾶσαν κατάγνωσιν τῶν νέων Ἰουδαίων τῶν καὶ τὸν
κύριον ἀρνουμένων καὶ τοὺς πατέρας διαβαλλόντων καὶ πάντας Χριστιανοὺς ἐπιχειρούν-
των ἀπατᾶν. ἐπειδὴ δὲ προφάσεις ἔχειν νομίζουσι τῆς εἰς τὸν ἐπίσκοπον διαβολῆς
μέρη τινὰ ἐπιστολῆς αὐτοῦ, φέρε καὶ ταύτας ἴδωμεν, ἵνα καὶ ἐκ τούτων αὐτῶν ἡ ματαιολο-
γία δειχθῇ καὶ παύσωνται μὲν κἂν ὀψέ ποτε βλασφημοῦντες παρ' ἑαυτοῖς τὸν κύριον,
ὁμολογήσωσι δὲ κἂν μετὰ τῶν στρατιωτῶν βλέποντες μαρτυροῦσαν τὴν κτίσιν, ὅτι
2 »ἀληθῶς οὗτος ὁ υἱὸς τοῦ θεοῦ ἐστι« καὶ οὐκ ἔστι τῶν | κτισμάτων. φασὶ τοίνυν
B246; M485A ἐν ἐπιστολῇ τὸν μακάριον Διονύσιον εἰρηκέναι, ποίημα καὶ γενητὸν εἶναι τὸν υἱὸν τοῦ
θεοῦ μήτε δὲ φύσει ἴδιον, ἀλλὰ ξένον κατ' οὐσίαν αὐτὸν εἶναι τοῦ πατρός, ὥσπερ ἐστὶν
ὁ γεωργὸς πρὸς τὴν ἄμπελον καὶ ὁ ναυπηγὸς πρὸς τὸ σκάφος· καὶ γὰρ ὡς ποίημα ὢν οὐκ
3 ἦν πρὶν γένηται. ναὶ ἔγραψεν, ὁμολογοῦμεν καὶ ἡμεῖς εἶναι τοιαύτην ἐπιστολὴν
αὐτοῦ. ἀλλ' ὥσπερ ταύτην ἔγραψεν, οὕτως καὶ ἑτέρας πλείστας ἐπιστολὰς ἔγραψε καὶ
ἔδει καὶ ταύταις ἐντυχεῖν αὐτούς, ἵνα ἐκ πασῶν καὶ μὴ μόνης ἐκ τῆς μιᾶς ἡ πίστις δειχθῇ τοῦ
ἀνδρός· καὶ γὰρ καὶ ναυπηγοῦ πολλὰς τριήρεις κατασκευάσαντος οὐκ ἐκ μιᾶς ἀλλ' ἐκ

3 Joh. 8, 40 16 Zu dem Brief vgl. unten Z. 20 19 Mt. 27, 54 19ff. Referat über die arianische Auslegung des Briefes des Dionys an Euphranor und Ammon. Dieser Brief ist nicht erhalten, den Inhalt kann man nur vermutungsweise aus diesen Angaben erschließen. Z. 22 καὶ γὰρ ὡς κτλ. ist arianische Interpretation des D. Briefes. Gegen K. Müller, Zeitschr. f. neut. Wiss. 24 (1925), 282. Der Brief ist das eigentliche Streitobjekt zwischen Athanasius und den Arianern, s. unten zu S. 55, 12 22 Vgl. Joh. 15, 1

BKP REF WV a z (bis Z. 5; dann 19 φασὶ — 49, 10 ἐπιστήμης, = Migne PG 130, 492 B—493 C) 2 καὶ γὰρ — 26 ἀνδρός = Facundus v. Hermiane (= Fac.), pro defensione trium cap. X 5 ed. Sirmond p. 443 A (Migne PL 67, 783 C—784 B) vgl. Justinian, Edictum adv. tria cap. Labbé 5, 712 D 4—9 = Stephanos Gobaros bei Photios Bibliotheca cod. 232 (291 a 30 Bekker) im Auszug

1 αὐτῶν] αὐτῶν V ἑαυτῶν a z | ὤνησάν] ὠφέλησάν E οὗτοι] οἱ νῦν Ἰουδαῖοι z vgl. S. 47, 24 u. Z. 5 2 φεύγειν WV z | κἀκείνους] Judaeos Fac. 3 ἤλεγχεν E 4 διελέγχει z ἐλέγξει V 6 νῦν > WV | ἑαυτῶν] αὐτῶν a | ἐκληρονόμησαν WV a 7 τοῦ[1]] τὸ W | τοῦ μηδὲ — 8 συκοφαντεῖν] quia calumniari tantum volunt illo viro et non adtendere Fac. 7 ἀλλὰ + καὶ a 8 ἐπισκόπων > WV 8/9 ἀπεβλήθη — 9 κλήρου > BK 9 ὥσπερ οὗτοι τοῦ κλήρου] εἰ καὶ πολλὰς ἀδικίας καὶ περιστάσεις μετὰ βίας ἔπασχε WV 10 τὴν ἐκκλησίαν W a | κεκοίμηται καλῶς > WV 11 ἦν τὰ] κατὰ RE, aber ἦν über κα von sp. Hd. E 12 πάντως — αὐτοῖς] etiam ipse similia Fac. vgl. a | πάντως + ὅτι B | καὶ αὐτὸς τὰ αὐτὰ ~ a 13 πᾶσαν > Fac. 14 κύριον] Christum Fac. | ἀρνησαμένων BK 15 ἀπατᾶν] ἀπαιτεῖν W 16 μέρη τινὰ ἐπιστολῆς αὐτοῦ > WV | τινὰ + τῆς a | ταύτας] ταῦτα Moutf. | καὶ[3] > V 17 παύσονται REV | μὲν κἂν ὀψέ > WV | τὸν κύριον παρ' ἑαυτοῖς ~ WV 18 μαρτυροῦσαν a. Rd. E, im Text: ὁμολογοῦσαν E 19 ὁ > BKP | τοίνυν] οὖν οἱ ἐχθροὶ τῆς ἀληθείας z 20 μακάριον] μακαρίτην REF | γενητὸν] γέννημα V γένημα W z 21 μήτε δὲ] καὶ μήτε a | δὲ > W 22 ὢν > WV z 23 ναὶ] καὶ ὅτι V | ναὶ — 24 αὐτοῦ] τοῦτο μαθὼν Διονύσιος, αὐτὸς γὰρ εἶχε τὴν μέριμναν z vgl. S. 49, 16 23 τοιαύτην εἶναι ~ K 25 ἔδει] δεῖ WV z | μόνης] μόνον WV z | ἐκ τῆς μιᾶς μόνης ~ K | δειχθῇ] γνωσθῇ WV a γνωρισθῇ z agnoscatur Fac.

πασῶν ἡ τούτου τέχνη κρίνεται. εἰ μὲν οὖν ἁπλῶς ὡς πίστιν ἐκτιθέμενος ἔγραψεν ἣν 4
λέγουσιν ἐπιστολὴν ἢ ταύτην μόνην ἔγραψε, κατηγορείτωσαν ὡς βούλονται· κατηγορία B
γὰρ ἀληθῶς τὸ τοιοῦτον φρόνημα· εἰ δὲ καιροῦ καὶ προσώπου πρόφασις εἵλκυσεν αὐτὸν
τοιαῦτα γράψαι, ἔγραψε δὲ πάλιν καὶ ἄλλας ἐπιστολὰς ἀπολογούμενος περὶ ὧν ὑπω-
πτεύθη, ἔδει πάλιν αὐτοὺς μὴ ἀφέντας τὰ αἴτια φθόνον ἐπάγειν τῷ ἀνδρὶ προπετῶς,
ἵνα μὴ δόξωσι λεξείδια μὲν μόνον θηρᾶν, παραπέμπεσθαι δὲ τὴν ἐν ταῖς ἄλλαις ἐπιστολαῖς
ἀλήθειαν. καὶ γὰρ καὶ γεωργὸς τῶν αὐτῶν δένδρων ἄλλοτε ἄλλως ἐπιμελεῖται διὰ 5
τὴν ὑποκειμένην τῆς γῆς ποιότητα, καὶ οὐ διὰ τοῦτο μέμψαιτο ἄν τις αὐτόν, ὅτι τοῦτο
μὲν τέμνει, ἐκεῖνο δὲ ἐγκεντρίζει, καὶ τοῦτο μὲν φυτεύει, ἕτερον δὲ ἐκτίλλει, ἀλλὰ καὶ μᾶλλον C
μαθὼν τὴν αἰτίαν θαυμάσει τὸ ποικίλον αὐτοῦ τῆς ἐπιστήμης. οὐκοῦν εἰ μὴ παρ- 6
έργως ἐνέτυχον τοῖς γράμμασιν, εἰπάτωσαν καὶ τὴν ὑπόθεσιν τῆς ἐπιστολῆς· οὕτω
γὰρ αὐτῶν ἥ τε συκοφαντία καὶ ἡ πονηρία τῆς προαιρέσεως δειχθήσεται. ἐπειδὴ δὲ
ἢ οὐκ ἴσασιν ἢ αἰσχύνονται, λέγειν ἀναγκαῖον ἡμᾶς.

Ἐν Πενταπόλει τῆς ἄνω Λιβύης τηνικαῦτά τινες τῶν ἐπισκόπων ἐφρόνησαν τὰ 5,1
Σαβελλίου καὶ τοσοῦτον ἴσχυσαν ταῖς ἐπινοίαις, ὡς ὀλίγου δεῖν μηκέτι ἐν ταῖς ἐκκλησίαις
κηρύττεσθαι τὸν υἱὸν τοῦ θεοῦ. τοῦτο μαθὼν Διονύσιος, αὐτὸς γὰρ εἶχε τὴν μέριμναν
τῶν ἐκκλησιῶν ἐκείνων, πέμπει καὶ συμβουλεύει τοῖς αἰτίοις παύσασθαι τῆς κακοδοξίας.
ὡς δὲ οὐκ ἐπαύοντο, ἀλλὰ καὶ μᾶλλον ἀναιδέστερον ἠσέβουν, ἠναγκάσθη πρὸς τὴν ἀναί-
δειαν ἐκείνων γράψαι τὴν τοιαύτην ἐπιστολὴν καὶ τὰ ἀνθρώπινα τοῦ | σωτῆρος ἐκ 2 M 488 A
τῶν εὐαγγελίων παραθέσθαι, ἵν' ἐπειδὴ τολμηρότερον ἐκεῖνοι τὸν υἱὸν ἠρνοῦντο καὶ τὰ
ἀνθρώπινα αὐτοῦ τῷ πατρὶ ἀνετίθεσαν, οὕτως οὗτος δείξας, ὅτι οὐχ ὁ πατὴρ ἀλλ' ὁ υἱός
ἐστιν ὁ γενόμενος ὑπὲρ ἡμῶν ἄνθρωπος, πείσῃ τοὺς ἀμαθεῖς μὴ εἶναι τὸν πατέρα υἱόν,
καὶ οὕτως λοιπὸν | κατ' ὀλίγον ἐκείνους εἰς τὴν ἀληθινὴν ἀναγάγῃ θεότητα τοῦ υἱοῦ καὶ B 247
τὴν γνῶσιν τὴν περὶ τοῦ πατρός. αὕτη τῆς ἐπιστολῆς ἡ ὑπόθεσις καὶ διὰ ταύτην 3
τὴν αἰτίαν οὕτως ἔγραψε καὶ αὐτός, διὰ τοὺς οὕτως ἀναισχύντως θελήσαντας μεταθεῖναι
τὴν τῆς ἀληθείας πίστιν.

Τί τοίνυν ὅμοιον ἡ Ἀρείου αἵρεσις καὶ ἡ Διονυσίου διάνοια; ἢ διὰ τί Διονύσιος 6,1
ὡς Ἄρειος ὀνομάζεται πολλῆς οὔσης αὐτῶν τῆς διαφορᾶς; ὁ μὲν γὰρ τῆς καθολικῆς B
ἐκκλησίας διδάσκαλός ἐστιν, ὁ δὲ καινῆς αἱρέσεως ἐφευρετὴς γέγονε. καὶ ὁ μὲν Ἄρειος

15 Ob diese Vertreter sabellianischer Theologie wirklich Sabellianer, d. h. von den Gedankengängen des Sabellius abhängig waren, ist sehr fraglich, vielmehr wird es sich um simplices, um Kleriker handeln, die nichts von Philosophie und von Origenes wissen wollten, vgl. zu S. 55, 12 16f. Zu μέριμναν τῶν ἐκκλησιῶν ἐκείνων: Es ist gleichgültig, ob Athanasius hier eine historische Notiz gibt oder den von dem alexandrinischen Bischof erhobenen und von can. 6 von Nicaea bestätigten Anspruch auf die Suprematie in Libyen ausdrückt. Auf jeden Fall ist diese Stelle der beste Kommentar zu Can. 6. Vgl. zuletzt K. Müller, Abh. d. Preuß. Akad. d. Wiss. Phil.-hist. Kl. 1922, 3 S. 18ff. M. läßt sich diese Notiz entgehen 19 D. i. der zur Diskussion stehende Brief an Euphranor und Ammon

BKP REF WV a z (bis Z. 10, dann 14 ἐν — 50, 14 τυγχάνουσι = Migne PG 130, 492 D—493 C)

1 ἐκθέμενος E | ἔγραψεν — 2 μόνην > P 2 μόνην ταύτην ~ WV a z 5 ἔδει — 7 ἀλήθειαν] πῶς τὰς ἄλλας ἀφέντες ἀπερισκέπτως ἐξέχονται τῆς μιᾶς V τί καινόν z | ἔδει] εἰ δὲ W | αὐτούς] αὐτοῦ W | ἐπάγει W 6 λεξείδια μὲν] διὰ W 8 πιότητα W | μέμψοιτ' W | αὐτόν] αὐτῷ WV z 8 ὅτι — 9 ἐκτίλλει > WV z 11 συγγράμμασιν BK 12 προαιρέσεως] προκειμένης αἱρέσεως WV | ἐπειδὴ] ἐπεὶ W 13 ἢ^{1} > V | ἡμᾶς + εἰπεῖν WV a 14 a. Rd.: ἀρχὴ τῆς ἀπολογ⟨ίας⟩ περὶ τῆς ἐπι⟨στολῆς⟩ τοῦ Διονυσ⟨ίου⟩ W von jg. Hd.? 15 ἐπινοίαις] κακονοίαις WV a z 16 μαθὼν + ὁ V 16 μέριμναν + καὶ WV a z 18 καὶ > a | ἠσέβουν] διετέθησαν z | τὴν + Rasur ca. 9 Buchst. W 18/19 ἀναίδειαν] ἀσέβειαν V 19 τὴν > W z 21 αὐτοῦ > WV z | οὕτως > V z | οὗτος οὕτως ~ a | οὗτος + ὁ K 22 πείσει RE 23 εἰς] πρὸς z | ἀληθινὴν ἀναγάγῃ] ἀληθῆ ἀνάγῃ WV* ἀληθῆ ἐναγάγῃ V^{c} z | υἱοῦ] λόγου WV z χριστοῦ a 24 καὶ > WV a z 27 ὅμοιον + ἔχει V 28 Ἄρειος ὀνομάζεται] Ἀρειανὸς νομίζεται WV z | αὐτῶν] αὐτῷ a 29 καινῆς] κενῆς z

τὴν ἰδίαν κακοδοξίαν ἐκτιθέμενος ἔγραψε Θαλίαν ἐκτεθηλυμένοις καὶ γελοίοις ἤθεσι κατὰ
τὸν Αἰγύπτιον Σωσάτην, ὁ δὲ Διονύσιος ἔγραψε μὲν καὶ ἄλλας ἐπιστολάς, ἀπελογήσατο
2 δὲ καὶ περὶ ὧν ὑπωπτεύθη καὶ ἐφάνη φρονῶν ὀρθῶς. εἰ μὲν οὖν ἐναντία ἑαυτῷ γρά-
φει, μὴ ἑλκέτωσαν αὐτὸν πρὸς ἑαυτούς, οὐ γὰρ ἀξιόπιστος κατὰ τοῦτο. εἰ δὲ γράψας
τὴν πρὸς Ἀμμώνιον ἐπιστολὴν ὑπωπτεύθη καὶ ἀπελογήσατο θεραπεύων τὰ πρῶτα
ἀπολογησάμενός τε οὐ μεταβέβληται, δῆλον ἂν εἴη, ὅτι καὶ τὰ ὑποπτευθέντα κατ' οἰκο-
3 νομίαν ἔγραψεν. οὐ δεῖ δὲ τὰ κατ' οἰκονομίαν γραφόμενα καὶ γινόμενα ταῦτα κα-
C κοτρόπως δέχεσθαι καὶ εἰς τὴν ἰδίαν ἕλκειν ἕκαστον βούλησιν. καὶ γὰρ καὶ ἰατρὸς πολ-
λάκις τὰ δοκοῦντά τισι μὴ εἶναι κατάλληλα ταῦτα τοῖς ὑποκειμένοις τραύμασιν, ὡς οἶδεν
αὐτός, ἐπιτίθησιν οὐδὲν ἕτερον ἢ πρὸς τὴν ὑγιείαν ἔχων τὸν σκοπόν. καὶ διδασκάλου
δὲ φρονίμου τρόπος οὗτος πρὸς τὰ τῶν διδασκομένων ἤθη διατίθεσθαι καὶ λαλεῖν, ἕως
ἂν αὐτοὺς εἰς τὴν ὁδὸν τῆς τελειότητος μεταγάγῃ.
7,1 Εἰ δὲ ὅτι μόνον ἔγραψεν οὕτως ὁ μακαρίτης, αἰτιῶνται αὐτόν (αἱ γὰρ τῶν Ἀρεια-
νῶν ὑπὲρ αὐτοῦ προφάσεις αἰτίαι κατ' αὐτοῦ τυγχάνουσι), τί ποιήσουσιν ἀκούοντες
καὶ τῶν μεγάλων καὶ μακαρίων ἀποστόλων ἐν ταῖς Πράξεσι, τοῦ μὲν Πέτρου λέγοντος·
D »ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους. Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα
ἀποδεδειγμένον ἀπὸ τοῦ θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησεν ὁ
M 489A θεὸς δι' αὐτοῦ | ἐν μέσῳ ὑμῶν, καθὼς οἴδατε, τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προ-
γνώσει τοῦ θεοῦ ἔκδοτον διὰ χειρὸς ἀνόμων προσπήξαντες ἀνείλατε«, καὶ πάλιν· »ἐν
τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ θεὸς ἤγειρεν
2 ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής«· τοῦ δὲ Παύλου ἐξη-
γουμένου ἐν Ἀντιοχείᾳ τῆς Πισιδίας, ὅτι »μεταστήσας ὁ θεὸς τὸν Σαοὺλ ἤγειρε τὸν Δαυὶδ
B 248 εἰς βασιλέα, ᾧ καὶ εἶπε μαρτυρήσας· εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαὶ | ἄνδρα κατὰ τὴν
καρδίαν μου, ὃς ποιήσει τὰ θελήματά μου· τούτου ὁ θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγ-
3 γελίαν ἤγαγε τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν«, καὶ πάλιν ἐν ταῖς Ἀθήναις· »τοὺς μὲν
B οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ θεὸς τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις, πάντας
πανταχοῦ μετανοεῖν, καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιο-
σύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν«· ἢ Στε-

1 Zu Arius Thaleia vgl. oben S. 13, 29 Komm. Die Namensform Σωσάτης ebenso Athanasius de syn. 15 (Migne 26, 705 C) und auch einige Hss. in or. I. c. Arianos 2. 4. Σωτάδης bei Suidas s. v. 5 Ammonius = Ammon Bischof von Berenike (Pentapolis) bei Euseb h. e. VII 26, 1 (700, 14 Schwartz). Hier ist kaum ein anderer Brief an A. gemeint als der, der sonst immer an Ammonius und Euphranor adressiert ist 16 Act. 2, 22—23 19f. Act. 4, 10 22 Act. 13, 22. 23 25 Act. 17, 30—31

BKP REF WV a s (ab 24 ὃς ποιήσει) z (bis 14 τυγχάνουσι) 7 οὐ δεῖ — 12 μεταγάγῃ = Severus Antiochenus, liber contra impium Grammaticum or. III 22; CSCO Syr i IV 6 textus hrsg. v. J. Lebon S. 8, 23—9, 2 (= Sev.)

1 ἰδίαν] οἰκείαν a | Θαλίαν] Θαλείαν a λίαν WV z vgl. meine Untersuchungen S. 117 zu ep. ad episc. Aeg. 7 (B 112, 16 = Migne 25, 553 A) wo a s für Θαλίαν ποιοῦσι lesen: βίαν ποιοῦσι λίαν | ἐκτεθη-λυμμένοις V a 2 τὸν] τὴν P | Σωσάτην] Σωτάδην FV z Σωτάτιν W | δὲ] μέντοι WV z | μὲν > WV z 3 περὶ] δι' a 4 αὐτούς V 5 Ἀμμωνᾶν WV z | ὑπωπτεύθη > a 6 μετεβέβλητο V 7 γραφέντα P 7/8 κακοτύπως V 8 ἕκαστον ἕλκειν ~ E | ἕκαστον] κακὴν Sev. | καὶ^3 > E Sev. 9 μὴ > WV z | εἶναι τισὶν ~ z | ἀκατάλληλα V z 10 ὑποτίθησιν BK | ὑγείαν PWV a z | ἔχον BK 11 δὲ > Sev. | τρόπος] σκοπὸς Sev.? da hier dasselbe syrische Wort steht wie vorher bei σκοπόν | πρὸς τὰ] τοῖς V | ἤθη] ἤθεσι V 14 τυγχάνουσι] γεγόνασι WV z 15 μεγάλων καὶ > K 16 Ναζιραῖον P 17 τοῦ > V | ὑμᾶς] ἡμᾶς V a 18 δι' αὐτοῦ ὁ θεὸς ~ WV a | ὑμῶν] ἡμῶν WV a | καθὼς + αὐτοὶ W, + καὶ αὐτοὶ V 19 τοῦ > BK | χειρῶν WV a | ἀνόμων + λαβόντες V | ἀνείλετε KFV a 20 Ναζιραίου P 21 ὑμῶν] ἡμῶν a 23 βασιλέα E^cV^c βασιλείαν E*V* | ᾧ] ὃ W | ἄνδρα > WV 24 ποιήσει + πάντα WV a s 26 οὖν > F | ἀγνοίας + ὑμῶν a s | ὑπεριδὼν] παριδὼν V | παραγγέλλει] ἀπαγγέλλει REFW a s | πάντας] πᾶσι V 27 κρῖναι WV 28 ἢ > V Rasur W

φάνου τοῦ μεγαλομάρτυρος, ὅταν λέγῃ· »ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς διηνοιγμένους καὶ
τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ«; ὥρα γὰρ λοιπὸν αὐτοὺς ἀπο- 4
θρασύνεσθαι καὶ λέγειν (οὐδὲν γὰρ αὐτοῖς ἀτόλμητον), ὅτι καὶ αὐτοὶ οἱ ἀπόστολοι τὰ
Ἀρείου ἐφρόνουν· ἄνθρωπον γὰρ ἀπὸ Ναζαρὲτ καὶ παθητὸν τὸν Χριστὸν ἀπαγγέλ-
λουσιν.
Ἐκείνων τοίνυν τοιαῦτα φανταζομένων, ἆρ' ἐπειδὴ τοῖς ῥήμασι τούτοις ἐχρήσαντο, 8,1
μόνον ἄνθρωπον ᾔδεισαν τὸν Χριστὸν οἱ ἀπόστολοι καὶ πλέον οὐδέν; μὴ γένοιτο· οὐκ C
ἔστιν οὐδὲ εἰς νοῦν ποτε τοῦτο λαβεῖν, ἀλλὰ καὶ τοῦτο ὡς »ἀρχιτέκτονες σοφοὶ« καὶ
»οἰκονόμοι μυστηρίων θεοῦ« πεποιήκασι καὶ τὴν αἰτίαν ἔχουσιν εὔλογον. ἐπειδὴ 2
γὰρ οἱ τότε Ἰουδαῖοι πλανηθέντες τε καὶ πλανήσαντες Ἕλληνας ἐνόμιζον τὸν Χριστὸν
ψιλὸν ἄνθρωπον μόνον ἐκ σπέρματος Δαυὶδ ἔρχεσθαι καθ' ὁμοιότητα τῶν ἐκ τοῦ Δαυὶδ
ἄλλων γενομένων τέκνων, οὔτε δὲ θεὸν αὐτὸν οὐδὲ ὅτι ὁ λόγος σὰρξ ἐγένετο ἐπίστευον,
τούτου ἕνεκα μετὰ πολλῆς τῆς συνέσεως οἱ μακάριοι ἀπόστολοι τὰ ἀνθρώπινα τοῦ σω-
τῆρος πρῶτον ἐξηγοῦντο τοῖς Ἰουδαίοις, ἵν' ὅλως πείσαντες αὐτοὺς ἐκ τῶν φαινομένων
καὶ | γενομένων σημείων ἐληλυθέναι τὸν Χριστὸν λοιπὸν καὶ εἰς τὴν περὶ τῆς θεότητος M 492 A
αὐτοῦ πίστιν αὐτοὺς ἀναγάγωσι δεικνύντες, ὅτι τὰ γενόμενα ἔργα οὐκ ἔστιν ἀνθρώπου,
ἀλλὰ θεοῦ. ἀμέλει Πέτρος ὁ λέγων ἄνδρα παθητὸν τὸν Χριστὸν εὐθὺς συνῆπτεν· 3
»οὗτος ἀρχηγὸς τῆς ζωῆς ἐστιν«, ἐν δὲ τῷ εὐαγγελίῳ ὁμολογεῖ· »σὺ εἶ ὁ Χριστός, ὁ
υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος«, ἐν δὲ τῇ ἐπιστολῇ φησιν αὐτὸν ἐπίσκοπον ψυχῶν καὶ κύριον
ἑαυτοῦ τε καὶ ἀγγέλων καὶ δυνάμεων εἶναι. πάλιν τε Παῦλος ὁ λέγων ἄνδρα ἐκ σπέρ- 4
ματος Δαυὶδ εἶναι τὸν Χριστόν, οὗτος ἐπέστελλεν Ἑβραίοις μέν· »ὃς ὢν ἀπαύγασμα
τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ«, Φιλιππησίοις δέ· »ὃς ἐν μορφῇ θεοῦ
ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ«. τὸ δὲ λέγειν ἀρχηγὸν τῆς ζωῆς B
καὶ υἱὸν τοῦ θεοῦ καὶ ἀπαύγασμα καὶ χαρακτῆρα καὶ ἴσα θεῷ καὶ κύριον καὶ ἐπίσκοπον
ψυχῶν τί ἂν εἴη ἕτερον ἢ ὅτι ἐν σώματι λόγος ἦν θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο, καὶ
ἔστιν ἀδιαίρετος τοῦ πατρός, ὡς ἔστι τὸ ἀπαύγασμα πρὸς τὸ φῶς; | B 249
Καὶ Διονύσιος τοίνυν παρὰ τῶν ἀποστόλων τοῦτο μαθὼν πεποίηκεν. ἐπειδὴ γὰρ 9,1
εἷρπεν ἡ Σαβελλίου αἵρεσις, ἠναγκάσθη τὴν τοιαύτην, καθὰ προεῖπον, ἐπιστολὴν γράψαι

1 Act. 7, 56 8 I. Cor. 3, 10 9 I. Cor. 4, 1 12 Vgl. Joh. 1, 14 18 Act. 3, 15; Mt. 16, 16 19 Vgl. I. Ptr. 2, 25; 1, 3; 3, 22 21 Vgl. Rm. 1, 3; Heb. 1, 3 22 Phil. 2, 6 25 Vgl. Joh. 1, 3; I. Cor. 8, 6 28 Vgl. oben S. 49, 18 ff.

BKP REF WV a s z (ab 2 ὥρα — 52, 24 λόγου = Migne PG 130, 493 C — 497 A) 2 ὥρα — 26 φῶς = Severus Antiochenus, Refutatio tomi Juliani p. 132, 9 ff. (= Sev.), in: Severi Antiiulianistica ed. A. Sanda; pars prima, Beyruth 1931 6 ἆρ' — 26 = Cramer, Catenae t. III. Acta apost. (Oxford 1844) S. 39, 1—28 (= Cat.). Der Text des Cod. Coisl. gr. 25 ist gut

1 Στεφάνου + τε WV | μεγαλομάρτυρος] μεγάλου μάρτυρος PR | ἀνεωγμένους V ἠνεωγμένους W 2 ἑστῶτα ἐκ δεξιῶν ~ WV | γὰρ > z | λοιπὸν > V | αὐτοὺς λοιπὸν ~ W | αὐτοὺς + καὶ νῦν REF a s 4 γὰρ + αὐτὸν BKP | Ναζαρὰ RE 4/5 καταγγέλλουσιν WV z 6 τοίνυν + τὰ WV z | ἐπεὶ WV z 7 τὸν Χριστὸν ᾔδεισαν ~ E | καὶ] ἢ W | οὐδὲν] μηδὲν W z | 7 οὐκ — 8 λαβεῖν > z 8 τοῦτο (τὸ s) λαβεῖν ποτε ~ WV a s Cat. τοῦτό ποτε λαβεῖν ~ F 9 μυστηρίων + τοῦ REF a s | τῶν τοῦ θεοῦ μυστηρίων ~ a 10 τε > WV a s z Cat. 12 δὲ] γὰρ WV z Cat. Sev. | οὐδὲ] οὔθ' a s | ὁ > BKPRE 13/14 πρῶτον τοῦ σωτῆρος ~ WV z Cat. 14 ἐξηγοῦντο πρῶτον ~ BK 15 καὶ γενομένων > P | περὶ > V | τῆς περὶ ~ W | τῆς > E s 16 αὐτοῦ > WV Sev. | αὐτοὺς πίστιν ~ WV | αὐτοὺς > z Cat. | ἀνάγωσι E Cat. Sev. ἐναγάγωσι V z ἀγάγωσι s 18 ὡμολόγει a s | ὁ[1] > F 20 ἀγγέλων καὶ δυνάμεων ~ E | τε[1]] δὲ a Sev. | τε[2] + ὁ WV z Cat. 21 Χριστόν] υἱόν Sev. | οὗτος] οὕτως Sev. | Ἑβραίοις] Ἰουδαίοις F s 22 δόξης + τοῦ πατρὸς F 23 τῆς > BKPR a Cat. 24 τοῦ > a | τοῦ θεοῦ > WV z | ἴσον z 25 ἕτερον ἂν εἴη ~ z | σώματι + ἐστὶ z | ἦν] ὢν z 26 πατρός + καὶ s 28 εἷρπεν] ἤκμαζεν WV z | καθὰ προεῖπον τὴν τοιαύτην ~ WV z

καὶ τὰ ἀνθρωπίνως καὶ εὐτελῶς περὶ τοῦ σωτῆρος εἰρημένα ῥῖψαι κατ' αὐτῶν, ἵνα τούτους
ἀποσχοινίσας διὰ τὰ ἀνθρώπινα τοῦ μὴ λέγειν υἱὸν εἶναι τὸν πατέρα εὐκολωτέραν
αὐτοῖς κατασκευάσῃ τὴν περὶ τῆς θεότητος τοῦ υἱοῦ διδασκαλίαν, ὅταν αὐτὸν ἐν ταῖς
ἄλλαις ἐπιστολαῖς ἀπὸ τῶν γραφῶν λέγῃ λόγον, σοφίαν, δύναμιν, ἀτμίδα καὶ ἀπαύγασ-
2 μα τοῦ πατρός. ἐν γοῦν ταῖς ἐπιστολαῖς τῆς ἀπολογίας τοιαῦτα λέγων παρρησιά-
ζεται ἐν τῇ πίστει καὶ τῇ εἰς Χριστὸν εὐσεβείᾳ. ὥσπερ οὖν οὐ κατηγορητέοι οἱ ἀπόστολοι
C διὰ τὰ ἀνθρώπινα ῥήματα περὶ τοῦ κυρίου (καὶ γὰρ ἄνθρωπος γέγονεν ὁ κύριος), ἀλλὰ
καὶ μᾶλλον θαύματος ἄξιοι διὰ τὴν οἰκονομίαν καὶ τὴν ἐν καιρῷ διδασκαλίαν, οὕτως οὐκ
Ἀρειανὸς ὁ Διονύσιος διὰ τὴν πρὸς Εὐφράνορα καὶ Ἀμμώνιον κατὰ Σαβελλίου ἐπιστολήν.
εἰ γὰρ καὶ ταπεινοῖς ἐχρήσατο λόγοις καὶ παραδείγμασιν, ἀλλ' ἐκ τῶν εὐαγγελίων ἐστὶ
καὶ ταῦτα, καὶ πρόφασιν ἔχει τούτων τὴν τοῦ σωτῆρος ἔνσαρκον παρουσίαν, δι' ἣν καὶ
3 ταῦτα καὶ τὰ ὅμοια γέγραπται. καὶ γὰρ ὥσπερ λόγος ἐστὶ τοῦ θεοῦ, οὕτως μετὰ
M 493 A ταῦτα »ὁ λόγος σὰρξ ἐγένετο«, καὶ »ἐν | ἀρχῇ μὲν ἦν ὁ λόγος«, ἡ δὲ παρθένος ἐπὶ
συντελείᾳ τῶν αἰώνων ἐν γαστρὶ ἔσχε καὶ γέγονεν ὁ κύριος ἄνθρωπος. καὶ εἷς μέν ἐστιν
ὁ ἐξ ἀμφοτέρων σημαινόμενος (»ὁ γὰρ λόγος σὰρξ ἐγένετο«), τὰ δὲ περὶ τῆς θεότητος
αὐτοῦ καὶ τῆς ἐνανθρωπήσεως εἰρημένα ῥήματα ἰδίαν καὶ κατάλληλον ἔχει πρὸς ἕκαστον
4 τῶν λεγομένων τὴν ἑρμηνείαν. καὶ ὁ τὰ ἀνθρώπινα τοῦ λόγου γράφων οἶδε καὶ τὰ
περὶ τῆς θεότητος αὐτοῦ καὶ ὁ περὶ τῆς θεότητος ἐξηγούμενος οὐκ ἀγνοεῖ τὰ ἴδια τῆς
ἐνσάρκου παρουσίας αὐτοῦ, ἀλλ' ἕκαστον ὡς ἐπιστήμων καὶ δόκιμος τραπεζίτης δια-
κρίνων κατ' ὀρθὸν τῆς εὐσεβείας βαδιεῖται. ὅτε γοῦν αὐτὸν κλαίοντα λέγει, οἶδεν ὅτι
ἄνθρωπος γενόμενος ὁ κύριος δείκνυσι τὸ μὲν κλαίειν τοῦ ἀνθρωπίνου, ἐγείρει δὲ Λάζαρον
B ὡς θεός, καὶ πεινῶντα μὲν αὐτὸν καὶ διψῶντα οἶδε σωματικῶς, θεικῶς δὲ χορτάζοντα
ἀπὸ πέντε ἄρτων πεντακισχιλίους, καὶ κείμενον μὲν οἶδεν ἐν μνημείῳ σῶμα ἀνθρώπινον,
ἐγειρόμενον δὲ ὡς θεοῦ σῶμα παρ' αὐτοῦ τοῦ λόγου.

4 Vgl. unten S. 57, 2. 4. 18 12 Vgl. Joh. 1, 1 13 Joh. 1, 14; 1, 1 14 Mt. 1, 23 (= Jes. 7, 14) 15 Joh. 1, 14 17ff. Vgl. Athan. de decretis 10, 6 (9, 27ff.) 19 Zu δόκιμος τραπεζίτης ein oft überliefertes Agraphon, zuerst bei Clemens Alex. Strom. I 28; 177, 2 (II 109, 13) 20 Statt vieler Stellen bei Athanasius vgl. de decretis 14, 3 und or. III. c. Arian. 41. Die letzte Stelle wird wie die obenstehende vom Florileg und der Athanasiuskatene exzerpiert

BKP REF WV a s z (bis 24 λόγου) 10 εἰ γὰρ — 20 βαδιεῖται = Z^f, in Florileg II 34 des Cod. Vatic. gr. 1431 f. 310ff. (hrsg. v. E. Schwartz, Abh. d. bayer. Akad. d. Wiss. philos.-philol. u. hist. Kl. 32, 6 S. 38) 15 τὰ δὲ περὶ — 24 λόγου = 𝔖 51, in Athanasiuskatene des Cod. Laur. IV 23 nr. 51 (hrsg. v. E. Schwartz, Sitzber. d. bayer. Akad. d. Wiss. philos.-philol. u. hist. Kl. 1924, 6 S. 16) 20 ὅτε — 24 λόγου = Z^f, in Florileg II 23 des Cod. Vatic. gr. 1431 (S. 36 Schwartz)

1 εὐτελῶς καὶ ἀνθρωπίνως ~ WV z | εἰρημένα περὶ τοῦ σωτῆρος κατ' αὐτῶν ῥῖψαι ~ z | τούτους] τοὺς τοιούτους WV z τούτοις s 2 διὰ τῶν ἀνθρωπίνων V | εὐκολώτερον WV z 5 γοῦν] γὰρ z 6 εἰς] εἰς τὸν a πρὸς K | κατηγορητέοι] κατηγοροῦνται WV z | οἱ ἀπόστολοι οὐ κατηγοροῦνται ~ z 7 τοῦ > s | καὶ γὰρ — κύριος > z 8 καὶ[1] > a s | ἄξιοι + εἰσὶ z 9 ὁ > WV z | διὰ τὴν > WV z | Εὐφράνωρα WV | καὶ] ἢ WV | Ἀμμωνᾶν WV z | ἐπι-στολὴν] ἐπιστολὴν γράφων W z γράφων ἐπιστολὴν V 11 ἣν] ὃν R 12 καὶ[1] > R | γὰρ > Z^f | ἐστὶ τοῦ θεοῦ] θεοῦ ἐστιν V 13 ἐγένετο + καὶ ἐσκήνωσεν ἐν ἡμῖν WV z = Joh. 1, 14 | καὶ — 15 ἐγένετο a. Rd. nachgetragen W 14 γαστρὶ] σαρκὶ a | ἄνθρωπος ὁ κύριος ~ z 15 ὁ[1] doppelt E, > z | ἐγένετο + καὶ ἐσκήνωσεν ἐν ἡμῖν WV z 16 αὐτοῦ] Χριστοῦ 𝔖 51 | τῆς > E | ἐνανθρωπήσεως] ἀνθρωπότητος 𝔖 51 | ῥήματα > 𝔖 51 | ἔχει καὶ κατάλληλον ~ K 17 τῶν λεγο-μένων] λεγόμενα a | τὴν ἑρμηνείαν] σημασίαν z | τοῦ λόγου] αὐτοῦ 𝔖 51 18 καὶ ὁ περὶ τῆς θεότητος > 𝔖 51 19 ἐνσάρκου] ἐν σαρκὶ BK | ἐνσάρκου παρουσίας αὐτοῦ] σαρκός 𝔖 51 | ἀλλ' + ὡς P | ἕκαστος Z^f 20 κατ' ὀρθὸν τῆς εὐσεβείας] τὴν εὐσέβειαν WV z | ὀρθὸν] ὀρθὴν F | γοῦν] οὖν Z^f 𝔖 51 | λέγῃ W 21 γενόμενος ὁ κύριος] ἐστιν καὶ 𝔖 51 | δείκνυσι + ὅτι 𝔖 51 | τοῦ ἀν-θρωπίνου] ἀνθρώπου WV z ἀνθρώπου ἐστίν 𝔖 51 | ἀνθρωπίνου + σώματος Z^f vgl. Z. 23 22 αὐτὸν > z 𝔖 51 23 ἀπὸ] ἐκ Z^f | μὲν > Z^f | ἐν μνημείῳ οἶδεν ~ Z^f 𝔖 51 | μνημείῳ + ὡς WV z | σῶμα + φοροῦντα V 24 τοῦ > a | λόγου + οὗ καὶ γέγονε σάρξ WV z Z^f

Ταῦτα καὶ Διονύσιος διδάσκων ἐν μὲν τῇ πρὸς Εὐφράνορα καὶ Ἀμμώνιον ἐπιστολῇ 10,1
περὶ τῶν ἀνθρωπίνως εἰρημένων περὶ τοῦ σωτῆρος διὰ Σαβέλλιον | ἔγραψεν (ἀνθρω- B 250
πίνως γάρ ἐστιν εἰρημένα περὶ αὐτοῦ τὸ »ἐγὼ ἡ ἄμπελος, ὁ πατὴρ ὁ γεωργὸς« καὶ τὸ
»πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν« καὶ τὸ »ἔκτισε« καὶ »τοσούτῳ κρείττων γενόμενος
τῶν ἀγγέλων«), οὐκ ἠγνόει δὲ τὸ »ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοὶ« καὶ τὸ »ὁ ἐμὲ
ἑωρακὼς ἑώρακε τὸν πατέρα«. ταῦτα γὰρ αὐτὸν ἐν ταῖς ἄλλαις ἐπιστολαῖς ἔγνωμεν 2
γράψαντα· καὶ γὰρ κἀκεῖ ταῦτα γράφων ἐμνημόνευσε τῶν ἀνθρωπίνων τοῦ κυρίου. C
ὥσπερ γὰρ »ἐν μορφῇ θεοῦ ὢν οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν
ἐκένωσε μορφὴν δούλου λαβὼν« καὶ »πλούσιος ὢν ἐπτώχευσε δι' ἡμᾶς«, οὕτως ὄντων
ὑψηλῶν καὶ πλουσίων τῶν περὶ τῆς θεότητος αὐτοῦ λόγων εἰσὶ καὶ αἱ περὶ τῆς ἐνσάρκου
παρουσίας αὐτοῦ ταπειναὶ καὶ πτωχαὶ λέξεις. ὅτι δὲ ἀνθρωπίνως εἴρηται ταῦτα 3
περὶ τοῦ σωτῆρος, σκοπεῖν ἐντεῦθεν προσήκει· ὁ μὲν γεωργὸς ξένος ἐστὶ κατ' οὐσίαν
τῆς ἀμπέλου, τὰ δὲ κλήματα ὁμοούσια καὶ συγγενῆ καὶ ἀδιαίρετα τῆς ἀμπέλου τυγχάνει
ὄντα καὶ μίαν ἔχει καὶ τὴν αὐτὴν γένεσιν ταῦτά τε καὶ ἡ ἄμπελος. ἔστι δέ, ὡς εἶπεν ὁ D
κύριος, »αὐτὸς ἡ ἄμπελος, ἡμεῖς τὰ κλήματα«. εἰ μὲν οὖν ὁμοούσιός ἐστιν ἡμῖν ὁ υἱὸς 4
καὶ τὴν | αὐτὴν ἡμῖν ἔχει γένεσιν, ἔστω κατὰ τοῦτο καὶ ὁ υἱὸς ἀλλότριος κατ' οὐσίαν M 496A
τοῦ πατρός, ὥσπερ καὶ ἡ ἄμπελος τοῦ γεωργοῦ, εἰ δὲ ἄλλος ἐστὶν ὁ υἱὸς παρ' ὅ ἐσμεν
ἡμεῖς, κἀκεῖνος μὲν λόγος τοῦ πατρός, ἡμεῖς δὲ ἐκ γῆς γεγόναμεν καὶ τοῦ Ἀδάμ ἐσμεν
ἔκγονοι, οὐκ ὀφείλει τὸ ῥητὸν εἰς τὴν θεότητα ἀναφέρεσθαι τοῦ λόγου, ἀλλὰ λοιπὸν εἰς
τὴν ἀνθρωπίνην αὐτοῦ παρουσίαν, ἐπεὶ καὶ οὕτως εἴρηκεν ὁ σωτήρ· »ἐγὼ ἡ ἄμπελος,
ὑμεῖς τὰ κλήματα, ὁ πατὴρ ὁ γεωργός«. ἡμεῖς γὰρ τοῦ κυρίου κατὰ τὸ σῶμα συγγενεῖς 5
ἐσμεν καὶ αὐτὸς διὰ τοῦτο εἶπεν· »ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου«. καὶ
ὥσπερ ἐστὶ τὰ κλήματα ὁμοούσια τῆς ἀμπέλου καὶ ἐξ αὐτῆς, οὕτως καὶ ἡμεῖς ὁμογενῆ
τὰ σώματα ἔχοντες τῷ σώματι τοῦ κυρίου ἐκ τοῦ πληρώματος αὐτοῦ λαμβάνομεν, κἀκεῖνο B

---

3 Joh. 15, 1   4 f. Heb. 3, 2; Prov. 8, 22; Heb. 1, 4; Heb. 3, 2; 1, 4 beziehen Eustathius v. Antiochien = Ps. Athanasius, Sermo maior 67 (S. 27 Schwartz) und Athanasius auch or. II. c. Arianos 7 (Migne 26, 160 C) und c. 1 (Migne 26, 148 A) und Prov. 8, 22 in de decretis 14, 3 (II 12, 17f.) und Eustathius v. Antiochien frg. 34 Cavallera auf den geschichtlichen Jesus   5 Joh. 14, 10. 9   6 Phil. 2, 7   9 II. Cor. 8, 9   11 ff. Joh. 15, 1 wird nur von Dionys (vgl. S. 48, 22; 54, 24f.; 59, 4f.) in dem Briefe an Euphranor und Ammonius und von Eustathius v. Antiochien = Ps. Athanasius, sermo maior de fide nr. 21. 25. 76 (S. 10. 11. 30 Schwartz) auf das σῶμα κυρίου bezogen. Athanasius benutzt die Stelle nie (zu dem ältesten Gebrauch vgl. Tertullian adv. Praxeam 25; CSEL 47, 276, 14; u. Novatian c. 28 S. 103, 8 Fausset). Den extremen Arianern galt das Wort als Schriftbeweis für die absolute Inferiorität des Sohnes: Basilius c. Eunomium IV 3 (I 291 B Garnier); Ps. Athanasius, disputatio c. Arium 31   15 Joh. 15, 5   20 Joh. 15, 5. 1   22 Ps. 21, 23   24 Vgl. Joh. 1, 16

BKP REF WV a s z (ab 12 ὁ μὲν — 22 μου = Migne PG 130, 497 A—C)   8 ὥσπερ — 11 λέξεις = Z^f, in Florileg II 18 des Cod. Vatic. gr. 1431 (S. 35 Schwartz)   20 ἐγὼ — 54, 2 σωτῆρος = Thdt, Theodoret Eranistes I (IV 58 Schultze), ferner = $\mathfrak{S}^{52}$, Athanasiuskatene 52 (S. 17 Schwartz)

---

1 ταῦτα + δὲ P | καὶ[1] + ὁ a s | διδάσκων + ἔλεγεν W | μὲν > V | τῇ μὲν ∼ E | Εὐφράνωρα WV | Ἀμμωνᾶν WV   2 εἰρημένων] λεγομένων a | ἔγραφεν WV   3 ἄμπελος + καὶ s, + ὑμεῖς τὰ κλήματα WV   4 ὄντα + ἀρχιερέα WV | καὶ[2] + τὸ WV   5 ὁ[2] > R   6 ἑωρακὼς ἐμὲ ∼ WV | αὐτὸν > V   7 γράφων ταῦτα ∼ a   8 ὥσπερ γὰρ] ὃς Z^f | ὢν] ὢν ὁ κύριος WV a s ὑπάρχων Z^f | τὸ > W   10 αἱ > VZ^f | περὶ] ὑπὸ W   11 αὐτοῦ παρουσίας ∼ WV s | λέξεις WV a s Z^f διαλέξεις BKP REF | ὅτι — 12 προσήκει] προσήκει οὖν ἐν ταύταις σκοπεῖν ὅτι ἀνθρωπίνως εἴρηνται ὑπὸ τοῦ σωτῆρος ∼ V | εἴρηνται WV   12 περὶ] ὑπὸ W | ἐντεῦθεν] ἐν ταύταις WV | κατ' οὐσίαν ἐστὶ ∼ BK   13 τυγχάνει ὄντα] τυγχάνουσι W z   14 ἔχουσι W z | ταῦτά] τὰ αὐτά WV αὐτά z | δὲ doppelt B   15 ἡμῖν ἐστιν ∼ EWV a z   17 ἄλλο z   18 ἡμεῖς ἐσμεν ∼ a   19 ἔγγονοι W a | ὀφείλει + δὲ s | λόγου] Χριστοῦ WV z   21 πατήρ + μου F Thdt. | γεωργός + ἐστιν Thdt. | σῶμα] ἀνθρώπινον αὐτοῦ z vgl. S. 54, 2   22 ἀπαγγελῶ] διηγήσομαι WV z   23 ἐστὶ] εἰσὶ W Thdt. | τῇ ἀμπέλῳ V | καὶ[2] > WV a s $\mathfrak{S}^{52}$ 24 τὰ > WV Thdt. $\mathfrak{S}^{52}$ | ἔχοντες — 54, 1 ῥίζαν > WV | κυρίου] Χριστοῦ $\mathfrak{S}^{52}$

ῥίζαν ἔχομεν εἰς τὴν ἀνάστασιν καὶ τὴν σωτηρίαν. ὁ δὲ πατὴρ εἴρηται ὁ γεωργός· αὐτὸς
γὰρ εἰργάσατο διὰ τοῦ λόγου τὴν ἄμπελον, ἥτις ἐστὶ τὸ ἀνθρώπινον τοῦ σωτῆρος,
καὶ αὐτὸς δι' αὐτοῦ τοῦ λόγου τὴν εἰς βασιλείαν ὁδὸν ἡμῖν ἡτοίμασε, καὶ »οὐδεὶς ἔρχεται
πρὸς τὸν κύριον, εἰ μὴ ὁ πατὴρ αὐτὸν ἑλκύσει πρὸς αὐτόν«.
11, 1 Ταύτην δὲ τοῦ ῥητοῦ τὴν ἑρμηνείαν ἔχοντος ἀνάγκη περὶ τῆς οὕτως λεγομένης
ἀμπέλου γράφεσθαι »πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν«, καὶ »τοσούτῳ κρείττων γε-
νόμενος τῶν ἀγγέλων« καὶ τὸ »ἔκτισεν«. ὅτε γὰρ ἔλαβεν ὅπερ εἶχε προσενεγκεῖν ὑπὲρ
ἡμῶν, ἦν δὲ τοῦτο τὸ ἐκ Μαρίας τῆς παρθένου σῶμα, τότε καὶ ἐκτίσθαι καὶ πεποιῆσθαι
C καὶ γεγενῆσθαι περὶ αὐτοῦ γέγραπται· ἀνθρώποις γὰρ ἁρμόζουσιν αἱ τοιαῦται λέξεις· |
B 251 ἄλλως τε οὐ μετὰ τὸ σῶμα γέγονε κρείττων τῶν ἀγγέλων, ἵνα μὴ τὸ πρὶν ἐλάττων ἢ
2 ἴσος αὐτῶν φαίνηται. ἀλλὰ πρὸς Ἰουδαίους γράφων καὶ τὴν ἀνθρωπίνην τοῦ κυρίου
διακονίαν συγκρίνων τῇ Μωσέως ἔφησε· »τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων«·
»διὰ γὰρ ἀγγέλων ὁ νόμος ἐλαλήθη«· »διότι ὁ μὲν νόμος διὰ Μωσέως ἐδόθη, ἡ δὲ χάρις διὰ
Ἰησοῦ Χριστοῦ ἐγένετο« καὶ τοῦ πνεύματος ἡ χορηγία. καὶ τότε μὲν ἀπὸ Δὰν καὶ μέχρι
Βηρσαβεὲ ὁ νόμος κατηγγέλλετο, νῦν δὲ »εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν«
καὶ τὰ ἔθνη τὸν Χριστὸν προσκυνοῦσι καὶ δι' αὐτοῦ τὸν πατέρα γινώσκουσιν. ἀνθρω-
M 497 A πίνως ἄρα περὶ τοῦ σωτῆρος ἐκεῖνα γέγραπται καὶ οὐκ ἔστιν ἄλλως. |
12, 1 Ἆρ' οὖν, ὡς οἱ χριστομάχοι θρυλοῦσι, Διονύσιος τὰ ἀνθρώπινα τοῦ υἱοῦ γράφων
καὶ λέγων οὕτως ποίημα αὐτὸν ἕνα τῶν ἀνθρώπων ἔλεγεν αὐτὸν εἶναι; ἢ λέγων μὴ εἶναι
τὸν λόγον ἴδιον τῆς τοῦ πατρὸς οὐσίας ἐφρόνει τοῦτον ὁμοούσιον ἡμῶν εἶναι τῶν ἀν-
θρώπων; καὶ μὴν οὐχ οὕτως ἔγραψεν ἐν ταῖς ἄλλαις ἐπιστολαῖς, ἀλλὰ καὶ ὀρθῶς φρονῶν
ἐν αὐταῖς φαίνεται καὶ δύναται δι' αὐτῶν βοῆσαι κατὰ τούτων λέγων· οὔκ εἰμι τῆς αὐτῆς
2 ὑμῖν δόξης, ὦ θεομάχοι, οὐδὲ τὰ ἡμέτερα πρόφασιν Ἀρείῳ παρέσχεν εἰς ἀσέβειαν. ἀλλὰ
πρὸς Ἄμμωνα καὶ Εὐφράνορα διὰ τοὺς Σαβελλίζοντας γράφων ἐμνήσθην τοῦ γεωργοῦ
καὶ τῆς ἀμπέλου καὶ τῶν τοιούτων ἄλλων ῥητῶν, ἵνα τὰ ἀνθρώπινα τοῦ κυρίου δείξας
B πείσω μὴ λέγειν ἐκείνους, ὅτι ὁ πατήρ ἐστιν ὁ γενόμενος ἄνθρωπος. ὡς γὰρ ὁ γεωργὸς
οὐκ ἔστιν ἄμπελος, οὕτως οὐκ ἔστιν ὁ ἐν τῷ σώματι γενόμενος ὁ πατὴρ ἀλλ' ὁ λόγος,
καὶ ὁ λόγος δὲ ἐν τῇ ἀμπέλῳ γενόμενος ἄμπελος ἐκλήθη διὰ τὴν πρὸς τὰ κλήματα, ἅπερ
ἐσμὲν ἡμεῖς, σωματικὴν συγγένειαν. ταύτῃ μὲν οὖν τῇ διανοίᾳ τὴν πρὸς Εὐφράνορα καὶ
Ἀμμώνιον ἔγραψα ἐπιστολήν, πρὸς δὲ τὴν ὑμῶν ἀναίδειαν τὰς ἑτέρας ἐπιστολὰς τὰς

1 Zu ῥίζαν vgl. Sap. 15, 3   3 Vgl. Joh. 6, 44   6 Heb. 3, 2; 1, 4   7 Prov. 8, 22   12 Heb. 1, 4   13 Vgl. Heb. 2, 2; Joh. 1, 17   14 Δὰν usw. kein eigentliches Zitat, Redensart, um das ganze Reich Israel zu umschreiben; vgl. Jud. 20, 1 und öfter   15 Ps. 18, 5

BKP REF WVa s z (ab 1 ὁ δὲ — 2 σωτῆρος = Migne PG 130, 497 C; ab 18 ἆρ' — 55, 2 φρόνησιν = Migne PG 130, 497 C/D)   7 ὅτε — 9 λέξεις = $\mathfrak{S}^{18}$, Athanasiuskatene 18 (S. 9 Schwartz)   28 ἄμπελος — 29 συγγένειαν = Thdt, Theodoret, Eranistes I (IV 58 Schultze)

1 καὶ + εἰς WV Thdt. $\mathfrak{S}^{52}$ | τὴν[2] > s | εἴρηται > WV z   2 τὸ ἀνθρώπινον τοῦ σωτῆρος] τὸ κυριακὸν σῶμα WV z Thdt. $\mathfrak{S}^{52}$ 3 αὐτὸς καὶ ~ WV | ἡμῖν ὁδὸν ~ a   4 αὐτὸν[2]] ἑαυτὸν a   5 ταύτην] τοιαύτην V | τὴν > V   7 τὸ] ὅτι WV   8 τὸ > W | καὶ[1] + τὸ WV$\mathfrak{S}^{18}$ | ἐκτίσθαι] ἐκτίθεσθαι s δεδημιουργῆσθαι $\mathfrak{S}^{18}$ | καὶ (+ τὸ $\mathfrak{S}^{18}$) γεγενῆσθαι καὶ (+ τὸ $\mathfrak{S}^{18}$) πεποιῆσθαι ~ WV$\mathfrak{S}^{18}$ 10 κρείττων γέγονε ~ F | ἢ] ἦ· ἢ WV   10/11 ἢ ἴσος] ἴσως a s   11 αὐτῶν] σιτ (!) a   12 τοσοῦτον a | τῶν ἀγγέλων > a   13 διὰ γὰρ ἀγγέλων] > W δι' ὧν V | χάρις + καὶ (+ ἡ W) ἀλήθεια WV   14 $\overline{\text{πνς}}$ = πνεύματος WV s $\overline{\text{πρς}}$ = πατρὸς BKPREF a | μέχρι] ἕως V, + τῆς a s   15 κατήγελλε W | νῦν] τανῦν WV   18 οὖν + οὐχ a | υἱοῦ] Χριστοῦ Wz θεοῦ V   19 οὕτως > a | αὐτὸν[1] + ἢ WV z | αὐτὸν[2] > WV z | αὐτὸν ἔλεγεν ~ REF a | ἢ λέγων — 20 ἀνθρώπων > z | μὴ λέγων ~ E | μὴ] τὸ W > V   20 ἴδιον] τὸν ἀίδιον WV | ἡμῶν > WV   22 φαίνεται] φθέγγεται WV | τούτων λέγων] τῶν διαβαλλόντων V   23 ὑμῖν > W z   24 πρὸς + μὲν a | Ἀμμώνιον E[c] Ἀμμωνᾶν WV a s z | Εὐφράνωρα WV | γράφων διὰ τ. Σ. ~ V s | ἐμνήσθην + καὶ WV z   25 ῥητῶν] ῥημάτων WV z | κυρίου] Χριστοῦ z   27 ἄμπελος] ἐν τῇ ἀμπέλῳ WV z | ὁ[1] > WV z   28 ἄμπελος ἐκλήθη] ἄνθρωπος ἐκλήθη (> Thdt.), ἄμπελος δὲ ἐκλήθη ὁ υἱὸς (κύριος Thdt.) WV z Thdt.   29 ἡμεῖς ἐσμεν ~ a | Εὐφράνωρα WV   30 Ἀμμωνᾶν WV z | ἐπιστολήν > BKPREF a s

παρ' ἐμοῦ γραφείσας ἀντιτίθημι, ἵνα γνῶσιν οἱ φρόνιμοι τὴν ἐν αὐταῖς ἀπολογίαν καὶ
τῆς ἐν Χριστῷ πίστεως τὴν ὀρθήν μου φρόνησιν. ἔδει μὲν οὖν καὶ τοὺς Ἀρειανούς, 3
εἴπερ εἶχον ὑγιαίνοντα τὸν νοῦν, τοιαῦτα λογίζεσθαι καὶ φρονεῖν περὶ τοῦ ἐπισκόπου,
»πάντα γὰρ ἐνώπια τοῖς συνιοῦσίν ἐστι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν«. ἐπειδὴ δὲ
μὴ μαθόντες τὴν πίστιν τῆς καθολικῆς ἐκκλησίας πεπτώκασιν εἰς ἀσέβειαν καὶ λοιπὸν τὸν C
νοῦν πεπηρωμένοι | νομίζουσιν εἶναι καὶ τὰ ὀρθὰ στρεβλὰ καὶ λέγουσι τὸ μὲν φῶς σκότος, B 252
τὸ δὲ σκότος νομίζουσιν εἶναι φῶς, ἀναγκαῖον καὶ τὰ ἐκ τῶν ἄλλων ἐπιστολῶν τοῦ Διο-
νυσίου παραθέσθαι καὶ τὸ αἴτιον αὐτῶν πρὸς πλείονα κατάγνωσιν τῶν αἱρετικῶν. ἐξ
αὐτῶν γὰρ καὶ ἡμεῖς μαθόντες οὕτω περὶ τοῦ ἀνδρὸς φρονοῦμεν καὶ γράφομεν.

Ἡ δὲ πρόφασις, δι' ἣν ἔγραψε τὰς ἄλλας | ἐπιστολάς, ἔστιν αὕτη. Διονυσίου τοῦ 13,1
ἐπισκόπου μαθόντος περὶ τῶν ἐν Πενταπόλει καὶ ζήλῳ τῆς εὐσεβείας γράψαντος, καθὰ M 500 A
προεῖπον, κατὰ τῆς αἱρέσεως Σαβελλίου τὴν πρὸς Εὐφράνορα καὶ Ἀμμώνιον ἐπιστολήν,
τινὲς τῶν ἀπὸ τῆς ἐκκλησίας ἀδελφῶν φρονοῦντες μὲν ὀρθῶς, μὴ ἐρωτήσαντες δὲ αὐτόν,
ἵνα παρ' αὐτοῦ μάθωσι πῶς ἔγραψεν, ἀνῆλθον πρὸς τὴν Ῥώμην καὶ κατειρήκασιν αὐτοῦ
παρὰ τῷ ὁμωνύμῳ αὐτοῦ Διονυσίῳ τῷ ἐπισκόπῳ Ῥώμης. κἀκεῖνος ἀκούσας ἔγραψεν 2
ὁμοῦ κατά τε τῶν τὰ Σαβελλίου δοξαζόντων καὶ κατὰ τῶν φρονούντων ταῦτα, ἅπερ
καὶ Ἄρειος λέγων ἐξεβλήθη τῆς ἐκκλησίας, ἴσην καὶ κατὰ διάμετρον ἀσέβειαν εἶναι λέγων
τήν τε Σαβελλίου καὶ τὴν τῶν λεγόντων κτίσμα καὶ ποίημα καὶ γενητὸν εἶναι τὸν τοῦ B
θεοῦ λόγον. ἐπέστειλε δὲ καὶ Διονυσίῳ δηλῶσαι περὶ ὧν εἰρήκασι κατ' αὐτοῦ. καὶ 3
ἀντέγραψεν εὐθὺς αὐτὸς καὶ ἐπέγραψε τὰ βιβλία ἐλέγχου καὶ ἀπολογίας. ἐνταῦθα τὸ

4 Prov. 8, 9 11 Vgl. oben S. 49, 19; 51, 28 12 ff. Athan. de synodis 43 (Migne 26, 769 A): τινῶν αἰτιασαμένων παρὰ τῷ ἐπισκόπῳ Ῥώμης τὸν τῆς Ἀλεξανδρείας ἐπίσκοπον ὡς λέγοντα ποίημα καὶ μὴ ὁμοούσιον τὸν υἱὸν τῷ πατρί, ἡ μὲν κατὰ Ῥώμην σύνοδος ἠγανάκτησεν, ὁ δὲ τῆς Ῥώμης ἐπίσκοπος τὴν πάντων γνώμην γράφει πρὸς τὸν ὁμώνυμον ἑαυτοῦ. Schon der Vorgänger des Dionys von Rom, Xystos II., wurde von Dionys von Alexandrien bei Euseb. h. e. VII 6 (642, 3 ff.) über seinen Konflikt mit der Gemeinde in Ptolemais unterrichtet. Das ist also vor dem 6. 8. 258 geschehen. In die Zeit bis zum Ende der Verfolgung unter Valerian muß dann die Anklage in Rom, der Brief an Ammonius und Euphranor und die Schrift Ἔλεγχος καὶ ἀπολογία fallen, da diese noch in der Verbannung, also aus Kephro oder Kolluthion (Euseb h. e. VII 11, 5. 15 S. 656, 2; 660, 3) wegen unten S. 59, 13 geschrieben wurde. Zur Zeit des Prozesses des Dionys von Alexandrien vor dem Präfekten Ämilian waren ,,Brüder'' aus Rom (Euseb h. e. VII 11, 3; S. 654, 13) in Alexandrien, wahrscheinlich doch in Sachen der dogmatischen Kontroverse. Briefe des Dionys an Ammon, Bischof v. Berenike, und an Euphranor und andere waren Euseb bekannt (h. e. VII 26, 1; S. 700, 13 ff.) Vgl. oben S. 49, 17: D. schrieb mehrere Briefe in Angelegenheit des Sabellianismus. K. Müller hat über die Korrespondenz des D. in Sachen der libyschen Sabellianer in Zeitschr. f. neut. Wiss. 24 (1925) 278 ff. gehandelt. Die Ankläger sind nicht Sabellianer, sondern Orthodoxe, die von dem römischen Papst eine Zurechtweisung des alexandrinischen Dionys verlangten. Denn dieser hatte versucht, den Gemeinden mit der alexandrinischen Oberherrschaft die offizielle alexandrinische d. h. origenistische Theologie aufzunötigen. Gegen K. Müller a. a. O. S. 281 19 Ein Bruchstück aus dem Schreiben des Dionys von Rom ist bei Athan. de decretis 26 (22, 1 ff.) erhalten 20 Die Reste der Schrift des Dionys hat Feltoe gesammelt. The letters and other remains of Dionysius of Alexandria ed. by C. L. Feltoe. Cambridge 1904, S. 182 ff.

BKPO (ab Z. 10) REF (nur bis Z. 9) WV a s

1 ἀνατίθημι s z | ἵνα + καὶ (+ περὶ z) τῆς ἐπιστολῆς ἧς θρυλεῖτε WV z | ἐν αὐταῖς τὴν ἀπολογίαν ~ V 5 μὴ > s | τὴν > BKPREF 6 πεπωρωμένοι WV | καὶ[1] — 7 εἶναι > WV | λέγουσι > E 7 ἀνάγκη WV | τὰ] τὸ V | τοῦ > BKPREF 9 καὶ[1] > E 10 In den meisten Hss. wird ein Absatz gemacht, der dem folgenden Teil der Schrift den Charakter eines neuen Traktates gibt. ἡ δὲ — αὕτη rot in Sonderzeile B, eingerückt K, ἡ — αὕτη in Halbunziale wie die Titel der Traktate R, ähnlich E, neuer Traktat mit der Zahl ιη̅ s 11 εὐσεβείας] ἐκκλησίας P 12 Εὐφράνωρα WV | Ἀμμωνᾶν WV 13 ἀδελφοὶ WV a s | φρονοῦντες μὲν] μὴ φρονοῦντες WV | δὲ > WV 14 πρὸς] εἰς WV a s 16 ὁμοῦ] νόμον a | τὰ Σαβελλίου] Σαβελλίῳ WV | δοξάντων EWV 17 καὶ[1] > K | καὶ[1] + ὁ E | καὶ[2] > V | λέγων εἶναι ~ BK 18 καὶ ποίημα > WV | καὶ[3] > a s 19 δὲ] τε WV | δηλῶν V 20 αὐτὸς εὐθὺς ~ P

μυσαρὸν ἐργαστήριον τῶν θεομάχων κατανόει καὶ πῶς αὐτοὶ καθ' ἑαυτῶν τὴν αἰσχύνην ἐκίνησαν. Διονυσίου γὰρ τοῦ ἐπισκόπου Ῥώμης γράψαντος καὶ κατὰ τῶν λεγόντων κτίσμα καὶ ποίημα τὸν υἱὸν τοῦ θεοῦ δείκνυται μὴ νῦν πρῶτον ἀλλ' ἔκπαλαι παρὰ πάντων ἀναθεματισθεῖσα τῶν χριστομάχων Ἀρειανῶν ἡ αἵρεσις. ἔπειτα Διονυσίου τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρείας ἀπολογουμένου περὶ ἧς ἔγραψεν ἐπιστολῆς, φαίνεται καὶ αὐτὸς μήτε
C οὕτως φρονήσας, ὡς αὐτοὶ λέγουσι, μήτε ὅλως τὴν Ἀρείου κακοδοξίαν ἐσχηκώς.

14,1 Καὶ ἀρκεῖ μὲν εἰς τελείαν κατάγνωσιν τῶν Ἀρειανῶν καὶ εἰς ἀπόδειξιν τῆς συκοφαντίας αὐτῶν τὸ καὶ μόνον ἀπολογήσασθαι τὸν Διονύσιον καὶ περὶ ὧν οὗτοι τεθρυλήκασιν. οὐ γὰρ ὡς φιλονεικῶν ἀντέγραψεν, ἀλλ' ἀπολογούμενος περὶ ὧν ὑπωπτεύθη· ὁ δὲ ἀπολογούμενος περὶ ὧν κατηγορήθη τί ἕτερον ποιεῖ ἢ λύει μὲν πᾶν ἔγκλημα ὑποπτευθὲν κατ' αὐτοῦ, ἐλέγχει δὲ καὶ ἐν τούτῳ συκοφάντας τοὺς Ἀρειομανίτας; ἵνα δὲ καὶ
B 253 ἐξ ὧν ἀπολογούμενος ἔγραψε πλέον αἰσχυνθῶσιν οὗτοι, φέρε σοι καὶ τὰς | λέξεις αὐτοῦ
2 παραθῶμαι. γνώσῃ γὰρ ἀπ' αὐτῶν, ὅτι οἱ μὲν Ἀρειανοὶ κακόφρονές εἰσιν, ὁ δὲ Διονύσιος ἀλλότριος τῆς ἐκείνων ἑτεροδοξίας ἐστί. πρῶτον μὲν οὖν ἐλέγχου καὶ ἀπολογίας
D ἐπέγραψεν ἑαυτοῦ τὴν ἐπιστολήν· τοῦτο δὲ τί ἐστιν ἢ ὅτι τοὺς μὲν ψευδομένους ἐλέγχει, περὶ δὲ ὧν ἔγραψεν ἀπολογεῖται δεικνὺς ὅτι μὴ ὡς Ἄρειος ὑπενόησεν ἔγραψεν αὐτός,
M 501 A ἀλλ' ὅτι τῶν ἀνθρωπίνως εἰρημένων περὶ τοῦ κυρίου | μνησθεὶς οὐκ ἠγνόει τοῦτον εἶναι
3 λόγον καὶ σοφίαν ἀδιαίρετον τοῦ πατρός; ἔπειτα αἰτιᾶται τοὺς κατειπόντας αὐτοῦ ὡς μὴ ὁλοκλήρους λέγοντας ἀλλὰ περικόπτοντας αὐτοῦ τὰς λέξεις καὶ ὡς μὴ καλῇ συνειδήσει ἀλλὰ πονηρᾷ λαλοῦντας ὡς θέλουσι· τούτους τε τούτοις ἀπεικάζει τοῖς τὰς τοῦ μακαρίου ἀποστόλου διαβάλλουσιν ἐπιστολάς. ἡ δὲ τοιαύτη μέμψις αὐτοῦ πάντως ἀπὸ φαύλης ὑποψίας αὐτὸν ἀπολύει. εἰ γὰρ τοὺς Παύλου κατειπόντας οὕτως ἡγεῖται ὡς τοὺς αὐτοῦ κατειπόντας, οὐδὲν ἕτερον δείκνυσιν ἢ ὅτι τὰ τοῦ Παύλου φρονῶν οὕτως ἔγραψεν.
4 ἀμέλει καὶ πρὸς ἕκαστον τῶν ὑπὸ τῶν κατηγόρων εἰρημένων ἁπαντῶν πάντα τὰ παρ' αὐτῶν προφερόμενα θεραπεύει, καὶ Σαβέλλιον μὲν ἐν ἐκείνοις ἀνατρέπει, ἐν τούτοις δὲ
B δείκνυσιν ὁλόκληρον ἑαυτοῦ τὴν εὐσεβῆ πίστιν. φασκόντων τοίνυν ἐκείνων φρονεῖν τὸν Διονύσιον 'οὐκ ἀεὶ ἦν ὁ θεὸς πατήρ, οὐκ ἀεὶ ἦν ὁ υἱός, ἀλλ' ὁ μὲν θεὸς ἦν χωρὶς τοῦ λόγου, αὐτὸς δὲ ὁ υἱὸς οὐκ ἦν πρὶν γεννηθῇ, ἀλλ' ἦν ποτε ὅτε οὐκ ἦν, οὐ γὰρ ἀΐδιός
5 ἐστιν, ἀλλ' ὕστερον ἐπιγέγονεν', ὅρα πῶς ἀποκρίνεται. τὰ μὲν οὖν πλεῖστα τῶν αὐτοῦ ῥημάτων, ἅπερ ἢ ζητῶν ἐξετάζει ἢ συλλογιζόμενος συνάγει ἢ ἐρωτῶν ἐλέγχει ἢ τοὺς κατειρηκότας αἰτιᾶται, ταῦτα παρεὶς διὰ τὸ μῆκος τῶν λόγων μόνα τὰ πρὸς τὴν κατηγορίαν ἀναγκαῖα τίθημι. ἀπολογούμενος τοίνυν πρὸς ἐκεῖνα γράφει ταῖς λέξεσι ταύταις ἐν τῷ πρώτῳ τῷ ἐπιγραφομένῳ ἐλέγχου καὶ ἀπολογίας μεθ' ἕτερα οὕτως·

---

20 Hieronymus contra Rufinum II 17 (II 509 Vallarsi): Athanasius episcopus sic Dionysii defendit errorem: apostolorum scripta similiter depravata sunt

---

BKPO RE WV a s

---

1 τῶν + θεομάχων aber exp. s | θεομάχων BKPO χριστομάχων RE WV a s | αὐτοὶ] οὗτοι WV 2 Ῥώμης > WV | καὶ > KV 3 ποίημα καὶ κτίσμα ~ WV a s | πρώτως V 4 χριστομάχων > WV a s | ἡ τῶν Ἀρειανῶν ~ WV 5 τῆς > s | ἀπολογησαμένου s 6 αὐτοὶ] οὗτοι WV a s | τὴν Ἀρείου ὅλως ~ BKPO 7 τῆς > W 8 τὸ > WV | καὶ[2] > EWV a s 9 οὐ] οὐδὲ WV | ὑπωπτεύθη — 10 ὧν > a 10 ὑποπτευθὲν ἔγκλημα ~ REWV a s | ὑποπτευθὲν + παρ' αὐτοῦ, aber exp. B 11 συκοφαντοῦντας BKas | Ἀρειανούς WV 12 ἀπολογούμενος] ὁμολογουμένως WV | αὐτοῦ] αὐτὰς V 13 παραθῶμεν W a s παραθώμεθα V | ἀπ'] ἐξ WV | ὅτι] ὡς a 14 πρῶτα V 15 ἐπέγραψεν WV vgl. S. 55, 20 ἔγραψεν BKPORE a s | αὐτοῦ W | τὴν ἐπιστολὴν ἑαυτοῦ ~ V | τοὺς μὲν] τούτους μὲν a s τούτους W ἐκείνους V 16 δὲ > V | ἔγραψεν[1]] ἔγραψαν E 17 κυρίου] Χριστοῦ WV 18 ἔπειτα + δὲ V, + καὶ W 19 ὁλοκλήρως WV 20 θέλουσι a θέλοντας s | ἀπεικάζειν W 22 εἰ] καὶ W | τοὺς[2] > WV 23 τοῦ > WV a s 24 ἁπαντῶν] ἁπάντων WV s 25 προσφερόμενα s | ἐν[1] > E 26 ἑαυτοῦ] αὐτοῦ WV | τοίνυν + τὰ WV 29 ὅρα + γοῦν W 30 ἢ[1] > a | ἢ[2]] καὶ V 31 κατειρηκότας] κακῶς φρονοῦντας WV | τὴν > V 32 ἀναγκαῖα > a

»Οὐ γὰρ ἦν ὅτε ὁ θεὸς οὐκ ἦν πατήρ«. καὶ τοῦτο οἶδεν ἐν τοῖς ἑξῆς· »ἀεὶ τὸν 15, 1
»Χριστὸν εἶναι, λόγον ὄντα καὶ σοφίαν καὶ δύναμιν, οὐ γὰρ δὴ τούτων ἄγονος ὢν ὁ θεὸς C
»εἶτα ἐπαιδοποιήσατο, ἀλλ' ὅτι μὴ παρ' ἑαυτοῦ ὁ υἱὸς ἀλλ' ἐκ τοῦ πατρὸς ἔχει τὸ εἶναι«.
καὶ μετ' ὀλίγα πάλιν περὶ τοῦ αὐτοῦ φησιν· »›ἀπαύγασμα δὲ ὢν φωτὸς ἀιδίου‹ πάντως 2
»καὶ αὐτὸς ἀίδιός ἐστιν. ὄντος γὰρ ἀεὶ τοῦ φωτὸς δῆλον ὡς ἔστιν ἀεὶ τὸ ἀπαύγασμα.
»τούτῳ γὰρ καὶ ὅτι φῶς ἐστι τῷ καταυγάζειν νοεῖται, καὶ φῶς οὐ δύναται μὴ φωτίζον
»εἶναι. πάλιν γὰρ ἔλθωμεν ἐπὶ τὰ παραδείγματα. εἰ ἔστιν ἥλιος, ἔστιν αὐγή, ἔστιν 3
»ἡμέρα· εἰ τοιούτων μηδὲν ἔστι, πολύ γε δεῖ καὶ παρεῖναι ἥλιον. εἰ μὲν οὖν ἀίδιος ὁ ἥλιος,
»ἄπαυστος ἂν ἦν καὶ | ἡ ἡμέρα, νῦν δέ (οὐ γάρ ἐστιν) ἀρξαμένου τε ἤρξατο καὶ παυ- B 254
»ομένου παύεται. ὁ δέ γε θεὸς αἰώνιόν ἐστι φῶς οὔτε ἀρξάμενον οὔτε λῆξόν ποτε. οὐ- D
»κοῦν αἰώνιον πρόκειται καὶ σύνεστιν αὐτῷ τὸ ἀπαύγασμα, ἄναρχον καὶ ἀειγενὲς προ-
»φαινόμενον αὐτοῦ, ὅπερ ἐστὶν ἡ λέγουσα σοφία ›ἐγὼ ἤμην ᾗ προσέχαιρε· καθ' ἡμέραν
»δὲ ηὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ‹«. καὶ αὖθις ἐπάγει μετ' ὀλίγα 4
περὶ τοῦ αὐτοῦ λέγων· »ὄντος οὖν αἰωνίου | τοῦ πατρὸς αἰώνιος ὁ υἱός ἐστι, φῶς M 504 A
»ἐκ φωτὸς ὤν· ὄντος γὰρ γονέως ἔστι καὶ τέκνον. εἰ δὲ μὴ τέκνον εἴη, πῶς καὶ τίνος εἶναι
»δύναται γονεύς; ἀλλ' εἰσὶν ἄμφω καὶ εἰσὶν ἀεί«. εἶτα πάλιν προστίθησι ταῦτα· 5
»φωτὸς μὲν οὖν ὄντος τοῦ θεοῦ ὁ Χριστός ἐστιν ἀπαύγασμα. πνεύματος δὲ ὄντος (›πνεῦμα
»γάρ, φησίν, ὁ θεός‹), ἀναλόγως πάλιν ὁ Χριστὸς ἀτμὶς λέλεκται· ›ἀτμὶς γάρ, φησίν,
»ἐστὶ τῆς τοῦ θεοῦ δυνάμεως‹«. καὶ ἐκ τοῦ δευτέρου πάλιν φησί· »μόνος δὲ ὁ υἱὸς 6
»ἀεὶ συνὼν τῷ πατρὶ καὶ τοῦ ὄντος πληρούμενος καὶ αὐτός ἐστιν ὢν ἐκ τοῦ πατρός«.

1—19 = Feltoe 186, 4—187, 21 1 ff. So Origenes immer vgl. de princ. I 2, 9 (40, 9 ff.); 2, 10 (41, 11 ff.); IV 4, 1 (349, 6. 17; 350, 1. 18 ff.) 2 Vgl. I. Cor. 1, 24 3 Origenes de princ. I 2, 9 (40, 9—11): efficitur ergo virtus altera in sua proprietate subsistens, ut ait sermo scripturae, »vapor quidam« primae et ingenitae »virtutis dei«, hoc quidem quod est inde trahens; non est autem quando non fuerit, vgl. auch die folgenden Ausführungen des Origenes 4 Sap. 7, 26 5 ff. Vgl. Origenes de princ. I 2, 7 (37, 6 ff.): »deus lux est« secundum Johannem. »splendor« ergo huius lucis est unigenitus filius, ex ipso inseparabiliter velut splendor ex luce procedens et inluminans universam creaturam ... per splendorem namque quid sit lux ipsa agnoscitur et sentitur. Ebenda I 2, 4 (33, 1): est namque ita aeterna ac sempiterna generatio sicut splendor generatur ex luce. Vgl. Comm. in Joh. 32, 28, 353 (474, 10); de princ. I 2, 2 (29, 11 ff.) 12 Prov. 8, 30. Vgl. Origenes de princ. I 4, 4 (67, 10); IV 4, 1 (350, 14 ff.) 14 f. Origenes de princ. I 2, 10 (41, 11): pater non potest esse quis, si filius non sit 17 Joh. 4, 24 18 Sap. 7, 25. Vgl. Origenes de princ. I 2, 9, vor allem S. 41, 3: ex quo ostenditur semper fuisse vaporem istum virtutis dei, nullum habentem initium nisi ipsum deum 19—20 = Feltoe 191, 10—12 Vgl. Origenes IV 4, 1 (350, 15 f.) 20 Zu πληρούμενος: Theognost frg. in cod. Marc. 502 (Harnack in Texte u. Unters. NF. 9, 3 S. 77, 11): καὶ ἐν αὐτῷ οἰκεῖν

BKPO RE WV a s (bis Z. 18 ἀναλόγως) 4 ἀπαύγασμα — 11 ἀειγενές, 14 ὄντος οὖν — 15 ὤν, 17 φωτὸς — 18 λέλεκται = Nicetas v. Herakleia, Catena in Joh. in Cod. Vatic. gr. 1996 fol. 78, von Feltoe S. 186 f. benutzt (= Cat.^{n}) 4 ἀπαύγασμα — 10 παύεται = Cramer, Catenae in S. Pauli epistolas ad Tim. Tit. Philem. Hebr. Oxford 1844. S. 362, 27—34 10—20 = Cramer 304, 9—22 vgl. oben S. 11. Dies Zitat schließt fortlaufend an das Exzerpt aus de decretis an

1 ὁ > BKPO RE | ἦν^{2} + ὁ K 2 εἶναι > BKPO | λόγον] λέγων a | λόγον ὄντα καὶ σοφίαν] λέγων σοφίαν καὶ λόγον V | τούτων B^{c}KWV τοῦτον PO RE a s 3 εἶτα] ὕστερον V 4 τοῦ > V | ὢν + αὐτὸς WV 5 ἔστιν ἀεὶ] ἔστιν ἀεὶ καὶ V καὶ Cat.^{n} 6 τούτῳ] τοῦτο W Cat.^{n} | τούτῳ γὰρ καὶ ὅτι] ὅτι γὰρ V | τῷ] ἐν τῷ WV 7 γὰρ] γοῦν W | ἔστιν^{1} + ὁ BK | ἥλιος] ἡμέρα Cat.^{n} | ἥλιος + εἰ aber exp. B, + ἀπαύστως ἂν εἴη a, exp.? | ἔστιν ἡμέρα > Cat.^{n} 8 τοιούτων Montf. τοιοῦτον alle Hss. Cat.^{n} Comm. | πολύ] πολλοῦ V a s | δεῖ B^{c}K WV a s Cat.^{n} δὴ B*POR δὴ ἂν E | καὶ > WV a s Cat.^{n} 9 ἀπαύστως a s | ἦν] εἴη a | ἡ > Cat.^{n} | γὰρ > V | τε] δὲ V οὐδὲ W 10 λῆξαν s 10/11 οὐκοῦν — πρόκειται > Cat.^{n} 11/12 προφαινόμενον] προφερόμενον a προγενόμενον s 14 τοῦ^{1} > WV | αἰώνιος + καὶ V 15 εἴη] ᾖ WV 17 ὄντος > W | Χριστὸς] κύριος WV 18 ἀτμίς^{1} + εἶναι a | λέλεκται B (γρ' a. Rd. B) PORE λέγεται BK a Cat.^{n} λέγεται εἶναι WV vgl. a 18/19 ἐστιν φησί ∼ KWV 19 τοῦ^{2} > WV a 19/20 ἀεὶ ὁ υἱὸς ∼ RE 20 ὢν > WV

16,1 Ταῦτα εἰ μὲν ἀμφιβόλως εἴρηται, χρείαν εἶχε τοῦ ἑρμηνεύοντος, ἐπειδὴ δὲ λευκῶς καὶ
B πολλάκις περὶ τῶν αὐτῶν ἔγραψεν, ὁ μὲν Ἄρειος τρίζέτω τοὺς ὀδόντας ὁρῶν τὴν αἵρεσιν
αὐτοῦ καταστρεφομένην ὑπὸ Διονυσίου καὶ ἀκούων, ἅπερ μὴ βούλεται, λέγοντος αὐτοῦ·
ἀεὶ ὁ θεὸς πατὴρ ἦν καὶ ὁ υἱὸς οὐχ ἁπλῶς ἀΐδιός ἐστιν, ἀλλὰ τοῦ πατρὸς ἀϊδίου ὄντος
2 ἀΐδιος ἂν εἴη καὶ ὁ υἱός, καὶ σύνεστιν αὐτῷ ὡς τῷ φωτὶ τὸ ἀπαύγασμα. οἱ δὲ κἂν
μόνον ὑπονοήσαντες Διονύσιον τὰ Ἀρείου φρονεῖν κατατιθέσθωσαν τὴν περὶ αὐτοῦ
τοιαύτην δυσφημίαν. ποία γὰρ κοινωνία τούτοις ἐστί, τοῦ μὲν Ἀρείου λέγοντος· οὐκ
ἦν ὁ υἱὸς πρὶν γεννηθῇ, ἀλλ' ἦν ποτε ὅτε οὐκ ἦν, τοῦ δὲ Διονυσίου διδάσκοντος· 'ὁ δέ
γε θεὸς αἰώνιόν ἐστι φῶς οὔτε ἀρξάμενον οὔτε λῆξόν ποτε· οὐκοῦν αἰώνιον πρόκειται
3 καὶ σύνεστιν αὐτῷ τὸ ἀπαύγασμα, ἄναρχον καὶ ἀειγενὲς προφαινόμενον αὐτοῦ;' καὶ
C γὰρ καὶ πρὸς τὴν ἄλλην ὑποψίαν τῶν λεγόντων, ὅτι πατέρα λέγων ὁ Διονύσιος οὐκ
ὀνομάζει τὸν υἱὸν καὶ πάλιν υἱὸν λέγων οὐκ ὀνομάζει τὸν πατέρα, ἀλλὰ διαιρεῖ καὶ
μακρύνει καὶ μερίζει τὸν υἱὸν ἀπὸ τοῦ πατρός, ἀποκρίνεται καὶ δυσωπεῖ τούτους λέγων
ἐν τῷ δευτέρῳ βιβλίῳ·

17,1 »Τῶν ὑπ' ἐμοῦ λεχθέντων ὀνομάτων ἕκαστον ἀχώριστόν ἐστι καὶ ἀδιαίρετον τοῦ
»πλησίον. πατέρα εἶπον, καὶ πρὶν ἐπαγάγω τὸν υἱόν, ἐσήμανα καὶ τοῦτον ἐν τῷ πατρί·
B 255 »υἱὸν ἐπήγαγον, εἰ καὶ μὴ προειρήκειν τὸν πατέρα, πάντως ἂν ἐν τῷ υἱῷ | προείληπτο.
»ἅγιον πνεῦμα προσέθηκα, ἀλλ' ἅμα καὶ πόθεν καὶ διὰ τίνος ἧκεν ἐφήρμοσα. οἱ δὲ οὐκ
»ἴσασιν, ὅτι μήτε ἀπηλλοτρίωται πατὴρ υἱοῦ ᾗ πατήρ, προκαταρκτικὸν γάρ ἐστι τῆς
M 505 A »συναφείας τὸ ὄνομα, οὔτε ὁ υἱὸς ἀπῴκισται τοῦ πατρός. ἡ γὰρ πατὴρ | προσηγορία
»δηλοῖ τὴν κοινωνίαν, ἔν τε ταῖς χερσὶν αὐτῶν ἐστι τὸ πνεῦμα μήτε τοῦ πέμποντος μήτε
2 »τοῦ φέροντος δυνάμενον στέρεσθαι. πῶς οὖν ὁ τούτοις χρώμενος τοῖς ὀνόμασι
»μεμερίσθαι ταῦτα καὶ ἀφωρίσθαι παντελῶς ἀλλήλων οἴομαι«; καὶ μετ' ὀλίγα ἐπάγει
λέγων· »οὕτω μὲν ἡμεῖς εἴς τε τὴν τριάδα τὴν μονάδα πλατύνομεν ἀδιαίρετον, καὶ τὴν
»τριάδα πάλιν ἀμείωτον εἰς τὴν μονάδα συγκεφαλαιούμεθα«.

φασι τὸ πλήρωμα τῆς θεότητος πάσης, οὐχ ὡς ἑτέρου μὲν ὄντος αὐτοῦ, ἑτέρας δὲ ἐπεισιούσης ἐν αὐτῷ τῆς θεότητος, ἀλλ' αὐτῷ δὴ τούτῳ τῆς οὐσίας αὐτοῦ συμπεπληρωμένης τῆς θεότητος
8 ff. Vgl. S. 57, 10f. 15—25 = Feltoe 191, 19—193, 4 Vgl. oben S. 57, 14f. 16 Vgl. Tertullian, adv. Praxean 10 (CSEL 47, 240, 19): atquin pater filium facit et patrem filius ... habeat necesse est pater filium, ut pater sit, et filius patrem, ut filius sit. Ferner vor allem: Origenes de princ. I 2, 10 (41, 11 ff.): quemadmodum pater non potest esse quis, si non filius non sit, neque dominus esse quis potest sine possessione vel servo: ita ne omnipotens quidem deus dici potest, si non sint in quos exerceat potentatum; und I 3 besonders 3, 7 (60, 1—21) 19 Origenes de princ. I 3, 7 (60, 18 ff.): ex quo manifestissime designatur quod nulla est in trinitate discretio, sed hoc, quod »donum spiritus« dicitur, ministratur per filium et inoperatur per deum patrem. D. denkt ebenso wie Origenes eher an die Wirkungen der Glieder der Trinität als an ihre Stellung zueinander 21 Zu ἐν ταῖς χερσίν vgl. Ps. Athanasius (Eustathius v. Antiochien), expositio fidei 4 (Migne 25, 208 A): τὸ δὲ ἅγιον πνεῦμα ἐκπόρευμα ὂν τοῦ πατρὸς ἀεί ἐστιν ἐν ταῖς χερσὶ τοῦ πέμποντος πατρὸς καὶ τοῦ φέροντος υἱοῦ 24 D. nimmt die Formeln des Dionys von Rom (oben de decretis 26, 3; II 22, 10) auf), interpretiert sie aber

---

BKPO RE WV a 15—22 στέρεσθαι u. 24 οὕτω — 25 = Johannes Damascenus (= J. D.) ἱερά 1. Buch, in: Fragmente vornicänischer Kirchenväter aus d. sacra parallela hrsg. v. Holl nr. 359. 360 (Texte u. Unters. NF. 5, 2 S. 146). Beide Zitate stammen aus Athanasius, wie das bei Joh. Dam. erhaltene καὶ μετ' ὀλίγα aus Z. 23 beweist. Auch stehen beide Stücke wie oben unmittelbar beieinander

---

1 εἴρητο Va | ἐπεὶ W | δὲ > V | λευκῶς καὶ sp. nachgetr. W 3 αὐτοῦ¹] ἑαυτοῦ WV 5 οἱ] εἰ R | κἂν] καὶ WV 6 καταθέσθωσαν WV a 6/7 τοιαύτην περὶ αὐτοῦ ~ WV 7 δυσφημίαν] βλασφημίαν O 8 γενηθῇ a γεννηθῆναι V 9 φῶς ἐστιν ~ WV | πρόσκειται WV 10 ἄναρχον + τε BK | ἀειγεννὲς a | προσφαινόμενον W προφερόμενον a 11 ὁ > REWV a 16 καὶ² > J. D. | τῷ > J. D. 17 καὶ εἰ ~ V J. D. 18 ἧκεν ἐφήρμοσα] ἦλθεν ἐσήμανα WV 19 ἐπηλλοτρίωται W | ᾗ] ἡ E | ᾗ πατήρ > WV | γάρ ἐστι] γὰρ ἔχει W ἔχων V 20 ὁ > BKPO a | πατὴρ] πατρικὴ WV 21 τε > WV | ἐστι > WV 22 δυναμένων J. D. | στέρεσθαι] στερεῖσθαι WVa ὑστερεῖσθαι J. D. 23 οἴομαι; καὶ] οἴεται; καὶ a λέγει· ἴδωμεν δὲ καὶ τί WV 24 πλατύνομεν] ἁρμόζομεν WV

Εἶτα καὶ αἰτιωμένων αὐτὸν ὡς ἕνα λέγοντα τῶν γενητῶν εἶναι τὸν υἱὸν καὶ μὴ 18, 1
ὁμοούσιον τῷ πατρί, αὐτὸς πάλιν ἐν μὲν τῷ πρώτῳ βιβλίῳ τοὺς τοιούτους διελέγχει
λέγων· »πλὴν ἐγὼ γενητά τινα καὶ ποιητά τινα φήσας νοεῖσθαι τῶν μὲν τοιούτων ὡς
»ἀχρειοτέρων ἐξ ἐπιδρομῆς εἶπον παραδείγματα, ἐπεὶ μήτε τὸ φυτὸν ⟨ταὐτὸν⟩ ἔφην B
»τῷ γεωργῷ μήτε τῷ ναυπηγῷ τὸ σκάφος. εἶτα τοῖς ἱκνουμένοις καὶ προσφυεστέροις 2
»ἐνδιέτριψα καὶ πλέον διεξῆλθον περὶ τῶν ἀληθεστέρων ποικίλα προσεξευρὼν τεκμήρια,
»ἅπερ καὶ [σοὶ] δι' ἄλλης ἐπιστολῆς ἔγραψα, ἐν οἷς ἤλεγξα καὶ ὃ προφέρουσιν ἔγκλημα,
»κατ' ἐμοῦ ψεῦδος ὄν, ὡς οὐ λέγοντος τὸν Χριστὸν ὁμοούσιον εἶναι τῷ θεῷ. εἰ γὰρ καὶ
»τὸ ὄνομα τοῦτό φημι μὴ εὑρηκέναι μηδ' ἀνεγνωκέναι που τῶν ἁγίων γραφῶν, ἀλλά
»γε τὰ ἐπιχειρήματά μου τὰ ἑξῆς, ἃ σεσιωπήκασι, τῆς διανοίας ταύτης οὐκ ἀπᾴδει. καὶ
»γὰρ ἀνθρωπείαν γονὴν παρεθέμην δῆλον ὡς οὖσαν ὁμογενῆ, φήσας πάντως τοὺς γονεῖς
»μόνον ἑτέρους εἶναι τῶν τέκνων, ὅτι μὴ αὐτοὶ εἶεν τὰ τέκνα, ἢ μήτε γονεῖς ἀναγκαῖον C
»ὑπάρχειν εἶναι μήτε τέκνα. καὶ τὴν μὲν ἐπιστολήν, ὡς προεῖπον, διὰ τὰς περιστάσεις 3
»οὐκ ἔχω προκομίσαι· εἰ δ' οὖν, αὐτά σοι τὰ τότε ῥήματα, μᾶλλον δὲ καὶ πάσης ἂν
»ἔπεμψα τὸ ἀντίγραφον· ὅπερ ἂν εὐπορήσω, ποιήσω. οἶδα δὲ καὶ μέμνημαι πλείονα
»προσθεὶς τῶν συγγενῶν ὁμοιώματα· καὶ γὰρ καὶ φυτὸν εἶπον ἀπὸ σπέρματος ἢ ἀπὸ

so: εἰ τῷ τρεῖς εἶναι τὰς ὑποστάσεις μεμερισμένας εἶναι λέγουσι, τρεῖς εἰσίν, κἂν μὴ θέλωσιν, ἢ τὴν θείαν τριάδα παντελῶς ἀνελέτωσαν und: θειοτάτη γὰρ διὰ τοῦτο μετὰ τὴν μονάδα καὶ ἡ τριάς (D. bei Basilius, de spiritu sancto 29, 72; III 61 A Garnier = Feltoe 196, 1 ff.). Athanasius konnte sich die Formel Ds. nicht aneignen, da πλατύνειν (obwohl Tertullian apol. 21, 12 sagt: extenditur [sc. filius] ut lumen de lumine accensum) als photinisch galt (Photin nach Nestorius, in Coll. Palat. 23 Acta Conc. Ephes. IV 42, 6 Schwartz; auch schon Marcell frg. 67 [197, 32]; 71 [198, 21]) und mit: εἴ τις πλατυνομένην τὴν οὐσίαν τοῦ θεοῦ τὸν υἱὸν λέγοι ποιεῖν in Sirmium 351 (Athan. de synodis 27 nr. 6. 7; Migne 26, 737 A) verurteilt wurde. Deshalb korrigieren WV πλατύνομεν in ἁρμόζομεν.

3— 60, 9= Feltoe 188, 3—190, 9   4 Zu φυτὸν vgl. oben S. 48, 22. D. hatte wahrscheinlich auf Joh. 15, 1 Bezug genommen.   8 Zu ὁμοούσιος: die Gegner des D. wollten ohne jede begriffliche Klärung im einzelnen mit diesem Terminus die Inferiorität des Sohnes ablehnen, die sie aus den Äußerungen des D. entnahmen. D. hat das Wort nicht gebraucht, glaubt aber durch ὁμογενής u. ä. sich den Terminus zurechtlegen zu können. D. versteht ὁμοούσιος = ὁμογενής, ὁμοφυής, wie Ptolemäus ep. ad Floram bei Epiph. haer. 33, 7, 8 (I 457, 13), vgl. Loofs, Das Nicänum, in: Festgabe für Karl Müller S. 70. ὁμοούσιος wurde von den Origenisten auf der Synode gegen Paul v. Samosata abgelehnt; vgl. dazu Loofs, Paulus von Samosata S. 147 ff. Athanasius zitiert diese Stelle aus D. noch zweimal; wie er sich das ὁμοούσιος zurechtlegte, entnehme man de decretis 20, 3—5; A. kam nicht über D. hinaus: das nicht schriftgemäße Wort ὁμοούσιος soll nur jede Trennung von Gott und Logos ausschließen   9 φημι d. h. in dem Briefe an Euphranor   13 Gemeint wieder der Brief an Euphranor, den D. wegen der Verfolgung nicht bei sich hat; vgl. oben S. 55, 12 Komm.   16 Die Bilder sind biblische, vgl. zu ῥίζα — φυτόν Jes. 11, 1 und Justin Dialog 86, 4—87, 2, zu πηγή vgl. Ps. 35, 10; Jer. 2, 13 (vgl. zu der Ableitung: Origenes in Matth. tom. XII 9; 83, 1 ff.); Jer. 17, 13 s. oben de decretis 12, 2 (11, 1 ff.) und Origenes de princ. II 2 (111, 30):

BKPO RE WV a   7—S. 60, 4 Das Stück auch bei Athanasius de decretis nic. 25, 4—5 (II 21, 16—29), und de synodis 44 (Migne 26, 769 B/C)   15—S. 60, 4 = Cramer S. 362, 14—21

1 αἰτιωμένων BKP αἰτιαμένων O αἰτιασαμένων REWV a | αὐτὸν] αὐτῶν RE | γεννητῶν W   2 μὲν > a   3 τινα ποιητὰ ~ WV | τοιούτων ὡς ἀχρειοτέρων] ἀχρειοτέρων πρότερον (προτέρων W) WV a   4 εἶπον + τὰ WV | ⟨ταὐτὸν⟩ Feltoe   5 μήτε — σκάφος] ἢ τὸ σκάφος τῷ ναυπηγῷ, ὅμοια· WV | εἶτα] εἶτε W   6 προσεπεξευρὼν R a προσεξερευνῶν E   7 [σοὶ] > de decr. de syn. | προσφέρουσιν V a   9 φημι] φησι W φασι V | μηδ' ἀνεγνωκέναι > de decr. | μηδ'] μὴ E | ἁγίων] ἄλλων WV   10 τὰ ἐπιχειρήματα] μετ' ἐπιχειρημάτων W μετ' ἐπιχειρήματος V | μου > W | τὰ ἑξῆς, ἃ] τῶν ἐχθρῶν, ἅπερ (ὅπερ V) οὐ WV | ἀπᾴδειν V^c a. unteren Rd. dazu vermerkt: διισχυρίζομαι V   11 γὰρ + καὶ BK | ἀνθρωπίνην de decr. | δηλῶν WV δήλην a | ὁμογενεῖς a   12 μόνον > WV | ἢ] εἰ W εἰ δὲ V aber δὲ übergeschr. | ἢ — 13 τέκνα > BK   13 ὑπάρχοι WV ὑπάρχον de decr. | zu τέκνα wird a. Rd. vermerkt: ἀνάγκη V   14 εἰ δ'οὖν] ἰδοὺ γοῦν W | εἰ δ'οὖν, αὐτά σοι τὰ τότε] αὐτὰ δέ σοι τὰ ταύτης V | καὶ > a | πάσης B^c πᾶσιν B^*K vgl. S. 21, 23 App.   15 ἀντίγραφον + φημι V v. sp. Hd. | εὐπορήσας WV   16 καὶ[2] > WV

B 256 »ῥίζης ἀνελθὸν ἕτερον εἶναι τοῦ ὅθεν ἐβλάστησε, καὶ πάντως ἐκείνῳ καθέστηκεν ǀ ὁμο-
»φυές. καὶ ποταμὸν ἀπὸ πηγῆς ῥέοντα ἕτερον σχῆμα καὶ ὄνομα μετειληφέναι· μήτε
»γὰρ τὴν πηγὴν ποταμὸν μήτε τὸν ποταμὸν πηγὴν λέγεσθαι καὶ ἀμφότερα ὑπάρχειν
M 508 A »καὶ τὴν μὲν πηγὴν οἱονεὶ πατέρα ǀ εἶναι, τὸν δὲ ποταμὸν εἶναι τὸ ἐκ τῆς πηγῆς ὕδωρ.
4 »ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα μηδὲ ὁρᾶν γεγραμμένα, ἀλλ' οἱονεὶ τυφλώττειν ὑπο-
»κρίνονται· τοῖς δὲ δυσὶ ῥηματίοις ἀσυνθέτοις καθάπερ λίθοις μακρόθεν ἐπιχειροῦσίν
»με βάλλειν ἀγνοοῦντες ὡς τῶν ἀγνοουμένων καὶ προσαγωγῆς εἰς ἐπίγνωσιν δεομένων
»οὐ μόνον ἀλλοῖα πολλάκις, ἀλλὰ καὶ ὑπεναντία τεκμήρια γίνεται τῶν ἐπιζητουμένων
5 »δηλώματα«. ἐν δὲ τῷ τρίτῳ βιβλίῳ φησί· »ζωὴ ἐκ ζωῆς ἐγεννήθη καὶ ὥσπερ ποταμὸς
»ἀπὸ πηγῆς ἔρρευσε καὶ ἀπὸ φωτὸς ἀσβέστου λαμπρὸν φῶς ἀνήφθη«.
19,1 Τίς τούτων ἀκούων οὐ μανίας λοιπὸν καταψηφίσεται τῶν ὑπονοούντων Διονύσιον
B τὰ Ἀρείου φρονεῖν; ἰδοὺ γὰρ διὰ τούτων φανερῶς πᾶσαν αὐτοῦ πατεῖ τὴν αἵρεσιν
τοῖς τῆς ἀληθείας λογισμοῖς. τὸ μὲν γὰρ 'οὐκ ἦν πρὶν γεννηθῇ' καὶ τὸ 'ἦν ποτε ὅτε οὐκ
ἦν' ἀναιρεῖ τῷ τοῦ ἀπαυγάσματος λόγῳ καὶ λέγων, ὅτι τούτου ὁ πατὴρ οὐκ ἦν ποτε
ἄγονος, τὸ δὲ ἐξ οὐκ ὄντων αὐτῶν ἀναιρεῖ ἐν τῷ λέγειν, τὸν λόγον εἶναι ὡς ποταμὸν ἀπὸ
πηγῆς καὶ βλαστὸν ἀπὸ ῥίζης καὶ τέκνον ἀπὸ γονέως καὶ φῶς ἐκ φωτὸς καὶ ζωὴν ἐκ ζωῆς·
καὶ τὸ μὲν ἀποσχοινίζειν καὶ διαιρεῖν αὐτοὺς τὸν λόγον ἀπὸ τοῦ θεοῦ διαβάλλει λέγων
αὐτὸς ἀδιαίρετον καὶ ἀμείωτον τὴν τριάδα εἰς μονάδα συγκεφαλαιοῦσθαι, τὸ δὲ λέγειν
αὐτοὺς ἀλλότριον εἶναι τὸν υἱὸν τῆς τοῦ πατρὸς οὐσίας ἄντικρυς πατεῖ λέγων ὁμοούσιον
2 εἶναι τοῦ πατρὸς τὸν υἱόν. ἐφ' ᾧ καὶ θαυμάσειεν ἄν τις τὴν ἀναίδειαν τῶν δυσσεβῶν,
C πῶς Διονυσίου, ὃν λέγουσιν ὁμόδοξον ἑαυτῶν εἶναι, λέγοντος ὁμοούσιον τὸν υἱόν, αὐτοὶ
περιέρχονται ὡς κώνωπες περιβομβοῦντες, ὡς οὐκ ὀρθῶς γραψάσης τῆς συνόδου τὸ
3 ὁμοούσιον. εἰ γὰρ Διονύσιός ἐστιν αὐτοῖς φίλος, μὴ ἀρνείσθωσαν τὰ τοῦ ὁμόφρονος·
εἰ δὲ νομίζουσι μὴ ὀρθῶς εἰρῆσθαι, πῶς τὸν τοῦτο λέγοντα Διονύσιον θρυλοῦσιν ὡς τὰ
αὐτῶν φρονοῦντα; μάλιστα ὅτι οὐδὲ ἐκ παρέργου ταῦτα λέγων φαίνεται, ἀλλὰ πρότερον
ἄλλας ἐπιστολὰς γράψας τοὺς μὲν κατειρηκότας αὐτοῦ ὡς μὴ λέγοντος ὁμοούσιον τὸν υἱὸν
τῷ πατρὶ διελέγχει ψευδομένους, τοὺς δὲ νομίζοντας αὐτὸν λέγειν γενητὸν τὸν λόγον

origo et fons filii vel spiritus sancti pater est; Comm. in Joh. Catenenfrgm. LXIX (538, 8): οὐ γὰρ ὁρῶσιν αὐτοῦ τὴν ῥίζαν καὶ τὴν πηγήν, τὸν πατέρα. Vgl. Tertullian apol. 21, 12, adv. Praxean 8 (CSEL 47, 238, 19)

4 Der Text in de decr., wonach WV verbesserten, ist der echte D.-Text. Athan. verdeutlicht hier das Bild 9—10 = Feltoe 196, 8—10 9 ζωὴ ἐκ ζωῆς begegnet nur noch in Eusebs Symbol s. Bd. III S. 43, 11 — zu ποταμός vgl. oben Z. 2 — zu φῶς vgl. oben S. 57, 5 ff. 14 f. Vgl. S. 57, 4 u. S. 57, 2 15 Vgl. oben Z. 2 16 Vgl. oben S. 59, 16 f.; S. 57, 14 f.; oben Z. 9 18 Vgl. S. 58, 25 20 Vgl. S. 59, 8 21 Vgl. S. 46, 14 26 Vgl. S. 59, 7 ff. 27 ff. Aus den erhaltenen Fragmenten kann man nicht genau ersehen, ob D. wirklich den λόγος als γενητός bezeichnete, jedoch hat er, wie aus dem Frg. bei Euseb praep. evang. VII 19 = Feltoe 183, 1 ff. hervorgeht, den Begriff ἀγένητος allein Gott zugewiesen, das setzt eine Diskussion über ἀγένητος und γένητος voraus

BKPO RE WV a 9—11 = Cramer S. 304, 22—24 11—16 ζωῆς = Cramer 362, 22—27

1/2 ὁμοιοφυές BK 2 ποταμὸν + εἶπον de decr. | ἕτερον + καὶ WV a de syn. | σχῆμα καὶ > de decr. | μετειληφέναι] μετεσχηκέναι WV 3 ποταμὸν[1] + εἶναι WV | ὑπάρχειν + ὕδωρ WV 4 καὶ — εἶναι[1] > WV de decr. | τὸν δὲ] καὶ τὸν WV de decret. | τῆς > E | ὕδωρ] γεννώμενον de syn. 6 ἀσυνθέτως V | μακρόθεν] καθάπερ P 7 με βάλλειν V Montf. βάλλειν a ἐμβάλλειν BKPO RE Comm. μεταβάλλειν W | ἐπίγνωσιν] ἐπίδοσιν K 8 ἀλλοῖα πολλάκις, ἀλλὰ καὶ] δὲ ἀλλὰ καὶ πολλάκις W ἅπαξ, ἀλλὰ καὶ πολλάκις V 9 δηλωμάτων V | φησί > WV 11 τίς + οὖν V 12 φρονοῦντα W 13 γεννηθῆναι V 14 καὶ > WV | ὁ τούτου ~ K | τούτου] οὗτος WV 15 αὐτῶν] αὐτὸν B*KEWV a 17 αὐτοὺς καὶ διαιρεῖν ~ K 19 τὸν υἱὸν > E 20 τὸν υἱὸν τοῦ πατρός (τῷ πατρί V) ~ WV a | δυσσεβῶν] ἀσεβῶν (δυσ über ἀ) O 1. Hd. 21 Διονυσίου — 22 περιβομβοῦντες] Διονύσιον λέγουσιν ἑαυτοῖς ὁμόδοξον εἶναι λέγοντα (λέγοντες V) ὁμοούσιον (+ εἶναι V) τὸν υἱὸν τοῦ πατρὸς (τῷ πατρί V), αὐτοὶ (+ δὲ V) περιέρχονται βομβοῦντες WV 21 ἑαυτῶν] αὐτῶν P 23 αὐτοῖς ἐστιν ~ WV 25 αὐτῶν] αὐτὰ a | φρονοῦντα corr. aus φρονοῦντες P 26 μὲν + οὖν BK 27 γεννητὸν W* γενητὸν W[c]

παρακρούεται, ὅτι μὴ οὕτως ὡς νομίζουσιν ἐφρόνησεν, ἀλλ' εἰ καὶ τὰς λέξεις εἴρηκε, διὰ
τοῦτό φησιν εἰρηκέναι πρὸς τὸ μόνον δεῖξαι, ὅτι μὴ ὁ πατήρ ἐστιν ἀλλ' ὁ υἱὸς ὁ τὸ
γενητὸν καὶ κτιστὸν καὶ ποιητὸν ἐνδυσάμενος σῶμα· διὸ καὶ γεγενῆσθαι καὶ πεποιῆσθαι
καὶ ἐκτίσθαι λέγεται ὁ υἱός. | M509A; B257

'Αμέλει ἐπειδὴ προελήφθη γράψαι τὰς τοιαύτας λέξεις, τοῖς μὲν 'Αρειανοῖς μακρὰ 20,1
φράζει χαίρειν, παρὰ δὲ τῶν ἀκουόντων συνείδησιν ἀγαθὴν ἀπαιτεῖ τὸ δυσχερὲς ἢ τάχα
καὶ τὸ ἀπερίδρακτον τῶν ζητουμένων προβαλλόμενος, ἵνα μὴ τὰς λέξεις ἀλλὰ τὴν διάνοιαν
τοῦ γράφοντος κρίνωσι, καὶ μάλισθ' ὅταν τὰ πλεῖστα μαρτυρῇ τῇ τούτου φρονήσει.
ἔφησε γοῦν καὶ αὐτὸς ὅτι 'τῶν μὲν τοιούτων ὡς ἀχρειοτέρων ἐξ ἐπιδρομῆς εἶπον τὰ
παραδείγματα τὸ φυτὸν καὶ τὸν γεωργόν· τοῖς δὲ προσφυεστέροις ἐνδιέτριψα καὶ πλέον
διεξῆλθον περὶ τῶν ἀληθεστέρων'. ὁ δὲ τοῦτο λέγων δείκνυσιν ἀληθέστερον εἶναι τὸ 2
λέγειν ἀίδιον καὶ ἐκ τοῦ πατρὸς τὸν υἱὸν ἤπερ γενητόν. ἐκ τούτου μὲν γὰρ τὸ σωματικὸν
τοῦ κυρίου σημαίνεται, ἐξ ἐκείνων δὲ τὸ ἀίδιον τῆς θεότητος αὐτοῦ. ἐν τούτοις γοῦν B
καὶ ἠλέγχθαι παρ' αὐτοῦ τοὺς ἐγκαλέσαντας, ὡς μὴ λέγοντος αὐτοῦ ὁμοούσιον τοῦ πα-
τρός, διαβεβαιοῦται οὐχ ἁπλῶς, ἀλλὰ μετὰ φρονήσεως καὶ ἀποδείξεως ἀληθοῦς λέγων·
'εἰ καὶ μὴ τὴν λέξιν ταύτην εὗρον ἐν ταῖς γραφαῖς, ἀλλ' ἐξ αὐτῶν τῶν γραφῶν τὸν νοῦν
συναγαγών, ἔγνων ὅτι υἱὸς ὢν καὶ λόγος οὐ ξένος ἂν εἴη τῆς οὐσίας τοῦ πατρός'. ὅτι 3
γὰρ οὐ κτίσμα οὐδὲ ποίημα φρονεῖ τὸν υἱὸν εἶναι (καὶ γὰρ καὶ ἐν τούτῳ τεθρυλήκασιν
αὐτόν), οὕτως ἐν τῷ δευτέρῳ βιβλίῳ φησίν· »ἐὰν δέ τις τῶν συκοφαντῶν, ἐπειδὴ τῶν
»ἁπάντων ποιητὴν τὸν θεὸν καὶ δημιουργὸν εἶπον, οἴηταί με καὶ τοῦ Χριστοῦ λέγειν,
»ἀκουσάτω μου πρότερον πατέρα φήσαντος αὐτόν, ἐν ᾧ καὶ ὁ υἱὸς προσγέγραπται.
»μετὰ γὰρ τὸ εἰπεῖν πατέρα ποιητὴν ἐπαγήοχα· καὶ οὔτε πατήρ ἐστιν ὢν ποιητής, C
»εἰ κυρίως ὁ γεννήσας πατὴρ ἀκούοιτο (τὴν γὰρ πλατύτητα τῆς τοῦ πατρὸς προση-
»γορίας ἐν τοῖς ἑξῆς ἐπεξεργασόμεθα), οὔτε ποιητὴς ὁ πατήρ, εἰ μόνος ὁ χειροτέχνης
»ποιητὴς λέγοιτο. παρ' Ἕλλησι γὰρ ποιηταὶ καὶ τῶν ἰδίων καλοῦνται λόγων οἱ σοφοί·
»καὶ ποιητὰς ὁ ἀπόστολος εἶπε νόμου· καὶ τῶν ἐγκαρδίων γὰρ ἀρετῆς ἢ κακίας ποιηταὶ
»καθίστανται, ὡς εἶπεν ὁ θεός· ›ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν‹«.

Ἔστιν ἀληθῶς ἀκούοντα ταῦτα μνησθῆναι τοῦ θείου λογίου λέγοντος· »οὗ ἐὰν 21,1
στραφῇ ὁ ἀσεβής, ἀφανίζεται«. ἰδοὺ γὰρ ποικίλως στρεφόμενοι καθ' ἑκάστην οἱ δυσσε-
βεῖς ἀφανίζονται μὴ ἔχοντες μηδὲ εἰς τοῦτο πρόφασιν περὶ Διονυσίου. φανερῶς μὲν γὰρ
διδάσκει μὴ εἶναι ποίημα μηδὲ | κτίσμα τὸν υἱόν. αἰτιᾶται δὲ καὶ θεραπεύει τοὺς δια- M 512A

3 Vgl. unten Z. 19 ff. 9—11 Vgl. oben S. 59, 3—6 15 Vgl. oben S. 59, 8 ff. 19—27 = Feltoe 193, 9—194, 7 20 Vgl. Theognost Hypotyposen bei Gregor. Nyss. c. Eunom. III tom. II 121 (II 86, 24 ff. Jaeger): τὸν θεὸν βουλόμενον τόδε τὸ πᾶν κατασκευάσαι πρῶτον τὸν υἱὸν οἱόν τινα κανόνα τῆς δημιουργίας προυποστήσασθαι. Vgl. Origenes de princ. IV 4, 1 (349, 11 ff.); I 2, 1 (28, 4 ff.) wie O. in I 2, 1 wird sich D. ausgedrückt haben. D. περὶ φύσεως (bei Euseb praep. evang. XIV 27, 7 = Feltoe 160, 1): τούτου γὰρ ἕνεκα πρὸς ἀλήθειαν ὁ τῶν ἁπάντων ποιητὴς καὶ δημιουργὸς μόνος ἐστὶ θεός. Vgl. zu der Verbindung von πατήρ und ποιητής Platon, Timaeus 28 c 26 Vgl. Rm. 2, 13; Jac. 4, 11 27 Jes. 5, 7 28 Prov. 12, 7

BKPO RE WV a s (ab Z. 20 τὸν)

2 ἀλλ' ὁ υἱός ἐστιν ~ WV 5 ἐλήφθη a | γράψας V | μακρὰ] μικρὰ BK 9 τὰ > WV 10 προσδιέτρεψα WV 11 ἐξῆλθον a 12 ἤπερ] εἴπερ W | γεννητόν P 14/15 πατρὸς + τὸν υἱόν V 15 ἀλλὰ + καὶ WV | καὶ + μετὰ WV 16 εἰ — γραφαῖς > E 17 λόγος + ἐξ αὐτοῦ πάντως ἐστὶ καὶ WV 18 οὐ ποίημα οὐδὲ κτίσμα ~ WV | καὶ[2]] ὡς W 20 καὶ δημιουργὸν τὸν θεὸν ~ KWV | οἴεται P 22 τὸ εἰπεῖν] τὸν W > V | πατέρα + τὸν WV | ὢν] ὧν RE a s Montf. 23 πατὴρ > s | τοῦ doppelt E 24 ἐπεργασόμεθα a s ἀπειργασάμεθα WV | ὁ[1]] οὗ a s vgl. Z. 22 | εἰ] ἦν a ἦν s 25 λόγων οἱ σοφοὶ ἐκαλοῦντο ~ V 26 ποιητὰς] ποιητὴς BK | ὁ ἀπόστολος] ἀποστόλους V | γὰρ > WV 29 ὁ > a s | ἰδοὺ — 30 ἀφανίζονται > BK 30 περὶ] παρὰ a s | μὲν > E 31 αἰτιᾶται] ἰᾶται WV

B 258 βάλλοντας αὐτὸν ὡς εἰπόντα ποιητὴν τὸν | θεόν, ὅτι μὴ συνεῖδον εἰπόντα αὐτὸν πρότε-
2 ρον πατέρα τὸν θεόν, ἐν ᾧ καὶ ὁ υἱὸς προσγέγραπται. τοῦτο δὲ λέγων δείκνυσι μὴ
εἶναι τῶν ποιημάτων τὸν υἱόν, μηδὲ ποιητὴν ἀλλὰ πατέρα τοῦ ἰδίου λόγου τὸν θεὸν
εἶναι. καὶ ἐπειδὴ ἀσυνειδήτως τινὲς ἐπήγαγον αὐτῷ, ὅτι ποιητὴν εἶπε τὸν θεὸν τοῦ
Χριστοῦ, διὰ τοῦτο ποικίλως ἀπολογούμενός φησι μηδ' οὕτως ἐπιλήψιμον εἶναι τὸν
λόγον. εἰρηκέναι γὰρ ποιητήν φησι διὰ τὴν σάρκα, ἣν ἀνέλαβε γενητὴν οὖσαν αὐτὴν
3 ὁ λόγος. εἰ δὲ καὶ περὶ τοῦ λόγου τις ὑπονοήσοι τοῦτο λελέχθαι, καὶ οὕτως ἔπρεπεν
αὐτοὺς ἀφιλονείκως ἀκοῦσαι· »ὡς γὰρ οὐ ποίημα φρονῶ τὸν λόγον, καὶ οὐ ποιητὴν
B »ἀλλὰ πατέρα τὸν θεὸν αὐτοῦ λέγω. κἂν ἐξ ἐπιδρομῆς εἴπω ποιητὴν τὸν θεὸν διηγού-
»μενος περὶ τοῦ υἱοῦ, ἀλλὰ καὶ οὕτως ἀπολογήσασθαι δυνατόν. ποιητὰς γὰρ τῶν ἰδίων
»λόγων Ἑλλήνων μὲν οἱ σοφοί φασι καίτοι πατέρας ἑαυτοὺς ὄντας τῶν ἰδίων λόγων.
»ἡ δὲ θεία γραφὴ καὶ τῶν ἀπὸ καρδίας κινημάτων ποιητὰς ἡμᾶς διαγορεύει, ποιητὰς
»νόμου καὶ κρίσεως καὶ δικαιοσύνης λέγουσα.« ὥστε πανταχόθεν τὸν μὲν υἱὸν μὴ εἶναι
κτίσμα μηδὲ ποίημα, ἑαυτὸν δὲ ἀλλότριον τῆς ἀρειανῆς κακοδοξίας ἀποδείκνυσι.

22,1 Μὴ γὰρ δὴ τις Ἀρειανὸς μηδὲ ἐν τούτῳ ὑπονοείτω κατ' αὐτοῦ ὡς οὕτως λέγοντος·
C σύνεστιν ὁ υἱὸς τῷ πατρί, ὡς τὰ μὲν ὀνόματα συνῆφθαι ἀλλήλοις, τὰ δὲ πράγματα
πλεῖστον ἀλλήλων διεστάναι, καὶ μὴ ἀεὶ μὲν συνεῖναι τὸν υἱὸν τῷ πατρί, ἀφ' οὗ δὲ γέ-
γονεν ὁ υἱός, ἐξ ἐκείνου καὶ πατέρα τὸν θεὸν εἰρῆσθαι καὶ λοιπὸν αὐτῷ συνεῖναι, ὥσπερ
καὶ ἐπ' ἀνθρώπων τοῦτο γίνεται. ἀλλ' ἐνθυμείσθω καὶ μνημονευέτω τῶν προειρημένων
2 καὶ ὄψεται Διονυσίου τὴν πίστιν ὀρθήν. λέγων γάρ· 'οὐ γὰρ ἦν ὅτε ὁ θεὸς οὐκ
ἦν πατήρ', καὶ πάλιν· 'ὁ δέ γε θεὸς αἰώνιόν ἐστι φῶς οὔτε ἀρξάμενον οὔτε λῆξόν
ποτε· οὐκοῦν αἰώνιον πρόκειται καὶ σύνεστιν αὐτῷ τὸ ἀπαύγασμα, ἄναρχον καὶ
ἀειγενές, προφαινόμενον αὐτοῦ'· ἐχρῆν μηδένα τὸ σύνολον ὑπονοεῖν τινα τοιαῦτα
κατ' αὐτοῦ. καὶ τὰ παραδείγματα δὲ τῆς πηγῆς καὶ τοῦ ποταμοῦ καὶ τῆς ῥίζης
M 513 A καὶ τοῦ | βλαστοῦ καὶ τοῦ πνεύματος καὶ τῆς ἀτμίδος καταισχύνει τοὺς χριστομάχους
τἀναντία θρυλοῦντας κατ' αὐτοῦ.

23,1 Ἐπειδὴ δὲ πρὸς πᾶσι τοῖς ἑαυτοῦ κακοῖς ὁ Ἄρειος καὶ τοῦτο συμπεφόρηκεν ἑαυτῷ
ῥημάτιον ὡς ἐκ κοπρίας καὶ προστίθησιν, ὡς ἄρα 'ὁ λόγος οὐκ ἔστιν ἴδιος τοῦ πατρός,
ἀλλ' ἄλλος μέν ἐστιν ὁ ἐν τῷ θεῷ λόγος, οὗτος δὲ ὁ κύριος ξένος μὲν καὶ ἀλλότριός ἐστι

6 Zu ποιητήν etc.: so interpretiert Athanasius D. (vgl. S. 61, 12 f.); A. hat Prov. 8, 22 ff. auf die Inkarnation bezogen, vgl. de decretis 14, 3 (II 12, 17 f. u. Komm.). Wenn D. wirklich so Prov. 8, 22 verstanden hätte, dann hätte A. die Stelle als Krone seiner Beweisführung zitiert 8—13 = Feltoe 195, 1—8 13 Zu νόμου vgl. Rm. 2, 13; Jac. 4, 11, zu κρίσεως vgl. I. Macc. 6, 22; Joh. 5, 27; zu δικαιοσύνης vgl. I. Joh. 2, 29; 3, 7 20 Vgl. S. 57, 1 21 Vgl. S. 57, 10 24 Vgl. S. 59, 16 ff. 25 Vgl. S. 57, 17 f. 28—S. 63, 2 Das Referat (mehr ist die Stelle nicht) über Arius' Lehre findet sich auch bei Athanasius, ep. ad episc. Aeg. et Lib. 12 (Migne 25, 564 C), vgl. auch or. II. c. Arianos 37 (Migne 26, 225 A) 29 f. Vgl. Urk. 4 b § 7 (III 7, 21 ff.); Athanasius de decretis 6, 1 (II 5, 26 ff.) u. Par.

BKPO RE WV a s

1/2 αὐτὸν πρότερον εἰπόντα ~ WV | πρότερον > a 2 τὸν > WV | προγέγραπται W 3 υἱὸν + ἀλλὰ V | μηδὲ ποιητὴν > E | ἀλλὰ πατέρα—τὸν θεὸν] αὐτοῦ τὸν πατέρα, ἀλλὰ γεννήτορα τοῦ ἰδίου λόγου τὸν θεὸν καὶ πατέρα WV 4 αὐτῷ] οὕτως WV 6 ἔλαβε V a s | γεννητὴν PW | αὐτὴν > WV 7 ὑπονοήσοι BPO ὑπονοήσει KREWV a s | καὶ[2] > a s 8 ὡς] ἕως WV a s | καὶ] κἂν V | ποιητὸν W 9 αὐτοῦ > V | κἂν] καὶ s | τὸν θεὸν ποιητὴν ~ WV 10 ἀπολογήσασθαι] ἀπολογήσομαι ὡς V 11 ἑαυτοὺς] αὐτοὺς WV s | τῶν ἰδίων ὄντας ~ s τῶν ἰδίων λόγων ὄντας ~ BK 12 καρδίων s 14 ἀρειανῆς] Ἀρειανῶν V 17 πατρί + τὸ W Rasur von 2 Buchst. V 19 μνημονευέσθω E | προειρημένων] πρόσθεν εἰρημένων WV a s 20 πίστιν] ἐπιστολὴν E | γάρ· οὐ v. sp. Hd. a. Rd. V 21 λῆξαν s vgl. S. 57, 10 23 προφαινόμενον] ὡς φαινόμενον W προφερόμενον a s vgl. S. 57, 11/12 | ἐχρῆν] δι' ὧν ἐγκλείει W διὰ τούτων ἀποκλείει V ἐκκλείει a s | τοιαῦτά τινα ὑπονοεῖν ~ V 24 τὰ > W 27 ἐπειδὴ] ἐπεὶ V 29 καὶ ἀλλότριός ἐστι > a s

τῆς τοῦ πατρὸς οὐσίας, κατ' ἐπίνοιαν | δὲ μόνον λέγεται λόγος καὶ οὐκ ἔστι μὲν κατὰ B 259
φύσιν καὶ ἀληθινὸς τοῦ θεοῦ υἱός, κατὰ θέσιν δὲ λέγεται καὶ οὗτος υἱὸς ὡς κτίσμα', καὶ τοι-
αῦτα λέγων αὐχεῖ παρὰ τοῖς ἀγνοοῦσιν ὡς καὶ ἐν τούτοις ἔχων ὁμόδοξον τὸν Διονύσιον,
ὅρα καὶ τὴν περὶ τούτων πίστιν τοῦ Διονυσίου καὶ πῶς μάχεται ταῖς τοιαύταις Ἀρείου
κακονοίαις. γράφει γὰρ ἐν μὲν τῷ πρώτῳ βιβλίῳ οὕτως· »προείρηται μὲν οὖν, ὅτι 2
»πηγὴ τῶν ἀγαθῶν ἁπάντων ἐστὶν ὁ θεός· ποταμὸς δὲ ὑπ' αὐτοῦ προχεόμενος ὁ υἱὸς B
»ἀναγέγραπται. ἀπόρροια γὰρ νοῦ λόγος καί, ὡς ἐπ' ἀνθρώπων εἰπεῖν, ἀπὸ καρδίας
»διὰ στόματος ἐξοχετεύεται, ἕτερος γινόμενος τοῦ ἐν καρδίᾳ λόγου ὁ διὰ γλώσσης νοῦς
»προπηδῶν. ὁ μὲν γὰρ ἔμεινε προπέμψας καὶ ἔστιν οἷος ἦν, ὁ δὲ ἐξέπτη προπεμφθεὶς
»καὶ φέρεται πανταχοῦ· καὶ οὕτως ἐστὶν ἑκάτερος ἐν ἑκατέρῳ ἕτερος ὢν θατέρου, καὶ
»ἕν εἰσιν ὄντες δύο. οὕτω γὰρ καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς ἓν καὶ ἐν ἀλλήλοις ἐλέχθησαν εἶναι.«
ἐν δὲ τῷ τετάρτῳ βιβλίῳ οὕτως λέγει· »ὡς γὰρ ὁ ἡμέτερος νοῦς ἐρεύγεται μὲν ἀφ' ἑαυτοῦ 3
»τὸν λόγον, ὡς εἶπεν ὁ προφήτης· 'ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν', καὶ ἔστι
»μὲν ἑκάτερος ἕτερος θατέρου, ἴδιον καὶ τοῦ λοιποῦ κεχωρισμένον εἰληχὼς τόπον, ὁ μὲν
»ἐν τῇ καρδίᾳ, ὁ δὲ ἐπὶ τῆς γλώττης καὶ τοῦ στόματος οἰκῶν τε καὶ κινούμενος· οὐ μὴν C
»διεστήκασιν οὐδὲ καθάπαξ ἀλλήλων στέρονται οὐδέ ἐστιν οὔτε ὁ νοῦς ἄλογος οὔτε
»ἄνους ὁ λόγος, ἀλλ' ὅ γε νοῦς ποιεῖ τὸν λόγον ἐν αὐτῷ φανεὶς καὶ ὁ λόγος δείκνυσι τὸν
»νοῦν ἐν αὐτῷ γενόμενος, καὶ ὁ μὲν νοῦς ἐστιν οἷον λόγος ἐγκείμενος, ὁ δὲ λόγος νοῦς
»προπηδῶν. καὶ μεθίσταται μὲν ὁ νοῦς εἰς τὸν λόγον, ὁ δὲ λόγος τὸν νοῦν εἰς τοὺς 4
»ἀκροατὰς ἐγκυκλεῖ. καὶ οὕτως ὁ νοῦς διὰ τοῦ λόγου ταῖς τῶν ἀκουόντων ψυχαῖς ἐνι-
»δρύεται συνεισιὼν τῷ λόγῳ· καὶ ἔστιν ὁ μὲν οἷον πατὴρ ὁ νοῦς τοῦ λόγου ὢν ἐφ' ἑαυτοῦ,
»ὁ | δὲ καθάπερ υἱὸς ὁ λόγος τοῦ νοῦ, πρὸ ἐκείνου μὲν ἀδύνατον ἀλλ' οὐδὲ ἔξωθέν M 516A

---

1 Zu ἐπίνοιαν vgl. Arius bei Athanasius de synodis 15 (Migne 26, 708 B): . . . ἐπινοεῖται (sc. ὁ υἱός) γοῦν μυρίαις ὅσαις ἐπινοίαις . . . εἰκὼν καὶ λόγος οὗτος   5—11 = Feltoe 190, 15—191, 8   5 f. προείρηται wo? Zu πηγὴ τῶν ἀγαθῶν vgl. Philo de opificio mundi 20. 21 (I 6, 13 Cohn-Wendland); de decalogo 81 (IV 287, 13 Cohn-Wendland)   6 Zu ποταμός vgl. Philo de somniis II 238f. (III 297, 1 ff. Cohn-Wendland)   7 Vgl. zu ἀπόρροια Sap. 7, 25 und Plotin Ennead. III 2, 2 (I 172, 12 Müller): τὸ γὰρ ἀπορρέον ἐκ νοῦ λόγος   7 ff. Vgl. Philo Quod det. pot. insid. 127 ff. (I 287, 4 ff. Cohn-Wendland); de vita Mosis II 127 f. (IV 230, 1 ff.). Bei kirchlichen Schriftstellern finde ich nur eine ähnliche Stelle bei Theognost frg. cod. Marc. gr. 502 (Harnack, Texte u. Unters. NF. IX 3 S. 77, 1 ff.): λόγον καὶ σοφίαν τὸν υἱὸν ὀνομάζουσιν αἱ γραφαί· λόγον μὲν οἷα δὴ ⟨ἐκ τοῦ⟩ νοῦ πατρὸς τῶν ὅλων ἐξιόντα· τὸ γὰρ κάλλιστον γέννημα τοῦ νοῦ τὸν λόγον εἶναι ⟨σαφές⟩. Vgl. Justin apol. I 21, 2; Irenaeus II 13, 2; 12, 5. Diese Stelle bei D. ist bei christlichen Schriftstellern wohl einzigartig, wenn man nicht wie K. Müller a. a. O. S. 283 Tertullians Darlegungen adv. Praxean 5. 6, die ja ebenso singulär sind wie die des D., als Vorlage für D. annimmt. Wie aus den Anmerkungen hier hervorgeht, braucht D. nicht Tertullian unbesehen übernommen zu haben, wie Müller es gerne will, aber D. hat gewiß Tert. als Muster benutzt, um dem Römer seine Theologie darzustellen. Die Einzelheiten stammen aus der alexandrinischen Tradition   12—S. 64, 2 = Feltoe 196, 13—197, 19

BKPO RE WV a s

---

1 λέγεται + ὁ W   2 ἀληθινός] ἀλήθειαν WV | οὗτος] αὐτὸς WV a s | ὡς + καὶ a | καὶ3 + τὰ WV   3 τούτοις] τούτῳ V   5 γράφει + μὲν W   6 ἀγαθῶν + καὶ a s   7 ὡς > V | εἶπεν a s   8 διὰ + τοῦ WV | ἐξοχετεύεται (ετ über χ) B ἐξοχεύεται s | γενόμενος BK   9 καὶ ἔστιν — προπεμφθεὶς > E   10 οὗτός ἐστιν ἑκάτερος ὢν WV | ἐν ἑκατέρῳ] ἑκατέρου. καὶ V   11 καὶ1 > a s   12 ἐν τῷ τετάρτῳ δὲ ~ P | λέγει > WV a s   14 ἕτερος θατέρου] ἑκατέρου θάτερον WV | εἰληφὸς WV   15 τε > a s   16 στεροῦνται WV στέρωνται a s | ἄλογος] λόγος V   17 ποιεῖ] γεννᾷ WV | αὐτῷ + δὲ WV | ὁ3 > W   18 γενόμενος] γεννώμενος WV | ἐγκείμενος λόγος ~ E | λόγος νοῦς KEcW (aber auf Rasur W?) V a s λόγος νοῦς / νοῦς λόγος B νοῦς λόγος PORE*   20 ἐγκυκλοῖ POV ἐγκηλεῖ s | τοῦ > a   20/21 ἐνιδρύεται BcKPO R ἐνίδρυται B*WV a s ἐνιδρύνεται E   21 συνεισιὼν] συνὼν WV | ὁ μὲν > WV | ἐφ'] ἀφ' V ἐ̣φ' W   22 ὁ1] ὡς W | ἀδύνατος W

»ποθεν σὺν ἐκείνῳ γενόμενος, βλαστήσας δὲ ἀπ' αὐτοῦ. οὕτως ὁ πατήρ, ὁ μέγιστος καὶ
»καθόλου νοῦς, πρῶτον τὸν υἱὸν λόγον ἑρμηνέα ⟨καὶ⟩ ἄγγελον ἑαυτοῦ, ἔχει«.
24, 1 Τούτων ἢ οὐκ ἤκουσέ ποτε Ἄρειος ἢ ἀκούσας οὐκ ἐνόησεν ὁ ἀμαθής. οὐκ ἂν γάρ,
εἴπερ ἦν νοήσας, κατεψεύδετο τοσοῦτον κατὰ τοῦ ἐπισκόπου, ἀλλὰ πάντως καὶ αὐτὸν
ὡς ἡμᾶς ἐλοιδόρει διὰ τὸ πρὸς τὴν ἀλήθειαν μῖσος. χριστομάχος γὰρ ὢν οὐκ ὀκνήσει
B 260 καὶ τοὺς τὰ | Χριστοῦ φρονοῦντας διώκειν, ὡς αὐτὸς ὁ κύριος προείρηκεν· »εἰ ἐμὲ ἐδίωξαν,
2 καὶ ὑμᾶς διώξουσιν.« ἢ εἰ νομίζουσιν οἱ προστάται τῆς ἀσεβείας ὁμόφρονα τὸν Διο-
νύσιον ἑαυτοῖς εἶναι, γραψάτωσαν ταῦτα καὶ ὁμολογείτωσαν· γραψάτωσαν τὴν ἄμ-
B πελον καὶ τὸν γεωργόν, τὸ σκάφος καὶ τὸν ναυπηγόν, καὶ ἅμα ὁμολογείτωσαν καὶ ἅπερ
εἶπεν ἀπολογούμενος τὸ ὁμοούσιον καὶ τὸ ἐκ τῆς οὐσίας εἶναι τὸν υἱὸν καὶ τὸ ἀίδιον καὶ
τὸν νοῦν πρὸς τὸν λόγον τήν τε πηγὴν καὶ τὸν ποταμὸν καὶ τὰ ἄλλα, ἵνα κἂν ἐκ τῆς
διαφορᾶς γνῶσιν, πῶς ἐκεῖνα μὲν κατ' οἰκονομίαν, ταῦτα δὲ ὡς ὁ τῆς εὐσεβοῦς πίστεως
βούλεται λόγος εἴρηκε, καὶ λοιπὸν ταῦτα λέγοντες ἀναιρῶσιν ἅπερ κατ' αὐτῶν τούτων
3 ἐφρόνησαν. τί γὰρ κἂν ἐγγὺς ἔχει τῶν Ἀρείου κακῶν ἡ Διονυσίου πίστις; οὐχ ὁ
μὲν Ἄρειος κατ' ἐπίνοιαν λέγει τὸν λόγον, ὁ δὲ Διονύσιος ἀληθινὸν καὶ φύσει λόγον τοῦ
θεοῦ; καὶ ὁ μὲν ἀποξενοῖ τὸν λόγον ἀπὸ τοῦ πατρός, ὁ δὲ ἴδιον καὶ ἀδιαίρετον τῆς τοῦ
C πατρὸς οὐσίας αὐτὸν εἶναι διδάσκει, ὡς ἔστιν ὁ λόγος πρὸς τὸν νοῦν καὶ ποταμὸς πρὸς
4 τὴν πηγήν. εἰ μὲν οὖν διαιρεῖν καὶ ἀποξενοῦν τὸν λόγον καὶ τὸν νοῦν τις δύναται
ἢ τὸν ποταμὸν καὶ τὴν πηγὴν μερίσαι καὶ τειχίσας διελεῖν ἢ τὸν ποταμὸν ἑτεροούσιον
εἰπεῖν πρὸς τὴν πηγὴν καὶ ξένον τὸ ὕδωρ δεῖξαι ἢ τὸ ἀπαύγασμα τολμᾷ διελεῖν ἀπὸ τοῦ
φωτὸς καὶ εἰπεῖν ἐξ ἑτέρας οὐσίας εἶναι τὸ ἀπαύγασμα καὶ μὴ ἐκ τοῦ φωτός, μαινέσθω
μετὰ Ἀρείου. ὁ γὰρ τοιοῦτος μηδὲ νοῦν ἀνθρώπινον ἔχων ἔτι φανήσεται. εἰ δὲ ἀδιαίρετα
ταῦτα οἶδεν ἡ φύσις καὶ τὸ τούτων γέννημα ἴδιον, μήτε τὰ Ἀρείου τις ἔτι λοιπὸν φρο-
νείτω μήτε Διονύσιον διαβαλλέτω, ἀλλὰ καὶ μᾶλλον ἐκ τούτων αὐτοῦ θαυμαζέτω τήν
M 517 A τε τοῦ λόγου λευκότητα καὶ τὴν τῆς πίστεως ὀρθότητα. |
25, 1 Ὅτι γὰρ πρὸς τὴν μανίαν Ἀρείου λέγοντος ἄλλον εἶναι τὸν ἐν τῷ θεῷ λόγον καὶ
ἄλλον, περὶ οὗ φησιν ὁ Ἰωάννης· »ἐν ἀρχῇ ἦν ὁ λόγος«, καὶ ἄλλην μὲν ἰδίαν σοφίαν
εἶναι ἐν τῷ θεῷ, ἄλλην δὲ περὶ ἧς φησιν ὁ ἀπόστολος »Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ
σοφία«, πάλιν ὁ Διονύσιος ἀνθίσταται καὶ διαβάλλει τὴν τοιαύτην κακοδοξίαν, ὅρα
πάλιν πῶς ἐν τῷ δευτέρῳ γράφει περὶ τούτων οὕτως· »›ἐν ἀρχῇ ἦν ὁ λόγος‹· ἀλλ' οὐκ

---

6 Joh. 15, 20 7f. Vgl. S. 46, 14 9 Vgl. S. 48, 22 10 Vgl. S. 59, 8ff., ferner vgl. S. 57, 3 Athanasius interpretiert hier wieder D., ἐκ τῆς οὐσίας kommt bei D. nicht vor. Zu ἀίδιος vgl. S. 57, 4 11 Vgl. S. 63, 5ff. 15 Athanasius legt D. seine eignen dogmatischen Termini bei 27 Joh. 1, 1 28 I. Cor. 1, 24 30—S. 65, 3 = Feltoe 195, 15—19 30 Joh. 1, 1

BKPO RE WV a s 16—23 = Cramer VII 304, 31—305, 5

---

1 ὁ[2] WV a s > BKPORE 2 πρῶτον — ἔχει] γεννᾷ τὸν θεὸν λόγον ἑρμηνέα τοῦ πατρὸς καὶ τοῦ (τοῦ > V) παντὸς δημιουργόν WV | ⟨καὶ⟩ Montf. 3 τούτων > WV | οὐκ[1]] οὖν οὐκ V | ποτε] ὁ W τούτων V | νενόηκεν a ἐνενόηκεν s 4 εἴπερ ἦν] εἶπεν ἦν E* εἶπεν ἢ E^c | κατὰ > WV 5 ἐλοιδόρει ὡς ἡμᾶς ~ s 6 τὰ + τοῦ a s | κύριος] Χριστὸς WV 8 ἑαυτοῖς] αὐτοῖς WV γραψάτωσαν[2] — 13 λοιπὸν > WV 10 οὐσίας + τοῦ πατρὸς E 13 βούλεται > P | ταῦτα] ἵνα ταῦτα WV | ἀναιροῦσιν a s ἀνέλωσιν W | ἅπερ] ὅπερ WV | αὐτῶν τούτων] αὐτὸν τοῦτον a s αὐτῶν WV 14 ἐφρόνησε W | κἂν] καὶ WV | ἔχῃ RE s | πίστις] ὁμολογία V > W 15 Ἄρειος] Ἀρειανὸς W 17 εἶναι > WV | καὶ + ὁ übergeschr. V 17/18 πρὸς τὴν πηγὴν ὁ ποταμός ~ a 20 τολμᾷ WV a s τὸ ἅμα RB (aber τὸ exp. B) τῷ ἅμα POE > K | ἀπὸ] ἐκ WV 22 ἔτι φανήσεται POR s φανήσεται ἔτι E φανήσεται BK a ἐπιφανήσεται W ἀναφανήσεται V 23 τούτων Comm. Montf. τούτου Hss. 23/24 φρονείτω λοιπὸν ~ WV 24 τούτων] τούτου BK | αὐτοῦ θαυμαζέτω] ἀποθαυμαζέτω a 27 ὁ Ἰωάννης φησὶν ~ K | σοφίαν ἰδίαν ~ E 28 θεῷ + καὶ s | ἄλλην] ἄλλον BK | ἀπόστολος] Παῦλος WV a s 29 ὅρα] ὁ W 30 πῶς πάλιν ~ E | δευτέρῳ BKPO REWV Comm. δευτέρῳ βιβλίῳ a s Montf.

»ἦν λόγος ὁ τὸν λόγον προέμενος· ›ἦν γὰρ ὁ λόγος πρὸς τὸν θεόν‹. ›σοφία γεγέννηται‹
»ὁ κύριος· οὐκ ἦν οὖν σοφία ὁ τὴν σοφίαν ἀνείς· ›ἐγὼ γὰρ ἤμην, φησίν, ᾗ προσέχαι-
»ρεν‹. ἀλήθειά | ἐστιν ὁ Χριστός· ›εὐλογητὸς δέ‹, φησίν, ›ὁ θεὸς τῆς ἀληθείας‹.« ἐν- 2 B 261
ταῦθα καὶ Σαβέλλιον καὶ Ἄρειον ἀνατρέπει καὶ ἀμφοτέρας τὰς αἱρέσεις ἴσας ἐν ἀσεβείᾳ B
δείκνυσιν. οὔτε γὰρ λόγος ἐστὶν ὁ τοῦ λόγου πατὴρ οὔτε ποίημά ἐστι τὸ ἐκ τοῦ πατρός,
ἀλλὰ ἴδιον τῆς οὐσίας αὐτοῦ γέννημα, πάλιν τε οὐκ ἔστι πατὴρ ὁ προελθὼν λόγος οὐδὲ
πάλιν ἐκ πολλῶν εἷς ἐστιν οὗτος λόγος, ἀλλὰ μόνος ἐστὶ τοῦ πατρὸς υἱός, ἀληθινὸς καὶ
φύσει γνήσιος, ὁ καὶ νῦν ὢν ἐν αὐτῷ καὶ ἀιδίως καὶ ἀδιαιρέτως ὢν ἐξ αὐτοῦ. οὕτω 3
καὶ σοφία καὶ ἀλήθειά ἐστιν ὁ κύριος καὶ οὐκ ἔστιν ἄλλης σοφίας δεύτερος, ἀλλὰ μόνος
οὗτός ἐστι, δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατήρ. καὶ ἐν αὐτῷ συνεστήσατο τῶν γενητῶν
τὰς ποικίλας οὐσίας, δι' αὐτοῦ τε γνωρίζεται, οἷς ἂν ἐθέλῃ, καὶ ἐν αὐτῷ τὴν τῶν πάντων
πρόνοιαν ποιεῖται καὶ ἐργάζεται. μόνον γὰρ τοῦτον οἶδε τοῦ θεοῦ λόγον καὶ Διονύσιος. C
αὕτη τοῦ Διονυσίου ἡ πίστις· ὀλίγα γὰρ ἐκ τῶν ἐπιστολῶν αὐτοῦ συναγαγὼν ἔγραψα 4
δυνάμενα παρασχεῖν σοὶ μὲν ἀφορμὴν εἰς τὸ πλείονα προστιθέναι, τοῖς δὲ Ἀρειανοῖς
μεγίστην αἰσχύνην διὰ τὴν κατὰ τοῦ ἐπισκόπου συκοφαντίαν. ἐν πᾶσι γὰρ καὶ καθ'
ἕκαστον, δι' ὧν ἔγραψεν, ἤλεγξεν αὐτῶν τὴν κακοφροσύνην καὶ τὴν αἵρεσιν αὐτῶν
ἐστηλίτευσεν.

Οὐκοῦν ἀπὸ τούτων δείκνυται καὶ ἡ πρὸς Εὐφράνορα καὶ Ἀμμώνιον ἐπιστολὴ 26,1
οὐ φαύλῃ διανοίᾳ, ἀλλὰ κατ' οἰκονομίαν γραφεῖσα παρ' αὐτοῦ· τοῦτο γὰρ καὶ ἡ ἀπολο-
γία αὐτοῦ δείκνυσι. καὶ ἔστιν ἀληθῶς τύπος οὗτος πιθανὸς πρὸς ἀνατροπὴν τῆς Σαβελ-
λίου μανίας, ὥστε τὸν βουλόμενον ταχέως διελέγχειν τοὺς τοιούτους μὴ ἀπὸ τῶν σημαι-
νόντων τὴν θεότητα τοῦ λόγου ποιεῖσθαι τὴν ἀρχήν (ὅτι λόγος καὶ σοφία καὶ δύναμίς D
ἐστιν ὁ υἱός, καὶ ὅτι »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«, ἵνα μὴ τὰ καλῶς εἰρημένα παρεξηγούμενοι
ἐκεῖνοι πρόφασιν τῆς ἀναισχύντου φιλονεικίας ἑαυτῶν τὰ τοιαῦτα πορίσωνται ἀκούον-
τες, ὅτι »ἐγὼ | καὶ ὁ πατὴρ ἕν ἐσμεν«, καί· »ὁ ἐμὲ ἑωρακώς, ἑώρακε τὸν πατέρα«), ἀλλὰ M 520 A
τὰ ἀνθρωπίνως εἰρημένα περὶ τοῦ σωτῆρος προβάλλειν, ὥσπερ αὐτὸς πεποίηκεν, οἷά
ἐστι τὸ πεινῆν, τὸ κοπιᾶν καὶ ὅτι ἄμπελος καὶ ηὔχετο καὶ πέπονθεν. ὅσῳ γὰρ ταῦτα 2
ταπεινὰ λέγεται, τοσούτῳ δείκνυται μὴ ὁ πατὴρ γενόμενος ἄνθρωπος. ἀνάγκη γὰρ καὶ
ἀμπέλου λεγομένου τοῦ κυρίου εἶναι καὶ γεωργὸν καὶ εὐχομένου αὐτοῦ εἶναι τὸν ὑπακούον-
τα καὶ αἰτοῦντος αὐτοῦ εἶναι τὸν διδοῦντα. τὰ δὲ τοιαῦτα μᾶλλον εὐκολώτερον τὴν

---

1 Joh. 1, 1; I. Cor. 1, 30   2 Prov. 8, 30; I. Esra 4, 40   4 Athanasius wendet sich also nicht nur gegen die Arianer, d. h. die Origenisten, sondern auch durch die Berufung auf D. gegen die Sabellianer, sprich Marcell und Photin   10f. Ebenso Origenes de princ. I 2, 2 (30, 2ff.), vgl. Koetschau zur Stelle   11 Vgl. Mt. 11, 27   22 Vgl. I. Cor. 1, 30   23 Joh. 10, 30   25 Joh. 10, 30; 14, 9   27ff. Gegen Marcell-Photin. Ebenso wie hier Athanasius or. III c. Arianos 4. 36

BKPO RE WV a s   28 ἀνάγκη — 66, 4 θεοῦ = 𝔖53, Athanasiuskatene 53 (S. 17 Schwartz)

---

1 ἦν¹ + ὁ WV s | γεγένηται BRE   2 κύριος + ἀλλ' V | οὖν — ἀνείς] ἡ (> W) σοφία ἡ τὴν σοφίαν προεμένη WV | φησίν > WV   4 Ἄρειον] Ἀρειανὸν a | ἴσας ἐν ἀσεβείᾳ] εἰς ἀσέβειαν WV   5 γάρ + ὁ R*EWV   6 ἴδιον] ἀίδιον W | οὐδὲ — 7 λόγος > WV   7 μόνος > WV   8 ὢν > WV | ἀίδιος καὶ ἀδιαίρετος WV | ἐξ αὐτοῦ] σὺν αὐτῷ WV   9 δευτέρα V   11 ἂν] ἐὰν WV | ἐθέλοι a s | πάντων] παρόντων a   12 οἶδε τοῦτον τὸν ~ P   13 ἡ > W a s | ὀλίγα γὰρ] ὅτι γὰρ W ταῦτα V | αὐτοῦ ἐπιστολῶν ~ V   14 μὲν > WV   15/16 καὶ καθ' ἕκαστον > V καθ' ἑκάστην s   18 τούτων] τούτου V | Εὐφράνωρα WV | Ἀμμωνᾶν WV   19 οὐ (μὴ a s) φαύλῃ διανοίᾳ, ἀλλὰ WV a s διανοίᾳ ἄλλῃ BKPORE Comm. Montf.   20 οὗτος τύπος ~ WV   21/22 σημαινομένων V   23 υἱός] Χριστός WV | καὶ¹ > E   25 ὅτι > WV a s | ἑωρακὼς ἐμέ ~ BK   26 τὰ — ὥσπερ] ἀφ' ὧν ὡς ἄνθρωπος V > W   27 τὸ²] καὶ WV | καὶ² + ὅτι s | εὔχεται WV | ταῦτα + τὰ WV a s   28 τοσούτῳ] τόσῳ a | καὶ > WV a s 𝔖53   29 λεγομένου] γενομένου WV | εἶναι² + καὶ WV   29/30 ὑπακούοντα BKPORE 𝔖53 Comm. ἐπακούοντα WV a s Montf.   30 αὐτοῦ] αὐτὸν s | διδοῦντα BPOREW διδόντα KV a s 𝔖53 | μᾶλλον + καὶ WV

τῶν Σαβελλιανῶν μανίαν δείκνυσιν, ὅτι ἕτερος ὁ εὐχόμενος, ἕτερος ὁ ὑπακούων καὶ ἄλλος
3 ἡ ἄμπελος καὶ ἄλλος ὁ γεωργός. ὅσα γὰρ ὡς ἀποξενοῦντα τὸν υἱὸν ἀπὸ τοῦ πατρὸς
B λέγεται ῥητά, ταῦτα διὰ τὴν σάρκα, ἣν δι' ἡμᾶς ἐφόρεσε, λέγεται περὶ αὐτοῦ. ξένα γὰρ
B 262 τὰ γενητὰ κατὰ φύσιν ἐστὶ τοῦ θεοῦ. διὰ τοῦτο γοῦν ἐπειδὴ τῆς σαρκὸς | γενητῆς
οὔσης γέγονεν, ὡς ὁ Ἰωάννης φησίν, ὁ λόγος σάρξ, καίτοι κατὰ φύσιν ἴδιος καὶ ἀδιαίρετος
ὢν τοῦ πατρός, ὅμως δι' αὐτὴν λέγεται καὶ ὁ πατὴρ μακρὰν ἀπ' αὐτοῦ. τὰ γὰρ τῆς
σαρκὸς ἴδια αὐτὸς ἀνέχεται περὶ αὐτοῦ λέγεσθαι, ἵνα δειχθῇ ὅτι οὐκ ἄλλου ἀλλ' αὐτοῦ
4 ἦν ἴδιον τὸ σῶμα. τοιαύτης δὲ τῆς διανοίας οὔσης ταχύτερον ἐλεγχθήσεται Σαβέλ-
λιος, ὅτι μή ἐστιν ὁ πατὴρ ὁ γενόμενος σάρξ, ἀλλ' ὁ τούτου λόγος ὁ καὶ ταύτην λυτρού-
μενος καὶ προσάγων τῷ πατρί. οὕτω δὲ διελέγξας καὶ πείσας λοιπὸν καὶ περὶ τῆς τοῦ
λόγου θεότητος ἑτοιμότερον διδάξει, ὅτι ὁ λόγος καὶ σοφία, υἱὸς καὶ δύναμις, ἀπαύγασμα,
C χαρακτήρ. ἀνάγκη γὰρ καὶ ἐνταῦθα πάλιν νοεῖν, ὅτι τοῦ λόγου ὄντος εἶναι δεῖ καὶ τὸν
πατέρα τοῦ λόγου καὶ σοφίας οὔσης εἶναι καὶ τὸν ταύτης γονέα καὶ ἀπαυγάσματος ὄντος
εἶναι καὶ τὸ φῶς, καὶ οὕτως εἶναι τὸν υἱὸν καὶ τὸν πατέρα ἕν.
27, 1 Ταῦτα Διονύσιος εἰδὼς ἔγραψε καὶ ἐν ἐκείνοις μὲν Σαβέλλιον ἐφίμωσεν, ἐν τούτοις
δὲ τὴν ἀρειανὴν αἵρεσιν κατέστρεψε. καὶ γὰρ ὥσπερ ἀνατρέπει Σαβέλλιον τὰ ἀνθρώπινα
τοῦ σωτῆρος, οὕτω καὶ πρὸς τοὺς Ἀρειομανίτας οὐκ ἀπὸ τῶν ἀνθρωπίνων, ἀλλ' ἀπὸ
τῶν σημαινόντων τὴν θεότητα τοῦ λόγου ποιεῖσθαι χρὴ τοὺς κατ' αὐτῶν ἐλέγχους, ἵνα
μὴ καὶ οὗτοι τὰ διὰ τὸ σῶμα λεχθέντα περὶ τοῦ κυρίου παρεξηγούμενοι νομίσωσι τοιοῦτον
εἶναι τὸν λόγον, οἷοί ἐσμεν ἡμεῖς οἱ ἄνθρωποι, καὶ λοιπὸν ἐπιμείνωσι τῇ ἑαυτῶν μανίᾳ.
2 ἂν δὲ διδαχθῶσιν καὶ οὗτοι περὶ τῆς θεότητος, καταγνώσονται μὲν τῆς ἑαυτῶν κακονοίας,
M 521 A εὐκολώτερον δὲ μαθόντες, ὅτι ὁ λόγος | σὰρξ ἐγένετο, διακρινοῦσι λοιπὸν καὶ οὗτοι
3 τὰ ἀνθρώπινα καὶ τὰ τῇ θεότητι ἁρμόζοντα. τούτων δὲ οὕτως ἐχόντων καὶ Διονυσίου
τοῦ ἐπισκόπου δειχθέντος ἐξ ὧν ἔγραψεν εὐσεβοῦς, τί ποιήσουσι λοιπὸν οἱ Ἀρειομανῖται;
τίνος ἄρα πάλιν ἐλεγχθέντες ἀπὸ τούτων καταψεύσονται; ἀνάγκη γὰρ αὐτοὺς ἐκπεσόν-
τας ἀπὸ τοῦ θεμελίου τῶν ἀποστόλων καὶ εὐσάλευτον ἔχοντας τὴν διάνοιαν ζητεῖν
4 ἔρεισμα καὶ μὴ εὑρίσκοντας καταψεύδεσθαι λοιπὸν τῶν πατέρων. ἀλλ' οὐδεὶς αὐτοῖς
ἔτι πιστεύσει, κἂν βιάσωνται συκοφαντεῖν. κατεγνώσθη γὰρ ἡ αἵρεσις παρὰ πᾶσιν, εἰ
μὴ ἄρα περὶ τοῦ διαβόλου λοιπὸν φθέγξονται· αὐτὸς γὰρ μόνος ἐστὶν αὐτοῖς σύμφωνος,
μᾶλλον δὲ αὐτός ἐστιν αὐτοῖς ὁ καὶ τὴν αἵρεσιν ὑποβάλλων. τίς οὖν ἔτι τούτους, ὧν ὁ

5 Vgl. Joh. 1, 14. Vgl. oben Dionys S. 57, 14; 58, 16

BKPO RE WV a s

1 τοῦ Σαβελλίου WV | εὐχόμενος + καὶ WV a | ὑπακούων BKPORE $\mathfrak{S}$53 Comm. ἐπακούων WV a s Montf. 2 ἄλλος] ἕτερος WV a s | ὡς > a s 3 ῥητά] ῥήματα a s $\mathfrak{S}$53 | διὰ τὴν — ἐφόρεσε] δι' ἣν (διὰ τὴν ἣν V) δι' ἡμᾶς ἐφόρεσε σάρκα WV 4 ἐστὶ > K | ἐπειδὴ] ἐπὶ WV 5 γέγονεν] λέγομεν V | σάρξ + ἐγένετο WV | καίτοι + δὲ V | nach ἴδιος Rasur von ca. 5 Buchst. E 6 δι' αὐτὴν] διὰ ταύτην WV | αὐτοῦ + καὶ αὐτὸς ποσῶς (ὡς a) μακράν ἀπ' αὐτοῦ WV a 7 ἴδια + ὁ W, + καὶ V 8 ἴδιον ἦν ~ K | τοσαύτης W | διελεγχθήσεται WV 9 τούτου + τοῦ s | λόγου s 9/10 λυτρωσάμενος V 10 προσαγαγὼν WV 11 διδάξεις W | ὁ BKPOREW Comm. > V a s Montf. | σοφία + ὁ WV | καὶ[2] > WV | ἀπαύγασμα + καὶ K Comm. Montf. 12 ἐνταῦθα] ταῦτα BK 13 εἶναι καὶ > WV 14/15 ἕν. Ταῦτα] ἐνταῦθα W 15 ἔγραψεν εἰδὼς ~ WV 16 ἀρειανικὴν a s | Σαβέλλιος V 17 πρὸς > W 18 τοῦ λόγου > WV 19 οὗτοι] οὕτω WV | περὶ > K 20 ἐσμεν + καὶ WV | ἐπιμένωσι BKPO 21 ἂν] ἐὰν WV | δὲ + καὶ BKPO | καὶ > BK 22 διακρίνουσι BKORE | οὗτοι] αὐτοὶ WV a s 23 ἐχόντων] ὄντων s 24 ἐξ ὧν ἔγραψε δειχθέντος ~ WV | οἱ Ἀρειομανῖται λοιπόν ~ a 25 ἄρα] ἅμα V | ἀπὸ τούτων > V | καταψεύσονται ἀπὸ τούτου ~ W 26 καὶ εὐσάλευτον ἔχοντας τὴν διάνοιαν > s 27 αὐτοῖς] αὐτούς s 28 ἔτι] ἐστι a | πᾶσιν] πάντων a s 29 σύμφωνος — 30 αἵρεσιν > E 30 αὐτοῖς ἐστι ~ WV s | ὁ καὶ τὴν αἵρεσιν αὐτοῖς ~ V a | ἔτι τούτους nach 67, 1 καθηγεμών ~ WV

διάβολός ἐστι καθηγεμών, Χριστιανοὺς ὀνομάσειε καὶ μὴ μᾶλλον διαβολικούς; ἵνα μὴ μόνον χριστομάχοι ἀλλὰ καὶ διαβολικοὶ καλῶνται, εἰ μὴ ἄρα μεταβάλωνται καὶ ἣν μὲν ἐπενόησαν ἀσέβειαν ἀρνήσωνται, τὴν δὲ ἀλήθειαν ἐπιγνῶσι. τοῦτο γὰρ αὐτοὺς μὲν ὠφελήσει, ἡμᾶς δὲ πρέπει περὶ πάντων τῶν πεπλανημένων οὕτως εὔχεσθαι. B

BKPO RE WV a s

2 καλοῦνται W | ἄρα > V | μεταβάλλωνται OW μεταβάλλονται V | ἣν] τὴν RE 3 ἀρνήσωνται s ἀρνήσονται BKPOREWV a 4 πρέπει] ποιήσει E | πεπλανημένων BKPO πλανωμένων REWV a s | οὕτως > WV

Τοῦ αὐτοῦ περὶ τῶν διαβαλλόντων τὴν ἐν τῷ διωγμῷ φυγὴν αὐτοῦ.

1,1 Ἀκούω Λεόντιον τὸν νῦν ἐν Ἀντιοχείᾳ καὶ Νάρκισσον τὸν ἀπὸ τῆς πόλεως Νέ-
B320 M644A M645A ρωνος καὶ Γεώργιον | τὸν νῦν ἐν Λαοδικείᾳ καὶ τοὺς σὺν αὐτοῖς Ἀρειανοὺς πολλὰ περὶ
ἐμοῦ θρυλοῦντας καὶ λοιδοροῦντας δειλίαν τε ἐγκαλοῦντας, ὅτι δὴ ζητούμενος ἀναιρε-
2 θῆναι παρ᾽ αὐτῶν οὐκ ἔκδοτον ἐμαυτὸν αὐτοῖς προσήγαγον. πρὸς μὲν οὖν τὰς λοιδο-
ρίας καὶ τὰς συκοφαντίας αὐτῶν καίτοι δυνάμενος πολλὰ γράφειν ἃ μήτ᾽ αὐτοὶ ἀρνεῖσθαι
δύνανται ἀλλὰ καὶ πάντες ἐπιγινώσκουσιν οἱ κατ᾽ αὐτῶν ἀκούοντες, ὅμως οὐδὲν προαχ-
θήσομαι λέγειν πρὸς αὐτοὺς ἢ μόνον τὸ τοῦ κυρίου ῥῆμα καὶ τὸ τοῦ ἀποστόλου ῥητὸν
ὅτι »τὸ μὲν ψεῦδος ἐκ τοῦ διαβόλου ἐστίν«, οὔτε δὲ »λοίδοροι βασιλείαν θεοῦ κλη-
3 ρονομήσουσιν«. ἀρκεῖ γὰρ αὐτοὺς ἐκ τούτων δειχθῆναι μηδὲν κατὰ τὸ εὐαγγέλιον
μήτε φρονοῦντας μήτε πράττοντας, κατὰ δὲ τὰς ἰδίας ἡδονὰς οἰομένους εἶναι καλόν, ὅπερ
B αὐτοὶ βούλονται.
2,1 Ἐπειδὴ δὲ προσποιοῦνται δειλίαν ἐγκαλεῖν, ἀναγκαῖον ὀλίγα περὶ τούτου γράψαι.

Die Schrift muß im Sommer 357, bald nach den in c. 6. 7 berichteten Ereignissen verfaßt sein. Leontius scheint noch am Leben zu sein, wenngleich wegen Athanasius, hist. Arian. 4 (Migne 25, 700 A) ὁ νῦν ἐν Ἀντιοχείᾳ nicht unbedingt der Tod des Leontius ausgeschlossen ist. Denn die hist. Arian. ist sicher erst nach dem Tode des L. geschrieben. Andrerseits ist Ossius' Unterschrift in Sirmium c. 5 erwähnt, die des Liberius aber nicht. Ossius hat die Unterschrift im Sommer 357 zu Sirmium geleistet. Die Gegenwart des Constantius ist nicht bezeugt, also darf das Datum nicht nach dem Itinerar des Kaisers festgelegt werden. Auch nützt es gar nichts, mit DN die Nachricht über den Umfall des Ossius S. 71, 15 ff. zu tilgen, um dann wegen des Todesdatums des Leontius, das ja Sokrates II 37, 7 zufolge nicht am Ende des Jahres liegen kann, aller Schwierigkeiten enthoben zu sein. Durch die Auslassung verliert die Stelle ihre Schärfe. Terminus post sind die Ereignisse in c. 6. 7, also frühestens Juni/Juli 357. Vgl. die sorgfältige Untersuchung von Gummerus, die homöusanische Partei S. 53 f. und früher: Tillemont VIII 702. Der Ausdruck Λεόντιος ὁ νῦν ἐν Ἀ. hat eine ironische Bedeutung, und Athanasius will damit andeuten, daß L. nur kaiserlicher Bischof war. Den eigentlichen Anlaß der Schrift kann man aus der Nennung des Leontius, Narciss und Georg entnehmen. Eine antiochenische Synode hatte nach Sozomenos h. e. IV 8, 4 Georg ordiniert; diese Synode kann erst 356 stattgefunden haben. Nach der Flucht des Athanasius, vgl. c. 24, hatte man unter dem Vorwand, Athanasius habe seine Gemeinde aus Feigheit im Stich gelassen, ihm einen Nachfolger bestellt. Wahrscheinlich erließ die Synode ein Schreiben, an dessen Spitze die drei Bischöfe standen. Vgl. die Anspielungen S. 68, 3; 69, 18 f.; 75, 8. Die Schrift ist eine der berühmtesten des Athanasius, sie ist wohl nicht an bestimmte Kreise Ägyptens, sondern an die ganze Kirche gerichtet. Athanasius schrieb sie aus dem Versteck 9 Vgl. Joh. 8, 44; I. Cor. 6, 10

BKPO REFV DNW p

1 a. Rd. ν̅ζ̅ B μ̅η̅ K η̅ P λ̅η̅ R ι̅ϛ̅ E* ι̅ζ̅ E^{c}V ε̅ D | αὐτοῦ] ἐν ἁγίοις Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας B μεγάλου Ἀθανασίου p | αὐτοῦ + Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας D, + ἀπολογία NW | περὶ τῶν διαβαλλόντων — αὐτοῦ BKPOREFV περὶ τῆς ἀναχωρήσεως (φυγῆς αὐτοῦ N) ἡνίκα ἐδιώχθη (ἐδιώκετο N) ἀπὸ Συριανοῦ (Σευηριανοῦ τοῦ W) δουκός DNW vgl. S. 84, 11 περὶ τῶν διαβαλλόντων τὴν ἐν τῷ διωγμῷ φυγὴν αὐτοῦ λόγος ἀπολογητικὸς πρῶτος ἐν ᾧ καὶ ἀπόδειξις ἔνθεος, ὅτι ἑκάστῳ παρὰ τοῦ θεοῦ ὅρος ἀφώρισται τῆς ἐπικήρου ζωῆς p vgl. S. 78, 1 ff.; Titel: ἐν τῷ ἀπολογητικῷ περὶ τῆς φυγῆς Sokrates, ἐν τῇ περὶ τῆς οἰκείας φυγῆς ἀπολογίᾳ Theodoret 2 Νάρκισον Pp | Νάρκισσον + καὶ DNW 4 λοιδοροῦντας] ληρωδοῦντας V | δὴ > DNW 5/6 λοιδορίας + αὐτῶν N 6 τὰς > BV | αὐτῶν > N | πολλὰ] αὐτοῖς p | ἃ μήτ᾽ αὐτοὶ] ἂν μήτ᾽ αὐτὸν D | ἀρνήσασθαι DNW 7 κατ᾽ αὐτῶν] τὰ κατ᾽ αὐτοὺς p | οἱ κατ᾽ αὐτῶν ἀκούοντες > N 9 ἐστίν + καὶ N | θεοῦ + οὐ BKO 10 ἀρκεῖ] ἤρκει D | τούτων] τούτου BK 11 εἶναι καλόν, ὅπερ] ὅπερ ἂν DNW 12 βούλωνται DW βούληνται N 13 ἐγκαλεῖν, ἀναγκαῖον > D

δειχθήσονται γὰρ καὶ ἐκ τούτου πονηροί τε τὸν τρόπον καὶ μὴ ἐντετυχηκότες ταῖς θείαις
γραφαῖς, ἢ ἐντυχόντες μὲν μὴ πιστεύοντες δὲ εἶναι θεόπνευστα τὰ λόγια τὰ ἐν αὐταῖς.
εἰ γὰρ ἐπίστευον, οὐκ ἂν παρὰ μὲν ταύτας ἐτόλμων, τὴν δὲ κακοήθειαν τῶν κυριοκτόνων
Ἰουδαίων ἐζήλουν. καὶ γὰρ τοῦ θεοῦ δεδωκότος ἐντολὴν »τίμα τὸν πατέρα σου καὶ 2
τὴν μητέρα σου« καὶ »ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω« ἀντενομο-
θέτουν κἀκεῖνοι τὴν τιμὴν εἰς ἀτιμίαν μεταφέροντες καὶ ἀργυρίου τὸ πρὸς τοὺς γονέας
καθῆκον παρὰ τῶν τέκνων ἀντικαταλλάσσοντες· καὶ ἀναγινώσκοντες δὲ τὰς τοῦ Δαυὶδ C
πράξεις ἀντεμελέτων αὐταῖς καὶ ᾐτιῶντο τοὺς ἀναιτίους τίλλοντας στάχυας καὶ ψώ-
χοντας ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου. ἔμελε δὲ αὐτοῖς οὔτε τῶν νόμων οὔτε διὰ τὸ 3
σάββατον, ἐν αὐτῷ γὰρ μᾶλλον παρηνόμουν· ἀλλ' ὅτι τὸν τρόπον ὄντες πονηροὶ | τοῖς B 321
τε μαθηταῖς ἐφθόνουν σῳζομένοις καὶ μόνον ἠβούλοντο τὰ τῆς ἰδίας γνώμης κρατεῖν.
ἐκεῖνοι μὲν οὖν τῆς ἰδίας παρανομίας ἔχουσι τὰ ἐπίχειρα, ἀνίεροι γενόμενοι καὶ λοιπὸν 4
»ἄρχοντες Σοδόμων καὶ λαὸς Γομόρρας« χρηματίζοντες. καὶ οὗτοι δὲ οὐδὲν ἧττον ἐκείνων
δοκοῦσίν μοι τὴν ἐπιτιμίαν ἔχειν, ἤδη τὴν τῆς ἰδίας ἀλογίας ἄγνοιαν. οὔτε γὰρ »νοοῦσιν
ἃ λέγουσιν«, ἀλλὰ καὶ νομίζουσιν εἰδέναι ἅπερ ἀγνοοῦσι· μόνη δὲ γνῶσις ἐν αὐτοῖς
ἐστι τοῦ κακοποιεῖν, καὶ καθ' ἡμέραν χείρονα χείροσιν ἐφευρίσκειν. καὶ γὰρ καὶ τὴν 5
νῦν φυγὴν ἡμῶν, οὐκ ἐπ' ἀρετῇ θέλοντες ἡμᾶς ἀνδραγαθήσασθαι, | διαβάλλουσι· πόθεν M 648 A
γὰρ εὐχὴ τοιαύτη παρ' ἐχθροῖς ὑπὲρ τῶν μὴ συντρεχόντων αὐτοῖς ἐν τῇ κακοφρο-
σύνῃ; ἀλλὰ κακοήθεις ὄντες σχηματίζονται τοιαῦτα περιβομβεῖν νομίζοντες εὐήθεις ὄντες
ἀληθῶς αὐτοί, ὡς ἄρα δέει τῆς παρ' αὐτῶν λοιδορίας προσάξομεν ἑαυτούς ποτε αὐτοῖς.
θέλουσι γὰρ καὶ διὰ τοῦτο πάντα περιτρέχουσι· καὶ ὑποκρίνονται μὲν ὡς φίλοι, ἐρευνῶσι 6
δὲ ὡς ἐχθροί, ἵνα αἱμάτων ἐμφορηθέντες ἐκποδὼν ποιήσωσι καὶ ἡμᾶς, ὅτι κατὰ τῆς
ἀσεβείας αὐτῶν ἐφρονήσαμεν ἀεὶ καὶ φρονοῦμεν καὶ τὴν αἵρεσιν αὐτῶν ἐλέγχοντες
στηλιτεύομεν.

Τίνα γάρ ποτε διώκοντες καὶ καταλαβόντες οὐχ ὕβρισαν ὡς ἠθέλησαν; τίνα ζη- 3, 1
τοῦντες καὶ εὑρόντες οὐχ οὕτω διέθηκαν, ὡς ἢ τελευτῆσαι κακῶς ἢ λωβηθῆναι παντα- B
χόθεν; ἃ γὰρ οἱ δικασταὶ δοκοῦσι ποιεῖν, ταῦτ' ἐκείνων ἐστὶν ἐνεργήματα· καὶ μᾶλλον
οὗτοι τῆς ἐκείνων προαιρέσεως καὶ πονηρίας εἰσὶν ὑπηρέται. ποῖος τοίνυν τόπος 2
οὐκ ἔχει τῆς κακίας αὐτῶν ὑπόμνημα; τίνα φρονοῦντα κατ' αὐτῶν οὐ συνεσκευάσαντο
πλασάμενοι προφάσεις κατὰ τὴν Ἰεζάβελ; ποία ἐκκλησία νῦν οὐ θρηνεῖ διὰ τὰς ἐκείνων

---

4 f. Mt. 15, 4 8 Vgl. Lc. 6, 1 13 Jes. 1, 10 14 I. Tim. 1, 7 18 Vgl. I. Petr. 4, 4, s. unten S. 86, 13 27 Vgl. Athan., apol. ad Const. 33 (Migne 25, 640 B) 30 Zu Isebel vgl. Geschichte von Naboth III. Reg. 20 30 ff. Die Liste der Opfer findet sich auch Athan., hist. Arian. 5 ff. Die Stelle hier ist älter als jene

---

BKPO REFV DNW p (ab 17 πόθεν — 74, 13 fehlt p) 25 τίνα — 70, 12 = Theodoret (= Thdt.) hist. eccl. II 15, 7—9 (129, 23—130, 20 Parmentier)

---

1 τε > DN | μὴ] μήτε DNW 2 τὰ[1] + θεῖα N | ἐν] παρ' P 5 σου > KDNW 6 κἀκεῖνοι] ἐκεῖνοι FN 7 δὲ > FN 8 ἀντεμελέταν R | αὐταῖς] αὐτοὶ V*DNW αὐταῖς V[c] | ἀναιτίως V | τίλλοντες N vgl. Z. 8/9 8/9 ψώχοντες N 9 ἔμελλε PR*EFVNW | δὲ] γὰρ N | οὔτε[1]] οὐ περὶ D | τῶν νόμων] τοῦ νόμου DNW | οὔτε[2]] οὐδὲ D 10 παρηνόμουν μᾶλλον ~ K 11 τὰ E[c] τὰς E* > B 13 Γομόρας PFW* | οὗτοι DNW αὐτοὶ rel. 14 μοι DNW οἱ BKPOR*E > R[c]FVp | 15 δὲ + ἡ N 16 καὶ[1] > W 17 θέλοντας VNp | ἀνδραγαθεῖσθαι N ἀνδραγαθήσεσθαι p 19 σχηματίζονται — ὄντες > B | νομίζοντες — 21 θέλουσι γὰρ > N 20 παρ' > F* eingetr. von 1. Hd. | ἑαυτοὺς] ἑαυτὸν D 23 καὶ ἀεὶ ~ V 23/24 στηλιτεύοντες ἐλέγχομεν W 25 καταλαμβάνοντες DNW 26 εὑρίσκοντες DNW | διέθηκαν + καὶ μᾶλλον EV 27 δικασταὶ] δίκαιοι EV | ταῦτ'] κατ' B καὶ ταῦτα Thdt. (AN) | ἐστὶν] εἰσὶν NW | μᾶλλον > EV 29 ὑπομνήματα N | τίνα — 30 Ἰεζάβελ > N 30 νῦν ἐκκλησία ~ DW Thdt. οὖν ἐκκλησία N

3 κατὰ τῶν ἐπισκόπων αὐτῶν ἐπιβουλάς; Ἀντιόχεια μὲν δι' Εὐστάθιον τὸν ὁμο-
λογητὴν καὶ ὀρθόδοξον, Βαλανέαι δὲ δι' Εὐφρατίωνα τὸν θαυμασιώτατον, καὶ Πάλτος
μὲν καὶ Ἀντάραδος διὰ Κυμάτιον καὶ Καρτέριον, ἡ δὲ Ἀδριανούπολις δι' Εὐτρόπιον
C τὸν φιλόχριστον καὶ τὸν μετ' αὐτὸν Λούκιον τὸν πολλάκις παρ' αὐτῶν καὶ ἁλύσεις
φορέσαντα καὶ οὕτως ἀποθανόντα, καὶ Ἄγκυρα μὲν διὰ Μάρκελλον, Βέρροια δὲ διὰ
4 Κῦρον | καὶ Γάζα δι' Ἀσκληπᾶν. τούτους μὲν γὰρ πολλὰ πρότερον ὑβρίσαντες
ἐξορισθῆναι πεποιήκασιν οἱ δόλιοι. Θεόδουλον δὲ καὶ Ὀλύμπιον ἀπὸ τῆς Θρᾴκης
B 322 ἐπισκόπους καὶ ἡμᾶς καὶ πρεσβυτέρους ἡμετέρους οὕτως | ἐποίησαν ζητηθῆναι, ὥστε,
εἰ εὑρεθείημεν, κεφαλῆς ὑποστῆναι τιμωρίαν. καὶ τάχα ἂν ἀπεθάνομεν οὕτως, εἰ μὴ
5 παρὰ γνώμην αὐτῶν ἐφύγομεν καὶ τότε. τοιαῦτα γάρ ἐστι τὰ μὲν κατὰ τῶν περὶ
Ὀλύμπιον πρὸς τὸν ἀνθύπατον Δονάτον, τὰ δὲ καθ' ἡμῶν πρὸς Φιλάγριον δοθέντα
6 γράμματα. ⌜τὸν γὰρ τῆς Κωνσταντινουπόλεως ἐπίσκοπον Παῦλον διώξαντες καὶ
εὑρόντες προφανῶς ἀποπνιγῆναι πεποιήκασιν ἐν τῇ λεγομένῃ Κουκουσῷ τῆς Καππα-
M 649 A δοκίας δήμιον ἐσχηκότες | εἰς τοῦτο Φίλιππον τὸν γενόμενον ἔπαρχον· ἦν γὰρ καὶ
τῆς αἱρέσεως αὐτῶν προστάτης καὶ τῶν πονηρῶν βουλευμάτων ὑπηρέτης.⌝
4, 1 Ἆρ' οὖν διὰ τὰ τοσαῦτα κόρον ἔχουσι καὶ λοιπὸν ἠρέμησαν; οὐδαμῶς. οὔτε
γὰρ ἐπαύσαντο, ἀλλὰ κατὰ τὴν ἐν ταῖς Παροιμίαις βδέλλαν μᾶλλον νεανιεύονται τοῖς
κακοῖς ἐπιφυόμενοι κατὰ τῶν μεγάλων παροικιῶν. οἷα γὰρ καὶ τανῦν ἔδρασαν, τίς ἂν
2 ἀξίως ἐξείποι; ⌜τίς τοσοῦτον δύναται μνημονεῦσαι, ὅσον ἐκεῖνοι πεποιήκασιν; ἄρτι
γὰρ εἰρήνην ἐχουσῶν τῶν ἐκκλησιῶν καὶ τῶν λαῶν εὐχομένων ἐν ταῖς συνάξεσιν, ὁ μὲν

---

1 Eustathius wurde etwa 326 abgesetzt; vgl. Athan., hist. Arian. 4 und Schwartz, Nachr. d. Gött. Ges. 1911 S. 396 ff. 2 Euphration wurde zur gleichen Zeit entfernt, vgl. Athan., hist. Arian. 5 (Migne 25, 700 B) und Urk. 3 (III 4) 3 Kymatius wie Z. 1, hist. Arian. 5 (Migne 25, 700 B) 3 Karterius wie Z. 1, er steckt in dem ἕτερος Κυμάτιος hist. Arian. 5 3 Eutropius wurde auf Betreiben der Basilina, der Mutter Julians, vertrieben, s. hist. Arian. 5 (Migne 25, 700 B); vgl. Schwartz NGG 1911 S. 396 4 Lucius wurde nach Serdica abgesetzt, vgl. hist. Arian. 19 (Migne 25, 713 C) 5 Zu Marcell vgl. hist. Arian. 6 6 Kyros vgl. hist. Arian. 5 (Migne 25, 700 B) wegen Sabellianismus nach Sokr. h. e. I 24, 3 | Asklepas, 326 verurteilt nach dem Schreiben der orientalischen Synode von Serdica bei Hilarius fragm. A IV 1, 11 (CSEL 65, 56, 19), vgl. Athan., apol. sec. 47 (Migne 25, 332 C) und Schwartz NGG 1911 S. 406 7 Theodul, nähere Umstände s. hist. Arian. 19 und Schreiben der abendländischen Synode in Serdica; Athan., apol. sec. 45 (Migne 25, 328 B) und Komm. zur Stelle 7 Olympius, vgl. hist. Arian. 19 (Migne 25, 713 C), abgesetzt vor Serdica durch Constantius 10 τότε: Athanasius spielt auf die Vorfälle im Jahre 339 unter Philagrius an (Z. 11), vgl. Schwartz NGG 1911 S. 486 ff. 11 Donatus ist sonst unbekannt, daher läßt sich die Zeit nicht bestimmen 12 Paulus: vgl. hist. Arian. 7. Ein Philippus war Praefectus praetorio orientis 348—349 s. Seeck, Regesten, vgl. Schwartz NGG 1911 S. 477 f. und Zeitschr. f. neut. Wiss. 34 (1935) 149. Paulus wird hier von Athanasius zum ersten Male erwähnt 17 Prov. 30, 15, ebenso hist. Arian. 65 (Migne 25, 769 C) 20 ff. Gemeint sind die Vorgänge von 353 an

---

BKPO REFV DNW Thdt. 12 τὸν γὰρ — 15 ὑπηρέτης = Theodoret hist. eccl. II 5, 4 (99, 17 — 100, 2) 19 τίς τοσοῦτον — 71, 14 ἐπιβουλαῖς = Theodoret hist. eccl. II 15, 4. 5 (128, 24—129, 18)

---

1 κατὰ τῶν ἐπισκόπων > DNW Thdt. | αὐτῶν > EV | μὲν] δὲ E 2 Βαλαναία D Βαλανέα N Βαλανεῖαι W | Εὐφρατέωνα E Εὐφραντίωνα D | τὸν θαυμασιώτατον > DNW Thdt. | Πάλτος] Βόλτος DN Πόλτος Thdt. (T) Πόντος Thdt. (A r L v) Βόρτος W 3 Ἀντάρραδος V | Κυμάτιον] Κυντιανὸν Thdt. (außer T) | Ἀνδριανούπολις DN 5 καὶ οὕτως ἀποθανόντα doppelt P | Βέροια REFDW* Thdt. (außer T) 6 Γάζα + δὲ W | μὲν > VN Thdt. | ὑβρίσαντες + καὶ Thdt. (außer T) 8 ἐπισκόπους] ὄντας DNW Thdt. | ὥστε] ὡς Thdt. 10 παρὰ γνώμην] παραγενομένην D | ἐφύγομεν] ἐκφύγομεν D > P | τῶν] τὸν P*N Thdt. (GL v n T) 11 Δωνάτον R*EDN 12 ἐπίσκοπον Παῦλον] Παῦλον τὸν ἐπίσκοπον DNW Thdt. 13 προφανῶς > K 14 εἰς τοῦτο > P | ὕπαρχον W 16 τὰ > O* nachgetr. O^c | κόρον] κόπον N | οὔτε] οὐδὲ N 17 ταῖς > KFN 18 κατὰ τῶν μεγάλων παροικιῶν > NW | παροικιῶν] παροιμιῶν DW | ἂν > W 19 εἴποι N | τοσούτων W | δύναται] δυνατὸς DN | ὅσων W

ἐπίσκοπος τῆς Ῥώμης Λιβέριος καὶ Παυλῖνος ὁ τῆς μητροπόλεως τῶν Γαλλιῶν καὶ Διο-
νύσιος ὁ τῆς μητροπόλεως τῆς Ἰταλίας καὶ Λουκίφερ ὁ τῆς μητροπόλεως τῶν κατὰ
Σερδινίαν νήσων καὶ Εὐσέβιος ἀπὸ τῆς Ἰταλίας, οἱ πάντες ἐπίσκοποι ἀγαθοὶ καὶ τῆς B
ἀληθείας κήρυκες, ἁρπάζονται καὶ ἐξορίζονται πρόφασιν οὐδεμίαν ἔχοντες ἢ ὅτι μὴ
συνέθεντο τῇ ἀρειανῇ αἱρέσει μηδὲ ὑπέγραψαν αὐτοῖς καθ' ἡμῶν, ἐν αἷς ἐπλάσαντο
διαβολαῖς καὶ συκοφαντίαις.

Περὶ γὰρ τοῦ μεγάλου καὶ εὐγηροτάτου καὶ ὁμολογητοῦ ἀληθῶς Ὁσίου περιττόν 5,1
ἐστιν ἐμὲ καὶ λέγειν· ἴσως γὰρ ἐγνώσθη πᾶσιν ὅτι καὶ τοῦτον ἐξορισθῆναι πεποιήκασιν.
οὐ γὰρ ἄσημος, ἀλλὰ καὶ πάντων μάλιστα καὶ μᾶλλον ἐπιφανὴς ὁ γέρων. ποίας 2
γὰρ οὐ καθηγήσατο συνόδου; καὶ λέγων ὀρθῶς οὐ πάντας ἔπεισε; ποία τις ἐκκλησία
τῆς τούτου προστασίας οὐκ ἔχει μνημεῖα τὰ κάλλιστα; τίς λυπούμενός ποτε προσῆλθεν
αὐτῷ καὶ οὐ χαίρων ἀπῆλθε παρ' αὐτοῦ; τίς ᾔτησε δεόμενος καὶ οὐκ ἀνεχώρησε τυχὼν C
ὧν ἠθέλησε; καὶ ὅμως καὶ κατὰ τούτου τετολμήκασιν, ὅτι καὶ αὐτὸς εἰδὼς ἃς ποιοῦσι
διὰ τὴν ἀσέβειαν ἑαυτῶν συκοφαντίας οὐχ ὑπέγραψε ταῖς καθ' ἡμῶν ἐπιβουλαῖς. εἰ 3
γὰρ καὶ ὕστερον διὰ τὰς πολλὰς ὑπὲρ μέτρον ἐπιφερομένας αὐτῷ πληγὰς καὶ συσκευὰς
κατὰ τῶν συγγενῶν αὐτοῦ εἶξεν αὐτοῖς πρὸς ὥραν ὡς γέρων καὶ ἀσθενὴς τῷ σώματι, B 323
ὅμως τούτων ἡ πονηρία καὶ ἐκ τούτων δείκνυται σπουδασάντων πανταχόθεν ἑαυτοὺς
δεῖξαι μὴ εἶναι Χριστιανοὺς ἀληθῶς. M 652 A

Ἐκεῖθεν γὰρ καὶ εἰς τὴν Ἀλεξάνδρειαν πάλιν ἐπεφύησαν ζητοῦντες πάλιν ἡμᾶς 6,1

1 Liberius (vgl. Athanasius, hist. Arian. 39—41; Theodoret h. e. II 16; Caspar, Papsttum I 173 ff.) wurde 355 nach Beroea in Thrakien verbannt. Athanasius weiß hier noch nichts von seinem Umfall (jedoch hist. arian. 41 u. apologia sec. 89); schon das spricht dafür, daß de fuga früher zu datieren ist als hist. Arian. 1 Paulin v. Trier wurde in Arles 353 abgesetzt, vgl. Hilarius fragm. B I 6 (CSEL 65, 102, 10), Sulpicius Sev. II 39, 3 (CSEL 1, 92, 17) 1/2 Dionys v. Mailand in Mailand 355 abgesetzt, vgl. Sulpicius Severus II 39, 4—6 (CSEL 1, 92, 20 ff.) 2 Lucifer v. Calaris, ebenda abgesetzt, vgl. hist. Arian. 33 (Migne 25, 732 B); apologia ad Const. 27 (Migne 25, 629 A); Sulpicius Sev. II 39, 4 (CSEL 1, 92, 19) 3 Euseb v. Vercelli, ebenso, vgl. apol. ad Const. 27 (Migne 25, 629 A), Sulp. Sev. a. a. O., Hilarius, Liber I. ad Const. Textus narr. 3 (CSEL 65, 186, 21 ff.) 7 ff. Über Ossius, seine Verbannung und Unterschrift unter die zweite sirmische Formel 357 vgl. Athan., apol. sec. 89 (Migne 25, 409 A/B), hist. Arian. 45; Hilarius, de synodis 87 (Migne PL 10, 539 B); Sulp. Sev. II 40, 5 (CSEL 1, 94, 1 ff.) und Turner, Monumenta 1, 541b; eine andere, keineswegs weniger zutreffende Darstellung geben die Luciferianer Marcellinus und Faustinus in ihrer Bittschrift an Theodosius u. Arcadius vom Jahre 383/4: Collect. Avellana II 32 ff. (CSEL 35, 14, 30 ff.). Caspar, Papsttum I 181 f. 10 O. leitete die Synoden in Elvira (305), Antiochien (325) und Serdica (342) 14 O. verweigerte zuerst die Unterschrift gegen Athanasius, vgl. hist. Arian. 45 16 Zum Datum der Unterschrift s. oben S. 68, 1

BKPO REFV DNW bis 14: Thdt. 19—73, 15 ἀλήθειαν = Sokrates (= Sokr.) hist. eccl. II 28, 3—14 (270, 9 — 273, 13 Hussey)

1 ἐπίσκοπος + ὁ D | τῶν > B 2 Ἰταλίας μητροπόλεως P, ohne τῆς = Thdt. (r T) 3 Σερδινίαν BKPORE Σαρδινίαν F Σαρδηνίαν W Thdt. (r F) Σαρδανίαν V Thdt. (AB[2]LV) Σαρδανίων N Thdt. (T), Σαρδιανισσῶν für Σ. νήσων D | Εὐσέβιος + ὁ BPN | οἱ > N 4 πρόφασιν — 5 αἱρέσει] ὡς φασιν οὐδεμίαν ἔχοντες πρόφασιν D | μὴ] οὐ N 5 ὑπέγραψαν + σὺν VW | αὐτοῖς] αὐτὰ D | ἐπλάσαντο] ἔπραξαν Thdt. (A n T) ἔγραψαν Thdt. (z) ὑπέγραψαν Thdt. (s) 6 διαβολαῖς καὶ > DNW Thdt. 7 περὶ + μὲν DN 8 καὶ[1] > B* Thdt. (r z), nachgetr. B[c] 9 καὶ[1] > DNW | καὶ μᾶλλον > Thdt. | μᾶλλον > DNW | ἐπιφανὴς] προφανὴς DNW περιφανὴς Thdt. 10 ἡγήσατο Thdt. | τις > F Thdt. 11 μνημεῖα] σημεῖα B μνήματα Thdt. (AT) μνημόσυνα Thdt. (r z) | τὰ > Thdt. (A r T) | λυπούμενος] ὀδυρόμενος Thdt. | προσελθὼν Thdt. 11/12 προσῆλθεν αὐτῷ ποτε ~ W Thdt. (T) 12 καὶ[1] > Thdt. | παρ'] ἀπ' V Thdt. 13 καὶ[1] > W | αὐτὸς] οὗτος DNW Thdt. (A r z) 14 αὐτῶν BDNW Thdt. 14 εἰ γὰρ — 17 σπουδασάντων] ὑπὲρ τοῦ DN 15 ἐπιφερομένας ὑπὲρ μέτρον ~ W 17 σπουδασάντων + ὑπὲρ τοῦ W vgl. Z. 14 | ἑαυτοὺς] αὐτοὺς DN 18 ἀληθεῖς F 19 ἐκεῖθεν > Sokr. | καὶ γὰρ ~ Sokr. | πάλιν[1] > DNW Sokr. (außer AΦ Sym.) | πάλιν[2]] πῶς δ' ἂν D > Sokr. (AΦ Sym.)

2 ἀποκτεῖναι. καὶ γέγονε χείρονα τὰ νῦν τῶν προτέρων. στρατιῶται γὰρ ἐξαίφνης
τὴν ἐκκλησίαν ἐκύκλωσαν, καὶ τὰ πολέμων ἀντὶ τῶν εὐχῶν ἐγίνετο. εἶτ' ἐλθὼν τῇ
τεσσαρακοστῇ ὁ παρ' αὐτῶν ἀποσταλεὶς ἐκ Καππαδοκίας Γεώργιος ηὔξησεν, ἃ παρ' αὐ-
3 τῶν μεμάθηκε κακά. μετὰ γὰρ τὰ ἕβδομα τοῦ πάσχα παρθένοι εἰς δεσμωτήριον ἐβάλ-
λοντο, ἐπίσκοποι ἤγοντο ὑπὸ στρατιωτῶν δεδεμένοι, ὀρφανῶν καὶ χηρῶν ἡρπάζοντο
οἰκίαι καὶ ἄρτοι, ἔφοδοι κατὰ τῶν οἰκιῶν ἐγίνοντο, καὶ νυκτὸς οἱ Χριστιανοὶ κατεφέροντο,
4 ἐπεσφραγίσθησαν οἰκίαι, καὶ ἀδελφοὶ κληρικῶν ὑπὲρ τῶν ἀδελφῶν ἐκινδύνευον. καὶ
B δεινὰ μὲν ταῦτα, δεινότερα δὲ τὰ μετὰ ταῦτα τολμήματα. τῇ γὰρ ἑβδομάδι μετὰ τὴν
ἁγίαν Πεντηκοστὴν ὁ λαὸς νηστεύσας ἐξῆλθε περὶ τὸ κοιμητήριον εὔξασθαι, διὰ τὸ πάντας
5 ἀποστρέφεσθαι τὴν πρὸς Γεώργιον κοινωνίαν. ἀλλὰ τοῦτο μαθὼν ὁ παμπόνηρος
αὐτὸς παροξύνει τὸν στρατηλάτην Σεβαστιανὸν Μανιχαῖον ὄντα· καὶ λοιπὸν αὐτὸς μετὰ
πλήθους στρατιωτῶν ὅπλα καὶ ξίφη γυμνὰ καὶ τόξα καὶ βέλη φερόντων ὥρμησεν ἐν αὐτῇ
6 τῇ κυριακῇ κατὰ τῶν λαῶν. καὶ ὀλίγους εὑρὼν εὐχομένους (οἱ γὰρ πλεῖστοι λοιπὸν
διὰ τὴν ὥραν ἀναχωρήσαντες ἦσαν) τοιαῦτα εἰργάσατο, οἷα παρ' αὐτῶν ἔπρεπεν ἀκού-
σαντα πρᾶξαι. πυρκαιὰν γὰρ ἀνάψας καὶ στήσας παρθένους παρὰ τὸ πῦρ ἠνάγκαζε
7 λέγειν ἑαυτὰς τῆς Ἀρείου πίστεως εἶναι. ὡς δὲ νικώσας αὐτὰς ἔβλεπε καὶ μὴ φροντι-
ζούσας τοῦ πυρός, γυμνώσας λοιπὸν οὕτω κατέκοψεν εἰς τὰ πρόσωπα, ὡς μετὰ χρόνον
μόγις αὐτὰς ἐπιγνωσθῆναι.
7,1 C Ἄνδρας δὲ κρατήσας τεσσαράκοντα καινοτέρῳ τρόπῳ κατέκοψε· ῥάβδους γὰρ τὰς

1 Vgl. unten c. 24 S. 84, 10 2 Über Georgs Einzug notiert die Historia Athanasii der Sammlung des Theodosius diaconus (Cod. Veron. 60) c. 6: advenit etiam Georgius Alexandriae consulatu Constantii VIIII et Juliani Caesaris II (= 357) Mechir XXX die (= 24. Febr., Ostern = 23. März). Kephalaion zu 357 (in griech. Übersetzung): τότε Γεώργιος εἰσῆλθεν τῇ λ̄ Μεχιρ καὶ δεινοτέρᾳ βίᾳ ἐχρήσατο. Ἀθανάσιος δὲ ὁ ἐπίσκοπος ἐν τῇ φυγῇ ἦν καὶ ἐζητήθη ἐν τῇ πόλει μετὰ πολλῆς ὠμότητος, πολλῶν διὰ τοῦτο κινδυνευσάντων. Vgl. Sozomenus h. e. IV 10, 8 ff. Athanasius berichtet hier nicht der Reihenfolge nach über den Kampf der orientalischen Bischöfe und des Constantinus um den Sitz des Athanasius. Die Reihe der Verbrechen gegen die Bischöfe soll um einen Exzeß vermehrt werden. Ath. knüpft an die jüngsten Ereignisse des Jahres 357 an. Was 356 geschah, wird c. 24 erzählt. Am ausführlichsten berichtet Athanasius über die Vorfälle des Jahres 356/57 in hist. Arian. 48 ff. Über Georg selbst vgl. hist. Arian. 75 9 Pfingsten fiel 357 auf den 11. Mai. Von diesen Ereignissen weiß die Historia Athanasii nichts, nach dieser Quelle trat der Dux Sebastian erst im Dezember 358 auf. Über Sebastian und seine Aktion in Verbindung mit Georg — 358 war Georg nicht in Alexandrien — vgl. vor allem Apol. ad Const. 27, dazu hist. Arian. 59. 72, Epistula Ammonis de Pachomio 31 (Subsidia hagiographica 19 S. 117, 34) und auch Sozomenus h. e. IV 10, 9 ff. und Kephalaion zu 357 (s. o.) 19 ff. Die Schilderung in c. 7 findet sich ausführlicher, aber großenteils mit wörtlicher Übereinstimmung in Athanasius hist. Arian. 72

BKPO REFV DNW Sokr. 2 εἶτ' — 73, 15 ἀλήθειαν = Theodoret hist. eccl. II 14, 4—11 (125, 14—127, 13)

1 γεγονέναι D | χείρονα — προτέρων] τὰ ὕστερα χείρονα τῶν πρώτων Sokr. (außer Sym.) 2 τὰ + τῶν BK^{c}EV | τῶν > K*, eingefügt K^c | ἐλθὼν BDNW Thdt. εἰσελθὼν KPOREFV Sokr. 3/4 παρ' αὐτῶν ἃ ~ DN 5 ἡρπάζοντο + αἱ Thdt. (außer VT) 5/6 οἰκίαι ἡρπάζοντο ~ K 6 καὶ ἄρτοι BKPO REFV τε καὶ ἄρτοι Sokr. (außer Φ Cass. Sym.) > Sokr. (Φ Cass.) καὶ ἄρτοι καὶ DNW καὶ ἁρπαγαὶ καὶ Sokr. (Sym.) Thdt. | οἱ > DNW Thdt. 7 ἐπεσφραγίζοντο W 8 τὰ > D | τολμήματα] τολμηθέντα N τετολμημένα Sokr. (außer Φ Sym.) 10 πρὸς + τὸν N 11 αὐτὸς[2]] οὗτος N Thdt. (AB[2]) > VD | Σεβαστιανὸν] κατὰ χριστιανὸν D 12 στρατιωτῶν + ὄντα D 14 ἦσαν] ἔτυχον Sokr. (außer Φ Sym.) | εἰργάσαντο W^c Sokr. | αὐτῶν] αὐτοῦ Sokr. (Sym.) Thdt. (H) 14/15 ἀκούσαντα] ἀκούσαντας Sokr. (Φ Sym.) > Sokr. Thdt. (B[2]) 15 πρᾶξαι] πραχθῆναι Sokr. (außer Φ Sym.) | ἅψας Sokr. (außer Sym.) 16 ἑαυτὰς] αὐτὰς W Sokr. | αὐτὰς] ἑαυτὰς K 16/17 καὶ — πυρός > DN Thdt. 17 γυμνώσας + αὐτὰς N | γυμνώσας] γυμνὰς EV | κατέκοψεν] κατέκοψεν αὐτὰς Sokr. (außer Sym.) αὐτὰς κατέκοψεν Thdt. (n) κατέκοψεν αὐτῶν Thdt. (T) | εἰς] καὶ Sokr. (Sym.) | πρόσωπα + αὐτῶν Sokr. (Sym.) vgl. T 19 μόγις αὐτὰς] αὐτὰς μόλις DNW Thdt. | αὐτὰς > Sokr. (außer AΦ Sym.) 19 δὲ] τε Sokr. | ῥάβδοις Thdt. (HS) | τὰς] τοὺς D Thdt. (T) ταῖς N Thdt. (HS)

ἀπὸ τῶν φοινίκων εὐθὺς τεμὼν ἐν αὐταῖς ἐχούσας ἔτι τοὺς σκόλοπας τὰ νῶτα τούτων
οὕτως ἐξέδειρεν, ὡς τινὰς μὲν πολλάκις χειρουργηθῆναι διὰ τοὺς ἐναποπαγέντας ἐν αὐτοῖς
σκόλοπας, τινὰς δὲ καὶ μὴ φέροντας ἀποθανεῖν. πάντας μὲν οὖν τοὺς περιληφθέντας 2
ἀθρόως καὶ τὴν παρθένον ἐξώρισαν εἰς τὴν μεγάλην Ὄασιν, τὰ δὲ σώματα τῶν τετελευτη-
κότων οὐδὲ τοῖς ἰδίοις κατὰ τὴν ἀρχὴν ἀποδοθῆναι πεποιήκασιν, ἀλλ' ἔκρυψαν ὡς ἠθέλησαν
ἄταφα βαλόντες ὑπὲρ τοῦ δοκεῖν αὐτοὺς λανθάνειν τὴν τοσαύτην ὠμότητα. πράτ- 3
τουσι | δὲ τοῦτο πεπλανημένοι τῇ διανοίᾳ οἱ παράφρονες. τῶν γὰρ οἰκείων τῶν τετελευ- B 324
τηκότων χαιρόντων μὲν διὰ τὴν ὁμολογίαν, | θρηνούντων δὲ διὰ τὰ σώματα μείζων M 653 A
ἐξηχεῖτο κατ' αὐτῶν ὁ τῆς ἀσεβείας καὶ ὠμότητος ἔλεγχος. καὶ γὰρ εὐθὺς ἀπὸ τῆς 4
Αἰγύπτου καὶ τῶν Λιβύων ἐξώρισαν μὲν ἐπισκόπους Ἀμμώνιον Μούιον Γάιον Φίλωνα
Ἑρμῆν Πλήνιον Ψενόσιριν Νειλάμμωνα Ἀγαθὸν Ἀνάγαμφον Μάρκον Ἀμμώνιον
ἕτερον Μάρκον Δρακόντιον Ἀδέλφιον Ἀθηνόδωρον καὶ πρεσβυτέρους Ἱέρακα καὶ Διό-
σκορον. καὶ οὕτω πικρῶς ἤλασαν αὐτούς, ὡς τινὰς μὲν αὐτῶν ἐν ταῖς ὁδοῖς, τινὰς 5
δὲ ἐν αὐτῷ τῷ ἐξορισμῷ ἀποθανεῖν. ἐφυγάδευσαν δὲ ἐπισκόπους πλείους τριάκοντα·
σπουδὴ γὰρ ἦν αὐτοῖς κατὰ τὸν Ἀχαὰβ, εἰ δυνατόν, ἐξᾶραι τὴν ἀλήθειαν. ἰδοὺ ταῦτα
τῶν ἀσεβῶν τὰ τολμήματα.

Ταῦτα δρῶντες καὶ μὴ ἐντραπέντες ἐφ' οἷς πρότερον καθ' ἡμῶν ἐτύρευσαν κακοῖς, 8,1
ἔτι καὶ νῦν κατηγοροῦσιν ἐκφυγεῖν δυνηθέντας αὐτῶν τὰς ἀνδροφόνους χεῖρας· μᾶλλον B
δὲ ὀδύρονται πικρῶς, ὅτι μὴ καὶ ἐκποδὼν τέλεον πεποιήκασι. καὶ λοιπὸν προφασίζονται
δειλίαν ὀνειδίζειν ἀγνοοῦντες, ὅτι καὶ τοῦτο γογγύζοντες εἰς ἑαυτοὺς ἐπιστρέφουσι μᾶλλον
τὴν μέμψιν. εἰ γὰρ φαῦλον τὸ φεύγειν, πολλῷ χεῖρον τὸ διώκειν. ὁ μὲν γάρ, ἵνα μὴ 2
ἀποθάνῃ, κρύπτεται, ὁ δὲ διώκει ζητῶν ἀποκτεῖναι. καὶ τὸ μὲν φεύγειν γέγραπται,
ὁ δὲ ζητῶν ἀναιρῆσαι παραβαίνει νόμον καὶ μᾶλλον αὐτὸς τὴν πρόφασιν τοῦ φεύγειν
παρέχει. εἴπερ οὖν τὴν φυγὴν ὀνειδίζουσιν, ἐντρεπέτωσαν πλέον ἑαυτοὺς διώκοντας· 3
παυέσθωσαν γὰρ ἐπιβουλεύοντες, καὶ παύσονται καὶ οἱ φεύγοντες εὐθύς. ἀλλὰ τῆς μὲν

---

5 Zu der Leichenschändung vgl. Lucifer Cal., Moriendum esse pro dei filio 3 (CSEL 14, 289, 1) Über die Verbannten, ihre Namen und ihre Exilsorte vgl. den Komm. zu hist. Arian. 72, wo ausdrücklich gesagt wird, daß sie von Sebastian vertrieben worden sind 22 Vgl. Mt. 10, 23 23 Vgl. Ex. 20, 15

BKPO REFV DNW bis 15: Sokr. Thdt. 15 ἰδοὺ — 74, 13 ἀσέβειαν = Sokrates hist. eccl. III 8, 3—14 (402, 15—404, 14)

---

1 εὐθὺς > Sokr. (Φ Cass.) | εὐθὺς τεμὼν > DN Thdt. | ἑαυταῖς Sokr. | ἐχούσαις RDN Sokr. (außer Φ Sym.) Thdt. (AHSB^{2}) 2 ἐναποπαγέντας BKPO Sokr. (A Cass.) ἀποπαγέντας REFVW Sokr. (außer A Cass.) Thdt. ἀποταγέντας DN 3 καὶ > K | μὲν οὖν] μὲν D Thdt. (G) δὲ N Thdt. (S) | περιληφθέντας BKO^{c}REV Sokr. (A) Thdt. (ArB^{2}) περιλειφθέντας PO*FDNW Sokr. Thdt. (LvT) 4 καὶ τὴν παρθένον > N | τὴν παρθένον] τὰς παρθένους WF Sokr. (AΦ Sym.) Thdt. (r B^{2}T) | ἐξώρισεν Sokr. (außer Φ) 5 πεποιήκασιν] συνεχώρησαν Sokr. συνεχώρησεν Sokr. (Cass.) πεποίηκεν Sokr. (Sym.) 6 βαλόντες] βάλλοντες DW Sokr. (AFC) Thdt. (z) > N Sokr. (Sym.) 7 πεπλανημένοι V*W Sokr. Thdt. πεπλανημένῃ BKPOREFV^{c}DN | τὴν διάνοιαν Thdt. (außer AT) 8 μὲν > N | μείζων] μεῖζον RE Sokr. Thdt. (SB^{2}) 9 ἀσεβείας καὶ > Thdt. 10 Μούιον BKPOREFV Thdt. Μούιν DNW Sokr. (Sym.) Θμούιν Sokr. 11 Ψηνόσιριν F Ψινόσιριν N Thdt. (H) | Νειλάμμωνα DNW Sokr. Thdt. Πηλάμμωνα BKPOREFV | Ἀγαθόν BKPOREF*V Thdt. (AT) Ἀγάθωνα F^{c}DNW Sokr. (aber' Αγάθονα DW vgl. νάγαμφον D!) Ἀγάπιον Thdt. (r z) | Ἀνάγαμφον] νάγαμφον D Ἄγαμφον FN Sokr. (Sym.) Ἄναμφον Thdt. (s) | Μάρκον > Sokr. (außer Φ Sym.) 12 ἕτερον > Sokr. (außer Φ Sym.) | Μάρκον + ἄλλον V, + ἕτερον Thdt. (n) 13 μὲν αὐτῶν] μέντοι N 14 δὲ²] καὶ N | πλείους + τῶν KPF, + ἢ N Thdt. 15 ἐξᾶραι] εἰ ἆραι E* εἴη ἆραι E^{c}V 17 ἐτύρευσαν καθ' ἡμῶν ∼ BKPO | ἐτύρευσαν] ἐτυράννησαν DNW 18 κατηγοροῦσι καὶ νῦν ∼ DN 19 καὶ¹ > KNW 20 ὀνειδίζοντες Sokr. 23 ἀναιρῆσαι παραβαίνει νόμον > D | αὐτὸς] αὐτὸ W 24 ἐντρεπέσθωσαν DNW (ἐντραπ. N) | διώκοντας] οἱ διώκοντες Sokr. (außer Σ) 25 γὰρ + οἱ N | γὰρ > Sokr. | παύσονται] παύονται DNW Sokr.

C ἰδίας πονηρίας οὐ παύονται, τοῦ δὲ καταλαβεῖν ἕνεκα πάντα πράττουσιν οὐκ εἰδότες
4 ὅτι τῶν διωκομένων ἡ φυγὴ μέγας ἔλεγχός ἐστι κατὰ τῶν διωκόντων. οὐδεὶς γὰρ
τὸν πρᾶον καὶ φιλάνθρωπον φεύγει, ἀλλὰ μᾶλλον τὸν ἄγριον καὶ πονηρὸν ὄντα τὸν
τρόπον. »πᾶς γοῦν κατώδυνος καὶ ὑπόχρεως« ἀπὸ μὲν τοῦ Σαοὺλ ἔφευγε, πρὸς δὲ
τὸν Δαυὶδ κατέφευγε. διὰ τοῦτο καὶ οὗτοι τοὺς κρυπτομένους αὐτοὺς ἀναιρεῖν σπου-
5 δάζουσιν ὑπὲρ τοῦ μὴ δοκεῖν ἔχειν τῆς ἑαυτῶν πονηρίας τὸν ἔλεγχον. ἀλλὰ καὶ
B325 M 656A ἐν τούτῳ δοκοῦσι τυφλώττειν οἱ ἀεὶ | πλανώμενοι· ὅσῳ γὰρ ἡ φυγὴ πρόδηλος, τοσούτῳ
καὶ πλέον ἡ ἐξ ἐπιβουλῆς γινομένη παρ' αὐτῶν ἀναίρεσις ἢ καὶ ἐξορία προφανεστέρα
γενήσεται· ἄν τε γὰρ ἀποκτείνωσιν, ὁ θάνατος μεῖζον ἠχήσει κατ' αὐτῶν· ἄν τε πάλιν ἐξ-
ορίσωσι, πανταχοῦ καθ' ἑαυτῶν αὐτοὶ μνημεῖα τῆς παρανομίας ἐξαποστέλλουσιν.
9,1 Εἰ μὲν οὖν ἔσῳζον τὰς φρένας, ἔβλεπον ἑαυτοὺς ἐν τούτοις συνεχομένους καὶ τοῖς
ἑαυτῶν προσκόπτοντας λογισμοῖς. ἐπειδὴ δὲ καὶ τὸ σωφρονεῖν ἀπώλεσαν, διὰ τοῦτο
2 καὶ διώκοντες ἐξάγονται, καὶ ζητοῦντες ἀνελεῖν οὐχ ὁρῶσιν ἑαυτῶν τὴν ἀσέβειαν. τάχα
γὰρ καὶ τὴν πρόνοιαν αὐτὴν αἰτιᾶσθαι τολμῶσιν (οὐδὲν γὰρ αὐτοῖς ἀτόλμητον), ἐφ' οἷς
B αὐτοῖς οὐ παραδίδωσι, προδήλου τούτου τυγχάνοντος κατὰ τὴν τοῦ σωτῆρος φωνήν,
ὅτι μηδὲ στρουθίον ἄνευ τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς ἐμπεσεῖν εἰς παγίδα δύναται.
3 καὶ γὰρ καὶ ὅτε παραλαμβάνουσιν οἱ ἀλάστορες, εὐθὺς ἐπιλανθάνονται τῶν τε ἄλλων
καὶ πρὸ τῶν ἄλλων ἑαυτῶν· καὶ μόναις ταῖς ἀλαζονείαις τὰς ὀφρῦς ἀνασπάσαντες οὔτε
καιρὸν γινώσκουσιν οὔτε ἀδικοῦντες ἀνθρώπους αἰδοῦνται τὴν φύσιν, κατὰ δὲ τὸν
τύραννον τῆς Βαβυλῶνος ἀγριώτερον ἐπιφύονται καὶ οὔτε τινὰς ἐλεοῦσιν, ἀλλὰ καὶ
»τοῦ πρεσβυτέρου τὸν ζυγὸν ἐπιβαρύνουσι« καὶ »ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων«, ὡς
4 γέγραπται, »προστιθέασιν« οἱ ἀνηλεεῖς. εἰ μὲν οὖν μὴ ταῦτα δράσαντες ἦσαν, εἰ μὴ
τοὺς κατὰ τῆς συκοφαντίας αὐτῶν ὑπὲρ ἡμῶν λέγοντας ἐξορίσαντες ἦσαν, πιθανῶς ἂν λέ-
C γοντες παρά τισιν ἐνομίσθησαν· ἐπειδὴ δὲ ἄλλοις τοσούτοις καὶ τηλικούτοις ἐπι-
σκόποις ἐπεβούλευσαν καὶ οὔτε τοῦ μεγάλου καὶ ὁμολογητοῦ Ὁσίου οὔτε τοῦ ἐπισκόπου
Ῥώμης οὔτε τοσούτων ἀπὸ τῶν Σπανίων καὶ Γαλλίων καὶ τῆς Αἰγύπτου καὶ Λιβύης
καὶ τῶν ἄλλων μερῶν ἐπισκόπων ἐφείσαντο, ἀλλὰ τοσαῦτα πεποιήκασι κατὰ τῶν ὅλως
ἐλεγξάντων αὐτοὺς ὑπὲρ ἡμῶν, πῶς οὐχὶ μᾶλλον ἡμᾶς πρὸ τῶν ἄλλων ἐβουλεύσαντο

4 I. Reg. 22, 2 7 ff. Vgl. Athanasius, Hist. Arianorum 34 (Migne 25, 753 B) 16 Vgl. Mt. 10, 29
21 Jes. 47, 6; Ps. 68, 27

BKPO REFV DNW bis 13: Sokr. ab 13 τάχα : p 17 καὶ γὰρ — 75, 11 μαχόμενοι > p

1 καταλαβεῖν] καταβαλεῖν Sokr. (außer Cass. Σ) | πάντα > N | οὐκ > Sokr. 2 οὐδεὶς] οὐ N 3/4 τὸν τρόπον] τοῖς τρόποις N 4 πᾶς] καὶ πᾶς N | γοῦν] μὲν N γὰρ Sokr. 5 αὐτοὺς] αὐτοῖς Sokr. 5/6 σπουδάζουσιν] σπεύδουσιν VDNW 6 ἑαυτῶν VDNW Sokr. αὐτῶν BKPOREF 7 ἀεὶ > Sokr. | τοσοῦτον N 8 καὶ[1] > Sokr. | ἢ καὶ — 9 γενήσεται > N | ἢ > Sokr. | ἢ καὶ] καὶ ἡ ~ VDW | καὶ ἐξορία > Sokr. (Σ) ἐξορία] ἐξοριστία VDW 9 ὁ θάνατος — 10 ἐξορίσωσι > B 9 ἠχήσει] ἐξηχήσει D ἐξηχεῖ N 10 πανταχοῦ] πάντα E | αὐτοὶ VDNW Sokr. αὐτοῖς BKPOREF | παρανομίας] πονηρίας N | ἀποστέλλουσιν VDNW 11 ἔβλεπον + ἂν F | ἐν τούτοις ἑαυτοὺς ~ K | τοῖς] τοὺς N 12 προκόπτοντας K | λογισμοῖς] λόγοις D λόγους N | σωφρονεῖν] φρονεῖν VW 13 vor τάχα setzt p ein: καὶ μετά τινα· οὐδὲν γὰρ αὐτοῖς ἀτόλμητον ἐφ' οἷς καὶ τὴν πρόνοιαν αὐτὴν αἰτιᾶσθαι τάχα τολμῶσι ~ p 14 αἰτιάσασθαι DNW | τολμήσουσιν V | γὰρ[2] > B | αὐτοῖς + ἡμᾶς V 16 ὅτι μηδὲ] οὔτε γάρ φησι N | τοῖς > p 18 καὶ πρὸ τῶν ἄλλων > D | μόναις] μᾶλλον VW | ὄφρυας VD 18 οὔτε καιρὸν — 19 ἀνθρώπους > E 19 καιρὸν] καλὸν γεωργεῖν V | über αἰδοῦνται: ἐκ E 21 τοῦ πρεσβυτέρου] τοὺς πρεσβυτέρους D τοῖς πρεσβυτέροις N | ἐπὶ] ἔτι VW | τραυμάτων + μου N 22 εἰ[1]] ἐὰν VW | δράσαντες ταῦτα ~ W 23 κατὰ > N* 23/24 ἂν λέγοντες] ἀντιλέγοντες D 24 δὲ + καὶ V | τοσούτοις > VDNW 26 καὶ[1] + καὶ B | καὶ[1]] ἢ VW | καὶ[3] + τῆς O* exp. O[c] 27 ἐπισκόπους N | ἀλλὰ + καὶ VDNW | ὅλως] ἄλλων W ἄλλων τῶν V 28 ἡμᾶς] ἡμῖν F | ἐβουλεύσαντο] ἐπεβούλευσαν F ἐβούλοντο DN ἠβούλοντο WV

καὶ μετ' ἐκείνους ἐπιθυμοῦσι δὲ κἀκεῖσε ἀνελεῖν; εἰς τοῦτο γὰρ ἀγρυπνοῦσι καὶ νομίζουσιν
ἀδικεῖσθαι, ἂν βλέπωσι σῳζομένους, οὓς οὐκ ἐβούλοντο ζῆν.
Τίς τοίνυν οὐ συνορᾷ τὴν πανουργίαν αὐτῶν; τίνι τοῦτο κατάδηλον οὐκ ἔστιν, 10, 1
ὅτι μὴ δι' ἀρετὴν ὀνειδίζουσι δειλίαν, ἀλλ' αἵματα διψῶντες ὥσπερ σαγήναις χρῶνται ταῖς
ἰδίαις κακοτεχνίαις νομίζοντες ἐν ταύταις συλλαμβάνεσθαι, οὓς ἐὰν ζητῶσιν ἀναιρῆσαι;
τοιούτους γὰρ αὐτοὺς αἱ πράξεις ἔδειξαν καὶ ἤλεγξαν τὸν τρόπον αὐτῶν, θηρίων μὲν 2
ἀγριώτερον | Βαβυλωνίων δὲ ὠμότερον. καὶ εἰ καὶ αὐτάρκης ἐκ τούτων ἐστὶν ὁ κατ' αὐτῶν M 657 A
ἔλεγχος, ὅμως, ἐπειδὴ κατὰ τὸν πατέρα ἑαυτῶν τὸν διάβολον ἀπαλοῖς τοῖς λογαρίοις
σχηματίζονται | ὥστε δειλίαν ἐγκαλεῖν, δειλότεροι λαγωῶν ὄντες αὐτοί, φέρε B 326
καὶ τὰ ἐκ τῶν θείων γραφῶν περὶ τῶν τοιούτων γεγραμμένα θεωρήσωμεν. δειχθήσονται 3
γὰρ οὐδὲν ἧττον καὶ πρὸς ταύτας μὲν μαχόμενοι, τῶν δὲ ἁγίων τὰς ἀρετὰς διαβάλλοντες.
εἰ γὰρ λοιδοροῦσι τοὺς κρυπτομένους ἀπὸ τῶν ζητούντων ἀνελεῖν καὶ διαβάλλουσι τοὺς 4
φεύγοντας ἀπὸ τῶν διωκόντων, τί ποιήσουσιν ὁρῶντες τὸν μὲν Ἰακὼβ φεύγοντα τὸν
ἀδελφὸν Ἡσαῦ, τὸν δὲ Μωσῆν εἰς Μαδιὰμ ἀναχωροῦντα διὰ τὸν φόβον τοῦ Φαραώ; τί 5
δὲ τοιαῦτα φλυαροῦντες ἀπολογήσονται τῷ Δαυὶδ φεύγοντι τὸν Σαοὺλ ἀπὸ τῆς οἰκίας, B
ὅτε ἀπέστειλεν αὐτὸν ἀναιρεθῆναι, καὶ κρυπτομένῳ μὲν τοῦτον ἐν τῷ σπηλαίῳ, »ἀλλοιοῦντι
δὲ τὸ πρόσωπον ἑαυτοῦ«, ἕως ἂν παρέλθῃ τὸν Ἀβιμέλεχ καὶ τὴν ἐπιβουλὴν ἐκκλίνῃ;
τί δ' ἂν εἴποιεν οἱ πάντα λέγοντες εὐχερῶς βλέποντες τὸν μέγαν Ἠλίαν ἐπικαλούμενον 6
μὲν τὸν θεὸν καὶ νεκρὸν ἐγείροντα, κρυπτόμενον δὲ διὰ τὸν Ἀχαὰβ καὶ φεύγοντα διὰ
τὰς ἀπειλὰς τῆς Ἰεζάβελ; τότε γὰρ ζητούμενοι καὶ οἱ υἱοὶ τῶν προφητῶν ἐκρύπτοντο
λανθάνοντες ἐν τοῖς σπηλαίοις παρὰ τῷ Ἀβδιοῦ.
Ἢ τούτοις μὲν ὡς παλαιοῖς οὐκ ἐνέτυχον, τῶν δὲ κατὰ τὸ εὐαγγέλιον οὐδεμίαν 11, 1
μνήμην ἔχουσι. καὶ γὰρ καὶ οἱ μαθηταὶ »διὰ τὸν φόβον τῶν Ἰουδαίων« ἀνεχώρουν

---

8 Vgl. Joh. 8, 44 13 Vgl. Gen. 27, 41 ff. 14 Vgl. Ex. 2, 15 15 Vgl. I. Reg. 19 ff. u. vgl. I. Reg. 20, 31 16 Vgl. I. Reg. 22, 1 16/17 I. Reg. 21, 13. 14 17 Ἀβιμέλεχ ist der falsche Name. Danach hat A. die Geschichte nicht nach I. Reg. zitiert sondern nach Ps. 33, 1. I. Reg. 21, 13 zufolge muß es wie auch Georg. mon. korrigiert, Ἀγχούς heißen 18/19 Vgl. III. Reg. 17, 17 ff. 19/20 Vgl. III. Reg. 18, 46; 19, 2 f. 21 Vgl. III. Reg. 18, 4 ff. Vgl. Athan. hist. Arianorum 53 (Migne 25, 757 B) 23 Joh. 20, 19

BKPO REFV DNW p 12 εἰ — 77, 27 ἁμαρτωλῶν = Sokrates hist. eccl. III 8, 15—41 (404, 15—410, 10) 12 — 76, 13 = Georgios (= Georg.) monachos 520, 10—521, 1. 521, 7—522, 2 de Boor. Dieser offenbar von Georgios bearbeitete Text ist nur an einzelnen Stellen herangezogen

---

1 ἐκείνοις N* | δὲ κἀκεῖσε BKPOREF δεκάκις WV δεκακίας D κακῶς N 2 ἀδικεῖσθαι] ἀνελεῖν D | ἂν] ἐὰν B 3 πανουργίαν] κακουργίαν N | τίνι R^c τίνυν R* | κατάδηλον οὐκ] μὴ κατάδηλον N 4 αἵματος FVW 5 ἰδίαις] οἰκείαις N | κακοτεχνίαις] κακουργίαις V | ταύταις] τούτοις DN | ἀναιρῆσθαι D 6 γὰρ > VDNW | αὐτοὺς] αὐτὸς D*, corr. αὐτοὺς | ἤλεγξαν καὶ ἔδειξαν ~ N 7 καὶ¹ > N | καὶ² > VW | ἐστὶν ἐκ τούτων ~ D | ἐκ τούτων — αὐτῶν] αὐτῶν πόλεμος B* ἐκ τούτων — αὐτῶν B^c | κατ' αὐτῶν ὁ ~ F 8 ἑαυτῶν] αὐτῶν VNW | λογαρίοις R^cFDN λογυδρίοις VW λογοχαρίοις BKPOR*E 10 γραφῶν nach γεγραμμένα ~ W 11 οὐδὲν + μὲν DN | ταύτας] ταῦτα VDW | μὲν > KDN | διαβάλλουσι p 13 ποιήσωσιν D | μὲν > N | φεύγοντα + πρότερον Sokr. (Σ) 14 Μωυσῆν VDNW Sokr. | ἀναχωρήσαντα εἰς Μαδιὰμ ~ DN 15 ἀπὸ τῆς οἰκίας] εἰς τὴν οἰκίαν Sokr. (Σ Cass.) 16 ὅτε ἀπέστειλεν] ἀποστείλαντι Sokr. (codd. graec.) ἀποστείλαντα Sokr. (Σ Cass.) | ἀναιρεθῆναι αὐτὸν ~ DN | κρυπτόμενον W | τοῦτον] ἑαυτὸν Sokr. (Σ) Comm. Montf. αὐτῷ Sokr. > FDN τούτῳ Georg. | σπηλαίῳ + καὶ Sokr. | ἀλλοιοῦντα W 17 δὲ > Sokr. | ἑαυτοῦ] αὐτοῦ N | ἂν] οὗ Sokr. Georg. | παρῆλθε W | Ἀβιμέλεχ vgl. Kommentar] [illegible] Sokr. (Σ) Ἀγχούς Georg. | ἐκκλίνῃ] ἐγκλίνῃ N ἐξέκλινε W 18 οἱ πάντα λέγοντες εὐχερῶς > p | βλέποντες > Sokr. | τὸν μέγαν Ἠλίαν] περὶ τοῦ μεγάλου Ἠλίου Sokr. (Σ) | Ἠλίαν + ὁρῶντες Sokr. (außer Σ) 19 μὲν > VDNW p | ἐγείραντα BD p Sokr. | δὲ] μέντοι N 19/20 διὰ τὰς > V 20 ζητούμενον R* (— νοι R^c) | καὶ > Sokr. (außer Σ) 21 τῷ] τοῦ B | Ἀβδιοῦ] Ἀβδίᾳ VNW Sokr. Georg. Ὀβδιᾶ D Sokr. (Σ) 22 ἢ] ἀλλὰ N | παλαιοῖς + ἴσως N 23 μνήμην] μνείαν B | τῶν Ἰουδαίων φόβον ~ N

C κρυπτόμενοι, καὶ ὁ Παῦλος ἐν Δαμασκῷ παρὰ τοῦ ἐθνάρχου ζητούμενος »ἀπὸ τοῦ τείχους
2 ἐν σαργάνῃ κεχάλασται καὶ ἐξέφυγε τοῦ ζητοῦντος τὰς χεῖρας«. τῆς τοίνυν γραφῆς
τοιαῦτα λεγούσης περὶ τῶν ἁγίων ποίαν ἄρα πρόφασιν τῆς ἑαυτῶν προπετείας ἐξευρεῖν
δυνήσονται; ἄν τε γὰρ δειλίαν ὀνειδίσωσι κατ' αὐτῶν, μαινομένων τὸ τόλμημα, ἂν δὲ
καὶ ὡς παρὰ τὸ βούλημα τοῦ θεοῦ ποιοῦντας αὐτοὺς διαβάλλωσιν, οὐκ εἰδότες εἰσὶ παν-
3 τελῶς τὰς γραφάς. ἐν μὲν γὰρ τῷ νόμῳ πρόσταξις ἦν ἐκταγῆναι καὶ πόλεις φυγα-
δευτηρίων ὑπὲρ τοῦ τοὺς ζητουμένους εἰς θάνατον ὅπως δήποτε δύνασθαι διασῴζεσθαι.
4 ἐπὶ δὲ συντελείᾳ τῶν αἰώνων παραγενόμενος αὐτὸς ὁ τῷ Μωσεῖ λαλήσας λόγος τοῦ
πατρὸς πάλιν ἐντολὴν ταύτην δίδωσι λέγων· »ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ,
φεύγετε εἰς τὴν ἑτέραν«· καὶ μετ' ὀλίγα φησίν· »ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώ-
σεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὸς ἐν τόπῳ ἁγίῳ (ὁ ἀναγινώσκων νοείτω),
M 660 A τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ | ὄρη· ὁ ἐπὶ τοῦ δώματος μὴ καταβήτω ἆραι τὰ
ἐκ τῆς οἰκίας αὐτοῦ· καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ὑποστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ«.
5 ταῦτα γὰρ εἰδότες οἱ ἅγιοι, τοιαύτην εἶχον τὴν τῆς πολιτείας ἀγωγήν. ἃ γὰρ νῦν προσ-
έταξεν ὁ κύριος, ταῦτα καὶ πρὸ τῆς ἐνσάρκου παρουσίας ἐν τοῖς ἁγίοις ἐλάλει. καὶ ἔστιν
B 327 οὗτος | ὅρος ἀνθρώποις εἰς τελειότητα φέρων, ὃ δ' ἂν ὁ θεὸς προστάξῃ τοῦτο ποιεῖν.
12,1 Διὰ τοῦτο καὶ αὐτὸς ὁ λόγος δι' ἡμᾶς γενόμενος ἄνθρωπος κατηξίωσε ζητούμενος
ὡς ἡμεῖς κρυβῆναι, καὶ πάλιν διωκόμενος φεύγειν καὶ τὴν ἐπιβουλὴν ἐκκλῖναι. ἔπρεπε
γὰρ αὐτὸν ὡς ἐκ τοῦ πεινῆν καὶ διψῆν καὶ τοῦ παθεῖν, οὕτως καὶ ἐκ τούτου δεικνύειν
2 ἑαυτὸν φοροῦντα σάρκα καὶ γενόμενον ἄνθρωπον. ἐξ ἀρχῆς μὲν γὰρ ἅμα τῷ γενέσθαι
B ἄνθρωπος, ὅτε παιδίον ἦν, αὐτὸς διὰ τοῦ ἀγγέλου ἐνετείλατο τῷ Ἰωσήφ· »ἐγερθεὶς
παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον· μέλλει γὰρ Ἡρώ-
δης ζητεῖν τὴν ψυχὴν τοῦ παιδίου«. καὶ ἀποθανόντος δὲ Ἡρώδου φαίνεται δι' Ἀρχέ-
3 λαον τὸν υἱὸν αὐτοῦ ἀναχωρῶν εἰς τὴν Ναζαρέτ. ὅτε δὲ λοιπὸν καὶ θεὸν ἑαυτὸν

---

1 Vgl. II. Cor. 11, 32. 33   6 Vgl. Num. 35, 12   9 Mt. 10, 23   10 ff. Mt. 24, 15—18
21 Mt. 2, 13   23 Vgl. Mt. 2, 19. 22 f.

BKPO REFV DNW p Sokr.   17—18 ἐκκλῖναι = Georg. mon. 522, 3—5

---

2 καὶ — χεῖρας > Sokr. (Σ) | τοῦ ζητοῦντος] τούτου N   2/3 τῆς — λεγούσης] πῶς τοιαῦτα λέγουσι N   4 ὀνειδίζωσι N ὀνειδίζουσιν καὶ D | αὐτῶν + ὡς Sokr. | μαινομένων τὸ τόλμημα] μαίνονται N   4/5 ἂν δὲ καὶ] κἄν τε ὡς Sokr.   5 διαβάλωσιν P διαβάλλουσι N Sokr. | οὐκ εἰδότες εἰσὶ > N   6 νόμῳ + καὶ V | πρόσταξις — καὶ > N | καταταγῆναι W   6/7 φυγαδευτηρίους Sokr. (außer Σ) Georg. | φυγαδευτηρίων + ἦσαν N   7 δηποτοῦν VW | διασῴζεσθαι] διῶξαι ταύτας N   8 ἐπὶ — 9 λέγων] ὁ δὲ Χριστός τί φησιν p | δὲ doppelt N* | δὲ + τῇ DN | Μωσῇ RP Μωυσῇ VNW Μωυσῆς D   9 ταύτην > N | δὲ > N p Sokr. (Σ) | διώκουσιν D | ὑμᾶς] ἡμᾶς W p > F | ἐν — ταύτῃ] ἐκ τῆς πόλεως ταύτης Sokr. (außer Σ) Georg.   10 ἑτέραν] ἄλλην D | μετ' ὀλίγα φησίν] πάλιν p | οὖν] δὲ V > p | εἴδητε D   11 τὸ — προφήτου > p | ἑστὸς RE ἑστὼς rel. | ὁ ἀναγινώσκων νοείτω > p   12 ἐπὶ[1]] εἰς VDNW Sokr. Georg. | ὄρη + καὶ VDNW | ἐπὶ] ἐκ Sokr. (außer Σ) Georg. | καταβάτω VDN Georg. καταβαινέτω W | τὰ[2] + ἱμάτια F   13 ἐκ] ἐπὶ N | καὶ ὁ — 16 φέρων > p | ἐπιστρεψάτω VDN Sokr. Georg. ἀποστρεψάτω W | ὀπίσω > FV Sokr.   14 τοιαύτην] ταύτην N | τὴν > Sokr. | ἀγωγὴν] διαγωγὴν F   15 παρουσίας] πολιτείας VN   16 οὗτος + ὁ D | δ' ἂν] ἂν V | ὁ θεὸς > F | τοῦτο + χρὴ N   17 διὰ τοῦτο — ἡμᾶς] τοῦτο καὶ αὐτὸς p | ζητούμενος] γενόμενος V   17/18 ὡς ἡμεῖς ζητούμενος ∼ N | ὡς ἡμεῖς κρυβῆναι] κρυβῆναι ὡς ἄνθρωπος p | ἐκκλίνειν VW | ἔπρεπε] ἐπέτρεπε Sokr. (außer Σ) | ἔπρεπε — 20 ἄνθρωπον > p   19 ὡς] ὥσπερ DN | τοῦ[2]] τοῦτο D > N | τούτου VDNW Sokr. τοῦ B*KPOREF τοῦ κρύπτεσθαι καὶ φεύγειν B^{c}Comm. Montf. τοῦ κρύπτεσθαι K, von 1. Hd. a. Rd. hinzugefügt nach κρύπτεσθαι: καὶ φεύγειν δεικνύειν K, das Foto läßt nicht erkennen, ob κρύπτ. für δεικνύειν in den Text gesetzt wurde; vielleicht hatte K den gleichen Text wie B*   20 ἑαυτὸν] αὐτὸν B | φοροῦντα — ἄνθρωπον] ἐναθρωπήσαντα Sokr. | ἐξ ἀρχῆς μὲν > N | γὰρ > E Sokr. | μὲν — 21 ἄνθρωπος] γὰρ p | ἅμα γὰρ ∼ N   21 ὅτε > VDNW | ἦν] ὢν V | αὐτὸς] αὐτός· καὶ DW καὶ αὐτὸς N   23 τὴν ψυχὴν τοῦ παιδίου] τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό p | δὲ + τοῦ Np   24 ἀναχωρεῖν p | ὅτε — 77, 2 ἐκεῖθεν > p | Ναζαρά RED | ἑαυτὸν] αὐτὸν P*WV ἑαυτὸν P^{c}

ἐδείκνυε καὶ τὴν ξηρὰν χεῖρα πεποίηκεν ὑγιῆ, »οἱ μὲν Φαρισαῖοι ἐξελθόντες συμβούλιον
ἔλαβον κατ' αὐτοῦ ὅπως αὐτὸν ἀπολέσωσιν, ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν«.
καὶ γὰρ καὶ ὅτε τὸν Λάζαρον ἤγειρεν ἐκ νεκρῶν, »ἀπ' ἐκείνης«, φησί, »τῆς ἡμέρας ἐβουλεύ- 4
σαντο, ἵνα ἀποκτείνωσιν αὐτόν. ὁ οὖν Ἰησοῦς οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς C
Ἰουδαίοις, ἀλλ' ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου«. εἶτα λέγοντος 5
τοῦ σωτῆρος· »πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι. οἱ μὲν Ἰουδαῖοι ἦραν λίθους, ἵνα βάλωσιν
ἐπ' αὐτόν· ὁ δὲ Ἰησοῦς ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ καὶ διελθὼν διὰ μέσου αὐτῶν
ἐπορεύετο καὶ παρῆγεν οὕτως«.
Ἆρα ταῦτα βλέποντες, μᾶλλον δὲ κἂν ἀκούοντες, ἐπεὶ μὴ βλέπουσι, πῶς κατὰ τὸ 13, 1
γεγραμμένον »οὐ θελήσουσι γενέσθαι πυρίκαυστοι«, ὅτι ἐναντία ὧν ὁ κύριος ποιεῖ καὶ
διδάσκει βουλεύονται καὶ φθέγγονται; καὶ γὰρ ὅτε Ἰωάννης μεμαρτύρηκε καὶ »οἱ 2
μαθηταὶ τὸ σῶμα ἔθαψαν, ἀκούσας ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον
τόπον κατ' ἰδίαν«. ὁ μὲν οὖν κύριος ἐποίει ταῦτα καὶ οὕτως ἐδίδασκεν. εἴθε δὲ οὗτοι 3
κἂν οὕτως αἰσχυνθῶσι καὶ μέχρι τῶν ἀνθρώπων στήσωσιν ἑαυτῶν τὴν προπέτειαν, D
καὶ μὴ πλέον μανέντες ἐγκαλέσωσι καὶ τῷ σωτῆρι δειλίαν ἅπαξ κατ' αὐτοῦ βλασφημεῖν
μελετήσαντες. ἀλλ' οὔτε μαινομένων αὐτῶν τις ἀνέξεται, μᾶλλον δὲ καὶ τὰ εὐαγγέλια
μὴ νοοῦντες ἐλεγχθήσονται. ἔστι γὰρ ἡ πρόφασις τῆς τοιαύτης ἀναχωρήσεως καὶ 4
φυγῆς εὔλογος καὶ ἀληθής, ἣν ἐπὶ | μὲν τοῦ σωτῆρος κειμένην οἱ εὐαγγελισταὶ ἀπεμ- M 661 A
νημόνευσαν. δεῖ δὲ ἡμᾶς ἐκ τούτου καὶ ἐπὶ πάντων τῶν ἁγίων τὴν αὐτὴν λογί- 5
ζεσθαι — ἃ γὰρ περὶ τοῦ σωτῆρος ἀνθρωπίνως γέγραπται, ταῦτα τῷ κοινῷ γένει τῶν
ἀνθρώπων ἀναφέρεσθαι προσήκει· τὸ γὰρ ἡμῶν ἐκεῖνος ἐφόρεσε σῶμα, καὶ τὴν ἀνθρω-
πίνην ἀσθένειαν ἐνεδείκνυτο —, ἣν ὁ Ἰωάννης ἔγραψεν οὕτως· »ἐζήτουν αὐτὸν πιάσαι,
καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, | ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ«. καὶ 6 B 328
γὰρ καὶ πρὸ τοῦ ταύτην ἐλθεῖν, ἔλεγεν αὐτὸς τῇ μὲν μητρί· »οὔπω ἧλθεν ἡ ὥρα μου«,
τοῖς δὲ χρηματίσασιν ἀδελφοῖς αὐτοῦ· »ὁ ἐμὸς καιρὸς οὔπω πάρεστι«. πάλιν τε ἐλθόντος
τοῦ καιροῦ ἔλεγε τοῖς μαθηταῖς· »καθεύδετε λοιπὸν καὶ ἀναπαύεσθε· ἰδοὺ γὰρ ἤγγικεν
ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν«. B

---

1 Mt. 12, 14. 15 3 Joh. 11, 53. 54 6 Joh. 8, 58. 59, Text wie Codd. NT: ACℜ u. a. 9 Jes. 9, 4 11 f. Vgl. Mt. 14, 12. 13 22 Joh. 7, 30 24 Joh. 2, 4 25 Joh. 7, 6 26 Mt. 26, 45

BKPO REFV DNW p Sokr.

---

1 ἐποίησεν VW 2 ἔλαβον] ἐποίουν Sokr. (außer Σ) 3 γὰρ > p | καί[2] BKPOEF Sokr. > RVDNWp 4 οὖν] γοῦν p 4/5 τοῖς Ἰουδαίοις] τῇ Ἰουδαίᾳ VW 5 ἐκεῖθεν > DN | εἶτα — 7 αὐτόν] καὶ αὖθις p 6 μὲν + οὖν D | ἦραν] ἔλαβον Sokr. (außer Σ) | βάλλωσιν PFN* 7 καί[2] — 13 ἰδίαν > p 8 παρῆγεν] παρῆλθεν VW 9 κἂν ἀκούοντες] κατανοοῦντες Sokr. (außer Σ Cass.) | πῶς > Sokr. (außer Σ Cass.) 10 θέλουσι VDNW | κύριος] θεὸς VDNW | ἐποίει DN 11 βούλονται VDNW 12 σῶμα] πτῶμα VDNW | ὁ > VDN 13 ταῦτα ἐποίει ~ p | ταῦτα οὕτω καὶ ~ N | οὕτως > F 14 στήσουσιν RF | τὴν ἑαυτῶν ~ p 15 βλασφημεῖν κατ' αὐτοῦ ~ p 17 γὰρ] δὲ E | τῆς τοιαύτης ἀναχωρήσεως ἡ πρόφασις ~ E | ἀναχωρήσεως + ὡς R*E, getilgt R^{c} 17/18 καὶ φυγῆς > p 18 ἀληθῶς D | ἣν — 22 οὕτως > p | μὲν > BE | οἱ (> N) εὐαγγελισταὶ κειμένην ~ VDNW Sokr. 19 καὶ > Sokr. (außer Σ Cass.) 20 περὶ] ἐπὶ Sokr. | γένει] τῷ D 20/21 τῶν ἀνθρώπων γένει ~ N 21 ἀναφέρειν DNW | τὸ] τὰ Sokr. | ἐκεῖνο EV | ἐφόρεσε — 22 ἀσθένειαν] ἀνεδέξατο καὶ τὰ τῆς ἡμετέρας ἀσθενείας πάθη Sokr. 22 ἀνεδείκνυτο D ἐδείκνυτο EV | ἐνεδείκνυτο + ἔστι δὲ ἡ πρόφασις DNW | ἣν] ἣν καὶ F ἅπερ Sokr. | ὁ > N | ἔγραφεν Sokr. ὑπέγραψεν N | οὕτως + καὶ p | ἐζήτουν — 23 καί[1] > D | ἐζήτουν + οὖν NW | πιάσαι αὐτὸν ~ NW | πιάσαι + φησί p 23 ἐπέβαλλεν DW | τὰς χεῖρας V Sokr. 24 καὶ > DNW | μὲν μητρὶ] μητρὶ αὐτοῦ p | ἦλθεν DNW Sokr. ἥκει BKPO REFV p 25 τε] δὲ NW 26 λοιπὸν K*OREFVDW Sokr. τὸ λοιπὸν BK^{c}PNp | γὰρ > PDN Sokr. (Σ) 27 παραδίδοται] παραδοθήσεται Sokr. (außer Σ) | χεῖρας + ἀνθρώπων KF

14, 1 Ὡς μὲν οὖν θεὸς καὶ λόγος ὢν τοῦ πατρὸς καιρὸν οὐκ εἶχεν· αὐτὸς γὰρ τῶν
καιρῶν ἐστι δημιουργός· ἄνθρωπος δὲ γενόμενος καὶ τοῦτο λέγων δείκνυσιν ἑκάστῳ τῶν
ἀνθρώπων χρόνον εἶναι μεμετρημένον, καὶ χρόνον οὐ τὸν κατὰ τύχην, ὥς τινες τῶν Ἑλ-
λήνων νομίζοντες μυθολογοῦσιν, ἀλλ' ὃν αὐτὸς δημιουργὸς ὤν, ὡς ἠθέλησεν ὁ πατήρ,
2 ὥρισεν ἑκάστῳ. καὶ τοῦτο γέγραπται καὶ πᾶσι γέγονε φανερόν. εἰ γὰρ καὶ κέκρυπται
καὶ λανθάνει πάντας ἀνθρώπους τὸ πῶς καὶ τὸ πόσον ἑκάστῳ μεμέτρηται, ἀλλ' ὅμως
πᾶς ὁστισοῦν οἶδεν, ὅτι ὡς ἔαρος καὶ θέρους καὶ φθινοπώρου καὶ χειμῶνός ἐστι καιρός,
3 οὕτως κατὰ τὸ γεγραμμένον »καιρὸς τοῦ ἀποθανεῖν καὶ καιρὸς τοῦ ζῆν ἐστι«. διὰ
C τοῦτο τῆς μὲν κατὰ Νῶε γενεᾶς ὁ χρόνος ἀπετμήθη καὶ ὡς τοῦ καιροῦ πάντων παρ-
όντος συνεστάλη τὰ ἔτη, καὶ τῷ Ἐζεκίᾳ προσετέθησαν ἔτη δέκα καὶ πέντε· τοῦ δὲ
θεοῦ ἐπαγγελλομένου τοῖς γνησίως αὐτῷ λατρεύουσιν, ὅτι »τὸν ἀριθμὸν τῶν ἡμερῶν
σου ἀναπληρώσω«, ὁ μὲν Ἀβραὰμ »πλήρης ἡμερῶν« ἀποθνήσκει, ὁ δὲ Δαυὶδ παρεκάλει
4 λέγων »μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου«. καὶ ὁ μὲν εἷς τῶν φίλων τοῦ Ἰὼβ
Ἐλιφὰζ τοῦτο καλῶς εἰδὼς ἔλεγεν· »ἐλεύσῃ δὲ ἐν τάφῳ ὥσπερ σῖτος ὥριμος κατὰ καιρὸν
θεριζόμενος ἢ ὥσπερ θημωνία ἅλωνος καθ' ὥραν συγκομισθεῖσα«, ὁ δὲ Σολομὼν ἐπισφρα-
γίζων τούτου τὴν φωνήν φησιν· »ἀφαιροῦνται ἄωροι ψυχαὶ παρανόμων«. διὸ καὶ
παραινεῖ ἐν τῷ Ἐκκλησιαστῇ λέγων· »μὴ ἀσεβήσῃς πολύ, καὶ μὴ γίνου σκληρός, ἵνα
μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου«.
15, 1 Ὥσπερ δὲ ταῦτα γέγραπται, δείκνυσιν ὁ | λόγος τοὺς ἁγίους εἰδέναι χρόνον
M 664 A ἑκάστῳ μεμετρημένον. τοῦ δὲ μηδένα γινώσκειν τὸ τέλος τοῦ χρόνου γνώρισμα τὸ λέγειν
τὸν Δαυίδ· »τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι«, ὃ γὰρ οὐκ ἠπίστατο
2 τοῦτο μαθεῖν ἠξίου. διὰ τοῦτο γοῦν ὁ πλούσιος νομίζων ἔτι πολὺν ζήσεσθαι χρόνον
ἤκουσεν· »ἄφρον, ταύτῃ τῇ νυκτὶ ζητοῦσί σου τὴν ψυχήν· ἃ δὲ ἡτοίμασας τίνι ἔσται;«
ὁ δὲ Ἐκκλησιαστὴς ἀποφαίνεται θαρρῶν τῷ πνεύματι τῷ ἁγίῳ καί φησι· »καί γε οὐκ
ἔγνω ἄνθρωπος τὸν καιρὸν αὐτοῦ«. διὰ τοῦτο γὰρ καὶ ὁ πατριάρχης Ἰσαὰκ ἔλεγε τῷ
υἱῷ αὐτοῦ Ἠσαῦ· »ἰδοὺ ἐγὼ γεγήρακα καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου«.
B 329 3 ὁ μὲν | οὖν κύριος, καίτοι θεὸς ὢν καὶ λόγος τοῦ πατρὸς καὶ εἰδὼς τὸν μετρηθέντα τοῖς
B πᾶσι δι' αὐτοῦ καιρὸν καὶ γινώσκων ὃν αὐτὸς ὥρισε καὶ τῷ ἰδίῳ σώματι χρόνον εἰς τὸ
παθεῖν, ἐπειδὴ δι' ἡμᾶς ἄνθρωπος γέγονε, τὰς μὲν πρὸ τοῦ τὸν χρόνον ἐλθεῖν ἡμέρας καὶ
αὐτὸς ὡς ἡμεῖς ἐκρύπτετο ζητούμενος διωκόμενός τε ἔφευγε καὶ τὰς ἐπιβουλὰς ἐκκλίνων

---

1 Zu δημιουργὸς τῶν καιρῶν Philo, Quod deus sit immut. 31 (II 63, 3 Cohn-Wendland), zur Sache vgl. Hebr. 11, 3 u. Athan. de decretis 18, 2 (II 15, 19) 8 Eccl. 3, 2 9 Vgl. Gen. 6, 13 10 Vgl. Jes. 38, 5 11 Ex. 23, 26 12 Gen. 25, 8 13 Ps. 101, 25 14 Hi. 5, 26 16 Prov. 11, 30 17 Eccl. 7, 17 21 Ps. 101, 24 23 Lc. 12, 20 24 Eccl. 9, 12 26 Gen. 27, 2

BKPO REFV DNW p

---

2 a. Rd.: ὅτι ὥρισται ὁ χρόνος ἑκάστου K 4 δημιουργὸς ὤν] ὁ δημιουργὸς DNW 6 τὸ[2] > DNW | πόσον] πᾶσιν D | μεμέτρηται ἑκάστῳ ~ V 7 ὁστισοῦν] τις οὖν N | οἶδεν ὅτι ὡς] ἐστὶν ἀρτίως D | ὅτι > B | ἔαρος a. Rd. W sp. Hd., im Text: ἀέρος W | ἐστι > V 8 καιρὸς[2] > N 9 ὁ > R 10 ἔτη] ἔθνη DN | καὶ τῷ] τῷ δὲ W | καὶ[2] > DNW | δὲ > W 11 ἐπαγγειλαμένου W 12 σου > N | παρακαλεῖ DNW 13 εἷς > W | τοῦ > EVDNW 14 Ἐλειφάς D Ἐλιφάτζ W | ἐν τάφῳ > W 15 δὲ > N | Σαλομὼν DN 16 ἀναιροῦνται DN | ἀφαιροῦνται + δὲ DNW 19 δὲ ταῦτα γέγραπται] γὰρ τούτων γεγραμμένων N | γέγραπται] ἐσύνωπται D 20 ἑκάστῳ BKPO p ἑκάστῳ τῶν ἀνθρώπων REFV ἑκάστῳ τῶν ἀνθρώπων ὄντα DNW | ἑκάστῳ + χρόνον O, aber exp. | τοῦ δὲ] οὕτω τοῦ DNW | τὸ[2]] τοῦ B*REDN*W τὸ B[c]N[c] 22 ἔτι] ἐπὶ DNW | πολὺ W 23 ἄφρων REDN* | ταύτην τὴν νύκταν D | ζητοῦσί σου τὴν ψυχήν] τὴν ψυχήν σου ζητοῦσι ~ W ἀπαιτοῦσι τὴν ψυχήν σου ἀπὸ σοῦ N | τὴν ψυχήν σου ~ F p 24 καί γε > W 25 γὰρ > EV 26 αὐτοῦ + τῷ REFVDN | τὴν ἡμέραν] τὸν καιρὸν P 27 κύριος] θεός K | μετρημένον p 28 καὶ[2] > VW 29 ἡμᾶς + καὶ DNW | μὲν + οὖν B* (exp. B[c]) W 30 ὡς ἡμεῖς doppelt P

οὕτως διήρχετο καὶ »διὰ μέσου αὐτῶν ἐπορεύετο«· ὅτε δὲ καὶ τὸν ὁρισθέντα παρ' αὐτοῦ
καιρὸν ἤγαγεν αὐτός, ἐν ᾧ καὶ παθεῖν σωματικῶς ὑπὲρ πάντων ἤθελε, τοῦτον μὲν προσ-
φωνεῖ τῷ πατρὶ λέγων· »πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱόν«, οὐκέτι δὲ
λοιπὸν τοὺς ζητοῦντας ἐκρύπτετο, ἀλλ' εἱστήκει θέλων κρατηθῆναι παρ' αὐτῶν. εἶπε 4
γάρ, φησί, τοῖς ἐλθοῦσι πρὸς αὐτόν· »τίνα ζητεῖτε; τῶν δὲ ἀποκριναμένων· Ἰησοῦν
τὸν Ναζωραῖον, ἔλεγεν αὐτοῖς· ἐγώ εἰμι ὃν ζητεῖτε«, καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ καὶ C
δεύτερον πεποίηκε· καὶ οὕτως λοιπὸν ἀπήγαγον αὐτὸν πρὸς τὸν Πιλάτον. οὔτε 5
δὲ πρὸ τοῦ τὸν χρόνον ἐλθεῖν ἤφιεν ἑαυτὸν κρατεῖσθαι οὔτε τοῦ καιροῦ παρόντος ἐκρύπ-
τετο, ἀλλὰ καὶ ἔκδοτον ἑαυτὸν ἐδίδου τοῖς ἐπιβουλεύουσιν, ἵνα δείξῃ πᾶσι τῆς ἄνωθεν
κρίσεως ἠρτῆσθαι τὴν ζωὴν καὶ τὸν θάνατον τῶν ἀνθρώπων καὶ ὅτι ἄνευ τοῦ πατρὸς ἡμῶν
τοῦ ἐν τοῖς οὐρανοῖς οὐδὲ θρὶξ ἀνθρώπου δύναται λευκὴ ἢ μέλαινα γενέσθαι οὐδὲ στρου-
θίον εἰς παγίδα ἐμπεσεῖν ποτε.

Ὁ μὲν οὖν κύριος οὕτως ἑαυτὸν προσῆγεν ὑπὲρ πάντων, ὡς προείρηται· οἱ δὲ **16, 1**
ἅγιοι καὶ τοῦτον τὸν τύπον παρὰ τοῦ σωτῆρος μαθόντες (παρ' αὐτοῦ γὰρ καὶ πρὸ
τούτου καὶ ἀεὶ καὶ πάντοτε ἐδιδάσκοντο) πρὸς μὲν τοὺς διώκοντας ἀγωνιζόμενοι νομίμως D
ἔφευγον καὶ ζητούμενοι παρ' αὐτῶν ἐκρύπτοντο, ἀγνοοῦντες δὲ ὡς ἄνθρωποι τοῦ 2
ὁρισθέντος αὐτοῖς παρὰ τῆς προνοίας χρόνου τὸ τέλος οὐκ ἐβούλοντο παρέχειν ἁπλῶς
ἑαυτοὺς ἐκδότους τοῖς ἐπιβουλεύουσιν· εἰδότες δὲ πάλιν τὸ γεγραμμένον, ὅτι »ἐν ταῖς
χερσὶ τοῦ θεοῦ εἰσιν οἱ κλῆροι« τῶν ἀνθρώπων καὶ »κύριος θανατοῖ καὶ κύριος ζωοποιεῖ«,
μᾶλλον ἕως τέλους ὑπέμενον, | ὡς εἴρηκεν ὁ ἀπόστολος· »περιερχόμενοι ἐν μηλω- 3 M 665 A
ταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, κακουχούμενοι, ἐπὶ ἐρημίαις πλανώμενοι, καὶ
ἐν σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς« κρυπτόμενοι, ἕως ἂν ἢ ὁ ὡρισμένος τοῦ θανάτου
χρόνος ἔλθῃ ἢ ὁ τὸν χρόνον ὁρίσας θεὸς λαλήσῃ πρὸς αὐτοὺς καὶ παύσῃ τοὺς ἐπιβου-
λεύοντας ἢ δηλονότι παραδῷ τοὺς διωκομένους τοῖς διώκουσιν, ὡς ἂν αὐτῷ δόξῃ καλῶς
ἔχειν. καὶ τοῦτο περὶ πάντων ἀπὸ τοῦ Δαυὶδ ἔστι μαθεῖν καλῶς· ὅτε γὰρ κατὰ τοῦ 4
Σαοὺλ παρώξυνεν αὐτὸν Ἰωάβ, ἔλεγεν αὐτός· »ζῇ κύριος, ἐὰν μὴ ὁ κύριος αὐτὸν παίσῃ
ἢ ἔλθῃ ἡ ἡμέρα« τοῦ θανάτου αὐτοῦ, »ἢ καταβῇ εἰς πόλεμον καὶ προστεθῇ« εἰς τοὺς
ὑπεναντίους, οὐ μὴ ἐποίσω »χεῖρά μου ἐπὶ χριστὸν κυρίου«. | B 330

Εἰ δέ ποτε καὶ φεύγοντες προσήρχοντο τοῖς ζητοῦσιν, οὐδὲ τοῦτο ἁπλῶς ἔπραττον· **17, 1** B
τοῦ γὰρ πνεύματος λαλοῦντος αὐτοῖς οὕτως ἀπήντων ἐκείνοις θεοφιλεῖς τυγχάνοντες
καὶ οὕτω πάλιν τὴν ἑαυτῶν ὑπακοὴν καὶ προθυμίαν ἐπιδεικνύμενοι. οἷος ἦν Ἠλίας

---

1 Lc. 4, 30   3 Joh. 17, 1   5 Joh. 18, 5. 6   11 Vgl. Mt. 5, 36; 10, 29   18 Ps. 30, 16   19 I. Reg. 2, 6   20 Heb. 11, 37. 38   26 I. Reg. 26, 10. 11   31 f. Vgl. III. Reg. 18, 1 ff.

BKPO REFV DNW p   7 οὔτε — 9 ἐπιβουλεύουσιν = Sokr. hist. eccl. III 8, 42 (710, 11—13)

---

2 ἤγαγεν + καὶ D | καὶ > BKO | σωματικῶς παθεῖν ~ F | τοῦτον] τότε N   3 τῷ πατρὶ προσφωνεῖ ~ FW | δὲ > F   4 λοιπὸν > N | τοὺς ζητοῦντας λοιπὸν ~ EV | παρ'] ὑπ' B   5 τοῖς ἐλθοῦσι φησὶν ~ DN | πρὸς] ἐπ' DNW   6 Ναζαραῖον P | ἅπαξ] ἁπλῶς D   7 ἀπῆγον W | αὐτὸν > p   8 πρὸ] πρὸς N* | ἠφίει W | ἑαυτὸν] αὐτὸν p   9 ἐπεδίδου N   10 ὅτι DNW > rel.   11 τοῖς > DW p | οὐδὲ[1]] οὔτε DNW | οὐδὲ[2]] οὔτε DNW   12 ἐμπεσεῖν εἰς παγίδα ~ DNW   13 ὡς προείρηται] ὥσπερ εἴρηται DNW   14 σωτῆρος] κυρίου p   15 καὶ[2] NW > rel. | πάντοτε DNW πάντες rel. | μὲν + οὖν p   16 ἔφυγον DW   18 ἐκδότους ἑαυτοὺς ~ N | δὲ > DN   19 εἰσι τοῦ θεοῦ ~ D | οἱ κλῆροι τῶν ἀνθρώπων εἰσί ~ N | κύριος[2] > VN | ζωογονεῖ VN   20 περιερχόμενον D   21 ὑστερούμενοι + θλιβόμενοι D | κακοχούμενοι DNW*p | ἐπὶ] ἐν KF   22 ἐν > K* (nachgetr. K[c]) p | ἢ > DN | ὁ > B* nachgetr. B[c]   22/23 χρόνος τοῦ θανάτου ~ N   23 ἔλθοι P p | ἢ] καὶ W   24 δηλονότι > DNW   25 μαθεῖν] παθεῖν p   26 αὐτὸν[1] + ὁ DNW | αὐτὸς] αὐτῷ N | ζῇ κύριος > B | ὁ > p | παίσῃ] παύσῃ p παιδεύσῃ DNW   27 ἡ > p | προστεθῇ] προστὰς p | εἰς[2]] πρὸς DNW   31 πάλιν > EV | ἑαυτῶν] αὐτῶν p | ἐπιδεικνύμενοι] ἐπεδείκνυντο V

ἀκούων παρὰ τοῦ πνεύματος καὶ φαινόμενος τῷ Ἀχαάβ, Μιχαίας τε ὁ προφήτης ἐρχό-
μενος πρὸς αὐτὸν τὸν Ἀχαάβ, καὶ ὁ ἐπικαλεσάμενος προφήτης ἐπὶ τὸ θυσιαστήριον τῆς
2 Σαμαρείας καὶ ἐντρέπων τὸν Ῥοβοάμ, καὶ Παῦλος ἐπικαλούμενος Καίσαρα. οὐ γὰρ
δὴ διὰ δειλίαν ἔφευγον, μὴ γένοιτο· μᾶλλον γὰρ τὴν φυγὴν εἶχον ἀγῶνα καὶ μελέτην
κατὰ τοῦ θανάτου. ἀλλὰ δύο ταῦτ' ἐφύλαττον καὶ ἐβουλεύοντο καλῶς, ὅτε μήτε ἑαυτοὺς
C ἁπλῶς προσῆγον (τοῦτο γὰρ ἦν ἑαυτὸν ἀποκτεῖναι ὑπεύθυνόν τε θανάτου γενέσθαι
καὶ ἀντιπρᾶξαι τῷ κυρίῳ λέγοντι· »ἃ ὁ θεὸς ἔζευξεν ἄνθρωπος μὴ χωριζέτω«) μήτε
μέμψιν ὀλιγωρίας ἤθελον ὑπομένειν ὡς ἀτονήσαντες πρὸς τὰς ἐν τῇ φυγῇ θλίψεις μείζονα
3 καὶ δεινότερον πόνον ἐχούσας τοῦ θανάτου. ὁ μὲν γὰρ ἀποθανὼν πέπαυται τοῦ
πονεῖν, ὁ δὲ φεύγων προσδοκῶν καθ' ἡμέραν τὰς παρὰ τῶν ἐχθρῶν ἐφόδους κουφότερον
ἡγεῖται τὸν θάνατον· ὥστε καὶ τοὺς ἐν τῇ φυγῇ τελειωθέντας μὴ ἀκλεῶς ἀποθνήσκειν,
4 ἀλλ' ἔχειν καὶ αὐτοὺς τοῦ μαρτυρίου τὸ καύχημα. διὰ τοῦτο γὰρ καὶ ὁ Ἰὼβ ἐν ἀν-
δρείᾳ μέγας ἐγνώσθη, ἐπειδὴ ζῶν τοσούτους καὶ τηλικούτους ὑπέμεινε πόνους, ὧν οὐδε-
5 μίαν αἴσθησιν ἐλάμβανεν, εἰ τελευτήσας ἦν. διὰ τοῦτο καὶ αὐτοὶ οἱ μακάριοι πατέ-
D ρες τοιαύτην εἶχον τῆς πολιτείας τὴν ἀγωγήν, διωκόμενοι μὲν γὰρ οὐκ ἐδειλίων, ἀλλὰ
καὶ μᾶλλον ἐδείκνυον ἑαυτῶν τὴν τῆς ψυχῆς ἀνδρείαν οὕτως ἐν πνιγηροῖς καὶ σκοτεινοῖς
τόποις ἑαυτοὺς κατακλείοντες καὶ σκληρῶς ἑαυτοὺς ἄγοντες, παρόντα δὲ πάλιν τοῦ
M 668 A 6 θανάτου τὸν καιρὸν οὐ παρῃτοῦντο. ἔμελε | γὰρ αὐτοῖς μήτε τοῦτον παρόντα πτήσ-
σειν μήτε τὴν ὡρισμένην παρὰ τῆς προνοίας κρίσιν προλαμβάνειν μήτ' αὖ πρὸς τὴν
οἰκονομίαν αὐτῆς ἀντιπράττειν, εἰς ἣν καὶ φυλαττομένους ἑαυτοὺς ἐγίνωσκον, ἵνα μὴ
καὶ προπετῶς πράττοντες ἑαυτοῖς αἴτιοι τοῦ πτοεῖσθαι γένωνται. οὕτω γὰρ καὶ γέ-
γραπται· »ὁ προπετὴς χείλεσι πτοήσει ἑαυτόν«.

18, 1 Ἀμέλει τοσοῦτον ἦσαν παρεσκευασμένοι πρὸς τὴν τῆς ἀνδρείας ἀρετήν, ὡς μηδὲ
τὸν τυχόντα δύνασθαι διστάσαι περὶ τούτου. ὁ μὲν γὰρ πατριάρχης Ἰακὼβ φεύγων
πρότερον τὸν Ἡσαῦ οὐκ ἐφοβήθη παρόντα τὸν θάνατον, μᾶλλον γὰρ ἐν αὐτῷ τῷ καιρῷ
2 κατ' ἀξίαν ἕκαστον τῶν πατριαρχῶν ηὐλόγει. ὁ δὲ μέγας Μωσῆς κρυπτόμενος πρὸ
B τούτου τὸν Φαραὼ καὶ δι' αὐτὸν ἀποδημήσας εἰς Μαδιὰμ ἀκούσας· »ἄπελθε εἰς Αἴγυπ-
τον« οὐκ ἐφοβήθη, πάλιν τε προσταχθείς· »ἀνάβηθι εἰς τὸ ὄρος τὸ Ἀβαρεὶ καὶ τελεύτα«
B 331 3 οὐ δειλιάσας | ἀπέμεινεν, ἀλλὰ ἄσμενος ὥρμησεν εἰς αὐτό. καὶ ὁ μὲν Δαυὶδ φεύγων

---

1 Vgl. III. Reg. 22, 15 2 Vgl. III. Reg. 13, 2; Z. 3 ist Ῥοβοάμ ein Fehler des Athanasius, es muß Ἱεροβοάμ heißen, wie Dp verbessern 3 Act. 25, 11 7 Mt. 19, 6 22 Prov. 13, 3 25 Vgl. Gen. 49 27 Ex. 4, 19 28 Dtn. 32, 49. 50

BKPO REFV DNW p (bis 24 φεύγων)

---

1 Μιχαίας — 2 Ἀχαάβ > p 2 τὸ θυσιαστήριον a. Rd. N, τὸν ναὸν im Text N 3 Ῥοβοάμ] Ἱεροβοάμ D p | ὁ (> N) ἐπικαλεσάμενος DN vgl. Z. 2 4 δὴ > N | ἔφευγε DW | μὴ γένοιτο > EV 5 κατὰ > p | ἀλλὰ + τὰ N | καὶ > W | ὅτε B*KPOREFV*p ὅτι B^{c}V^{c}DNW | ἑαυτοὺς] αὐτοὺς EV 6 ἁπλῶς > N | προσῆγον ἁπλῶς ~ K | τοῦτο — 7 χωριζέτω > N | ἑαυτὸν] ἑαυτῶν E* (aber ἑαυτὸν E^c) ἑαυτοὺς V | ὑπευθύνους V | a. Rd. eine Hand des 13. Jhdt. (?): novus sensus: quae deus coniunxit homo non separet F | θανάτῳ V 7 κυρίῳ] θεῷ Bp | συνέζευξεν VD p | μήτε] οὔτε V 8 τῇ > B 9 ἔχουσαν D 10 παρὰ] ἀπὸ F 11 ἀκλεεῖς N 13 ὑπέμεινε] ὑπέστη FN 14 ἐλάμβανεν + ἂν V 15 μὲν > W*, v. sp. Hd. W^c 16 καὶ^1 > DN | ἑαυτῶν] αὐτῶν p | σκοτεινοῖς καὶ πνιγηροῖς ~ V 18 ἔμελλε EFDN*W | πτήσσειν — 19 τὴν^2 > p 19 κρίσιν] κλῆσιν B 21 πράττοντες] πάσχοντες p | ἑαυτοῖς] ἑαυτῶν REF*DNW | πτοεῖσθαι] φοβεῖσθαι N 22 ὁ] ὅτι NW | πτόησις N | ἑαυτοῦ N 24 γὰρ > N* | mit φεύγων endet p mitten in der Kolumne. 26 Μωυσῆς NW 28 τε] δὲ N | ἀνάβηθι KVDNW ἀναβῆναι BPOREF | Ἀβὰρ N | τελευτᾶν Comm. Montf. 29 ἀλλὰ BKPO ἀλλὰ καὶ REFVDNW | ἀσμένως DNW | εἰς] πρὸς F | αὐτό KR^{c}FDN αὐτόν BPOR*EVW | Δαυὶδ μὲν ~ W

πρότερον τὸν Σαοὺλ οὐκ ἐφοβεῖτο προκινδυνεύων ἐν τοῖς πολέμοις ὑπὲρ τῶν λαῶν, ἀλλὰ
καὶ περὶ θανάτου καὶ φυγῆς αἵρεσιν ἀκούσας ἐξὸν αὐτῷ φεύγειν καὶ ζῆν, μᾶλλον εἵλετο
τὸν θάνατον ὁ σοφός. ὁ δὲ μέγας Ἡλίας κρυπτόμενος πάλαι τὴν Ἰεζάβελ οὐκ ἐδει- 4
λίασεν ἀκούσας παρὰ τοῦ πνεύματος ἀπαντῆσαι τῷ Ἀχαὰβ καὶ τὸν Ὀχοζίαν ἐλέγξαι.
Πέτρος δὲ ὁ διὰ τὸν φόβον τῶν Ἰουδαίων κρυπτόμενος καὶ Παῦλος ὁ ἀπόστολος ἐν σαρ- 5
γάνῃ χαλασθεὶς καὶ φυγὼν ἀκούσαντες »εἰς Ῥώμην δεῖ ὑμᾶς μαρτυρῆσαι« οὐκ ἀνεβά- C
λοντο τὴν ἀποδημίαν, χαίροντες δὲ μᾶλλον ἀπῆλθον. καὶ ὁ μὲν ὡς πρὸς τοὺς ἰδίους σπεύ-
δων ἐγάννυτο σφαζόμενος, ὁ δὲ καὶ παρόντα τὸν καιρὸν οὐ κατέπτησσεν, ἀλλὰ καὶ ἐκαυ-
χᾶτο λέγων· »ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκε«.
Ταῦτα δὲ οὔτε τὴν προτέραν αὐτῶν φυγὴν κατὰ δειλίαν γεγενῆσθαι δείκνυσιν οὔτε 19, 1
τὰ νῦν τὴν τυχοῦσαν αὐτοῖς πρᾶξιν μαρτυρεῖ, μεγάλην δέ τινα τῆς ἀνδρείας αὐτῶν τὴν
ἀρετὴν ἀνακηρύττει. οὐδὲ γὰρ ἀντὶ ῥαθυμίας εἶχον τὴν ἀναχώρησιν, ἀλλὰ καὶ μείζονα 2
τότε τὸν τόνον τῆς ἀσκήσεως ἐπέτεινον. οὐδὲ κατεγινώσκοντο φεύγοντες οὐδὲ κατηγο-
ροῦντο δειλίας παρὰ τοιούτων οἷοι νῦν εἰσιν οὗτοι οἱ φιλαίτιοι, ἀλλὰ καὶ μᾶλλον ἐμα-
καρίζοντο παρὰ τοῦ κυρίου λέγοντος· »μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης«. 3 D
ἀλλ' οὐδὲ ἀνωφελὴς αὐτοῖς ὁ τοιοῦτος ἐγίνετο κάματος· ὡς γὰρ »χρυσὸν ἐν χωνευτηρίῳ
δοκιμασθέντας«, ὡς εἶπεν ἡ σοφία, »εὕρισκεν αὐτοὺς ὁ θεὸς ἀξίους ἑαυτοῦ«. καὶ αὐτοὶ τότε
μᾶλλον »ὡς σπινθῆρες ἀνέλαμπον« σῳζόμενοι μὲν ἀπὸ τῶν | καταδιωκόντων αὐτούς, M 669 A
ῥυσθέντες δὲ ἐκ τῶν ἐπιβούλων καὶ διὰ τοῦτο φυλαχθέντες τοῖς λαοῖς εἰς διδασκαλίαν,
ὥστε καὶ τὴν φυγὴν αὐτῶν καὶ τὸ διαδρᾶναι τῶν ζητούντων τὸν θυμὸν κατ' οἰκονομίαν
τοῦ κυρίου γεγενῆσθαι. τότε γὰρ οὕτως καὶ θεοφιλεῖς ἐγίνοντο καὶ καλλίστην εἶχον τῆς
ἀνδραγαθίας τὴν μαρτυρίαν.
Ὁ γοῦν πατριάρχης Ἰακὼβ φεύγων πλειόνων ὀπτασιῶν καὶ τούτων θείων κατη- 20, 1
ξιοῦτο, καὶ μᾶλλον ἠρεμῶν αὐτὸς ἔσχεν ὑπὲρ ἑαυτοῦ τὸν κύριον τὸν μὲν Λάβαν ἐντρέ-
ποντα, τὸν δὲ Ἡσαῦ ἐμποδίζοντα. καὶ μετὰ ταῦτα γέγονε τοῦ Ἰούδα πατήρ, ἐξ οὗ
κατὰ σάρκα ἀνέτειλεν ὁ κύριος, καὶ τὰς εὐλογίας τοῖς πατριάρχαις διηκόνησε. Μωσῆς 2
τε ὁ θεοφιλής, ὅτε ἔφευγε, τότε καὶ τὴν μεγάλην ὅρασιν εἶδε καὶ διασωθεὶς ἀπὸ τῶν διω-
κόντων προφήτης εἰς Αἴγυπτον ἀπεστέλλετο διάκονός τε τῶν τοσούτων σημείων καὶ B
τοῦ νόμου γενόμενος καθηγήσατο τοῦ τοσούτου λαοῦ ἐν τῇ ἐρήμῳ. καὶ ὁ μὲν Δαυὶδ 3
διωκόμενος ἐδίδασκεν· »ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν« καὶ »ὁ θεὸς ἡμῶν |
ἐμφανῶς ἥξει· ὁ θεὸς ἡμῶν καὶ οὐ παρασιωπήσεται«. καὶ μᾶλλον δὲ ἴσχυε λέγων· »ἐν B 332
τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου«, καὶ πάλιν »ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι

1 f. Vgl. II. Reg. 24, 13. 14 3 Vgl. III. Reg. 18, 1 4 Vgl. IV. Reg. 1, 15 5 Vgl. Joh. 20, 19 und oben S. 75, 23 ff. 5 f. Vgl. II. Cor. 11, 32. 33 6 Act. 23, 11 9 II. Tim. 4, 6 15 Mt. 5, 10 16 ff. Sap. 3, 5—7 18/19 Vgl. Ps. 7, 2 23 Vgl. Gen. 31 ff. 25 Vgl. Gen. 49, 10; Num. 24, 17 27 Vgl. Ex. 3, 3 ff. 30 f. Ps. 44, 2; Ps. 49, 3 31 f. Ps. 53, 9 32 Ps. 55, 12

BKPO REFV DNW

1 προκινδυνεύειν DNW | τῶν λαῶν] τοῦ λαοῦ F 2 περὶ + τοῦ N | ἐξὸν + ἦν W | εἵλατο W 3 Ἰαζάβελ P 4 τῷ] τὸν N | Ὀχοζίαν] Ὀζίαν DNW 5 ἀπόστολος + ὁ DW 6 φεύγων DNW | ἀκούσαντες + ὅτι DN | ὑμᾶς δεῖ ~ DNW 6/7 ἀνεβάλλοντο OFVW ἀπεβάλλοντο N* 7 ὡς πρὸς] πρὸ τοῦ N | ἰδίους] Ἰουδαίους N 7/8 σπεύδων] φεύγων DNW 8 ἐγάννυτο σφαζόμενος > EV 9 σπένδομαι] σπεύδομαι N | ἀναλύσεώς μου] ἐμῆς ἀναλύσεως N 10 οὔτε[1]] οὐδὲ DNW | αὐτῶν > N | οὔτε[2]] οὐδὲ DNW 11 αὐτοῖς] αὐτῆς W 12 ἀντὶ] οὐδὲ ἀντὶ DN τῆς EV 14 οἷοι + οἱ N | καὶ > N* 16 ἐγίνετο] ἐγινώσκετο N | ἐγίνετο ὁ τοιοῦτος ~ WF | ὡς] ὥσπερ DNW | χρυσίον N 17 καὶ αὐτοὶ τότε] καίτοιτε D | τότε] τε W δὲ N 18 αὐτοὺς > DNW 19 τῶν + ἐκείνων DNW | ἐπιβουλῶν NW 20 τὸν τῶν ζητούντων ~ N 21 ἐγένοντο K 23/24 κατηξίωτο BKPO 24 ἔσχεν] εἶχεν DNW 25 ἐξ οὗ] ἐκ τοῦ W 26 ἀνατεῖλαι W | ὁ κύριος] τὸν χριστὸν W | Μωυσῆς DNW 27 ἔφυγε DNW | καὶ[1] > N 29 τοῦ[2] > N 30 ἡμῶν > NW 31 δὲ > DNW 32 θεῷ] κυρίῳ W

τί ποιήσει μοι ἄνθρωπος«. φεύγων τε καὶ ἀποδιδράσκων ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ
σπήλαιον ἔλεγεν· »ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τοὺς κατα-
πατοῦντάς με· ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο
C τὴν ψυχήν μου ἐκ μέσου σκύμνων«. οὕτω δὲ σωθεὶς κατ' οἰκονομίαν καὶ αὐτὸς γέγονε
μετὰ ταῦτα βασιλεὺς καὶ τὴν ἐπαγγελίαν ἔσχεν ἐκ σπέρματος αὐτοῦ τὸν κύριον ἡμῶν
4 ἀνατεῖλαι. ὁ δὲ μέγας Ἠλίας ἀναχωρῶν εἰς τὸ Καρμήλιον ὄρος ἐπεκαλεῖτο τὸν θεόν,
καὶ τοὺς μὲν τῆς Βάαλ προφήτας τετρακοσίους ὄντας καὶ πλείους ἀθρόως ἀπήλειψε, τοὺς
δὲ πεμφθέντας ἐπ' αὐτὸν δύο πεντηκοντάρχους μετὰ τῶν ἑκατὸν λέγων· »καταβήτω πῦρ
ἀπ' οὐρανοῦ«, ἐν τούτῳ καὶ τούτοις ἐπετίμησε· τετήρηται δὲ καὶ αὐτός, ὥστε τὸν Ἐλισ-
σαῖον ἀνθ' ἑαυτοῦ χρῖσαι καὶ τύπος εἰς ἄσκησιν γενέσθαι τοῖς υἱοῖς τῶν προφητῶν.
5 Παῦλος δὲ ὁ μακάριος γράφων· »οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐρρύσατο
D ὁ κύριος καὶ ῥύσεται« μᾶλλον ἴσχυε λέγων· »ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν, οὐδὲν
γὰρ ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ«· τότε γὰρ καὶ »ἕως τρίτου οὐρανοῦ
ἡρπάσθη καὶ εἰς τὸν παράδεισον« ἀπηνέχθη, ἔνθα »καὶ ἤκουσεν ἄρρητα ῥήματα ἃ μὴ
ἐξὸν ἀνθρώπῳ λαλῆσαι«. διὰ τοῦτο καὶ πεφύλακται, »ὥστε ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ
Ἰλλυρικοῦ πληρῶσαι τὸ εὐαγγέλιον«.
21, 1 Οὐ μεμπτέα ἄρα οὐδὲ ἀργὴ τῶν ἁγίων ἡ φυγή· εἰ γὰρ μὴ ἐξέκλινον τοὺς διώκοντας,
M 672 A πῶς ἐγίνετο τὸ ἐκ σπέρματος Δαυὶδ ἀνατεῖλαι τὸν | κύριον; ἢ τίνες ἔμελλον εὐαγγελί-
ζεσθαι τὸν λόγον τῆς ἀληθείας; καὶ γὰρ καὶ οἱ διώκοντες διὰ τοῦτο ἐζήτουν τοὺς ἁγίους,
ἵνα μὴ ᾖ ὁ διδάσκων, ὁποῖα Ἰουδαῖοι παρήγγειλαν τοῖς ἀποστόλοις· ἀλλὰ διὰ τοῦτο
2 πάντα ὑπέμενον, ἵνα τὸ εὐαγγέλιον κηρυχθῇ. ἰδοὺ γοῦν καὶ οὕτως ἀγωνιζόμενοι οὐκ
ἀργὸν εἶχον τὸν τῆς φυγῆς καιρὸν οὐδὲ διωκόμενοι ἐπελανθάνοντο τῆς ἑτέρων ὠφελείας,
ἀγαθοῦ δὲ λόγου διάκονοι τυγχάνοντες οὐκ ἐφθόνουν οὐδὲ ταύτης μεταδιδόναι τοῖς
πᾶσιν, ἀλλὰ καὶ φεύγοντες τὸ εὐαγγέλιον ἐκήρυττον, καὶ προύλεγον μὲν τῶν ἐπιβουλευ-
3 όντων τὰς πανουργίας, ἠσφαλίζοντο δὲ τοὺς πιστοὺς ταῖς παραινέσεσιν. ὁ μὲν οὖν
μακάριος Παῦλος πείρᾳ μαθὼν προύλεγε μέν· »ὅσοι θέλουσιν εὐσεβῶς ζῆν ἐν Χριστῷ,
B διωχθήσονται«, ἐπήλειφε δὲ εὐθὺς τοὺς φεύγοντας εἰπών· »δι' ὑπομονῆς τρέχομεν τὸν
προκείμενον ἡμῖν ἀγῶνα«. κἂν γὰρ αἱ θλίψεις ὦσι συνεχεῖς, ἀλλ' »ἡ θλίψις ὑπομονὴν
4 κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει«. ὁ
B 333 δὲ προφήτης Ἡσαίας προσδοκωμένης τοιαύτης περιστάσεως ὑπεμίμνησκε καὶ | ἐβόα·
»βάδιζε, λαός μου, εἴσελθε εἰς τὰ ταμιεῖά σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι

2 Ps. 56, 4. 5 6 III. Reg. 18, 36. 40 8 IV. Reg. 1, 10 9 Vgl. III. Reg. 19, 19; IV. Reg. 2. Elisa als Typus der Askese: I. Clem. 17, 1, danach Clemens Alex. Strom. IV 105, 1 ff. (II 294, 18 ff.), Vita Pachomii prima c. 2 (Subsidia hagiographica 19 S. 2, 10 Halkin) 11 II. Tim. 3, 11 12 Rm. 8, 37. 35 13 II. Cor. 12, 2. 4 15 Rm. 15, 19 20 Vgl. Act. 5, 28 26 II. Tim. 3, 12 27 Heb. 12, 1 28 Rm. 5, 3. 4 31 Jes. 26, 20

BKPO REFV DNW

2 ἐξ οὐρανοῦ — 3 ἐξαπέστειλεν > im Texte W, a. Rd. nachgetr. 4 καὶ αὐτὸς > N 6 τὸ Καρμήλιον ὄρος] τὸν Κάρμηλον W 7 τῆς > EV 8 ἐπ' αὐτὸν] ὑπ' αὐτῶν N | λέγω W 9 καὶ[1] + ἐν W 11 δὲ]τε REFVD | γράφων + φησιν W 13 χωρήσει R* (χωρίσει R^c) D | Χριστοῦ] θεοῦ N 14 ἡρπάσθη] ἡρπάγη E^{c}FV | ἤκουσεν ῥήματα ἄρρητα K (α γ β) | μὴ] οὐκ N 15 καὶ DN τε BPORF > KEVW τότε Comm. Montf. | Ἱερουσαλὴμ + καὶ N 16 Ἰλλυρίου E$_c$ | πεπληρω-κέναι D πεπληρῶσθαι NW 17 ἐξέκλιναν DN 18 πῶς + ἂν N | ἐγένετο NW | τὸ > DN 19 καὶ[2] > DNW 20 ὁποῖα + οἱ DN | ἀπήγγειλον N | ἀλλὰ > EV | τοῦτο + καὶ B*, aber exp. B^c, + ταῦτα W 21 γοῦν] οὖν BN γὰρ W 22 ὠφελείας] φυγῆς F* corr. von 1. Hd. in ὠφελείας 23 ἐφθόνουν] ἐφοβοῦντο DNW | ταύτης] τούτου N 24/25 τὰς τῶν ἐπιβουλευόντων ~ DNW 26 προύλεγε] που λέγει N | ζῆν εὐσεβῶς ~ BNW | ἐν Χριστῷ ζῆν εὐσεβῶς ~ N 27 ἐπείληφε BRED ἀπήλειφε N ὑπήλειφε W | τρέχωμεν D 29 οὐ καταισχύνει] οὐκ αἰσχύνει N 30 τῆς τοιαύτης N | ὑπανεμίμνησκε B 31 βάδιζε + ὁ EV | ταμεῖα W | σου > W

μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργή«. ὁ δὲ Ἐκκλησιαστὴς εἰδὼς τὰς κατὰ 5
τῶν θεοσεβῶν ἐπιβουλὰς καὶ λέγων· »ἐὰν συκοφαντίαν πένητος καὶ ἁρπαγὴν κρίματος
καὶ δικαιοσύνης ἴδῃς ἐν τῇ χώρᾳ, μὴ θαυμάσῃς ἐν τῷ πράγματι, ὅτι ὑψηλὸς ἐπάνω
ὑψηλοῦ φυλάξαι καὶ ὑψηλοὶ ἐπ' αὐτῆς καὶ περισσεία γῆς« εἶχε τὸν πατέρα ἑαυτοῦ τὸν
Δαυὶδ πείρᾳ καὶ αὐτὸν μαθόντα τὰ ἐν τοῖς διωγμοῖς καὶ ἀσφαλιζόμενον τοὺς πάσχοντας C
ἐν τῷ λέγειν· »ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν πάντες οἱ ἐλπίζοντες ἐπὶ
κύριον«· τοῖς γὰρ οὕτως ὑπομένουσιν οὐκ ἄνθρωπος, ἀλλ' αὐτός φησι· »κύριος βοηθή-
σει, καὶ ῥύσεται αὐτούς, ὅτι ἤλπισαν ἐπ' αὐτόν«· καὶ γὰρ κἀγὼ »ὑπομένων ὑπέμεινα
τὸν κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου, καὶ ἀνήγαγέ με ἐκ λάκκου
κατωτάτου καὶ ἀπὸ πηλοῦ ἰλύος«. ὠφέλιμος ἄρα τοῖς λαοῖς καὶ οὐκ ἄκαρπος ἡ φυγὴ
τῶν ἁγίων δείκνυται, κἂν τοῖς Ἀρειανοῖς μὴ δοκῇ.

Οὕτω μὲν οὖν οἱ ἅγιοι, καθάπερ εἴρηται, φεύγοντες κατὰ περιττὸν καὶ δι' οἰκονομίαν 22, 1
ἐφυλάττοντο ὥσπερ ἰατροὶ τῶν δεομένων χάριν. τοῖς δ' ἄλλοις καὶ πᾶσιν ἁπλῶς ἡμῖν D
τοῖς ἀνθρώποις νόμος οὗτος, φεύγειν διωκομένους καὶ κρύπτεσθαι ζητουμένους, καὶ μὴ
προπετεύεσθαι μὲν ἐν τῷ πειράζειν τὸν κύριον, περιμένειν δὲ αὐτούς, καθὰ προεῖπον,
ἕως ἂν ὁ ὡρισμένος τοῦ θανάτου χρόνος ἔλθῃ ἢ ὁ κριτής τι περὶ αὐτῶν βουλεύσηται,
ὅπερ ἂν αὐτῷ δόξῃ καλῶς | ἔχειν· εἶναι μέντοι τούτους ἑτοίμους, ὥστε καιροῦ καλέσαντος M 673 A
καὶ κρατηθέντας »ἀγωνίζεσθαι ὑπὲρ τῆς ἀληθείας μέχρι θανάτου«. ταῦτα καὶ οἱ μα- 2
κάριοι μάρτυρες ἐν τοῖς κατὰ καιροὺς διωγμοῖς ἐφύλαττον, καὶ διωκόμενοι μὲν ἔφευγον,
καὶ λανθάνοντες ἐκαρτέρουν, εὑρισκόμενοι δὲ ἐμαρτύρουν. εἰ δὲ καί τινες ἐξ αὐτῶν
ἑαυτοῖς προσήρχοντο τοῖς διώκουσι, καὶ τοῦτο οὐχ ἁπλῶς ἔπραττον· ἐμαρτύρουν γὰρ
εὐθὺς καὶ πᾶσιν ἐγίνετο φανερόν, ὅτι παρὰ τοῦ πνεύματος ἦν καὶ αὐτῶν ἡ προθυμία
καὶ ἡ τοσαύτη πρόσοδος.

Οὐκοῦν ὅτε τοιαῦτα τοῦ σωτῆρός ἐστι τὰ παραγγέλματα καὶ τοιαῦται τῶν ἁγίων 23, 1
αἱ πράξεις, εἰπάτωσαν ἡμῖν οἱ μηδ' ὁτιοῦν ἄν τις εἴποι κατ' ἀξίαν ἑαυτῶν ἀκούοντες,
πόθεν ἔμαθον αὐτοὶ τὸ διώκειν; ἀπὸ μὲν γὰρ τῶν ἁγίων, οὐκ ἂν εἴποιεν, ἀπὸ δὲ τοῦ B
διαβόλου (τοῦτο γὰρ αὐτοῖς περιλείπεται) τοῦ λέγοντος· »διώξας καταλήψομαι«. καὶ
τὸ μὲν φεύγειν ὁ κύριος προσέταξε, καὶ οἱ ἅγιοι ἔφυγον, τὸ δὲ διώκειν διαβολικόν ἐστιν
ἐπιχείρημα, καὶ κατὰ πάντων αὐτὸς αἰτεῖται τοῦτο. τίνι τοίνυν δεῖ προσθέσθαι, πάλιν 2
λεγέτωσαν, τοῖς τοῦ κυρίου ῥήμασιν ἢ ταῖς αὐτῶν | μυθολογίαις; τίνων δὲ δεῖ μιμεῖσθαι B 334
τὰς πράξεις; τῶν ἁγίων ἢ ὧν ἂν ἐπινοήσωσιν αὐτοί; ἐπειδὴ δὲ ἴσως οὐδὲ ταῦτα δια-
κρίνειν αὐτοὶ δύνανται (πεπήρωνται γὰρ τὴν διάνοιαν καὶ τὴν συνείδησιν, ὡς εἶπεν
Ἡσαίας, καὶ νομίζουσι »τὸ πικρὸν εἶναι γλυκὺ καὶ τὸ φῶς σκότος«), παρελθών τις ἐξ

---

2 Eccl. 5, 7. 8 6 Ps. 30, 25 7 Ps. 36, 40 8 Ps. 39, 2. 3 15 Vgl. oben S. 79, 15 18 Jes. Sir. 4, 28 27 Ex. 15, 9 26 Vgl. oben S. 73, 21 33 Jes. 5, 20

BKPO REFV DNW 18 ταῦτα — 20 ἐμαρτύρουν = Sokrates hist. eccl. III 8, 43 (410, 14—16)

---

1 ὅσον ὅσον > NW | ὅσον² > D | ὀργὴ + κυρίου D | εἰδὼς] ἰδὼν W 3 τῇ > DNW 4 εἶχε + γὰρ N 5 τὰ > DNW 7 οὐκ] οὐχ D | φησι > im Text N, φησί nach κύριος a. Rd. N | φησι + ὁ VN 8 αὐτούς + καὶ σώσει αὐτούς DNW 10 κατωτάτου] ταλαιπωρίας W | ἰλύος] ὕλεως RE* (?) D (ὑλ.) ἰλύος E^c | ἰλύος + καὶ DW 11 τοῖς ἁγίοις D 12 οὕτω μὲν οὖν οἱ] οἱ μὲν οὖν DNW 13 ὥσπερ + οἱ W | ἡμῖν ἁπλῶς ~ B 16 χρόνος τοῦ θανάτου ~ DN | ἔλθῃ] ἐλεγχθῇ D | βουλεύσεται B* (-σηται B^c) D 17 τούτους] οὕτως DNW 18 ἀληθείας] ἐκκλησίας N | μέχρι + καὶ V | ταῦτα] οὕτω Sokr. 19 καὶ διωκόμενοι μὲν ἔφευγον > N | 20 λανθάνοντες + μὲν N 21 ἑαυτοῖς R*EDW αὐτοῖς BKPO R^c FV ἑαυτοὺς N | προσήρχοντο] ἐξέδιδον N | καὶ > N | οὐχ ἁπλῶς τοῦτο ~ N 23 τοσαύτη] τοιαύτη DNW | πρόοδος FW 24 τοῦ σωτῆρός ἐστι τὰ] τοῖς τισι N 25 αἱ > W | ἑαυτῶν] αὐτῶν D αὐτοῦ N 27 περιείληπται B 28 ἔφευγον FDNW 29 τίνι] τίσι F | προσθέσθαι] προσέσθαι N 30 τοῦ κυρίου τοῖς ~ N | αὐτῶν] ἑαυτῶν W 31 ἐπειδὴ] ἐπεὶ D | δὲ > W | οὐδὲ > P*, nachgetr. P^c 32 αὐτοὶ διακρίνειν ~ DN | δύνανται αὐτοὶ ~ F | πεπώρωνται DNW | γὰρ + αὐτοὶ N | διάνοιαν + αὐτῶν N 33 Ἡσαίας BKPODN ὁ Ἡσαίας REFVW

C ἡμῶν Χριστιανὸς ἐντρεψάτω τούτους μεγάλῃ τῇ φωνῇ λέγων· ‘»ἀγαθὸν πεποιθέναι ἐπὶ
κύριον« ἢ ταῖς τούτων προσέχειν μωρολογίαις. τὰ μὲν γὰρ τοῦ κυρίου ῥήματα ζωὴν
αἰώνιον ἔχει, τὰ δὲ παρὰ τούτων προφερόμενα πανουργίας καὶ αἱμάτων ἐστὶ μεστά.’
24, 1 Ἱκανὰ μὲν οὖν ταῦτα τὴν μανίαν τῶν ἀσεβῶν ἀνατρέψαι καὶ δεῖξαι μηδὲν ἕτερον
αὐτοὺς σπουδάζοντας ἢ ἵνα μόνον εἰς λοιδορίας καὶ βλασφημίας φιλονεικῶσιν. ἐπειδὴ
δὲ ἅπαξ χριστομάχοι τολμήσαντες εἶναι, λοιπὸν καὶ φιλοπράγμονες γεγόνασιν, ἐξετα-
ζέτωσαν ὅμως καὶ τὸν τρόπον τῆς ἀναχωρήσεως καὶ μανθανέτωσαν παρὰ τῶν ἰδίων.
2 ἦσαν γὰρ Ἀρειανοὶ συνδραμόντες τοῖς στρατιώταις εἰς τὸ παροξύνειν αὐτοὺς καὶ ἀγνο-
οῦσιν αὐτοῖς δεικνύειν ἡμᾶς. καὶ εἰ καὶ οὕτως ἀσυμπαθεῖς τυγχάνουσιν, ἀλλὰ κἂν ἀκού-
3 οντες ἠρεμείτωσαν αἰσχυνόμενοι. νὺξ μὲν γὰρ ἤδη ἦν, καὶ τοῦ λαοῦ τινες ἐπαννύχιζον
D προσδοκωμένης συνάξεως· ὁ δὲ στρατηλάτης Συριανὸς ἐξαίφνης ἐπέστη μετὰ στρατιω-
M 676 A τῶν πλεῖον πεντακισχιλίων ἐχόντων ὅπλα καὶ ξίφη γυμνὰ καὶ τόξα καὶ βέλη | καὶ ῥόπαλα,
καθὰ καὶ πρότερον εἴρηται. καὶ τὴν μὲν ἐκκλησίαν αὐτὸς περιεκύκλωσε στήσας τοὺς στρα-
τιώτας σύνεγγυς, ὡς μὴ δύνασθαί τινας ἀπὸ τῆς ἐκκλησίας ἐξελθόντας παρελθεῖν αὐτούς.
4 ἐγὼ δὲ ἄλογον ἡγούμενος ἐν τοσαύτῃ συγχύσει καταλεῖψαι τοὺς λαοὺς καὶ μὴ μᾶλλον
προκινδυνεύειν αὐτῶν, καθεσθεὶς ἐπὶ τοῦ θρόνου προέτρεπον τὸν μὲν διάκονον ἀνα-
γινώσκειν ψαλμόν, τοὺς δὲ λαοὺς ὑπακούειν· »ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ« καὶ
5 πάντας οὕτως ἀναχωρεῖν καὶ εἰς τοὺς οἴκους ἀπιέναι. ἀλλὰ τοῦ στρατηλάτου βίᾳ
λοιπὸν ἐπεισελθόντος καὶ τῶν στρατιωτῶν περιλαβόντων τὸ ἱερατεῖον ἕνεκα τοῦ συλ-
λαβεῖν ἡμᾶς, οἱ μὲν εὑρεθέντες ἐκεῖ κληρικοὶ καὶ οἱ ἀπὸ τῶν λαῶν ἐβόων, ἠξίουν ἀναχωρεῖν
B ἤδη καὶ ἡμᾶς· ἐγὼ δὲ μᾶλλον ἀντέλεγον, μὴ πρότερον ἀναχωρήσειν εἰ μὴ πάντες καθ’ἕκασ-
τον ὑπεξέλθοιεν. ἀναστὰς γοῦν καὶ προστάξας εὐχὴν οὕτως ἀντηξίουν ἀπιέναι πρότερον
6 τοὺς πάντας, ‘βέλτιον εἶναι’ λέγων ‘ἐμὲ κινδυνεύειν ἢ βλαβῆναί τινας ἐξ ὑμῶν’. ἐξελ-
θόντων τοίνυν τῶν πλείστων καὶ τῶν λοιπῶν ἐπακολουθούντων οἱ σὺν ἡμῖν ὄντες ἐκεῖ
μοναχοὶ καί τινες τῶν κληρικῶν ἀνελθόντες εἵλκυσαν ἡμᾶς. καὶ οὕτως, ἐπὶ μάρτυρι τῇ
ἀληθείᾳ, τῶν στρατιωτῶν τῶν μὲν περιεστηκότων τὸ ἱερατεῖον, τῶν δὲ περιερχομένων

1 Ps. 117, 8 2 Vgl. Joh. 6, 68 10 ff. Vgl. die Schilderung in dem Protokoll der alexandrinischen Gemeinde Athan. hist. Arian. 81 (Migne 25, 792 D, ebenda c. 48; apol. ad Const. 25. Lucifer Cal., de s. Athanasio II 22, CSEL 14, 188, 10ff.). Die Vorgänge spielten sich nach dem übereinstimmenden Zeugnis des Protokolls, der historia Athanasii c. 5 (Cod. Veron. LX f. 106[b]) und des Kephalaion zum Festbrief des Jahres 356 in der Nacht vom 13. zum 14. Mechir 356 (= 8.—9. Febr.) ab. Der Schauplatz ist die Theonaskirche, so auch Epistula Ammonis de Pachomio 31 (Subsidia hagiographica 19 S. 117, 35 f.). Der Dux Syrianus war schon seit dem 10. Tybi (= 6. Jan.) 356 mit dem Notar Hilarius und den Legionen in der Stadt. Der Monat vor der Besetzung der Theonaskirche war mit Verhandlungen verstrichen, von denen Athan., apol. ad Const. 22 ff. berichtet 17 Es wurde der Ps. 136 respondiert, ein für den Augenblick besonders passender Psalm

BKPO REFV DNW 6 ἐξεταζέτωσαν — 85, 4 ἠδυνήθημεν = Theodoret hist. eccl. II 13, 4—8 (123, 19—124, 22)

1 ἡμῶν] ὑμῶν W | ἀγαθὸν + τὸ DW 2 προσέχειν ταῖς τούτων ~ FDNW | προσέχειν] πεπονθέναι F | γὰρ > DN 3 τούτῳ D | ἐκφερόμενα W | ἐστὶ] εἰσὶ K 4 οὖν + ἐστι DN 6 εἶναι — γεγόνασιν > W von sp. Hd. a. Rd. 6/7 ἐξετασάτωσαν DNW Thdt. 9 αὐτοῖς > Thdt. | δεικνύναι DNW Thdt. | καὶ[1] > Thdt. (r B[2]) | καὶ[2] > R* (nachgetr. R[c]) K Thdt. (v T) | συμπαθεῖς B 10 ἠρεμήτωσαν REW | ἦν ἤδη ~ DW | ἦν > N | καὶ + τις ἐκ N | λαοῦ — 11 στρατηλάτης > N 11 Συριανὸς > DN Thdt. | ἐξαίφνης > W 12 πλεῖον] πλέον FDNW πλέον ἢ Thdt. 13 περιεκύκλωσε] περιετείχισε E im Text, περιεκύκλωσε a. Rd. E 14 ὡς] ὥστε N | ἐξελθόντας ἀπὸ τῆς ἐκκλησίας ~ DW Thdt. | αὐτοὺς > W 16 τὸν μὲν διάκονον προέτρεπον ~ N | μὲν τὸν ~ K 16/17 ἀναγινώσκειν + τὸν F 18 οὕτως πάντας ~ V | βίᾳ > DNW Thdt. 19 στρατιωτῶν] στρατῶν B | ἕνεκεν Thdt. 20 ἐβόων + καὶ Thdt. (ArB[2]T) | ἠξίουν + τε FW 21 ἀναχωρήσειν + ἤδη καὶ ἡμᾶς, ἐγὼ δὲ μᾶλλον ἀντέλεγον D vgl. Z. 21 22 ἐξέλθοιεν N Thdt. (v) | γοῦν] οὖν EVNW Thdt. | πρότερον > DN Thdt. 24 πλείστων] πλειόνων V | ἐκεῖ ὄντες ~ B | ἐκεῖ > N 25 ἐλθόντες W 25/26 τῆς ἀληθείας E 26 τῶν[2] > REF Thdt. (An)

τὴν ἐκκλησίαν διήλθομεν τοῦ κυρίου ὁδηγοῦντος καὶ αὐτοῦ φυλάττοντος | λαθόντες B 335
αὐτοὺς ἀνεχωρήσαμεν δοξάζοντες μεγάλως αὐτὸν τὸν θεόν, ὅτι μήτε προδεδώκαμεν
τὸν λαόν, ἀλλὰ καὶ προπέμψαντες αὐτοὺς διασωθῆναι καὶ διαφυγεῖν τὰς χεῖρας τῶν
ζητούντων ἠδυνήθημεν.
Τῆς τοίνυν προνοίας οὕτως καὶ παραδόξως ῥυσαμένης, τίς ἂν δικαίως μέμψιν ἐπα- **25, 1**
γάγοι, ὅτι μὴ τοῖς ζητοῦσιν ἑαυτοὺς ἐκδότους δεδώκαμεν ἢ ὑποστρέψαντες ἐνεφανίσαμεν C
ἑαυτούς; τοῦτο γάρ ἐστιν ἄντικρυς ἀχαριστῆσαι τῷ κυρίῳ παρ' ἐντολήν τε αὐτοῦ πρᾶξαι
καὶ ταῖς τῶν ἁγίων μάχεσθαι πράξεσιν. ἢ ὁ τοῦτο μεμφόμενος τολμησάτω καὶ τὸν **2**
μέγαν ἀπόστολον Πέτρον αἰτιάσασθαι, ὅτι καίτοι συγκλεισθεὶς καὶ τηρούμενος ὑπὸ
στρατιωτῶν ἠκολούθησε τῷ καλοῦντι ἀγγέλῳ καὶ ἐξελθὼν ἀπὸ τῆς φυλακῆς καὶ δια-
σωθεὶς οὐχ ὑπέστρεψε καὶ παραδέδωκεν ἑαυτόν, καίπερ ἀκούσας ἃ πεποίηκεν Ἡρώδης.
μεμφέσθω δὲ μανεὶς ὁ Ἀρειανός, ὅτι μήτε Παῦλος ὁ ἀπόστολος χαλασθεὶς ἀπὸ τοῦ τείχους **3**
καὶ διασωθεὶς μετέγνω καὶ ὑποστρέψας ἔκδοτον ἑαυτὸν δέδωκε, μήτε ὅτι Μωσῆς ὑπέ- D
στρεψεν ἀπὸ Μαδιὰμ εἰς Αἴγυπτον, ἵνα κρατηθῇ παρὰ τῶν ζητούντων, μήτε ὁ Δαυὶδ ἐν
τῷ σπηλαίῳ ἔδειξεν ἑαυτὸν τῷ Σαούλ. ἀλλὰ καὶ οἱ υἱοὶ τῶν προφητῶν ἔμειναν ἐν τοῖς | M 677 A
σπηλαίοις καὶ οὐ παρέδωκαν ἑαυτοὺς τῷ Ἀχαάβ. τοῦτο γὰρ ἦν πάλιν παρ' ἐντολὴν
ποιεῖν λεγούσης τῆς γραφῆς· »οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου«.
Τοῦτο γοῦν εὐλαβούμενος κἀγὼ καὶ ταῦτα μαθὼν οὕτως ἐμαυτὸν ἤγαγον καὶ οὐκ **26, 1**
ἀθετῶ τὴν εἰς ἐμὲ γενομένην παρὰ τοῦ κυρίου χάριν καὶ βοήθειαν, κἂν οὗτοι μαινόμενοι
τρίζωσι τοὺς ὀδόντας καθ' ἡμῶν. καὶ γὰρ τοιοῦτος ὁ τρόπος τῆς ἀναχωρήσεως ἡμῶν
γέγονε, καὶ ἡγοῦμαι μηδεμίαν αὐτὴν ἔχειν μέμψιν παρ' οἷς ἐστιν ὁ λογισμὸς ὑγιής,
ὅπουγε καὶ κατὰ τὴν θείαν γραφὴν οὕτος ἡμῖν παρὰ τῶν ἁγίων εἰς διδασκαλίαν ὁ τύπος
παρεδόθη. ἀλλ' οὗτοι, ὡς ἔοικεν, οὔτε τι τῶν ἀτολμήτων παρορῶσιν οὔτε παραλιμ- **2**
πάνειν τι βούλονται, ὃ μὴ τὴν πονηρίαν αὐτῶν καὶ τὴν ὠμότητα δείκνυσι. καὶ γὰρ
καὶ ὁ βίος αὐτῶν τοιοῦτός ἐστιν, οἷοί εἰσι καὶ τῷ φρονήματι καὶ ταῖς φλυαρίαις. καὶ οὐκ B
ἂν εἴποι τις τοιαῦτα καὶ τοσαῦτα κατ' αὐτῶν, οἷα καὶ ὅσα πράττοντες αὐτοὶ οὐκ αἰσ-
χύνονται. ὁ μὲν γὰρ Λεόντιος διαβαλλόμενος μετὰ γυναικός τινος νεωτέρας λεγο- **3**
μένης Εὐστολίου καὶ κωλυόμενος συνοικεῖν αὐτῇ δι' αὐτὴν ἑαυτὸν ἀπέκοψεν, ἵν' ἐπ' ἀδείας

1 ff. Athanasius blieb in der Stadt in einem Versteck, das seine Gegner niemals auffanden 9 Vgl. Act. 12, 6 ff. 12 Vgl. II. Cor. 11, 33 13 Vgl. Ex. 2, 15 ff. 14 Vgl. I. Reg. 24, 4 ff. 15 Vgl. III. Reg. 18, 4 17 Mt. 4, 7 (Dtn. 6, 16) 20 Zu τρίζειν: Mc. 9, 18; ein bei Athanasius sehr beliebter Ausdruck: de sent. Dion. 16 (oben S. 58, 2); hist. Arian. 68 (Migne 25, 776 A); 72 (Migne 25, 781 A) 27 Athanasius wiederholt diese böse Nachrede, hist. Arian. 28 (Migne 25, 725 A). L. galt sonst als ein rechtschaffener Mann vgl. Chron. Pasch. p. 535, 14 ed. Bonn (= Philostorgius ed. Bidez S. 215, 1 ff.)

BKPO REFV D (bis Z. 24: ὃ μὴ) NW 27 ὁ μὲν — 85, 2 καθῃρέθη = Theodoret hist. eccl. II 24, 2 (153, 1—5)

1 φυλάττοντος + καὶ Thdt. 2 αὐτὸν > W Thdt. (r Cass.) | προεδώκαμεν D προυδώκαμεν N | προδεδώκαμεν + αὐτὸν B*, exp. B^c 3 διαφυγεῖν] διεκφυγεῖν DW Thdt. (r z T) ἐκφυγεῖν N | τὰς χεῖρας > F 5 καὶ > V^c N 5/6 ἐπάγοι NW ἐπαινοῖ D 6 ἢ > D | ἐνεφανήσαμεν D 7 ἀχαριστῆσαι — 9 καίτοι] τὸ τοῦ μεγάλου ἀποστόλου Πέτρου ὡς προδοθεὶς διὰ τὸ κήρυγμα τοῦ Χριστοῦ καὶ τὴν διδασκαλίαν τὴν ἀποστολικὴν τοῦ κυρίου μήπο(!) βουλομένου διαπλήρωσε πᾶσαν αὐτοῦ τὴν διδασκαλίαν καὶ τοῖς D | κυρίῳ] θεῷ P κυρίῳ καὶ N 8 τοῦτο] τούτῳ P^c N 10 καὶ ἐξελθὼν] διεξελθὼν D 11 παραδέδωκεν KPO REFV παρέδωκεν BDNW | ἑαυτὸν] αὐτὸν W 12 μάνης W | Ἀρειανὸς] Ἄρειος DN | Παῦλος > EV 13 ἑαυτὸν ἔκδοτον ~ D | ὅτι > DNW 14 ἵνα + μὴ R* (getilgt R^c) EFV | παρὰ] ὑπὸ B 15 οἱ > N 16 πάλιν > W 17 ἐκπειράσης DN 18 μανθάνων DNW | καὶ οὐκ — 21 γέγονε] πρὸς τὸ πληρῶσαι μαι (= με) τὴν διδασκαλικὴν τῶν πατέρων πρόσταξιν καὶ οὔτε ἐμαυτὸν ἔκδοτον (ἔκδοτων D) τῷ θανάτῳ πεποίηκα μήπως (μήπος D) εἰς (ης D) ὑπεριφανίαν λογισθῶ, μήτε πάλιν κρατηθεὶς ἠρνησάμην D 19 παρὰ > N | κἂν] ἐὰν N | οὗτοι] οὕτω W 20 τρίζουσι NW 21 αὐτὴν] αὐτῶν N | μέμψιν ἔχειν ~ P 23 τι > B 25 οὐκ] ὅσα NW 26 οἷα > N | αὐτοὶ] οὗτοι N 27/28 λεγομένης + παρὰ N 28 Εὐστολίου] Εὐτολμίου W Εὐστολίας Thdt. (r z Nic.) | καὶ κωλυόμενος] κεκωλυμένος NW Thdt.

ἔχῃ διατρίβειν μετ' αὐτῆς. καὶ τὴν μὲν ὑποψίαν οὐκ ἀπενίψατο, διὰ τοῦτο δὲ μᾶλλον
καὶ πρεσβύτερος ὢν καθῃρέθη, εἰ καὶ Κωνστάντιος ὁ αἱρετικὸς ἐβιάσατο λέγεσθαι αὐτὸν
B 336 ἐπίσκοπον· ὁ δὲ Νάρκισσος ἄλλα τε πολλὰ κακὰ ἔχων καὶ τρίτον ἐν διαφόροις | συνό-
4 δοις καθῃρέθη· καὶ νῦν αὐτός ἐστιν ἐν αὐτοῖς ὁ πονηρότατος. ὁ δέ γε Γεώργιος
καὶ πρεσβύτερος μὲν ὢν διὰ τὴν κακίαν αὐτοῦ καθῃρέθη, καὶ ὀνομάσας δὲ ἑαυτὸν ἐπίσκο-
C πον οὐδὲν ἧττον πάλιν καθῃρέθη ἐν τῇ κατὰ Σαρδικὴν μεγάλῃ συνόδῳ. ἔχει δέ τι καὶ
πλέον, ὅτι καὶ ζῶν ἀσώτως οὐκ ἔλαθεν· ἀλλὰ καὶ παρὰ τῶν οἰκείων καταγινώσκεται τὸ
τέλος τοῦ ζῆν καὶ τὴν εὐθυμίαν ἐν τοῖς αἰσχίστοις μετρῶν.

27, 1 Ἕκαστος μὲν οὖν τὸν ἕτερον ἐν τοῖς ἰδίοις πλεονεκτεῖ κακοῖς, κοινὸς δὲ σπῖλός ἐστιν
αὐτοῖς, ὅτι τὴν αἵρεσίν εἰσι χριστομάχοι καὶ οὐκέτι Χριστιανοί, ἀλλὰ μᾶλλον Ἀρειανοὶ
καλοῦνται. ἰδοὺ ταῦτα διαβάλλειν αὐτοὺς ἔδει· ἀλλότρια γὰρ τῆς ἐν Χριστῷ πίστεώς
ἐστιν. ἀλλὰ ταῦτα μὲν δι' ἑαυτοὺς κρύπτουσιν, οὐδὲν δὲ θαυμαστόν, εἰ τοιοῦτοι ὄντες
τῷ φρονήματι καὶ τοιούτοις συμπλεκόμενοι κακοῖς τοὺς μὴ συντρέχοντας αὐτῶν τῇ
ἀσεβεστάτῃ αἱρέσει διώκοντες ζητοῦσι. καὶ ἀναιροῦντες μὲν χαίρουσι, μὴ τυγχάνοντες
M 680 A δὲ ὧν εὔχονται, λυποῦνται | καὶ νομίζουσιν ἀδικεῖσθαι, ὅταν, καθὰ προεῖπον, βλέπωσι
2 ζῶντας οὓς ἀποθνήσκειν βούλονται. εἴη δὲ τούτους οὕτως ἀδικεῖσθαι, ὥστε αὐτοὺς μὲν
ἀσθενεῖν ἐν ταῖς ἀδικίαις αὐτῶν, τοὺς δὲ διωκομένους παρ' αὐτῶν εὐχαριστεῖν τῷ κυρίῳ
καὶ λέγειν τὰ ἐν τῷ κς' ψαλμῷ· »κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;
κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω; ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας
τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον«·
καὶ πάλιν ἐν τῷ λ' ψαλμῷ· »ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου, καὶ οὐ συνέκλεισάς
με εἰς χεῖρας ἐχθρῶν· ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου«, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ
ἡμῶν, δι' οὗ τῷ πατρὶ ἐν ἁγίῳ πνεύματι ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. ἀμήν.

---

2 L. wurde als Nachfolger des Stephan Bischof v. Antiochien, vgl. hist. Arianorum 20 (Migne 25, 717 B) 3 Narciss wurde in Antiochien 325 (Urk. 18; III 40, 6), in Serdica (vgl. z. B. Athan. apolog. secunda 47, 3; unten S. 123, 8) exkommuniziert. Wo er zum dritten Male verurteilt wurde, ist unbekannt. Athanasius hegt stets besonderen Haß gegen N. 4 Georg wurde als alexandrinischer Presbyter (vgl. Philostorgius VIII 17) von Alexander schon vor Nicaea exkommuniziert (Urk. 12; III 19, 1. Urk. 16; III 31, 5; Athan. apol. sec. 8, 3; unten S. 94, 9). Von einer Selbsternennung ist nichts bekannt. Für die Verurteilung in Serdica vgl. was zu Narciss gesagt ist. Die ἀσωτία des G. ist ein Produkt der Polemik des Athanasius 13 I. Ptr. 4, 4 18 Ps. 26, 1. 2 21 Ps. 30, 8. 9

BKPO REFV NW

---

1 ἔχει N Thdt. (BG) | μὲν > N Thdt. (B) 2 εἰ καὶ — 3 ἐπίσκοπον > NW 3 Νάρκισος P 4 γε BKPOR > EFVNW 5 αὐτοῦ] ἑαυτοῦ N 6 Σερδικὴν R 7 καὶ[1] > K | καὶ[2] > EVN 7 τὸ τέλος — 8 μετρῶν > N 8 τοῖς > W 10 εἰσι > N 11 ἰδοὺ] εἰ δ' οὐ W | ἰδοὺ — 12 εἰ > N 12 ἐστιν] εἰσιν KOEV | τοιοῦτοι + δὴ οὖν N 13 τοιούτοις — 14 αἱρέσει] τῇ προαιρέσει καὶ τοιούτοις ἀμετρήτοις συμπλεκόμενοι αἰσχίστοις κακοῖς οὐδὲν θαυμαστὸν ἢ παράδοξον, εἰ τοὺς μὴ συντρέχοντας καὶ συγκροτοῦντας αὐτῶν τῇ ἀρειανῇ αἱρέσει N 15 εὔχονται + ἀσχαλῶσι καὶ διακαίονται καὶ N | νομίζουσι + δὲ W 15 ὅταν — 16 ἀδικεῖσθαι > EVN 16 ὥστε] οὕτως ὥστε N | αὐτοὺς] ἑαυτοὺς W 17 κυρίῳ] θεῷ N 18 λέγειν + ἐν πεποιθήσει πολλῇ N 19 μου] σου P 20 ἔπεσον + ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου, ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν τῇ ἀμάχῳ τοῦ θεοῦ δεξιᾷ ἐλπιῶ = Ps. 26, 3 N | ἔπεσαν N 21 καὶ οὐ — 22 ἐχθρῶν > N 23 ἐν] ἅμα τῷ F | ἐν ἁγίῳ πνεύματι > W | κράτος + σὺν τῷ παναγίῳ πνεύματι W

Τοῦ αὐτοῦ ἀπολογητικὸς δεύτερος

Ἐγὼ μὲν ᾤμην μετὰ τὰς τοσαύτας ὑπὲρ ἡμῶν γενομένας ἀποδείξεις καταδύεσθαι 1,1
λοιπὸν τοὺς ἐχθροὺς καὶ μᾶλλον ἐκ τούτων καταγινώσκειν ἑαυτῶν, ἐφ' οἷς καὶ τοὺς ἄλλους B123 M248A
ἐσυκοφάντησαν· ἐπειδὴ δὲ οὐδ' οὕτω καταγνωσθέντες ἐρυθριῶσιν, ἀλλ' ὑπ' ἀναισθησίας
ἕρπουσι ταῖς καταλαλιαῖς νομίζοντες ἀνάδικα πάντα γίνεσθαι, οὐχ ἵνα κριθῶσι (φεύγουσι
γάρ), ἀλλ' ἵν' ἡμᾶς καὶ τὰς ψυχὰς τῶν ἀκεραίων σκύλλωσιν, ἀναγκαῖον ἡγησάμην ὑμῖν
ἀπολογήσασθαι, ἵνα μηκέτι μὲν αὐτῶν ἀνάσχησθε γογγυζόντων, καταγνῶτε δὲ τῆς
πονηρίας καὶ τῆς συκοφαντίας αὐτῶν. ὑμῖν μὲν γὰρ τοῖς γνησίοις ἀπολογοῦμαι, πρὸς
δὲ τοὺς φιλονεικοῦντας παρρησιάζομαι τοῖς κατ' αὐτῶν ἐλέγχοις. οὐκέτι γὰρ κρί- 2
σεως δεῖται τὰ καθ' ἡμᾶς, κέκριται γὰρ οὐχ ἅπαξ, οὐ δεύτερον ἀλλὰ καὶ πολλάκις. πρῶ- B
τον μὲν ⟨ἐν τῇ συνόδῳ τῇ⟩ ἐν τῇ ἡμετέρᾳ χώρᾳ συναγομένῃ ὑπὸ ἐπισκόπων ἐγγὺς ἑκατόν,
δεύτερον δὲ ἐν τῇ Ῥώμῃ γράψαντος Εὐσεβίου καὶ κληθέντων αὐτῶν τε καὶ ἡμῶν καὶ
συναχθέντων ἐπισκόπων κἀκεῖ πλέον πεντήκοντα, καὶ τρίτον ἐν τῇ μεγάλῃ συνόδῳ τῇ
ἐν Σαρδικῇ συναχθείσῃ κατὰ πρόσταξιν τῶν θεοφιλεστάτων βασιλέων Κωνσταντίου |
καὶ Κώνσταντος· ἐν ᾗ καὶ οἱ καθ' ἡμῶν γενόμενοι καθῃρέθησαν ὡς συκοφάνται τοῖς τε M249A
κριθεῖσιν ὑπὲρ ἡμῶν συνεψηφίσαντο μὲν ἐπίσκοποι πλείους τριακοσίων ἐξ ἐπαρχιῶν
Αἰγύπτου Λιβύης καὶ Πενταπόλεως Παλαιστίνης Ἀραβίας Ἰσαυρίας Κύπρου Παμ-
φυλίας Λυκίας Γαλατίας Δακίας Μυσίας Θρᾴκης Δαρδανίας Μακεδονίας Ἠπείρων
Θεσσαλίας Ἀχαίας Κρήτης Δαλματίας Σισκίας Παννονίων Νωρικοῦ Ἰταλίας Πικηνοῦ
Τουσκίας Καμπανίας Καλαβρίας Ἀπουλίας Βριττίας Σικελίας Ἀφρικῆς πάσης Σερ-

Es besteht kein Grund dafür, die Schrift nach einem anderen Datum als dem durch c. 89 gegebenen, also 357 anzusetzen. Die Apologie ist einheitlich, vgl. die Anmerkungen zu den einschlägigen Stellen 2ff. Dies kann dem Inhalt nach frühestens nach 352/3 geschrieben sein; vorher war Konstantius mit anderen Dingen beschäftigt. Etwa im Jahre 352 widerriefen Ursacius und Valens ihre zu Mailand 345 abgegebene Erklärung, vgl. Schwartz, Zeitschr. f. neut. Wiss. 34 (1935) 151. Das war der Auftakt zu dem Kesseltreiben gegen Athanasius; gegen diesen Widerruf nimmt Athanasius Stellung, vgl. apol. ad Const. 1; hist. Arian. 29, und Ossius bei Athan. hist. Arian. 44 (Migne 25, 745 B) 8 Die Apologie ist also eine Schrift an Freunde, doch wohl an die ägyptischen Anhänger des Athanasius, vgl. Z. 6. Dies ist hier die einzige, allerdings sehr allgemeine Angabe über die Adressaten 11 Die Synode von Alexandrien 338 vgl. c. 3; zur Zahl s. unten S. 116, 1 12 Die Synode von Rom 341; zur Zahl 50 s. S. 102, 8 13 Die Synode von Serdika 342, vgl. c. 36ff. 16ff. Zur Zahl »mehr als 300« vgl. S. 132, 7 = 344, Athan. hist. Arian. 28 (Migne 25, 725 A) = 400, d. i. die Zahl der Bischöfe, die insgesamt auf der abendländischen Synode von Serdica und nachher den Beschlüssen beitraten. Die hier folgende Liste der Provinzen, wenige Abweichungen ausgenommen, und die in hist. Arian. 28 überlieferte, die mit der obenstehenden gleichlautet, umfassen diejenigen Gegenden, aus denen Bischöfe der Synode zustimmten. Die Listen unten c. 37 und Urk. 95 geben nur die Herkunft der in Serdica anwesenden Bischöfe wieder. Vgl. Feder, Sitzungsber. d. Akad. d. Wiss. zu Wien phil.-hist. Kl. Bd. 166, 5 S. 64ff.

BKPO REFV

1 a. Rd. νη̅ B μθ̅ K λθ̅ R ιζ̅ E* ιη̅ E^c V 3 ἑαυτοὺς B* ἑαυτῶν B^c 5 πάντα ἀνάδικα ~ V 6 σκύλωσιν V 7 ἀνέχησθε BK 8 τῆς > B 10 οὐ] οὐδὲ B 11 ⟨ἐν τῇ συνόδῳ τῇ⟩ Op. vgl. Z. 13f. | ἐπισκόποις V 20 Βριγγίας F

3 δανίας Σπανίων Γαλλίων Βρεττανίων. ἐπεμαρτύρησαν δὲ τούτοις Οὐρσάκιος καὶ
B 124 Οὐάλης οἱ πρότερον μὲν διαβάλλοντες, ὕστερον δὲ μεταγνόντες. | οὐ γὰρ μόνον ἀπε-
B δέξαντο τὰ κριθέντα ὑπὲρ ἡμῶν, ἀλλὰ καὶ συκοφάντας ἑαυτούς τε καὶ τοὺς ἄλλους τοὺς
καθ' ἡμῶν γενομένους ὡμολόγησαν. οἱ γὰρ οὕτως μεταγνόντες καὶ οὕτως γράψαντες
δῆλοί εἰσι καὶ τοὺς περὶ Εὐσέβιον ἐλέγχοντες· μετὰ γὰρ αὐτῶν κοινῇ τὴν καθ' ἡμῶν
4 ἐμηχανήσαντο συσκευήν. τὰ τοίνυν ὑπὸ τοσούτων καὶ τηλικούτων ἐπισκόπων
δοκιμασθέντα καὶ κριθέντα ἀποδειχθέντα τε λευκῶς περιττὸν εἶναι πάλιν ἀνακρίνεσθαι
πᾶς ὁστισοῦν ὁμολογήσειεν, ἵνα μή, κἂν νῦν ἐξετασθῇ, πάλιν ἀνακριθῇ καὶ αὖθις ἐξετασθῇ
καὶ οὕτως εἰς ἀπέραντον τὰ τῶν περιεργαζομένων γένηται.

2,1 Ἤρκει μὲν γὰρ καὶ ἡ τῶν τοσούτων ἐπισκόπων ψῆφος δυσωπῆσαι τοὺς ἔτι κἂν
C προσποιεῖσθαι καθ' ἡμῶν βουλομένους· ὅτε δὲ καὶ ἐχθροὶ μαρτυροῦσιν ὑπὲρ ἡμῶν τε
καὶ καθ' ἑαυτῶν φάσκοντες τὰ καθ' ἡμῶν εἶναι συσκευήν, τίς ἔτι λοιπὸν ἀμφιβάλλων
2 οὐκ αἰσχύνεται; τοῦ γὰρ νόμου κελεύοντος »ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων«
ἵστασθαι τὰς κρίσεις ἰδοὺ τοσοῦτον πλῆθος ὑπὲρ ἡμῶν ἐστι μαρτύρων ἔχον προσθήκην
καὶ τὴν παρὰ τῶν ἐχθρῶν ἀπόδειξιν, ὥστε καὶ τοὺς ὑπολειπομένους μηκέτι προσέχειν
οἷς, ὡς ἠθέλησαν, ἐδίκασαν, ἀλλὰ βιάζεσθαι λοιπὸν καὶ ἀντὶ τῶν εὐλόγων ἀδικεῖν τοὺς
ἐλέγχοντας αὐτούς. τοῦτο γὰρ αὐτοὺς μάλιστα λυπεῖ, ἐπειδήπερ ἅπερ ἔκρυψαν
αὐτοὶ πράξαντες καὶ καθ' ἑαυτοὺς ἐν γωνίᾳ συνέθεντο, ταῦτα Οὐάλης καὶ Οὐρσάκιος
D ἐξήγαγον καὶ ἀπεκάλυψαν. καὶ ἴσασιν ἀκριβῶς, ὡς ἡ τούτων μετάνοια κατακρίνει μὲν
3 ἐκείνους, δικαιοῖ δὲ τοὺς ἀδικηθέντας παρ' αὐτῶν. διὰ τοῦτο γοῦν καὶ ἐν τῇ κατὰ
Σαρδικὴν συνόδῳ καθῃρέθησαν, ὥσπερ ἔμπροσθεν εἶπον, καὶ εἰκότως γε· οὕτω γὰρ
καὶ οἱ τότε Φαρισαῖοι ἀπολογούμενοι ὑπὲρ τοῦ Παύλου διήλεγχον τὴν ἑαυτῶν καὶ τῶν
M 252 A Ἰουδαίων κατ' αὐτοῦ γενομένην συνωμοσίαν· οὕτως ὁ μακάριος Δαυὶδ | ἐδείχθη μάτην
διωκόμενος, ὁπηνίκα ὁ διώκων ὡμολόγησε λέγων· »ἥμαρτον, τέκνον Δαυίδ«· οὕτως
καὶ οὗτοι νικηθέντες ὑπὸ τῆς ἀληθείας ἠξίωσαν καὶ γράψαντες ἐπιδεδώκασιν Ἰουλίῳ
4 τῷ ἐπισκόπῳ Ῥώμης. ἔγραψαν δὲ καὶ ἡμῖν ἀξιοῦντες ἔχειν τὴν πρὸς ἡμᾶς εἰρήνην
οἱ τοσαῦτα θρυλήσαντες καὶ τάχα καὶ νῦν ἐρυθριῶντες, διότι οὓς ἐζήτησαν ἀνελεῖν,
τούτους τῇ χάριτι τοῦ κυρίου ζῶντας ὁρῶσι. καὶ Ἄρειον δὲ καὶ τὴν αἵρεσιν ἀνεθεμάτισαν
ἀκολούθως τοῦτο ποιοῦντες. εἰδότες γάρ, ὡς δι' οὐδὲν ἕτερον οἱ περὶ Εὐσέβιον ἡμῖν
ἐπεβούλευον ἢ διὰ τὴν ἰδίαν ἑαυτῶν ἀσέβειαν, ἅπαξ κρίναντες ὁμολογῆσαι τὴν καθ'
ἡμῶν συκοφαντίαν εὐθὺς ἠρνήσαντο καὶ τὴν χριστομάχον αἵρεσιν, δι' ἣν καὶ τὰ καθ'
ἡμῶν ὑπεκρίναντο.

3,1 Τὰ μὲν οὖν γραφέντα παρὰ τῶν ἐπισκόπων | ὑπὲρ ἡμῶν κατὰ διαφόρους συνόδους
B 125 B καὶ πρῶτα τὰ τῶν Αἰγυπτίων ἐστὶ τάδε·

1 ff. S. unten c. 58. Wie bei Liberius in seiner Unterredung mit Constantius in Mailand (Theodoret h. e. II 16, 11; 133, 5 ff.), Hilarius (Coll. antiar. Paris. B II 5, 6; CSEL 65, 143, 1 f.), Ep. synodi Ariminensis (Athanasius de synodis 10; Migne 26, 697 A) ruht auch hier die Argumentation vornehmlich auf dem Widerruf des Ursacius und Valens, Athanasius baut auf die Eingabe der beiden (unten c. 58) den Beweis für die Gerechtigkeit seiner Sache auf   13 Vgl. Dtn. 17, 6; Mt. 18, 16   22 Vgl. Acta 23, 9   24 I. Reg. 26, 21   25 Vgl. c. 58   26 Vgl. c. 58 S. 138, 27   28 Vgl. c. 58 S. 138, 14 ff.

BKPO REFV

3 καὶ[1] > B   6 τοίνυν] νῦν B   7 καὶ κριθέντα > EV   8 πᾶς — 9 γένηται > V   8 οὖν ὅστις E   9 οὕτως] αὖθις B | περὶ τῶν ἐργαζομένων E   10 ψῆφος ἐπισκόπων ~ K   11 προσποιῆσαι F   14 ἡμῶν + ὑπὲρ ἡμῶν E*, aber exp. E[c] | μαρτυροῦν F   17 ἅπερ] ἃ P   18 βάλης RPOF ἀάλης E | οὐρσάλιος K   32 ἀπεκρίναντο F   34 τὰ > EV

Ἡ ἁγία σύνοδος ἡ ἐν Ἀλεξανδρείᾳ συναχθεῖσα ἀπό τε τῆς Αἰγύπτου καὶ τῆς Θηβαΐδος καὶ Λιβύης καὶ Πενταπόλεως τοῖς ἁπανταχοῦ τῆς καθολικῆς ἐκκλησίας ἐπισκόποις ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς ἐν κυρίῳ χαίρειν.

Ἠδυνάμεθα μέν, ἀγαπητοὶ ἀδελφοί, καὶ κατὰ τὴν ἀρχὴν ἅμα τῷ συσκευασθῆναι 2
τὸν συλλειτουργὸν ἡμῶν Ἀθανάσιον ἢ καὶ μετὰ τὸ εἰσελθεῖν αὐτὸν εἰς τὴν Ἀλεξάνδρειαν
ἀπολογήσασθαι περὶ ὧν συνεσκευάσαντο αὐτῷ οἱ περὶ Εὐσέβιον καὶ αἰτιάσασθαι περὶ
ὧν πέπονθε παρ' αὐτῶν καὶ δεῖξαι πάσας τὰς γεγενημένας κατ' αὐτοῦ συκοφαντίας·
ἐπειδὴ δὲ τότε μὲν οὐκ ἐπέτρεπε τὰ πράγματα, ὡς ἴστε καὶ ὑμεῖς, νῦν δ' ἐνομίζομεν μετὰ C
τὴν ἐπάνοδον Ἀθανασίου τοῦ ἐπισκόπου δυσωπεῖσθαι καὶ ἐρυθριᾶν αὐτοὺς ἐπὶ οὕτω
φανεροῖς αὐτῶν ἀδικήμασι, τούτου ἕνεκεν σιγᾶν ἑαυτοὺς ἐπείσαμεν. ἐπεὶ δὲ μετὰ τὸ 3
παθεῖν τοσαῦτα τὸν ἄνδρα, μετὰ τὴν εἰς Γαλλίας ἀποδημίαν, μετὰ τὴν ἐπὶ ξένης ἀντὶ
τῆς οἰκείας καὶ πορρωτάτω διατριβήν, μετὰ τὸ ὀλίγου δεῖν αὐτὸν ἀποθανεῖν ἐκ τῶν διαβολῶν
αὐτῶν, εἰ μὴ βασιλέως ἔτυχε φιλανθρώπου, ἐφ' οἷς ἂν καὶ πᾶς ἐχθρὸς ἐκορέσθη κἂν
τὸν θυμὸν ὠμότατος, οὐκ ἐρυθριῶσιν, ἀλλὰ πάλιν ἐπινεανιεύονται κατὰ τῆς ἐκκλησίας καὶ
τοῦ ἀνδρὸς καὶ πρὸς τὴν ἄφεσιν ἀγανακτοῦντες αὐτοῦ χείροσιν ἐπιτολμῶσι δευτέροις.
καὶ κατηγοροῦσι μὲν εὐχερῶς, οὐ φοβοῦνται δὲ τὸ ἐν ταῖς ἁγίαις γραφαῖς γεγραμμένον 4 D
»μάρτυς ψευδὴς οὐκ ἀτιμώρητος ἔσται« καὶ »στόμα καταψευδόμενον ἀναιρεῖ ψυχήν«. διά
τοι τοῦτο οὐκέτι μὲν δυνάμεθα σιγᾶν, θαυμάζομεν δὲ τὴν πονηρίαν αὐτῶν καὶ τὴν ἀκόρεστον
ἐπὶ συσκευαῖς φιλονεικίαν. ἰδοὺ γὰρ οὐ | παύονται πάλιν βασιλικὰς ἀκοὰς κι- 5 M 253 A
νοῦντες καθ' ἡμῶν, οὐ παύονται γράφοντες ὀλέθρου γράμματα πρὸς ἀναίρεσιν ἐπισκόπου
τοῦ τῆς ἀσεβείας αὐτῶν ἐχθροῦ. πάλιν γὰρ ἔγραψαν τοῖς βασιλεῦσι κατ' αὐτοῦ, πάλιν
αὐτὸν συσκευάσασθαι βούλονται, σφαγὰς αἰτιώμενοι μὴ γενομένας, πάλιν αὐτὸν φονεῦσαι

---

1 ff. = Urkunde 80, nur hier überliefert; Sokr. II 17, 6 erwähnt sie. Vgl. Athan. ep. enc. 6. (Migne 25, 236 A) Synodalschreiben von Serdica c. 44 S. 121, 19; Hilarius Coll. antiar. Paris. B III 2 (CSEL 65 S. 156, 7); Brief des Julius v. Rom c. 27 S. 107, 4; c. 28 S. 108, 5 und vgl. unten S. 115, 19. Das Schreiben ist dem Stil nach von Athanasius verfaßt; es wurde von der in Alexandria tagenden Synode im Jahre 338 beschlossen und erlassen. Dem Schreiben waren folgende Urkunden beigegeben:

1. Auszug aus den Ephemeriden des Präfekten s. c. 5, 4 S. 91, 22.
2. Brief Konstantins an Athanasius (= c. 68) s. c. 9, 5 S. 95, 25, vgl. S. 99, 26.
3. Brief des Alexander von Thessalonich an den Comes Dionysius (= c. 80) s. c. 17, 1 S. 99, 25; vgl. S. 107, 32.
4. Brief des Ischyras an Athanasius (= c. 64) s. c. 17, 1 S. 99, 26, vgl. S. 107, 34.
5. Die Proteste des alexandrinischen und mareotischen Klerus an die Synode von Tyrus und die von ihr eingesetzte Untersuchungskommission, sowie an den Präfekten Philagrius (= c. 73—76) s. c. 17, 1 S. 99, 22 ff.
6. Zeugnisse der ägyptischen und libyschen Bischöfe gegen die von Konstantius gegen Athanasius erhobenen Anschuldigen (Annonenunterschleif) s. c. 19, 1 S. 101, 4.
7. Schreiben der Synode von Jerusalem 335 (= c. 84) s. c. 19, 2 S. 101, 10.

In dem Schreiben wird noch auf eine Reihe weiterer Urkunden Bezug genommen, s. d. Anmerkungen; jedoch ist nicht sicher, daß diese Briefe dem Schreiben beilagen. Der Tomos ist auch (vgl. S. 101, 34) an Julius v. Rom gegangen; er soll die Briefe des Euseb v. Nikomedien und der antiochenischen Synode an die drei Kaiser und Julius v. Rom widerlegen 9 Athanasius zog am 27. Athyr (= 23. Nov.) 337 in Alexandrien ein 13 Die Darstellung der Verbannung als Gnadenakt beruht auf dem Brief Konstantins II. unten c. 87—88 17 Prov. 19, 2; Sap. 1, 11 18 Euseb und die σύνοδος ἐνδημοῦσα von Antiochien hatte bei den drei Kaisern Klage gegen Athanasius erhoben, Athanasius, Hist. Arian. 9 (Migne 25, 704 C) s. unten S. 90, 11, als Athanasius zurückgekehrt war

---

BKO RE

---

1 a. Rd. ν̅θ̅ B ν̃ K μ̅ R λ̅ς̅ E* μ̅ E[c] (in E stehen die folgenden Urkunden erst am Ende der Athanasius-Schriften, vgl. meine Untersuchungen S. 65) 2 πενταπόλει E* -πόλεως E[c] 7 κατ' αὐτοῦ γεγενημένας ∼ RE 8 δ' ἐνομίζομεν B* δὲ νομίζομεν B[c]KORE 10 ἐπεὶ B[c]K τότε B*ORE 13 ἐκρέσθη B* ἐκορέσθη B[c] 14 ὠμότατος K ὡμότατος ἢ (Akzent!) BORE, aber exp. B | καὶ > E

βούλονται φόνους αἰτιώμενοι μὴ γενομένους. καὶ τότε γὰρ ἂν ἐφόνευσαν διαβάλλοντες,
B 126 εἰ | μὴ φιλανθρώπου βασιλέως ἐτύχομεν. πάλιν αὐτόν, ἵνα τὸ ἔλαττον εἴπωμεν, ἐπ' ἐξο-
ριστίαν ἀπελθεῖν ἐπείγονται συμφορὰς ἐξορίστων ὡς παρ' αὐτοῦ γενομένων προσποιού-
6 μενοι θρηνεῖν. καὶ θρηνοῦσι μὲν παρ' ἡμῖν τὰ μὴ γενόμενα, οὐκ ἀρκοῦνται δὲ τοῖς
γενομένοις κατ' αὐτοῦ, ἀλλὰ καὶ δεύτερα χείρονα προσάψαι βούλονται. οὕτως εἰσὶ πρᾶοι
B καὶ φιλάνθρωποι καὶ τὸν τρόπον ἐπιεικεῖς, μᾶλλον δὲ (εἰρήσεται γὰρ τἀληθές) πονηροὶ
καὶ πικροὶ καὶ ἐκ φόβων καὶ ἀπειλῶν ἢ ἐξ εὐσεβείας καὶ ἐπιεικείας, ἃ τοῖς ἐπισκόποις
πρέπει, τιμώμενοι. οἷα γὰρ μηδὲ τῶν ἔξω τις φιλοπραγμόνων φθέγξαιτο, τοιαῦτα ῥήματα
7 καταχέαι τετολμήκασιν ὧν πρὸς τοὺς βασιλέας ἔγραψαν. καὶ τοσούτων φόνων καὶ
σφαγῶν κατηγόρησαν οὐκ ἐπὶ ἡγεμόνος, οὐκ ἐπ' ἄλλου τινὸς μείζονος, ἀλλ' ἐπὶ τῶν
Αὐγούστων τῶν τριῶν, οὐδὲ πρὸς τὰ διαστήματα τῶν ὁδῶν ἀποκνήσαντες, μόνον ἵνα
πάντα μείζονα δικαστήρια τῆς κατηγορίας αὐτῶν ἐμπλησθῇ. κατηγορία γὰρ ἀληθῶς,
ἀγαπητοί, τὰ παρ' αὐτῶν γενόμενα καὶ πασῶν ἀνωτάτω κατηγορία, ὅπου γε καὶ
C πάντων τῶν ἀνθρωπίνων ἀνωτάτω τὰ δικαστήρια. τί γὰρ ἄλλο τέλος τῆς ἐπὶ τούτοις
ἐξετάσεως ἢ θάνατος ἐκ βασιλικῆς κινήσεως ἐπαγόμενος;
4, 1 Οὐκοῦν οὐ τὰ παρὰ Ἀθανασίου, ἀλλὰ τὰ παρ' αὐτῶν γινόμενα θρήνου καὶ οἰμω-
γῆς ἄξια· οὐκοῦν αὐτοὺς μᾶλλον ἄν τις δικαίως θρηνήσειεν· ἐπὶ τούτοις γὰρ ὀδύρεσθαι
χρή, ἐπεὶ καὶ γέγραπται »μὴ κλαίετε τὸν τεθνηκότα, μήτε θρηνεῖτε αὐτόν, κλαύσατε
κλαυθμῷ τὸν ἐκπορευόμενον, ὅτι οὐκ ἐπιστρέψει ἔτι«. πᾶσα γὰρ αὐτῶν ἡ ἐπιστολὴ
οὐδὲν ἄλλο ἢ πρὸς θάνατον ὁρᾷ, καὶ φονεύειν ἐπιχειροῦσιν, ἐὰν συγχωρῶνται, καὶ ποιεῖν
2 ἐξορίστους. συνεχωρήθησαν γὰρ τοῦ θεοφιλεστάτου πατρὸς τῶν βασιλέων ἀντὶ
θανάτου τῇ μεταθέσει τοῦ τόπου τὸν θυμὸν αὐτῶν ἐκπλήσαντος. ταῦτα οὖν ὅτι μηδὲ
D ψιλῶν Χριστιανῶν ἔργα, σπανίως δὲ καὶ ἐθνικῶν, μήτι γε ἐπισκόπων δοκούντων καὶ
τοὺς ἄλλους τὰ δίκαια διδάσκειν, συνορᾶν ὑμῶν τὴν ἐν Χριστῷ συνείδησιν ἡγούμεθα.
3 πῶς γὰρ οἱ τοὺς ἄλλους κωλύοντες κατηγορεῖν αὐτοὶ κατήγοροι καὶ μέχρι βασιλέων
γίνονται; πῶς οἱ συμφορὰς ἐλεεῖν διδάσκοντες οὐδὲ μετὰ τὴν ἐξοριστίαν ἡμῶν ἡσυχάζουσι;
κοινὸς γὰρ γέγονεν ἡμῶν τῶν ἐπισκόπων ὁμολογουμένως ἐξορισμός, καὶ πάντες ἑαυτοὺς
M 256 A ἐξορίστους εἴχομεν καὶ νῦν ὡς σὺν Ἀθανασίῳ ταῖς πατρίσιν ἀποδοθέντας πάλιν | ἀντὶ
τῶν προτέρων ὀδυρμῶν ἐπ' αὐτῷ καὶ θρήνων μεγίστην εὐθυμίαν ἀπολαβόντας καὶ
4 χάριν, ἣν ὁ κύριος διαφυλάξειε καὶ ἀνατρέψαι τοῖς περὶ Εὐσέβιον μὴ ἐπιτρέψῃ. ταῦτα
μέν, εἰ καὶ ἀληθῆ ἦν ἃ κατηγόρουν αὐτόν, ἦν τινα κατηγορήματα ὅτι παρὰ τὸ πρόσταγμα
B 127 τοῦ χριστιανισμοῦ | καὶ μετὰ τὸν τοῦ πειρασμοῦ ἐξορισμὸν ἐπεμβαίνοντες πάλιν φόνων
καὶ σφαγῶν καὶ ἄλλων ἐγκλημάτων κατηγοροῦσι καὶ βασιλικαῖς ἀκοαῖς ταῦτα κατὰ τῶν
ἐπισκόπων ἐπηχοῦσιν· ὅτε δὲ πάντα ψεύδονται καὶ πάντα συκοφαντοῦσι καὶ μὴ
πρόσεστιν αὐτῶν ἀλήθεια τοῖς στόμασι μηδὲ τοῖς γράμμασι, ποσαπλοῦν τὸ κακὸν
5 παρ' αὐτοῖς ἢ ποταποὺς εἶναι τοὺς ἀνθρώπους ὑπολαμβάνετε; ἤδη τοίνυν ἐπ' αὐτὰ
B χωρήσωμεν καὶ πρὸς τὰς κατηγορίας αὐτῶν τὰς νῦν γινομένας ἀπαντήσωμεν. καὶ γὰρ
ἀπὸ τούτων οὐδὲ τὰ πρότερα παρ' αὐτῶν ἐπὶ συνόδῳ καὶ κρίσει θρυλούμενα καλῶς
πεπραγμένα, μᾶλλον δὲ οὐδὲ ἀληθῆ λεγόμενα ἐλεγχθήσεται καὶ πάλιν ἐπὶ τούτοις κατα-
γνωσθήσονται.
5, 1 Δυσωπούμεθα μὲν οὖν περὶ τοιούτων ἀπολογούμενοι· πλὴν ἐπειδήπερ πρὸς πάν-

18 Jer. 22, 10 21 S. unten c. 87 37 D. h. der Prozeß in Tyrus 335

BKO RE

1 βουλεύονται RE 2/3 ἐξορίαν B^c K ἐξοριστίαν B* 5 δεύτερα + καὶ B vgl. Z. 5/6. 7 ἢ + καὶ E 16 παρὰ] περὶ R* παρὰ R^c 22 οὖν] γὰρ B 26 διδάσκοντες] διανοηθέντες E, aber a. Rd.: διδάσκοντες 28 ἀποδοθέντες B* ἀποδοθέντας B^c 29 καὶ θρήνων ἐπ' αὐτῷ ~ B*, wie im Text B^c 30 ἐπι-στρέψαι K 34 ὅτε] ὅτι KO 37 ὑπαντήσωμεν B* ἀπαντήσωμεν B^c

τα ἑαυτοὺς οἱ προπετεῖς ἐπάγουσι κατήγοροι καὶ μετὰ τὴν εἴσοδον Ἀθανασίου φόνους
καὶ σφαγὰς αἰτιῶνται γεγενῆσθαι, παρακαλοῦμεν ἀνασχέσθαι τῆς ἀπολογίας, κἂν διὰ
πλειόνων ᾖ· τὰ γὰρ πράγματα ἀναγκάζει. φόνος μὲν οὔτε παρὰ Ἀθανασίου γέγονεν 2
οὔτε δι' αὐτόν, ἐπειδὴ καὶ εἰς ταύτην ἡμᾶς τὴν ἄδοξον ἀπολογίαν, ὡς προείπομεν, ἐμβι-
βάζουσιν οἱ κατήγοροι· σφαγαὶ δὲ καὶ δεσμοὶ τῆς ἐκκλησίας ἡμῶν ἀλλότρια· δημίῳ παρα-
δέδωκεν Ἀθανάσιος οὐδένα· καὶ τὸ δεσμωτήριον ὅσον ἐπ' αὐτῷ οὐδεπώποτε ἐνοχληθὲν C
παρ' αὐτοῦ. τὰ παρ' ἡμῖν ἱερατεῖα ὥσπερ ἀεὶ καὶ νῦν καθαρά, μόνῳ σεμνυνόμενα 3
τῷ αἵματι τοῦ Χριστοῦ καὶ τῇ εἰς αὐτὸν εὐσεβείᾳ. οὐ πρεσβύτερος, οὐ διάκονος ἀνῃρέθη
παρὰ Ἀθανασίου· οὐ φόνον, οὐκ ἐξοριστίαν ἔδρασεν ὁ ἄνθρωπος. ἀλλ' εἴθε μηδὲ ἐκεῖνοι
κατ' αὐτοῦ τοῦτ' ἔδρασαν ἀληθείᾳ τὴν πεῖραν ἐπαγαγόντες. οὐδεὶς γὰρ ἐξόριστος ἐν-
ταῦθα γέγονε δι' αὐτὸν πλὴν αὐτοῦ τοῦ ἐπισκόπου Ἀθανασίου τῆς Ἀλεξανδρείας
παρ' αὐτῶν, ὃν ἀφεθέντα καὶ πάλιν τοῖς αὐτοῖς ἢ καὶ χείροσι περιβάλλειν ἐπιζητοῦσι
πάντα πρὸς ψευδῆ καὶ θανατηφόρα ῥήματα τὴν γλῶτταν ἑαυτῶν ὀτρύνοντες. ἰδοὺ 4
γὰρ λοιπὸν καὶ τὰς τῶν δικαστῶν πράξεις ἐπ' αὐτὸν μεταφέρουσι. καὶ τὸν μὲν ἔπαρχον D
τῆς Αἰγύπτου φανερῶς ὁμολογοῦσιν ἐν τῇ ἐπιστολῇ κατά τινων ἀποφάναι, πάλιν
δὲ οὐ δυσωποῦνται καὶ ταύτας τὰς ἀποφάσεις Ἀθανασίῳ προσάπτοντες καὶ ταῦτα
μηδέπω τῆς Ἀλεξανδρείας ἐπιβάντι, ἀλλ' ἔτι τῆς ὁδοῦ τῆς ἀπὸ τῆς ἐξοριστίας ἐχομένῳ
καὶ κατὰ τὴν Συρίαν ὄντι, εἴ γε δεῖ καὶ μακρὰν ἀποδημίαν εἰς ἀπολογίαν φέρειν ὑπὲρ
τοῦ μηδὲ ὑπεύθυνον εἶναί τινα οἷς ἐὰν ἡγεμὼν ἢ ἔπαρχος Αἰγύπτου πράξῃ, εἰ γὰρ καὶ
ἐπὶ τῆς Ἀλεξανδρείας ἦν, τί πρὸς Ἀθανάσιον αἱ τοῦ ἐπάρχου | πράξεις; ἀλλ' ὅμως οὐδὲ M 257 A
ἐπεδήμει τοῖς τόποις· καὶ τὰ πραχθέντα οὐ διὰ προφάσεις ἐκκλησιαστικὰς πέπρακται
παρὰ τοῦ ἐπάρχου τῆς Αἰγύπτου, ἀλλὰ διά τινας ἃς ἐκ τῶν ὑπομνημάτων εἴσεσθε, | ἅπερ B 128
μετὰ τὸ γνῶναι τὰ παρὰ τούτων γραφέντα πολυπραγμονήσαντες ἀπεστείλαμεν ὑμῖν.
οὐκοῦν ὅτε καὶ νῦν τὰ μὴ γενόμενα μήτε παρ' αὐτοῦ μήτε δι' αὐτὸν βοῶσιν ὡς γενόμενα 5
καὶ τοσούτοις μαρτυροῦσιν ὡς πληροφορηθέντες κακοῖς, εἰπάτωσαν ἐκ ποίας συνόδου
καὶ ταῦτα ἔγνωσαν; ἐκ ποίων ἀποδείξεων; ἐκ ποίας κρίσεως; εἰ δὲ μηδὲν ἔχοντες τοιοῦτον
ἁπλῶς διαβεβαιοῦνται, καὶ τὰ πρότερα πῶς γέγονεν ἢ πῶς λέγουσιν, ὑμῖν καταλίπομεν
σκοπεῖν. οὐδὲν γὰρ ἄλλο ἐστὶν ἢ συκοφαντία καὶ ἐχθρῶν ἐπιβουλὴ καὶ θυμὸς ἄσχετα
φρονῶν καὶ κατὰ τῆς εὐσεβείας ἡ ὑπὲρ τῶν Ἀρειομανιτῶν ἀσέβεια λυττῶσα, ἵν' ἐκποδὼν B
μὲν οἱ ὀρθόδοξοι γένωνται, μετ' ἀδείας δὲ λοιπὸν ἃ βούλονται κηρύττωσιν οἱ προστάται
τῆς ἀσεβείας. καὶ γὰρ οὕτως ἔχει.
Ἀρείου τοῦ ἀσεβήσαντος, ἀφ' οὗ καὶ ἡ Ἀρειομανιτῶν δι' αὐτὸν αἵρεσις κέκληται, 6,1
τῆς ἐκκλησίας ἐκβληθέντος ὑπὸ τοῦ μακαρίτου ἐπισκόπου Ἀλεξάνδρου οἱ περὶ Εὐσέβιον

1 Vgl. c. 3, 7 S. 90, 10; c. 7, 4 S. 93, 27; c. 17, 5 S. 100, 15   14 Der Präfekt, es ist Flavius Antinous Theodorus aus Heliopolis für 337 und 338, war bei Unruhen, die von Gegnern des Athanasius inszeniert wurden, gegen diese vorgegangen. Theodorus wird kaum Athanasius' Partei unterstützt haben, wie es vor 335 die Präfekten getan hatten   18 Daß Athanasius von Trier über Syrien, Palästina und Phönikien zurückkehrte, weiß Theodoret II 3, 8 (97, 18), wohl aus einer Quelle, die mit dem Schreiben der oriental. Synode von Serdica übereinstimmt, wo es heißt (Hilarius: Collect. antiar. Paris. A IV 1, 8 CSEL 65 S. 54, 28ff.): etenim per omnem viam reditus sui ecclesias subuertebat, damnatos episcopos aliquos restaurabat, aliquibus spem ad episcopatus reditum promittebat, aliquos ex infidelibus constituebat episcopos saluis et permanentibus integris sacerdotibus per pugnas et caedes gentilium, nihil respiciens leges, desperationi tribuens totum. unde per vim per caedem per bellum Alexandrinorum basilicas depraedatur   23 Das sind Auszüge aus den Ephemeriden des Präfekten   32ff. Vgl. Urk. 4b, 4. 5 (III 7, 4ff.)

BKO RE

5 ἀλλότριοι B* ἀλλότρια B^c 8 καὶ > O*, aber eingefügt O^c 10 τοῦθ' R*E* τοῦτ' R^cE^c 11 τῆς > B   12 καί[1] > RE | ζητοῦσι KORE   15 ἀποφάναι Op. vgl. Eus. c. Marc. I 4, 15 (20, 16) ἀπέφανται Hss. Comm. Montf.   18 δεῖ] δὴ B* (δεῖ B^c)ORE   20 ἐπάρχου + τῆς Αἰγύπτου RE   23 γραφέντα] πραχθέντα K | ὑμῖν] ἡμῖν O* ὑμῖν O^c 29 φονῶν ORE   32 Ἀρειομανιτῶν + ἡ R* (ausradiert R^c)E

μαθηταὶ τῆς ἀσεβείας αὐτοῦ καὶ κοινωνοὶ τυγχάνοντες ἑαυτοὺς ἐκβεβλῆσθαι νομίζοντες,
ἔγραφον πολλὰ παρακαλοῦντες Ἀλέξανδρον τὸν ἐπίσκοπον μὴ ἀφεῖναι τὸν αἱρετικὸν
2 Ἄρειον ἔξω τῆς ἐκκλησίας. Ἀλεξάνδρου δὲ διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν μὴ δεχομένου
τὸν ἀσεβῆ εἰς Ἀθανάσιον τότε διάκονον ὄντα ἐλυποῦντο, ἐπειδὴ τὰ πλεῖστα συνόντα
Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ πολυπραγμονοῦντες αὐτὸν ἤκουον καὶ τιμώμενον παρ' αὐτοῦ.
C πεῖραν δὲ αὐτοῦ καὶ τῆς εὐσεβείας τῆς εἰς Χριστὸν λαβόντες ἐκ τῆς συνόδου τῆς κατὰ
Νίκαιαν συγκροτηθείσης ἐν οἷς ἐπαρρησιάζετο κατὰ τῆς ἀσεβείας τῶν Ἀρειομανιτῶν,
3 μειζόνως τὸ μῖσος ηὔξανον. ὡς δὲ ἐπὶ τὴν ἐπισκοπὴν αὐτὸν ὁ θεὸς ἤγαγε, τὴν ἐκ
παλαιοῦ τρεφομένην αὐτοῖς κακίαν ἀναζωπυρήσαντες καὶ φοβούμενοι τὴν ὀρθοδοξίαν
αὐτοῦ καὶ τὴν κατὰ τῆς ἀσεβείας παράστασιν (Εὐσέβιος δὲ καὶ πλεῖον ὑπὸ τῆς συνειδήσεως
ὧν οἶδε πληττόμενος) πάντα τρόπον ἐπεβούλευον καὶ συνεσκευάζοντο τῷ ἀνδρί, ἐκίνουν
4 βασιλέα κατ' αὐτοῦ, συνόδους ἠπείλουν πολλάκις καὶ τέλος ἐν Τύρῳ συνῆλθον. καὶ
μέχρι νῦν οὐκ ἀφίστανται κατ' αὐτοῦ γράφοντες καὶ οὕτως εἰσὶν ἀπαραίτητοι, ὡς καὶ
D τὴν κατάστασιν τῆς ἐπισκοπῆς αὐτοῦ μέμφεσθαι, πανταχοῦ δεικνύοντες ἑαυτοὺς ἐχθροὺς
καὶ μισοῦντας τὸν ἄνδρα καὶ ψευδῆ λέγοντες, μόνον ἵνα ἐκφαυλίσωσιν αὐτὸν ἐν ταῖς
ψευδολογίαις. ἀλλὰ καὶ ἐξ αὐτῶν τούτων ὧν ψεύδονται, τὰ πρότερα διελέγχουσι ψευδῆ
καὶ συσκευῆς μεστά. 'μετὰ γὰρ τὴν τελευτήν', φασίν, ''Ἀλεξάνδρου τοῦ ἐπισκόπου
M 260 A ὀλίγων τινῶν Ἀθανασίου μνήμην ποιουμένων ἓξ ἢ ἑπτὰ ἐπισκόπων λάθρα | καὶ ἐν
παραβύστῳ χειροτονοῦσιν αὐτόν'. ταῦτα ἔγραψαν καὶ βασιλεῦσιν οἱ μηδὲν ψευδὲς
B 129 5 γράφειν παραιτούμενοι. ὅτι δὲ πᾶν | τὸ πλῆθος καὶ πᾶς ὁ λαὸς τῆς καθολικῆς ἐκκλη-
σίας ὥσπερ ἐκ μιᾶς ψυχῆς καὶ στόματος συνεληλυθότες ἀνεβόων, ἔκραζον αἰτοῦντες
Ἀθανάσιον ἐπίσκοπον τῇ ἐκκλησίᾳ, τοῦτο ηὔχοντο δημοσίᾳ τῷ Χριστῷ καὶ τοῦτο ἡμᾶς
ὥρκιζον ποιεῖν ἐπὶ πλείστας ἡμέρας καὶ νύκτας μήτε αὐτοὶ τῆς ἐκκλησίας ἀφιστάμενοι μήτε
ἡμᾶς ἐπιτρέποντες ἀφίστασθαι τούτου, καὶ ἡμεῖς μάρτυρες τούτου καὶ ἡ πόλις πᾶσα καὶ
ἡ ἐπαρχία, οὐδὲν μὲν ἐναντίον, ὡς ἔγραψαν ἐκεῖνοι, κατ' αὐτοῦ λέγοντες, πάντα δὲ τὰ
βέλτιστα, σπουδαῖον, εὐλαβῆ, Χριστιανόν, ἕνα τῶν ἀσκητῶν, ἀληθῶς ἐπίσκοπον ὀνο-
6 μάζοντες. ὅτι δὲ οἱ πλείονες ἡμῶν αὐτὸν ἐχειροτόνησαν ὑπὸ ταῖς τῶν πάντων ὄψεσι
B καὶ βοαῖς, μάρτυρες πάλιν ἡμεῖς ἀξιοπιστότεροι τῶν ἀπόντων καὶ ψευδομένων οἱ χειρο-
τονήσαντες, ἀλλ' ὅμως Εὐσέβιος τὴν κατάστασιν Ἀθανασίου μέμφεται ἄνθρωπος τάχα

1 Vgl. Urk. 7 (III 14); Urk. 8, 8 (III 17, 8); Urk. 9; 11; 12 4ff. Hier das einzige Zeugnis für Athanasius' Tätigkeit als Diakon (vgl. de decr. 35, 21 nr. 21; S. 34, 24), alle anderen Nachrichten sind von dieser Stelle abhängig. Selbständig mag Hilarius Nachricht sein: Coll. antiarian. Paris. B II 11, 6 (CSEL 65 S. 154, 19ff.), Gregor. Naz. or. 21, 14 (I 394 A ed. Maur.). Sozomenus II 17, 10 nennt A. ὁμοδίαιτος καὶ ὑπογραφεύς des Alexander, vgl. dazu Rufin h. e. X 15 (981, 18 Mommsen) 10 Vgl. unten c. 59ff. 12 Z. B. Caesarea 334 14 Die Vorgänge bei der Wahl des Athanasius bildeten schon einen der Anklagepunkte bei den Verhandlungen in Psamathia vor Konstantin im Jahre 332, vgl. Kephalaion zum 3. Festbrief: ἐν τούτῳ (d. h. Ende 331) γὰρ ἀπεδήμησεν εἰς τὸ κομιτάτον πρὸς Κωνσταντῖνον βασιλέα, ὃς μετεπέμψατο αὐτόν, ἐπεὶ οἱ ἐχθροὶ κατηγόρησαν αὐτοῦ ὡς νέον ὄντα χειροτονηθῆναι, und schließlich in Tyrus s. Sozomenus h. e. II 17, 4; 25, 6. Daß die Wahl des Athanasius keineswegs so glatt verlaufen ist, wie der Synodalbrief es darstellt, geht aus den zahlreichen Berichten bei Epiphanius haer. 68, 7, 2—4 (III 147, 5ff.); Apollinaris bei Sozomenus II 17, 2—3; Philostorgius II 11 hervor 17ff. So lautete schon ein Punkt der Anklage in Tyrus, Sozomenus II 17, 4 27 Athanasius hat von Anfang an dem alexandrinischen Klerus angehört, die Titulatur ἀσκητής bezieht sich auf seine Verbindung mit den Asketen und Mönchen, vielleicht auch auf seine Lebenshaltung, mit Tillemont VIII 653 gegen Montfaucon Collectio nova II p. IX sq. 29 Zur Polemik gegen Eusebs mehrmaligen Wechsel des Bistums vgl. Urk. 4b, 4 (III 7, 4ff.), Euseb v. Caes. c. Marc. I 4, 9 (19, 9)

BKO RE

5 καὶ > K 6 ἀσεβείας O* εὐσεβείας O^c | εὐσεβείας τῆς εἰς Χριστόν] εἰς Χριστὸν εὐσεβείας K 10 καὶ πλεῖον B^cKO καὶ κατὰ πλεῖον RE καὶ B* | ὑπὸ B^c ἀπὸ B* 15 ἵνα μόνον ~ K 20 τὸ πλῆθος πᾶν ~ K 21 στόματος KO (στο- corr.? O) RE σώματος B | συνεληλυθότες B^c συνελθόντες B* 27 τῶν > BKO

μηδὲ κατάστασιν ὅλως ἐσχηκώς, εἰ δέ που καὶ ἔσχεν αὐτὸς ἀκυρώσας αὐτήν. ἐν Βηρυτῷ μὲν ἦν ἀπ' ἀρχῆς, Βηρυτὸν δὲ ἀφεὶς εἰς Νικομήδειαν ἦλθε, τὴν μὲν παρὰ νόμον ἀφείς, εἰς τὴν δὲ παρὰ νόμον ἐπιβαίνων, καὶ τὴν μὲν οἰκείαν ἀστόργως καταλελοιπώς, τὴν δὲ ἀλλοτρίαν ἀλόγως κατέχων, καὶ τῆς μὲν πρώτης τὴν στοργὴν ὑπὸ τῆς ἀλλοτρίας ἐπιθυμίας παριδών, τῇ δὲ δευτέρᾳ μηδὲ ἣν ὑπὸ τῆς ἐπιθυμίας ἔσχε τηρήσας. ἰδοὺ γὰρ 7
κἀκεῖθεν ἀποστὰς ἀλλοτρίαν πάλιν κατέχει πανταχοῦ ταῖς ἀλλοτρίαις ἐποφθαλμιῶν πόλεσι καὶ ἐν πλούτῳ καὶ ἐν μεγέθει πόλεων νομίζων εἶναι τὴν εὐσέβειαν, καὶ τὸν κλῆρον τοῦ C
θεοῦ, καθ' ὃν ἐτάχθη τις, μηδὲν ἡγούμενος, οὐκ εἰδώς, ὅτι καὶ »ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰσὶν ἐπὶ τῷ ὀνόματι τοῦ κυρίου, ἐκεῖ ἐστιν ἐν μέσῳ αὐτῶν ὁ κύριος«, οὐκ ἐνθυμούμενος τὸ παρὰ τοῦ ἀποστόλου λεχθὲν ὅτι »οὐκ ἐν ἀλλοτρίοις καμάτοις καυχήσομαι«, οὐ συνορῶν τὸ παρ' αὐτοῦ παράγγελμα »δέδεσαι γυναικί, μὴ ζήτει λύσιν«. εἰ δὲ ἐπὶ γυναικὸς τὸ ῥητόν, πόσῳ μᾶλλον ἐπὶ ἐκκλησίας καὶ τῆς αὐτῆς ἐπισκοπῆς, ᾗ ὁ συνδεθεὶς ἄλλην οὐκ ὀφείλει ζητεῖν, ἵνα μὴ καὶ μοιχὸς παρὰ ταῖς θείαις εὑρίσκηται γραφαῖς.

Ἀλλὰ καὶ τοιαῦτα ἑαυτῷ συνειδὼς τετόλμηκε τὴν κατάστασιν Ἀθανασίου τὴν 7,1
ὑπὸ πάντων ἐπὶ καλοῖς μαρτυρουμένην διαβάλλειν, καὶ καθαίρεσιν ὀνειδίζειν αὐτῷ τολμᾷ D
καθαιρεθεὶς αὐτὸς καὶ μάρτυρα τῆς καθαιρέσεως ἔχων τὴν ἀντ' αὐτοῦ κατάστασιν. πῶς οὖν ἢ αὐτὸς ἢ Θεόγνιος ἠδύναντο καθαιρεῖν ἄλλον αὐτοὶ καθαιρεθέντες καὶ ταῖς ἀντ' | M 261 A
αὐτῶν καταστάσεσιν ἐλεγχόμενοι; οἴδατε γὰρ ἀκριβῶς, ὅτι Ἀμφίων μὲν ἐν | Νικο- 2 B 130
μηδείᾳ, Χρηστὸς δὲ ἐν Νικαίᾳ κατεστάθησαν ἀντ' αὐτῶν διὰ τὴν οἰκείαν ἀσέβειαν καὶ τὴν πρὸς τοὺς Ἀρειομανίτας κοινωνίαν τοὺς ἀπὸ τῆς συνόδου τῆς οἰκουμενικῆς ἀποδοκιμασθέντας. κἀκείνην τὴν τῷ ὄντι σύνοδον ἀναιρεῖν θέλοντες τὴν ἑαυτῶν ἄδικον σύστασιν ὀνομάζειν σύνοδον ἐπιχειροῦσι, καὶ τὰ παρ' ἐκείνων κρατεῖν μὴ θέλοντες τὰ παρ' αὐτοῖς κρατεῖν βούλονται, καὶ σύνοδον ὀνομάζουσιν οἱ συνόδῳ τηλικαύτῃ μὴ πειθόμενοι. οὕτως 3
οὐ συνόδου πεφροντίκασιν, ἀλλὰ σχηματίζονται φροντίζειν, ἵνα ἀνελόντες τοὺς ὀρθοδόξους τὰ δόξαντα τῇ ἀληθεῖ καὶ μεγάλῃ συνόδῳ κατὰ τῶν Ἀρειανῶν λύσωσιν, ὧν προιστάμενοι καὶ ἀεὶ καὶ νῦν ψεύδεσθαι τολμῶσι κατὰ Ἀθανασίου τοῦ ἐπισκόπου. ὅμοια γὰρ κἀκεῖνα τοῖς νῦν, ἃ ψεύδονται, ὅτι πρὸς τὴν εἴσοδον αὐτοῦ στάσεις καὶ θρῆνοι 4 B
καὶ ὀδυρμοὶ γεγόνασι τῶν λαῶν πρὸς τὴν ὑποδοχὴν αὐτοῦ δυσανασχετούντων. οὐδὲν γὰρ τοιοῦτον γέγονεν, ἀλλὰ πᾶν τοὐναντίον, χαρὰ καὶ εὐθυμία καὶ δρόμος τῶν λαῶν πρὸς τὴν εὐκταίαν αὐτοῦ θέαν ἐπειγομένων· εὐφροσύνης δὲ αἱ ἐκκλησίαι μεσταὶ καὶ εὐχαριστίαι πρὸς τὸν κύριον ἀναφερόμεναι πανταχοῦ. λειτουργοὶ δὲ καὶ κληρικοὶ 5
πάντες οὕτως αὐτὸν ἑωράκασιν, ὡς εὐφρανθῆναι τὰς ψυχὰς κἀκείνην τὴν ἡμέραν πασῶν εὐθυμοτέραν ἐσχηκέναι πιστεύειν. τὴν γὰρ ἡμῶν τῶν ἐπισκόπων ἀνεκλάλητον χαρὰν τί χρὴ γράφειν; προλαβόντες γὰρ εἰρήκαμεν ὡς σὺν αὐτῷ πάσχειν ἐνομίζομεν.

Τούτων τοίνυν οὕτως ὁμολογουμένων καὶ παρ' αὐτῶν ἐναντίως προφερομένων 8,1 C

5 Damit ist die Übersiedlung Eusebs nach Konstantinopel gemeint 8 Mt. 18, 20 10 II. Cor. 10, 15 11 I. Cor. 7, 27 16 Vgl. Urk. 27 (III 58); Urk. 31 (III 65) 21 Dieser Satz ist die Grundlage der Argumentation des Athanasius: alles was Euseb tut ist nichtig, weil er auf Grund von Nicaea Ketzer ist; um die Rehabilitationen unter Konstantin kümmert er sich nicht 27 Vgl. die oben S. 91, 18 ausgeschriebene Stelle 29 Das Kephalaion zum Festbrief von 338 sagt: ... κατῆλθεν (sc. Athanasius) ἀπὸ Γαλλίας θαυμαστῶς τῇ κ̅ζ̅ Ἀθυρ (23. Nov. 337) 34 Vgl. S. 90, 27ff.

BKO RE

1 αὐτὸς + μὲν E 3 τὴν[1] Op. ἣν Hss. | ἐπιμβαίνων B* ἐπιβαίνων B[c] 5 τῆς δὲ δευτέρας E* τῇ δὲ δευτέρᾳ E[c] | ἔσχε: ergänze στοργήν 14 κατάστασιν + τὴν E 16 αὐτοῦ RE αὐτῶν BKO 19 Χριστὸς KO 22 ἐκείνων BKO ἐκείνῃ RE 26 κατὰ > B 29 λαῶν + τῶν λαῶν B a. Ende d. Seite 35 καὶ — προφερομένων > E

ποίαν ἔχει πίστιν ἡ παρ' αὐτῶν θρυλουμένη σύνοδος ἢ κρίσις; οἱ γὰρ οὕτως ἐπιβαίνειν
τολμῶντες, οἷς οὐκ εἶδον, οἷς οὐκ ἐδίκασαν, ἐφ' οἷς οὐ συνῆλθον, καὶ γράφειν ὡς πληρο-
φορηθέντες, πῶς ἐφ' οἷς συνεληλυθέναι λέγουσι πιστευθῆναι δύνανται, ἀλλ' οὐ κατ' ἔχθραν
2 κἀκεῖνα πεποιηκέναι καὶ ταῦτα πιστευθήσονται; ποία γὰρ καὶ σύνοδος ἐπισκόπων
ἦν τότε; ποῖον συνέδριον ἀληθείας ἐχόμενον; τίς τῶν πλειόνων ἐν αὐτοῖς οὐκ ἐχθρὸς
ἡμέτερος ἦν; οὐ διὰ τὴν Ἀρείου μανίαν οἱ περὶ Εὐσέβιον καθ' ἡμῶν ὥρμησαν; οὐ τοὺς
ἄλλους συμφρονοῦντας αὐτοῖς ἐπήγοντο; οὐκ ἀεὶ κατ' αὐτῶν ἐγράφομεν ὡς τὰ Ἀρείου
3 φρονούντων; οὐκ Εὐσέβιος ὁ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἐπὶ θυσίᾳ κατηγορεῖτο ὑπὸ
D τῶν σὺν ἡμῖν ὁμολογητῶν; οὐ Γεώργιος ὡς καθαιρεθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ μακαρίου
ἠλέγχετο; οὐκ ἐπ' ἄλλοις ἄλλοι καὶ διαφόροις ηὐθύνοντο; πῶς οὖν οὗτοι συνιέναι καθ' ἡμῶν
B 131 ἤθελον; πῶς δὲ σύνοδον ὀνομάζειν τολμῶσιν, ἧς κόμης προυκάθητο καὶ | παρῆν σπεκουλά-
M 264 A τωρ καὶ | κομενταρι⟨ήσι⟩ος ἡμᾶς εἰσῆγεν ἀντὶ διακόνων τῆς ἐκκλησίας; ἐκεῖνος ἐφθέγγετο
καὶ οἱ παρόντες ἐσιώπων, μᾶλλον δὲ ὑπήκουον τῷ κόμητι, καὶ τὸ κινοῦν τοὺς δοκοῦντας
ἐπισκόπους ὑπὸ τῆς ἐκείνου βουλῆς ἐνεποδίζετο. ἐκεῖνος ἐκέλευεν, ἡμεῖς ὑπὸ στρατιωτῶν
ἠγόμεθα, μᾶλλον δὲ τῶν περὶ Εὐσέβιον κελευόντων ἐκεῖνος ταῖς τούτων ἐξυπηρετεῖτο γνώ-
4 μαις. τὸ δὲ ὅλον, ἀγαπητοί, ποία σύνοδος ἔνθα τὸ τέλος ἐξοριστία καὶ φόνος εἰς δόξαν
ἦν βασιλεῖ; ποῖα δὲ καὶ τὰ ἐγκλήματα; μεῖζον γὰρ ἐπὶ τούτοις τὸ κατ' αὐτῶν θαῦμα.
Ἀρσένιός τις ἦν, ὃν πεφονεῦσθαι ἐμέμφοντο, καὶ ποτήριον διέβαλλον κεκλάσθαι μυστικόν.
ἀλλ' Ἀρσένιος μὲν ζῇ, καὶ μεθ' ἡμῶν εὔχεται συνάγεσθαι καὶ οὐκ ἄλλας ἀναμένει μαρτυρίας,
ἵνα ζῶν φανῇ, ἀλλ' αὐτὸς ὁμολογεῖ ζῆν οἰκείοις γράμμασι πρὸς τὸν συνεπίσκοπον ἡμῶν
B Ἀθανάσιον γράφων, ὃν αὐτοῦ φονέα διεβεβαιοῦντο. καὶ οὐκ ᾐδοῦντο οἱ ἀσεβεῖς ἄνδρα
πρὸ τοσούτου διαστήματος καὶ πλῷ καὶ πεζῇ πάμπολυ μῆκος ἀπέχοντα παρ' αὐτοῦ
πεφονεῦσθαι κατηγοροῦντες, οὗ κατ' ἐκείνους τοὺς χρόνους μηδὲ τὴν χώραν εἶδεν ἄνθρω-
5 πος. ἀλλὰ καὶ κρύψαι τετολμήκασι καὶ ἀφανῆ καταστῆσαι μηδὲν παθόντα. καὶ εἰ
οἷόν τε ἦν, εἰς ἄλλην οἰκουμένην ἂν μετετίθεσαν, μᾶλλον δὲ καὶ τοῦ ζῆν ἀληθῶς ἂν ἐξήγα-
γον, ἵνα εἴτε ἐπαληθεύοντες εἴτε πλασάμενοι φόνον ἀληθῶς Ἀθανάσιον ἀποκτείνωσιν.
ἀλλὰ τῇ θείᾳ προνοίᾳ καὶ ἐν τούτῳ χάρις τῇ μηδὲν ἄδικον ἰσχύειν ἐπιτρεπούσῃ, ἀλλ' ὑπὸ
τὰς πάντων ὄψεις Ἀρσένιον ὑπαγούσῃ ζῶντα καὶ φανερῶς τὴν τότε συσκευὴν καὶ συκο-
φαντίαν ἐλέγχοντα. οὐ γὰρ ὡς φονέας ἀποστρέφεται οὐδὲ ὡς ἠδικηκότας μισεῖ· πέπονθε
C γὰρ ὅλως οὐδέν, ἀλλὰ κοινωνεῖν ἡμῖν ἀξιοῖ καὶ συναριθμεῖσθαι βούλεται, δι' ὧν ἔγραψε.

1 Gemeint ist die Synode von Tyrus (335), deren Rechtmäßigkeit geleugnet wird, obwohl die Synode durchaus kanonisch im Sinne der konstantinischen Reichskirche, d. h. der Praxis von Nicaea berufen und abgehalten worden war. Die Alexandriner, d. h. Athanasius, polemisieren nicht von den Kanones, sondern vom Dogma aus gegen Tyrus, s. Z. 4ff. 8 Epiphanius haer. 68, 8, 3—4 (III 148, 22ff.) berichtet, daß der Bischof Potamon von Herakleopolis Euseb in Tyrus beschuldigte, er habe sich durch das Opfer die Freiheit aus dem Gefängnis verschafft 9 Georg von Laodicea wurde von Alexander bereits vor Nicaea exkommuniziert s. unten S. 123, 10 und die zu Athan. de fuga 26, 5 (S. 86, 4) angegebenen Stellen 11 Der kaiserliche Kommissar in Tyrus war der Comes Dionysius, s. unten c. 71 (S. 149, 2) 16 εἰς δόξαν βασιλεῖ: sarkastische Anspielung auf die Doxologie: δόξα θεῷ 18 Zur Sache des Arsenius vgl. die Darstellung unten c. 63 S. 143, 8; c. 65. 67 und in dem Regest aus den Akten der Synode von Tyrus bei Sozomenus II 25, 12; ποτήριον μυστικόν bezieht sich auf den Fall des Ischyras s. c. 11 S. 96, 23ff. 20 S. den Brief unten c. 69 21f. Der Fall des Arsenius, der schon vor Tyrus erledigt war (vgl. c. 65. 68) und für Euseb und seine Partei eine Niederlage bedeutete, wird hier wegen der Anklage in Tyrus (vgl. Note zu Z. 18) mit der Verbannung des Athanasius in Zusammenhang gebracht. Die Alexandriner benutzen die in diesem Fall erwiesene Unschuld des Athanasius, um ihn von der Verantwortung für die in c. 5 behandelten Fälle zu befreien, Julius v. Rom (c. 27, 3) und die Synode von Serdica (c. 38, 1) machen es ebenso 24 Vgl. c. 67 27 Vgl. c. 65 30 Vgl. c. 69

BKO RE

1 ποία E | οὐ οὕτως O am Ende d. Seite 2 ἐφ' > BKO 10 ἄλλα O* ἄλλοι O[c] | διάφοροι E 12 κομενταρι⟨ήσι⟩ος Op. 14 ἐκέλευσεν E 19 εὔχεραι R* εὔχεται R[c] 28 σκευὴν B, am Zeilenanfang

Καὶ ὅμως Ἀθανάσιος μὲν συνεσκευάζετο παρ' αὐτῶν ὡς τὸν ζῶντα πεφονευκώς, 9, 1
ἐξωρίζετο δὲ παρὰ τῶν αὐτῶν. οὐδὲ γὰρ ὁ πατὴρ τῶν βασιλέων τοῦτον ἐξώρισεν,
ἀλλ' αἱ τούτων διαβολαί. σκοπεῖτε γάρ, εἰ μὴ οὕτως ἔχει. ὡς οὐδὲν μὲν ηὑρίσκετο 2
κατὰ τοῦ συλλειτουργοῦ ἡμῶν Ἀθανασίου, ὁ δὲ κόμης ἐβιάζετο καὶ πολὺς ἦν σπουδάζων
κατ' αὐτοῦ, ὁ μὲν ἐπίσκοπος Ἀθανάσιος φυγὼν τὴν γενομένην βίαν ἀνῆλθε πρὸς τὸν
εὐσεβέστατον βασιλέα παραιτούμενος ἅμα καὶ τὸν κόμητα καὶ τὰς ἐκείνων συσκευάς, D
ἀξιῶν δὲ νόμιμον ἐπισκόπων σύνοδον συγκροτηθῆναι ἢ καὶ αὐτὸν δέξασθαι τὴν ἀπο-
λογίαν | ὧν ἐπήγαγον αὐτῷ. καὶ γράφει μὲν βασιλεὺς ἀγανακτῶν καὶ προσκαλε- 3 B 132
σάμενος αὐτοὺς ἐπαγγελλόμενός τε αὐτὸς ἀκροάσασθαι ὁ καὶ τὴν σύνοδον κελεύσας γε-
νέσθαι. οἱ δὲ περὶ Εὐσέβιον ἀνελθόντες διαβάλλουσιν Ἀθανάσιον οὐκέτι μὲν τὰ ἐν Τύρῳ
θρυλούμενα παρ' αὐτῶν, περὶ σίτου δὲ καὶ πλοίων ἐποχῆς, ὡς Ἀθανασίου ἐπαγγειλα-
μένου δύνασθαι | κωλύειν τὴν ἀπὸ Ἀλεξανδρείας εἰς Κωνσταντινούπολιν τοῦ σίτου M 265 A
μετακομιδήν· ταῦτά τινες τῶν ἐξ ἡμῶν ἔνδον ὄντες μετὰ Ἀθανασίου ἀκηκόασι τοῦ βασι-
λέως ἀπειλοῦντος. εἶτα τοῦ Ἀθανασίου ὀδυρομένου ἐπὶ τῇ διαβολῇ καὶ διαβεβαιου- 4
μένου μὴ εἶναι ταύτην ἀληθῆ (πῶς γὰρ ἂν ἰδιώτης ἄνθρωπος καὶ πένης τηλικαῦτα
δύναιτο); Εὐσέβιος οὐδὲ δημοσίᾳ παραιτησάμενος τὴν διαβολὴν ὤμνυε τὸν Ἀθανάσιον
εἶναι πλούσιον καὶ δυνατὸν καὶ ἱκανὸν πρὸς πάντα, ἵνα ἐκ τούτων κἀκεῖνα εἰρηκὼς Ἀθα-
νάσιος νομισθῇ. ταῦτα μὲν οἱ σεμνοὶ κατηγόρουν ἐπίσκοποι, ἡ δὲ τοῦ θεοῦ χάρις κρείτ-
των τῆς πονηρίας αὐτῶν γεγένηται, τὴν γὰρ εὐσέβειαν τοῦ βασιλέως εἰς φιλανθρωπίαν
κεκίνηκε καὶ ἀντὶ θανάτου τὴν ἐξοριστίαν παρέσχεν.

Οὐκοῦν αἱ διαβολαὶ καὶ οὐδὲν ἄλλο τούτων αἴτιαι. ὁ μὲν γὰρ βασιλεὺς πρὸ 5 B
τούτου γράφων τὴν συσκευὴν ἐμέμψατο, τὴν ἐπιβουλὴν ᾐτιάσατο τῶν Μελιτιανῶν
κατεψηφίσατο, ἀθεμίτους, ἀρᾶς ἀξίους, τὰ δεινότατα αὐτοὺς ἐγγράφως εἰπών. κεκίνη-
ται γὰρ νεκρὸν ἀκηκοὼς ἄνθρωπον, ὃς ἐν τοῖς ζῶσιν ἦν· κεκίνηται φόνον ἀκού-
σας ἐπὶ ζῶντι καὶ τοῦ βίου μὴ στερηθέντι, ⟨οὗ⟩ καὶ τὴν ἐπιστολὴν ἀπεστείλαμεν.
οἱ δὲ περὶ Εὐσέβιον οἱ θαυμαστοί, ἵνα καὶ τὴν ἀλήθειαν καὶ τὰ γραφέντα λύειν 10, 1
δόξωσιν, ὄνομα συνόδου σχηματίζονται καὶ τὸ ἔργον αὐτῆς παρὰ βασιλέως λαμβάνουσι.
καὶ κόμης ἐπὶ τούτῳ καὶ στρατιῶται δορυφόροι τῶν ἐπισκόπων καὶ βασιλικὰ γράμ- C
ματα συνελθεῖν οὓς ᾔτησαν ἐπαναγκάζοντα. ἐνταῦθα τὸ παράδοξον τῆς ἐπιβουλῆς 2
αὐτῶν ἐνθυμήθητε καὶ τὴν ἀνωμαλίαν τῶν τολμωμένων αὐτοῖς, ἵνα ὅθεν δήποτε παντὶ
τρόπῳ τὸν ἄνθρωπον ἐξ ἡμῶν ἁρπάσωσιν. εἰ μὲν γὰρ ἐπέτρεπον ἑαυτοῖς τὴν κρίσιν
μόνοις ὡς ἐπίσκοποι, τίς κόμητος καὶ στρατιωτῶν χρεία; ἢ πῶς ὑπὸ βασιλικοῖς συν-
ήγοντο γράμμασιν; εἰ δὲ βασιλέως ἐδέοντο καὶ παρ' αὐτοῦ τὸ κῦρος ἔχειν ἤθελον, διὰ τί
τὴν κρίσιν αὐτοῦ παρέλυον; ἢ πῶς ἐκείνου τοὺς μὲν Μελιτιανοὺς συκοφάντας, ἀθε- 3
μίτους, Ἀθανάσιον δὲ καθαρώτατον δι' ὧν ἔγραψε κρίναντος καὶ τὸν φόνον ἐκτραγῳ-
δοῦντος τὸν ἐπὶ τῷ ζῶντι πεπλασμένον, οὗτοι καὶ Μελιτιανοὺς ἀληθεύειν κἀκεῖνον

1 Athanasius wurde in Tyrus nicht wegen der angeblichen Ermordung des Arsenius abgesetzt, sondern wegen seiner Weigerung, vor der Synode in Caesarea zu erscheinen, wegen seines Verhaltens auf der Synode und vor allem wegen der Sache des Ischyras 2 ff. Zu der Auffassung, Konstantin habe Athanasius nur verbannt, um ihn zu schützen, vgl. die Anm. zu c. 86, 87 8 Der Brief steht c. 86 10 Vgl. c. 87 S. 165, 36 ff. 13 Vgl. S. 166, 5 16 Euseb hatte angedeutet, Athanasius sei in der Lage, die Getreidelieferungen nach Konstantinopel zu unterbinden, s. S. 166, 3 21 Der Brief steht c. 68 23 c. 68 S. 146, 10 29 Vgl. das Einberufungsschreiben bei Euseb Vita Const. IV 42, und hier c. 71 S. 149, 4 34 Vgl. oben Z. 20 ff.

BKO RE

1 ὑπ' B* παρ' B^c 2 παρὰ τῶν αὐτῶν RE παρ' αὐτῶν BKO | οὐδὲ BKO οὐ RE | τοῦτον BKO αὐτὸν RE 3 εὑρίσκετο RE 6 ἐκείνου E 12 εἰς BKO εἰς τὴν RE 16 οὐδὲν K 21 γὰρ ORE οὖν BK 25 ⟨οὗ⟩ Schw. 28 δοροφόροι R 36 Μελετιανοὺς B

D ὑπεύθυνον εἶναι διωρίζοντο καὶ μὴ αἰδούμενοι τὸν ζῶντα νεκρὸν ἐποίουν, ζῶντα καὶ
B 133 μετὰ τὴν κρίσιν τοῦ βασιλέως, καὶ ὅτε συνῄεσαν, καὶ ἄχρι νῦν σὺν ἡμῖν ὄντα;
11, 1 Ταῦτα μὲν περὶ Ἀρσενίου· ποτήριον δὲ μυστικόν, ποῖον ἢ ποῦ κατεαγὲν
παρὰ Μακαρίου; τοῦτο γὰρ ἄνω καὶ κάτω περιιόντες θρυλοῦσι. καίτοι Ἀθανά-
σιον μὲν οὐδὲ οἱ κατήγοροι τετολμήκασιν αἰτιάσασθαι, εἰ μὴ ⟨οἱ⟩ παρ' αὐτῶν
M 268 A ὑπεβλήθησαν, ἀλλ' ὅμως αὐτοὶ τὸ τέλος τῆς μέμψεως | ἐπ' αὐτὸν ἄγουσιν, ὃ
2 μηδὲ ἐπὶ Μακάριον ἔδει χωρεῖν οὐκ ἐλεγχθέντα. καὶ οὐκ αἰσχύνονται ταῦ-
τα ἐπὶ κατηχουμένων, καὶ τό γε χείριστον, ἐπὶ Ἑλλήνων τραγῳδοῦντες τὰ μυ-
στήρια, δέον, ὡς γέγραπται, »μυστήριον βασιλέως καλὸν κρύπτειν«, καὶ ὡς ὁ
κύριος παρήγγειλε »μὴ δῶτε τὰ ἅγια τοῖς κυσὶ μηδὲ βάλητε τοὺς μαργαρίτας
ἔμπροσθεν τῶν χοίρων«. οὐ χρὴ γὰρ τὰ μυστήρια ἀμυήτοις τραγῳδεῖν, ἵνα μὴ Ἕλ-
ληνες μὲν ἀγνοοῦντες γελῶσι, κατηχούμενοι δὲ περίεργοι γενόμενοι σκανδαλίζωνται.
3 ἀλλὰ καὶ ὅμως ποῖον ἢ ποῦ ἢ παρὰ τίσι κατεαγὲν ποτήριον; Μελιτιανοὶ μὲν γάρ εἰσιν
οἱ κατηγοροῦντες καθόλου πιστεύεσθαι μὴ ὀφείλοντες. σχισματικοὶ γὰρ καὶ ἐχθροὶ τῆς
ἐκκλησίας γεγόνασιν οὐ νῦν, ἀλλ' ἀπὸ τοῦ μακαρίου Πέτρου ἐπισκόπου καὶ μάρτυρος
B γενομένου, οἱ καὶ αὐτῷ Πέτρῳ ἐπιβουλεύσαντες καὶ Ἀχιλλᾶν τὸν μετ' ἐκεῖνον διαβα-
4 λόντες καὶ Ἀλεξάνδρου κατηγορήσαντες μέχρις αὐτοῦ τοῦ βασιλέως. οὕτως γὰρ
δὴ μελετήσαντες λοιπὸν καὶ εἰς Ἀθανάσιον διέβησαν οὐδὲν ξένον τῆς πονηρίας ἑαυτῶν
ποιοῦντες, καὶ γὰρ ὥσπερ τοὺς πρὸ αὐτοῦ, οὕτως καὶ τοῦτον ἐσυκοφάντησαν. ἀλλὰ
νῦν αὐτῶν καὶ οὐ πρότερον ἡ συκοφαντία καὶ αἱ διαβολαὶ κεκρατήκασιν, ὅτι τοὺς περὶ
Εὐσέβιον ἔσχον συνεργοὺς καὶ προστάτας διὰ τὴν οἰκείαν ἀσέβειαν τῶν Ἀρειομανιτῶν,
5 δι' ἣν ὥσπερ πολλοῖς ἐπισκόποις οὕτω καὶ Ἀθανασίῳ συνεσκευάσαντο. καὶ γὰρ
ὁ τόπος ἐκεῖνος, ἐν ᾧ κεκλάσθαι τὸ ποτήριόν φησιν, οὐκ ἦν ἐκκλησία· πρεσβύτερος οὐκ
ἦν ὁ τὸν τόπον οἰκῶν· ἡμέρα, καθ' ἣν Μακάριον τοῦτο πεποιηκέναι φασίν, οὐκ ἦν
C κυριακή. μήτε τοίνυν ἐκκλησίας οὔσης ἐκεῖ μήτε τοῦ ἱερουργοῦντος μήτε τῆς ἡμέρας
6 ἀπαιτούσης ποῖον ἢ πότε ἢ ποῦ τὸ ποτήριον κέκλασται μυστικόν; ποτήρια μὲν
γὰρ εἶναι πολλὰ καὶ κατὰ τὰς οἰκίας καὶ ἐν ἀγορᾷ μέσῃ δῆλον καὶ τούτων οὐδὲν ὁ θραύων
ἀσεβεῖ, τὸ δὲ μυστικὸν ποτήριον, ὃ κἂν θραυσθῇ παρ' ἑκόντος, ἀσεβῆ ποιεῖ τὸν ἐπικεχει-
ρηκότα, παρὰ μόνοις τοῖς νομίμως προεστῶσιν εὑρίσκεται. οὗτος ὁ τρόπος τούτου τοῦ
7 ποτηρίου μόνος, ἄλλος οὐδείς. τοῦτο ὑμεῖς νομίμως προπίνετε τοῖς λαοῖς, τοῦτο
ὑμεῖς ὑπὸ τοῦ ἐκκλησιαστικοῦ κανόνος παρελάβετε, τοῦτο μόνον ἐστὶ τῶν τῆς καθολικῆς
B 134 ἐκκλησίας προεστώτων. μόνων γὰρ ὑμῶν ἐστι | προπίνειν τὸ αἷμα τοῦ Χριστοῦ, τῶν
D δὲ ἄλλων οὐδενός. ἀλλ' ὅσον τὸ μυστικὸν ὁ θλάων ἀσεβής, τοσοῦτον ἀσεβέστερος ὁ

4ff. Die älteste Darstellung der Sache des Ischyras von seiten der Partei des Athanasius findet man unten c. 74. 75 in dem Schreiben der Kleriker der Mareotis an die Synode von Tyrus. Athanasius erzählt den Hergang c. 63ff. und 85 5/6 Vgl. c. 64 S. 143, 18ff. 9 Tobit 12, 7 10 Mt. 7, 6 14ff. Vgl. c. 59 17 Die Nachricht über die Klagen der Melitianer gegen Alexander vor Konstantin stimmt mit Euseb Vita Const. III 23 (88, 29): ἀλλὰ γὰρ ἁπάντων εἰρηνευομένων (nach Nicaea) μόνοις Αἰγυπτίοις ἄμικτος ἦν ἡ πρὸς ἀλλήλους φιλονεικία, ὡς καὶ αὖθις ἐνοχλεῖν βασιλέα, οὐ μὴν καὶ πρὸς ὀργὴν ἐγείρειν und mit Epiph. haer. 68, 5 (III 145, 10ff.), wonach der Anachoret Paphnutios, Johannes Archaph und Kallinikos von Pelusium die Anklage beim Kaiser vorbrachten, aber abgewiesen wurden. Dies alles hat zur 2. Session der Synode von Nicaea geführt, vgl. Zeitschr. f. neutest. Wiss. 33 (1934) 156ff. 18 Vgl. unten c. 59. 60 22 Vgl. c. 74. 76. 83

BKO RE

5 ⟨οἱ⟩ Schw. 6 ἐπ'] ὑπ' B 9 κρύπτειν καλὸν ~ E 10 δότε RE 12 σκανδαλίζονται R 16 Ἀχελλᾶν R | διαβάλλοντες RE* (-βάλοντες E^c) 17 αὐτοῦ τοῦ RE αὐτοῦ BKO 18 μετέβησαν im Text, διέβησαν a. Rd. E 24 οἰκῶν KORE παροικῶν B 26 κέκλασται + τὸ K 27 καὶ¹ > B 28 θραυσθῇ KRE θραυθῇ O θραῦθαι B | παρ' RE ἄρ BKO 31 μόνων K 33 θλάων Op. θλάνων Hss. Comm. Montf.

ἐνυβρίζων τὸ αἷμα τοῦ Χριστοῦ· ἐνυβρίζει γὰρ ὁ παρὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν τοῦτο
ποιῶν. (καὶ ταῦτά φαμεν οὐχ ὅτι κἂν σχισματικῶν ποτήριον κέκλασται παρὰ Μακα-
ρίου, ἀλλ' ὅτι μηδὲν ἦν ὅλως ἐκεῖ· πῶς γάρ; ὅπου μήτε τόπος κυριακῆς μήτε τις ἐκεῖ
τῆς ἐκκλησίας, ἀλλὰ μήτε ὁ καιρὸς | μυστηρίων ἦν.) οὗτος δέ ἐστιν ὁ πολυθρύλητος M 269 A
Ἰσχύρας ὁ μήτε ὑπὸ τῆς ἐκκλησίας χειροτονηθεὶς καί, ὅτε τοὺς ὑπὸ Μελετίου καταστα-
θέντας πρεσβυτέρους Ἀλέξανδρος ἐδέχετο, μηδὲ ἐκείνοις συναριθμηθείς· οὕτως οὐδὲ
ἐκεῖθεν κατεστάθη.

Πόθεν οὖν πρεσβύτερος Ἰσχύρας; τίνος καταστήσαντος; ἆρα Κολλούθου; τοῦτο 12,1
γὰρ λοιπόν. ἀλλ' ὅτι Κόλλουθος πρεσβύτερος ὢν ἐτελεύτησε καὶ πᾶσα χεὶρ αὐτοῦ γέ-
γονεν ἄκυρος καὶ πάντες οἱ παρ' αὐτοῦ κατασταθέντες ἐν τῷ σχίσματι λαικοὶ γεγόνασι
καὶ οὕτως συνάγονται, δῆλον καὶ οὐδενὶ καθέστηκεν ἀμφίβολον. πῶς οὖν ἰδιώτης 2
ἄνθρωπος καὶ οἰκίσκον οἰκῶν ἰδιωτικὸν ποτήριον ἔχειν μυστικὸν πιστευθείη; ἀλλὰ τότε B
τὸν ἰδιώτην πρεσβύτερον ὠνόμαζον καὶ τὴν προσηγορίαν αὐτῷ ταύτην διὰ τὴν καθ'
ἡμῶν ἀδικίαν ἐχαρίζοντο καὶ νῦν μισθὸν τῆς κατηγορίας ἐκκλησίας οἰκοδομὴν προ-
ξενοῦσιν. οὕτως οὐκ εἶχεν ἐκκλησίαν ἄνθρωπος, ἀλλὰ μισθὸν τῆς κακοηθείας καὶ τῆς 3
πρὸς τὴν κατηγορίαν ὑπακοῆς νῦν, ἣν οὐκ εἶχε, λαμβάνει καὶ τάχα καὶ ἐπισκοπὴν ἀντ-
έδοσαν αὐτῷ· ταῦτα γὰρ θρυλεῖ περιιὼν καὶ οὕτω καθ' ἡμῶν βρενθύεται. οὕτω λοιπὸν
τηλικαῦτα ἔπαθλα παρὰ τῶν ἐπισκόπων τοῖς κατηγόροις καὶ συκοφάνταις προστίθεται·
εἰκότως, οἱ γὰρ συνεργὸν εἰς ἃ ἤθελον αὐτὸν ἐσχηκότες ὡς τῶν πραγμάτων κοινωνόν,
οὕτως καὶ τῆς ὁμοίας ἐπισκοπῆς ἠξίωσαν. ἀλλὰ μήπω ταῦτα, ἔτι δὲ τὰς ἀκοὰς τοῖς τότε
πραχθεῖσι παρ' αὐτῶν ἔνδοτε.

Μὴ δυνηθέντες πρὸς τὴν ἀλήθειαν, καίτοι κατ' αὐτῆς παρεσκευασμένοι, καὶ ἐν 13,1
Τύρῳ μηδὲν ἀποδείξαντος Ἰσχύρα, ἀλλὰ συκοφάντου δεικνυμένου καὶ τὴν συσκευὴν C
αὐτῶν τῆς συκοφαντίας λυούσης | εἰς ἀποδείξεις ὑπερτίθενται καὶ ἐπαγγέλλονται πέμ- B 135
ψειν ἐξ ἑαυτῶν τοὺς κατὰ Μαρεώτην πολυπραγμονήσοντας. καὶ οὓς ἡμεῖς παρῃ- 2
τούμεθα φανερῶς διὰ πολλὰ καὶ ὡς τὰ Ἀρείου φρονοῦντας καὶ διὰ τοῦτο ἡμῶν ἐχθρούς,
ἀπέστειλαν αὐτοὶ κρύφα χρώμενοι τῇ δυναστείᾳ Διόγνιον, Μάριν, Θεόδωρον, Μακε-
δόνιον, δύο νεωτέρους τὴν ἡλικίαν καὶ τὸν τρόπον Οὐρσάκιον καὶ Οὐάλην ἀπὸ Παννο-
νίας, καὶ οὗτοι μετὰ τὴν τοσαύτην ὁδόν, ἣν ὑπέμειναν, ἵνα δικάσωσι τῷ ἐχθρῷ, πάλιν
ἀπὸ Τύρου καὶ εἰς τὴν | Ἀλεξάνδρειαν ἠπείγοντο, μηδὲ τὸ μάρτυρες οἱ δικασταὶ γε- M 272 A
νέσθαι παραιτησάμενοι, ἀλλὰ πάντα τρόπον ἐπιβουλῆς ἀναδεξάμενοι φανερῶς καὶ πάντα
κάματον καὶ πᾶσαν ὁδὸν ὑποστάντες, ἵνα τὴν κατασκευαζομένην συσκευὴν πληρώσωσι.
καὶ τὸν μὲν ἐπίσκοπον Ἀθανάσιον κατεχόμενον ἐπὶ ξένης ἠφίεσαν, αὐτοὶ δὲ εἰς τὴν τοῦ 3

5 Vgl. die Liste c. 71, 6 9 Ischyras war von einem alexandrinischen Kleriker Kolluthos, der sich zum Bischof einer Gruppe aufgeschwungen hatte, zum Presbyter erhoben worden; vgl. c. 76 und Urk. 14, 3 (III 19, 11), Schwartz NGG 1905, 292 14 Vgl. c. 85 S. 164, 6ff. 16 Nach c. 85 S. 163, 34 wurde I. zum Bischof ernannt und nahm noch als solcher an der orientalischen Synode von Serdica teil, Sokr. II 20, 5, Hilarius Coll. antiar. Paris. A IV 3 nr. 34 (CSEL 65,76, 4) 25 ff. Vgl. zu dem Folgenden c. 72. Athanasius hatte die Kommission der Synode als Kläger abgelehnt, weil sie ausschließlich aus Ketzern bestand, c. 77 S. 156, 26 ff. 27 χρώμενοι τῇ δυναστείᾳ vgl. c. 72 S. 151, 17, gemeint ist der Comes Dionysios 28 Ursacius und Valens erhalten stets den Ruhmestitel der aktiven jungen Generation, Euseb Vita Const. IV 43 (135, 21) über die in Tyrus anwesenden Bischöfe: — Παννόνιοί τε καὶ Μυσοὶ τὰ παρ' αὐτοῖς ἀνθοῦντα κάλλη τῆς τοῦ θεοῦ νεολαίας (sc. παρέπεμπον) 33 s. S. 152, 16

BKO RE

2 καὶ > E | φαμεν RE μὲν BKO 5 ὁ μήτε] ἢ τίνος E 8 ἢ τίνος E 10 σχήματι R 18 προτίθεται E 23/24 τῆς συσκευῆς τῆς συκοφαντίας αὐτῶν E 25 πολυπραγμονήσαντας R* (-σοντας R[c]) E 25 οὓς] ἃς R 26 διὰ τὰ πολλὰ E* τὰ exp. E[c] 30 τὴν > B 31 παραιτούμενοι B* παραιτησάμενοι B[c] 33 ἐπίσκοπον > E

ἐχθροῦ πόλιν εἰσῄεσαν ὥσπερ ἐπικωμάζοντες τῇ ἐκκλησίᾳ καὶ τῷ λαῷ, καὶ τὸ παρα-
λογώτερον, Ἰσχύραν τὸν κατήγορον μεθ' ἑαυτῶν ἐπαγόμενοι Μακάριον τὸν κατηγο-
ρούμενον οὐκ ἐπέτρεψαν ἀκολουθῆσαι, ἀλλ' ἔμφρουρον ἀφῆκαν ἐν Τύρῳ· ἄνω γὰρ καὶ
κάτω Μακάριος ὁ πρεσβύτερος τῆς Ἀλεξανδρείας ὑπήγετο παρ' αὐτῶν τῷ ἐγκλήματι.
14,1 Μόνοι τοίνυν μετὰ τοῦ κατηγόρου τὴν Ἀλεξάνδρειαν εἰσελθόντες σύνοικον αὐτὸν
B καὶ συνέστιον καὶ συμπότην ἔχοντες καὶ τὸν ἔπαρχον τῆς Αἰγύπτου Φιλάγριον παραλα-
βόντες ἐπὶ τὸν Μαρεώτην ἀπῆλθον. κἀκεῖ δῆθεν ἐποιοῦντο τὴν ἐξέτασιν μόνοι, ὡς ἤθελον,
μετὰ τοῦ προειρημένου, πολλὰ τοὺς πρεσβυτέρους παρεῖναι παρακαλέσαντας οὐκ ἐπι-
τρέψαντες. ἠξίουν δὲ παρεῖναι οἵ τε τῆς πόλεως καὶ τῆς χώρας πάσης πρεσβύτεροι, ἵνα
2 τοὺς ὑποβαλλομένους ὑπὸ Ἰσχύρα διελέγξωσι, πόθεν καὶ τίνες εἰσί. καὶ τοὺς μὲν
λειτουργοὺς ἐκώλυον παρεῖναι, ἐπὶ δὲ τῶν ἐθνικῶν ἐξήταζον περὶ ἐκκλησίας, περὶ πο-
τηρίου, περὶ τραπέζης καὶ τῶν ἁγίων, καὶ τὸ δεινότερον, ἐθνικοὺς ἐκάλουν μάρτυρας
περὶ ποτηρίου μυστικοῦ ζητοῦντες· καὶ οὓς ἡρπάσθαι παρὰ Ἀθανασίου διωρίζοντο
ἐκ μετακλήσεως τοῦ καθολικοῦ καὶ μηδὲ ὅποι γῆς εἰσι γινώσκειν, τούτους εἰσῆγον ἐφ'
C ἑαυτῶν καὶ τοῦ ἐπάρχου μόνον καὶ οὐκ ᾐδοῦντο τούτους ἠφανίσθαι παρὰ τοῦ ἐπισκόπου
3 Ἀθανασίου λέγοντες, ὧν ταῖς μαρτυρίαις συγχρῆσθαι δοκοῦσιν. ἀλλὰ κἀνταῦθα
μόνον φονεῦσαι βουλόμενοι πάλιν τοὺς ζῶντας ὡς ἀποθανόντας τὸν ἐπὶ Ἀρσενίου τρόπον
μιμούμενοι πλάττονται. ὄντας γὰρ τοὺς ἀνθρώπους καὶ φαινομένους ἐπὶ τῆς ἰδίας ὑμῖν
B 136 τοῖς μακρὰν | ὡς ἀφανεῖς ἐκτραγῳδοῦσιν, ἵνα μακρὰν ὄντων τῶν ἐλέγχων τὸν συλλειτουρ-
γὸν ἡμῶν διαβάλλωσιν ὡς βίᾳ καὶ δυναστείᾳ χρώμενον, καίτοι πάντα αὐτοὶ μετὰ δυ-
4 ναστείας καὶ προστασίας πράττοντες. καὶ γὰρ ὅμοια πάλιν τὰ κατὰ Μαρεώτην τοῖς
κατὰ Τύρον ἐγίνετο. ὥσπερ γὰρ ἐκεῖ κόμης ἦν μετὰ στρατιωτικῆς ὑπηρεσίας οὐδενὶ
D ἐπιτρέπων παρὰ τὰ ἐκείνοις δοκοῦντα ἢ λέγεσθαι ἢ πράττεσθαι, οὕτως καὶ ἐνταῦθα ὁ
τῆς Αἰγύπτου ἔπαρχος μετὰ τῆς τάξεως ἦν πάντας μὲν τοὺς τῆς ἐκκλησίας ἐκφοβῶν,
μηδένα δὲ μετὰ ἀληθείας ἐπιτρέπων μαρτυρεῖν· καὶ τὸ παραδοξότερον, ἐν αὐτῷ τῷ
M 273A τόπῳ καὶ τῇ οἰκίᾳ τοῦ κατηγόρου καὶ ᾤκουν καὶ ἐξετάζειν ἐδόκουν, ἃ ἠβούλοντο, | οἱ
εἴτε δικασταὶ εἴτε μάρτυρες εἴτε τῆς ἑαυτῶν καὶ Εὐσεβίου σπουδῆς, ὅπερ ἀληθέστερον,
ὑπηρέται παραγενόμενοι.
15, 1 Καὶ τίνα τὰ παρ' αὐτῶν εἰς τὴν Ἀλεξάνδρειαν τολμηθέντα, νομίζομεν ὑμᾶς μὴ
ἀγνοεῖν, πανταχοῦ γὰρ διαδέδοται. ξίφη γυμνὰ κατὰ τῶν ἁγίων παρθένων καὶ τῶν
ἀδελφῶν ἐχώρει καὶ μάστιγες κατὰ τῶν ἐντίμων παρὰ θεῷ σωμάτων, καὶ τοὺς πόδας
ἐχώλευον ὑπὸ τῶν πληγῶν αἱ τὴν ψυχὴν ἐν ἁγνείᾳ καὶ πᾶσιν ὁλόκληροι τοῖς καλοῖς.
ἐργασίαι τε κατ' αὐτῶν ἐπεσείοντο καὶ ἐθνικοὶ δῆμοι πρὸς τὸ γυμνοῦν τύπτειν ἀσελ-

2 s. S. 152, 16 ff. 6 Vgl. c. 75 8 c. 73 S. 152, 16 ff. 9 c. 72 S. 152, 1 ff.; c. 75 S. 154, 28 ff. 12 c. 72 S. 152, 5 ff. 14 Vgl. oben c. 5 S. 91, 3 ff. 29 ff. Die Tumulte während des Aufenthaltes der Untersuchungskommission sind sonst nicht bezeugt. Aber Straßenunruhen fanden regelmäßig statt, wenn von außen in die alexandrinischen Angelegenheiten eingegriffen wurde — übrigens genau so wie bei allgemeinen politischen Fragen. So ist die Schilderung der Tumulte in den Apologien des Athanasius ein fester Bestandteil der Anklage (vgl. ep. encyc. 3, apol. ad Const. 33, de fuga 6. 7 u. ö.) Auch die Gegner des Athanasius beklagen sich stets über Gewalttätigkeiten des Athanasius und seiner Anhänger s. oben c. 5, Bell: Jews and Christians in Egypt S. 58 Pap. 1914

BKO RE

1 ἐχθροὶ B | ἐπικωμάζοντες BKO ἐπικωμάζοντες καὶ RE 4 ὑπήγετο — 5 Ἀλεξάνδρειαν > E 5 τὴν Ἀλεξάνδρειαν B κατὰ τὴν Ἀλεξάνδρειαν KOR 7 κἀκεῖθεν E | ἐποίουν E* ἐποιοῦντο E^c 8 παρεκαλέσαντας E 8/9 ἐπετρέψατες E (ι u. ν E^c) 10 διελέξωσι B* διελέγξωσι B^c | πόθεν καὶ τίνες BKO τίνες καὶ πόθεν RE 12 καὶ¹ + περὶ B*, exp. B^c 14 εἰσι] ἐστι B 15 μόνον O* μόνων BKO^cRE | ἀφανίσθαι B* 20 διαβάλωσιν RE 22 ἦν + πάντας μὲν τοὺς τῆς ἐκκλησίας ἐκφοβῶν E, aber von E^c exp. Vgl. Z. 24. 24 φοβῶν K 31 κατὰ τῶν ἐντίμων παρὰ θεῷ BKO παρὰ τῶν ἐντίμων κατὰ θεῷ ~ R (Korrektur: R^c)E

γαίνειν κατ' αὐτῶν, βωμούς τε καὶ θυσίας ἐπαπειλεῖν αὐταῖς. καί τις ἀσελγὴς ἀνὴρ 2
ὡς ἐξουσίας λοιπὸν δοθείσης ὑπὸ τοῦ ἐπάρχου πρὸς χάριν τῶν ἐπισκόπων χεῖρα παρ- B
θένου κατεῖχε καὶ πρὸς παρατυχόντα βωμὸν εἷλκεν ἀνάγκην θυσίας καὶ διωγμοῦ μιμού-
μενος. καὶ ταῦτα ἐπράττετο καὶ φυγὴ τῶν παρθένων ἦν καὶ γέλως τῶν ἐθνικῶν κατὰ
τῆς ἐκκλησίας τῶν ἐπισκόπων ἔνδον ὄντων καὶ ταύτην τὴν οἰκίαν οἰκούντων, ἐν ᾗ ταῦτα
ἐπράττετο, καὶ ἀφ' ἧς διὰ τὴν εἰς αὐτοὺς χάριν ξιφῶν αἱ παρθένοι γυμνῶν καὶ παντὸς
κινδύνου καὶ ὕβρεων καὶ παροινίας πεπείρανται. καὶ ταῦτα ἔπασχον ἐν νηστείᾳ παρὰ
τῶν τοῖς ἐπισκόποις ἔνδον συνεστιωμένων.

Ταῦτα προειδότες ὡς ἐχθρῶν εἴσοδος οὐχ ἡ τυχοῦσα βλάβη, τὴν παραίτησιν 16,1
ἐποιησάμεθα. ταῦτα καὶ Ἀλέξανδρος ἐν νῷ λαβὼν ὁ τῆς Θεσσαλονίκης ἐπίσκοπος γράφει C
πρὸς τοὺς ἐκεῖ μείναντας τὴν συσκευὴν ἐλέγχων καὶ τὴν ἐπιβουλὴν μαρτυρούμενος, ὃν
κἂν συναριθμῶσιν ἑαυτοῖς καὶ τῆς ἐπιβουλῆς μετρῶσιν ἕνα, οὐδὲν ἄλλο ἢ κατ' ἐκείνου
τὴν βίαν δεικνύουσι. καὶ γὰρ καὶ ὁ παμπόνηρος Ἰσχύρας οὐδὲ αὐτὸς ἄνευ φόβου 2
καὶ βίας ἐπ' αὐτὸ ὥρμησεν, ἀλλ' ἀνάγκῃ τὴν κατηγορίαν ὑπέδυ. τούτου τεκμήριον αὐτὸς
ἔγραψεν | Ἰσχύρας πρὸς τὸν συνεπίσκοπον Ἀθανάσιον, ὅτι μηδὲν ἐκεῖ πέπρακται B 137
τοιοῦτον, ἀλλ' ὑπεβλήθη πλάσασθαι. καὶ ταῦτα ἔγραψεν οὐ δεχθεὶς παρ' αὐτοῦ ὡς
πρεσβύτερος, οὐ τοιαύτην χάριτος προσηγορίαν λαβών, οὐκ οἰκοδομὴν ἐκκλησίας εἰς
ἀμοιβὴν τυχών, οὐ μισθὸν ἐπισκοπῆς προσδοκήσας, ὧν πάντων ἔτυχε παρ' αὐτῶν διὰ
τὴν κατηγορίαν. ἀλλὰ καὶ τὸ γένος αὐτοῦ πᾶν μεθ' ἡμῶν συνήγετο οὐκ ἂν συναχθέντες, D
εἴγε τὸ τυχὸν ἠδίκηντο.

Ταῦτα μὲν οὖν ὅτι μὴ λόγος, ἀλλ' ἔργον, μάρτυρες μὲν οἱ τοῦ Μαρεώτου πρεσ- 17,1
βύτεροι πάντες οἱ ἀεὶ συνόντες ἐν ταῖς περιοδίαις τῷ ἐπισκόπῳ οἱ καὶ τότε γράψαντες
κατὰ Ἰσχύρα καὶ μήτε ἐν Τύρῳ οἱ ἐλθόντες ἐξ αὐτῶν ἐπιτραπέντες εἰπεῖν τὴν | ἀλή- M 276 A
θειαν μήτε ἐν τῷ Μαρεώτῃ ἀπομείναντες συγχωρηθέντες ἐλέγξαι τὸν Ἰσχύραν συκο-
φάντην, καὶ αὐτὰ δὲ τὰ ἀντίγραφα τῶν Ἀλεξάνδρου γραμμάτων καὶ τῶν πρεσβυτέρων
καὶ τὰ Ἰσχύρα. ἀπεστείλαμεν δὲ καὶ τὴν τοῦ πατρὸς τῶν βασιλέων ἐπιστολήν, ἔνθα 2
οὐ μόνον ἐπ' Ἀρσενίῳ δυσχεραίνει ὅτι ζῶντος ἀνθρώπου φόνος ἐνεκαλεῖτο, ἀλλὰ καὶ
ἐπὶ τῷ ποτηρίῳ πάλιν ἐθαύμαζε τὸ ποικίλον τῆς κατηγορίας καὶ πεπλανημένον ὅτι
πῇ μὲν Μακαρίου τοῦ πρεσβυτέρου, πῇ δὲ Ἀθανασίου τοῦ ἐπισκόπου κατηγόρουν ὡς
κλάσαντος ταῖς χερσὶ τὸ ποτήριον, καὶ πάλιν συκοφάντας τοὺς Μελιτιανοὺς καὶ πάλιν
Ἀθανάσιον καθαρώτατον ἀποφαίνεται. πῶς γὰρ οὐ συκοφάνται Μελιτιανοὶ καὶ 3
πρό γε πάντων Ἰωάννης; ὁ εἰσελθὼν εἰς τὴν ἐκκλησίαν κοινωνήσας ἡμῖν, καταγνοὺς
ἑαυτοῦ μηδὲν ἔτι περὶ τοῦ ποτηρίου κινήσας, ἐπειδὴ τοὺς περὶ Εὐσέβιον εἶδε σπουδά- B
ζοντας τοῖς Ἀρειομανίταις οὐκ ἀποτολμῶντας δὲ φανερῶς αὐτοῖς συνεργεῖν, ἀλλὰ ζη-
τοῦντας ἄλλοις χρῆσθαι προσώποις, ἑαυτὸν ὑποβέβληκεν ὥσπερ τῶν ἔξω θεάτρων
ὑποκριτήν. καὶ ἡ μὲν ὑπόθεσις ἦν Ἀρειανῶν ἀγὼν καὶ τὸ πρωτότυπον ἐκείνους κατορ-
θοῦν, ὑποβολὴ δὲ καὶ παράρτημα τούτων Ἰωάννης καὶ οἱ σὺν αὐτῷ, ἵνα οἱ τῶν Ἀρειανῶν
σπουδασταὶ διὰ τῆς τούτων προφάσεως δικαστῶν σχήματι τοὺς ἐχθροὺς τῆς ἀσεβείας
ἀπώσωνται καὶ τὴν ἀσέβειαν ἐγκαταπήξωσι καὶ τοὺς Ἀρειανοὺς εἰσαγάγωσι τῇ ἐκ-
κλησίᾳ. καὶ οἱ τὴν εὐσέβειαν ἐξωθῆσαι θέλοντες δι' ἀσεβείας νικῆσαι βιάζονται, καὶ οἱ

7 νηστεία: wirklich Fastenzeit um 1. Sept. (vgl. zu S. 152, 10) oder nur rhetorische Antithese zu συνεστ.? 10 Brief c. 80 an den Comes Dionysius 15 Brief c. 64 17 Vgl. S. 97, 9-16 Komm. 22 Vgl. c. 74 S. 154, 14 25 s. oben Z. 10; vgl. c. 73 ff. 26 Brief c. 64; Brief c. 68 32 Vgl. c. 70 S. 148, 16. Johannes Archaph ist der Führer der Melitianer nach Melitios' Tode (s. oben zu S. 96, 17 Komm.) s. Sozom. II 21, 2; 31, 4

BKO RE

1 τε > KORE 11 μαρτυρόμενος R^c 13 δείκνυσι B* (-νύουσι B^c)E 14 ἐπ' αὐτὸ BKO ἐπὶ τούτῳ RE 15 Ἰσχύρας — 16 ἔγραψεν > E 23 οἱ ἐν Τύρῳ συνελθόντες E 26 τὰ = B^c] τοῦ B*K 31 οὐ BKO οἱ RE 38 σχήματι doppelt E 40 εὐσέβειαν] ἀσέβειαν R

τὴν ἀσέβειαν τὴν κατὰ Χριστοῦ προελόμενοι τοὺς τῆς ἀσεβείας ἐχθροὺς ὡς ἀσεβεῖς ἀνελεῖν
C ἐπεχείρησαν, καὶ ποτήριον ἡμῖν προφέρουσι κεκλασμένον, ἵνα δόξῃ καὶ Ἀθανάσιος κατὰ
4 Χριστοῦ συνασεβεῖν αὐτοῖς. ποία γὰρ καὶ μνήμη παρ' αὐτοῖς ὀφείλεται ποτηρίου
μυστικοῦ; πόθεν ἀσεβείας τῆς εἰς Χριστὸν προστάταις περὶ ποτηρίου νοῦς εὐσεβής;
B 138 πόθεν τοῖς τὸν Χριστὸν μὴ γνωρίζουσι ποτήριον Χριστοῦ γνώριμον; πῶς οἱ ποτήριον
τιμᾶν προσποιούμενοι τὸν τοῦ ποτηρίου θεὸν ἀτιμάζουσιν; ἢ πῶς οἱ ποτήριον ὀδυρόμενοι
τὸν ἐπίσκοπον τὸν ἐν αὐτῷ μυσταγωγοῦντα φονεῦσαι ζητοῦσι; καὶ ἐφόνευσαν ἂν
τὸ ὅσον ἐν ἑαυτοῖς. πῶς δὲ οἱ τὸν θρόνον τὸν ἐστολισμένον ἐπισκοπικῶς ὀδυρόμενοι τὸν
ἐν αὐτῷ καθήμενον ἐπίσκοπον ἀνελεῖν ζητοῦσιν; ἵνα καὶ ὁ θρόνος τὸν ἐπίσκοπον ζητῇ
5 καὶ οἱ λαοὶ τῆς εὐσεβοῦς διδασκαλίας στερηθῶσιν. οὔτε οὖν ποτήριον οὔτε φόνος
οὔτε τι τῶν ὑπ' αὐτῶν τερατολογηθέντων εἰς τοῦτο αὐτοὺς προήγαγεν, ἀλλ' ἡ προειρη-
D μένη τῶν Ἀρειανῶν ἀσέβεια, δι' ἣν καὶ Ἀθανασίῳ καὶ ἄλλοις ἐπισκόποις ἐπιβουλεύ-
σαντες ἔτι καὶ νῦν τῇ ἐκκλησίᾳ πολεμοῦσιν. ἆρα γὰρ τίνες οἱ φόνους καὶ ἐξοριστίας ποιή-
σαντες; οὐχ οὗτοι; ἆρα τίνες ταῖς ἔξωθεν προστασίαις χρώμενοι τοῖς ἐπισκόποις ἐπι-
βουλεύουσιν; οὐχ οἱ περὶ Εὐσέβιον μᾶλλον καὶ οὐκ Ἀθανάσιος, ὡς αὐτοὶ γράφουσι;
M 277 A 6 παρ' αὐτῶν γὰρ αὐτὸς καὶ ἄλλοι πεπόνθασι. καὶ γὰρ καὶ πρεσβύτεροι τῆς Ἀλεξαν-
δρείας τέσσαρες κατ' ἐκεῖνον τὸν καιρόν, καίτοι μηδὲ εἰς Τύρον ἐξελθόντες, ὑπερόριοι παρ'
αὐτῶν γεγόνασιν. ἆρα τίνες οἱ θρήνων καὶ δακρύων ἄξιοι; οὐχ οἱ καὶ τὰ πρῶτα ποιή-
σαντες καὶ δεύτερα συνάπτειν μὴ παραιτούμενοι καὶ πάντα συκοφαντοῦντες, ἵνα ἐπί-
σκοπον ἀπολέσωσι μὴ ὑπείκοντα τῇ τῆς ἀσεβείας αὐτῶν αἱρέσει; διὰ τοῦτο ἡ ἔχθρα
τῶν περὶ Εὐσέβιον, διὰ τοῦτο τὰ ἐν Τύρῳ κινηθέντα, διὰ τοῦτο αἱ προσποίητοι κρίσεις,
διὰ τοῦτο νῦν καὶ χωρὶς κρίσεως παρ' αὐτῶν ὡς πεπληροφορημένων γράμματα, διὰ
τοῦτο αἱ πρὸς τὸν πατέρα τῶν βασιλέων καὶ πρὸς αὐτοὺς τοὺς εὐσεβεστάτους βασιλεῖς
διαβολαί.

18, 1 Οἷα γὰρ καὶ νῦν κατείρηται ὁ συλλειτουργὸς ἡμῶν Ἀθανάσιος, ἀναγκαῖον ὑμᾶς
B εἰδέναι, ἵνα καὶ ἐκ τούτου καταγνῶτε τῆς πονηρίας αὐτῶν καὶ γινώσκητε, ὅτι μηδὲν
2 ἄλλο ἢ φονεῦσαι ζητοῦσι τὸν ἄνδρα. σῖτος παρὰ τοῦ πατρὸς τῶν βασιλέων ἐδίδοτο
πρὸς τὰς τῶν χηρῶν διατροφὰς ἰδίᾳ μὲν Λιβύας, ἰδίᾳ δέ τισιν ἐξ Αἰγύπτου. τοῦτον
πάντες λαμβάνουσιν ἄχρι νῦν Ἀθανασίου μηδὲν ἐξ αὐτοῦ κομιζομένου πλὴν μόνου τοῦ
συγκάμνειν αὐτοῖς. ἀλλὰ νῦν ἐκείνων λαμβανόντων, μὴ μεμψαμένων, ὁμολογούντων λαμ-
βάνειν, διαβέβληται Ἀθανάσιος ὡς ὅλον τὸν σῖτον πιπράσκων καὶ εἰς τὸ ἴδιον ἀπο-
3 φερόμενος. καὶ τοῦτο ἔγραψε βασιλεὺς αἰτιώμενος ἐκ τῶν γεγενημένων διαβολῶν. τίνες
τοίνυν οἱ διαβεβληκότες; οὐχ οἱ καὶ τὰ πρῶτα ποιήσαντες καὶ τὰ δεύτερα κινεῖν μὴ
C παραιτούμενοι; τίνες οἱ τῶν γραμμάτων τούτων αἴτιοι τῶν παρὰ τοῦ βασιλέως λεγο-
μένων; οὐχ οἱ Ἀρειανοὶ σπουδάζοντες καὶ μηδὲν κατὰ τοῦ ἀνδρὸς παραιτησάμενοι μήτε
λέγειν μήτε γράφειν; οὐδεὶς γὰρ ἂν τοὺς τοσαῦτα ποιήσαντας ἀφεὶς ἄλλους ὑποπτεύσειε.
B 139 4 καὶ γὰρ ἐναργέστατον αὐτῶν τὸ δεῖγμα τῆς διαβολῆς φαίνεται· σπουδάζουσι γὰρ τῆς
ἐκκλησίας ἀφελέσθαι τὸν σῖτον τῇ προφάσει τῆς διαβολῆς καὶ Ἀρειανοῖς παρασχεῖν,
ὃ πάντων μάλιστα εἰς τοὺς αἰτίους τῆς σπουδῆς καὶ τοὺς ἐξάρχους αὐτῶν ἀνατρέχει

8 Daß Macarius den Bischofsthron umgestoßen hatte, behaupten die Gegner des Athanasius in der Anklageschrift von Tyrus Sozom. II 25, 3. A. nimmt also auf diese Vorwürfe Bezug 17 Die Verbannung der vier Presbyter ist sonst nicht bezeugt, vgl. unten S. 118, 8 27 ff. Zu dem Vorwurf der Unterschleife mit den annonae vgl. Schwartz NGG 1911, 481 A. 3

BKO RE

7 τὸν ἐπίσκοπον > K 13/14 ποιήσαντες BKO ἀληθῶς ποιήσαντες RE 20 τῇ τῆς ἀσεβείας αὐτῶν αἱρέσει μὴ ὑπείκοντα ~ KO 26 αὐτῶν] αὐτοῦ B* αὐτῶν B[c] 27 ἐδίδοτο B ἐδέδοτο KORE 28 Λιβυίας E 36 ἂν > B | ἄλλους BKOR[c] εἰς ἄλλους R*E 37 σπουδάζουσι — 38 διαβολῆς] τῇ προφάσει γὰρ τῆς διαβολῆς σπουδάζουσι τῆς ἐκκλησίας ἀφελέσθαι τὸν σῖτον E

τοὺς μήτε φόνους κατὰ τοῦ ἀνδρὸς κινῆσαι παραιτησαμένους, δι' ὧν ψευδῆ διαβεβλήκασι
βασιλεῖ, μήτε τῶν κλήρων τῆς ἐκκλησίας ἀφελέσθαι τὰς τροφάς, ἵνα τῷ ὄντι κέρδος αἱρετι-
κοῖς παράσχωνται.
Ἀπεστείλαμεν δὲ καὶ τὴν μαρτυρίαν τῶν κατὰ Λιβύην καὶ Πεντάπολιν καὶ τῶν 19, 1
ἐξ Αἰγύπτου συλλειτουργῶν ἡμῶν, ἵνα καὶ ἐκ τούτου γνῶτε τὴν κατὰ Ἀθανασίου D
γεγενημένην συκοφαντίαν. ταῦτα δὲ ποιοῦσιν, ἵνα φόβῳ λοιπὸν ἡσυχαζόντων τῶν τὰ
τῆς εὐσεβείας φρονούντων ἡ τῶν ἀσεβῶν Ἀρειανῶν αἵρεσις ἀντεισαχθῇ. ἀλλὰ καὶ τῇ
μὲν ὑμῶν εὐλαβείᾳ χάρις, ἀγαπητοί, ὅτι πολλάκις τοὺς Ἀρειανοὺς ἀναθεματίζοντες
ἐγράψατε καὶ χώραν αὐτοῖς εἰς τὴν ἐκκλησίαν οὐ δεδώκατε· τῶν δὲ περὶ Εὐσέβιον ὁ ἔλεγχος
ἐγγύς. ἰδοὺ γὰρ μετὰ τὰ πρότερα παρ' αὐτῶν | περὶ τῶν Ἀρειανῶν γράμματα, 2 M 280 A
ὧν καὶ ἀπεστείλαμεν τὰ ἀντίγραφα, φανερῶς λοιπὸν τοὺς παρὰ πάσης τῆς καθολικῆς
ἐκκλησίας ἀναθεματισθέντας Ἀρειομανίτας ἐπεγείρουσι κατὰ τῆς ἐκκλησίας καὶ ἐπίσκοπον
αὐτοῖς κατέστησαν καὶ ταῖς ἀπειλαῖς καὶ τοῖς φόβοις διαιροῦσι τὰς ἐκκλησίας, ἵνα πανταχοῦ
συνεργοὺς ἔχωσι τῆς ἀσεβείας αὐτῶν. καὶ γὰρ καὶ διακόνους πρὸς τοὺς Ἀρειομανίτας 3
ἀποστέλλουσιν, οἳ φανερῶς συνάγονται παρ' αὐτοῖς καὶ γράφουσιν αὐτοῖς καὶ ἀντί-
γραφα παρ' αὐτῶν κομίζονται τὴν ἐκκλησίαν κατασχίζοντες καὶ κοινωνοῦντες αὐτοῖς
καὶ γράμματα ἀποστέλλοντες πανταχοῦ τὴν αἵρεσιν αὐτῶν συνιστῶντα καὶ τὴν ἐκκλησίαν
ἀποκηρύττοντα, ὡς δυνήσεσθε μαθεῖν, ἀφ' ὧν αὐτοὶ τῷ Ῥωμαίων ἐπισκόπῳ καὶ τάχα
καὶ πρὸς ὑμᾶς ἔγραψαν. ὡς οὖν οὐκ ἀνεκδίκητα ταῦτά ἐστι, συνορᾶτε καὶ ὑμεῖς, 4 B
ἀγαπητοί. δεινὰ γὰρ καὶ ἀλλότρια τῆς κατὰ Χριστὸν διδασκαλίας ἐστί. τούτου γοῦν
ἕνεκεν κοινῇ συνελθόντες ἐγράψαμεν ὑμῖν ἀξιοῦντες ὑμῶν τὴν ἐν Χριστῷ σύνεσιν ἀπο-
δέξασθαι μὲν τὴν ὁμολογίαν ταύτην καὶ συναλγῆσαι τῷ συνεπισκόπῳ ἡμῶν Ἀθα-
νασίῳ, ἀγανακτῆσαι δὲ κατὰ τῶν περὶ Εὐσέβιον τῶν τὰ τοιαῦτα ἐπιχειρούντων, πρὸς
τὸ μηκέτι τοιαύτην κακίαν καὶ πονηρίαν κατὰ τῆς ἐκκλησίας ἰσχύειν. ὑμᾶς γὰρ ἐκδίκους
κατὰ τῆς τοιαύτης ἀδικίας ἐπικαλούμεθα ὑπομιμνήσκοντες τὸ ἀποστολικόν »ἐξάρατε τὸν
πονηρὸν ἐξ ὑμῶν αὐτῶν«. πονηρὰ γὰρ ἀληθῶς καὶ οὐκ ἄξια κοινωνίας τὰ παρ' αὐτῶν 5
πραχθέντα. οὐκοῦν μηκέτι προσέχετε, κἂν πάλιν ὑμῖν γράφωσι κατὰ τοῦ ἐπισκόπου C
Ἀθανασίου (πάντα γὰρ ψευδῆ τὰ παρ' αὐτῶν), μηδ' ἂν ὀνόματα δὲ ἐπισκόπων | Αἰγυπ- B 140
τίων ἐγχαράττωσιν ἐπιστολαῖς. δῆλον γὰρ ὅτι οὐχ ἡμεῖς ἐσμεν οἱ γράφοντες, ἀλλὰ Μελι-
τιανοὶ οἱ ἀεὶ σχισματικοί, οἱ καὶ μέχρι νῦν τὰς ἐκκλησίας ταράττοντες καὶ στάσεις κινοῦντες.
καταστάσεις γὰρ ἀλόγους καὶ σχεδὸν ἐθνικῶν ποιοῦνται, καὶ τοιαῦτα πράττουσιν, ἃ
δυσωπούμεθα μὲν γράφειν, δύνασθε δὲ μαθεῖν παρὰ τῶν ἀποσταλέντων παρ' ἡμῶν τῶν
καὶ τὴν ἐπιστολὴν ὑμῖν ἐπιδιδόντων.

Ταῦτα μὲν οἱ ἀπὸ τῆς Αἰγύπτου πρὸς πάντας καὶ πρὸς Ἰούλιον τὸν ἐπίσκοπον 20, 1

4 Das Attest der Bischöfe aus Unterlibyen, der Pentapolis und Ägypten bezeugte Athanasius' Unschuld in der Annonensache, nur hier erwähnt 10 Gemeint ist das Schreiben der Synode von Jerusalem 335 vgl. unten c. 84 12 Die antiochenische Synode beantwortete die Rückkehr des Athanasius 337 mit der Einsetzung des Pistus als Bischof von Alexandrien vgl. c. 24 S. 105, 11 und ep. enc. 6 (Migne 25, 236 A) 15 Euseb verhandelte nur mit Pistus 18f. Zu dem Brief des Euseb an Julius von Rom vgl. c. 20 S. 102, 1 26 I. Cor. 5, 13 34 ff. In c. 20 leitet Athanasius zu dem von ihm gewünschten Verständnis des folgenden Briefes an. Aus den sehr verwickelten Verhandlungen von der alexandrinischen Synode 338 bis zur Synode von Rom 341 werden nur ein paar Daten gegeben. Den Dispositionsangaben S. 87, 12 entsprechend, führt Athanasius nur die Urkunde seiner zweiten Rehabilitierung an. Der Zweck der Apologie wird auch dadurch deutlich betont, daß wie S. 88, 18 auch hier S. 102, 6f. auf den Widerruf des Ursacius und Valens hingewiesen wird

BKO RE

7 ἡ E^{c} > E* 13 διαιροῦντι E 19 ὑμᾶς R^{c} ἡμᾶς BKOR*E | ἀνεκδίκητα] ἀνεκδίκη E
21 κοινοὶ B* κοινῇ B^{c} 22 ὁμολογίαν] ἀπολογίαν E | ἐπισκόπῳ E 29 ἐνχαράττωσιν RE
33 ἐπιδιδόντων BKO ἀποδιδόντων RE 34 ἀπὸ τῆς RE ἀπ' BKO

τῆς Ῥώμης, καὶ οἱ περὶ Εὐσέβιον δὲ πρὸς Ἰούλιον ἔγραψαν, καὶ νομίζοντες ἡμᾶς ἐκφοβεῖν
D ἠξίωσαν σύνοδον καλέσαι καὶ αὐτὸν Ἰούλιον, εἰ βούλοιτο, κριτὴν γενέσθαι. ἡμῶν τοίνυν
ἀνελθόντων εἰς τὴν Ῥώμην ἔγραψεν εἰκότως Ἰούλιος καὶ ἐπὶ τοὺς περὶ Εὐσέβιον ἀπο-
2 στείλας καὶ δύο πρεσβυτέρους ἑαυτοῦ Ἐλπίδιον καὶ Φιλόξενον. ἐκεῖνοι δὲ ἀκούσαντες
M 281 A περὶ ἡμῶν ἐταράχθησαν οὐ προσδοκήσαντες ἡμᾶς ἀνέρχεσθαι, | καὶ παρῃτήσαντο προ-
φάσεις ἀπιθάνους πορισάμενοι, μᾶλλον δὲ φοβηθέντες, μὴ ἅπερ οἱ περὶ Οὐάλεντα καὶ
3 Οὐρσάκιον ὡμολόγησαν, ταῦτα κατ' αὐτῶν ἐλεγχθῇ. λοιπὸν οὖν συνελθόντες ἐπίσκοποι
πλέον πεντήκοντα, ἔνθα Βίτων ὁ πρεσβύτερος συνῆγεν, ἡμᾶς μὲν ἀπολογουμένους
ἀπεδέξαντο καὶ ἐκύρωσαν εἰς ἡμᾶς τήν τε κοινωνίαν καὶ τὴν ἀγάπην. ἠγανάκτησαν δὲ
κατ' ἐκείνων καὶ ἠξίωσαν Ἰούλιον γράψαι τοῖς περὶ Εὐσέβιον ταῦτα τοῖς καὶ γράψασιν
αὐτῷ. καὶ ἔγραψεν αὐτὸς καὶ ἀπέστειλε διὰ Γαβιανοῦ τοῦ κόμητος.

B 141

Ἐπιστολὴ Ἰουλίου

21,1 Ἰούλιος Δ⟨ι⟩ανίῳ καὶ Φλακίλλῳ Ναρκίσσῳ Εὐσεβίῳ Μάρι Μακεδονίῳ Θεοδώρῳ
καὶ τοῖς σὺν αὐτοῖς τοῖς ἀπὸ Ἀντιοχείας γράψασιν ἡμῖν, ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ
χαίρειν.
B 2 Ἀνέγνων τὰ γράμματα τὰ διὰ τῶν πρεσβυτέρων μου Ἐλπιδίου καὶ Φιλοξένου
ἀποκομισθέντα καὶ ἐθαύμασα, πῶς ἡμεῖς μὲν ἀγάπῃ καὶ συνειδήσει ἀληθείας ἐγράψαμεν,
ὑμεῖς δὲ μετὰ φιλονεικίας, καὶ οὐχ ὡς ἔπρεπεν, ἐπεστείλατε. ὑπεροψία γὰρ καὶ ἀλαζονεία
τῶν γραψάντων διὰ τῆς ἐπιστολῆς ἐδείκνυτο. ταῦτα δὲ ἀλλότρια τῆς ἐν Χριστῷ πίστεώς
3 ἐστιν. ἔδει γὰρ τὰ μετὰ ἀγάπης γραφέντα ἀμοιβῆς τῆς ἴσης μετὰ ἀγάπης τυχεῖν
M 284 A καὶ μὴ μετὰ φιλονεικίας. ἢ οὐχὶ ἀγάπης ἐστὶ γνώρισμα πρεσβυτέρους | ἀποστεῖλαι,
συμπαθεῖν τοῖς πάσχουσι, προτρέψασθαι τοὺς γράψαντας ἐλθεῖν, ἵνα πάντα θᾶττον λύσιν
λαβόντα διορθωθῆναι δυνηθῇ, καὶ μηκέτι μήτε οἱ ἀδελφοὶ ἡμῶν πάσχωσι μήτε ὑμᾶς τινες

---

1 Der Brief Eusebs und der antiochenischen Synode an Julius, der vor der Synode in Alexandrien abgeschickt war, wird bereits c. 19 S. 101, 18/19 erwähnt. Dieser Schritt war gleichzeitig mit dem bei Konstantius (c. 18) erfolgt. Athanasius hatte das erfahren und ließ durch seine Synode das Rechtfertigungsschreiben c. 3 ff. beschließen 2 Die Behauptung, Euseb habe bereits im ersten Stadium der Fühlungnahme mit Julius eine Synode verlangt, stellt sich nach S. 103, 31 ff. als unbegründet heraus (s. oben S. 87, 12). Athanasius sagt hist. Arian. 9 (Migne 25, 704 C) und ep. enc. 7 (Migne 25, 237 A), daß Julius die von den antiochenischen Legaten im Laufe der Verhandlungen in Rom wohl beiläufig erhobene Forderung (S. 104, 4), eine Synode einzuberufen, aufgenommen habe; so auch Julius selbst c. 22 S. 103, 20; c. 30 S. 109, 7 3 Athanasius kam gegen Ende 339 nach Rom, vgl. S. 108, 31 Komm. Über die übrigen Einzelheiten vgl. das c. 21 ff. Angemerkte 3 Die Mission der römischen Legaten nach Antiochien fällt vor die römische Synode, also Frühjahr 340 vgl. S. 108, 31 7 f. Die römische Synode fand im Frühjahr 341 statt, vgl. hist. arian. 15 (Migne 25, 709 A), sie war eine Versammlung der italienischen Bischöfe vgl. S. 106, 33 8 Ein römischer Presbyter Vito nahm als Legat des römischen Bischofs an der Synode von Nicäa 325 teil 11 Der Comes Gabianus ist sonst nicht bezeugt 13 Julius' Brief (= Urk. 89) ist 341 nach der römischen Synode der 50 geschrieben und nur hier überliefert; Sokr. II 17, 9 kennt den Brief nur nach dieser Stelle. — Dianius von Caesarea Cappadociae (so mit Sozom. III 5, 10; oriental. Synode von Serdika: Coll. antiar. Paris. A IV 3 nr. 17 [CSEL 65, 75, 5] und Basilius ep. 51; III 143 D Garnier), Flacill von Antiochien, Narciss von Neronias, Euseb von Konstantinopel, Maris von Chalcedon, Macedonius von Mopsuestia, Theodor von Heraclea waren die Führer der Synode, die als ein Ausschuß der meisten orientalischen Bischöfe dauernd in Antiochien tagte, D. führte den Vorsitz 19 Die Fragmente des Briefes Eusebs hat Schwartz NGG 1911, 494 f. gesammelt (= Urk. 86)

BKO RE

---

2 σύνοδον] σύνολον O 3 Ῥώμην + ἀνελθόντων E | Ἰούλιος εἰκότως ∼ K 5 ἀνέρχεσθαι ἡμᾶς ∼ K 12 a. Rd. ξ̅ B ν̅α̅ K μ̅α̅ R λ̅δ̅ E* λ̅η̅ E^c 13 Δ⟨ι⟩ανίῳ Op. s. Komm. 17 ἀποκομισθέντα BKO κομισθέντα RE | ἀγάπῃ μὲν ∼ E 23 ὑμᾶς] ἡμᾶς E

διαβάλλωσιν; ἀλλ' οὐκ οἶδα, τί τὸ δόξαν οὕτως ὑμᾶς διατεθῆναι, ὥστε καὶ ἡμᾶς ποιῆσαι
λογίζεσθαι ὅτι καὶ ἐν οἷς ἐδόξατε ῥήμασιν ἡμᾶς τιμᾶν, ταῦτα μετασχηματιζόμενοι μετὰ
εἰρωνείας τινὸς εἰρήκατε. καὶ γὰρ καὶ οἱ πρεσβύτεροι οἱ ἀποσταλέντες, οὓς ἔδει μετὰ 4
χαρᾶς ἐπανελθεῖν, τοὐναντίον λυπούμενοι ἐπανῆλθον, ἐφ' οἷς ἑωράκασιν ἐκεῖ γινομένοις.
καὶ ἔγωγε τοῖς γράμμασιν ἐντυχὼν πολλὰ λογισάμενος κατέσχον παρ' ἐμαυτῷ τὴν ἐπι-
στολήν, νομίζων ὅμως ἥξειν τινὰς καὶ μὴ χρείαν εἶναι τῆς ἐπιστολῆς, ἵνα μὴ καὶ ἐς φανερὸν
ἐλθοῦσα πολλοὺς τῶν ἐνταῦθα λυπήσῃ. ἐπειδὴ δὲ μηδενὸς ἐλθόντος ἀνάγκη γέγονεν B
αὐτὴν προκομισθῆναι, ὁμολογῶ ὑμῖν, πάντες ἐθαύμασαν καὶ ἐγγὺς ἀπιστίας γεγόνασιν,
εἰ ὅλως παρ' ὑμῶν τοιαῦτα ἐγράφη· φιλονεικίας γὰρ μᾶλλον καὶ οὐκ ἀγάπης ἦν ἡ ἐπι-
στολή. εἰ μὲν οὖν φιλοτιμίας λόγων ἕνεκεν ὁ ὑπαγορεύσας ἔγραψεν, ἄλλων τὸ τοιοῦτον 5
ἐπιτήδευμα. ἐν γὰρ τοῖς ἐκκλησιαστικοῖς οὐ λόγων ἐπίδειξίς ἐστιν, ¹ ἀλλὰ κανόνες B 142
ἀποστολικοὶ καὶ σπουδὴ τοῦ μὴ σκανδαλίζειν ἕνα τῶν μικρῶν τῶν ἐν τῇ ἐκκλησίᾳ. συμ-
φέρει γὰρ κατὰ τὸν ἐκκλησιαστικὸν λόγον »μύλον ὀνικὸν κρεμασθῆναι εἰς τὸν τράχηλον
καὶ καταποντισθῆναι ἢ σκανδαλίσαι κἂν ἕνα τῶν μικρῶν«. εἰ δὲ ὥς τινων λελυπημένων
διὰ τὴν πρὸς ἀλλήλους μικροψυχίαν (οὐ γὰρ ἂν εἴποιμι πάντων εἶναι ταύτην γνώμην)
τοιαύτη γέγονεν ἡ ἐπιστολή, ἔπρεπε μὲν μηδὲ ὅλως λυπηθῆναι μηδὲ »ἐπιδῦναι τὸν ἥλιον B
ἐπὶ τῇ λύπῃ«, ἔδει δὲ ὅμως μὴ εἰς τοσοῦτον προαχθῆναι, ὥστε καὶ ἔγγραφον αὐτὴν
ἐπιδείξασθαι.

Τί γὰρ καὶ γέγονεν ἄξιον λύπης ἢ ἐν τίνι ἦν ἄξιον λυπηθῆναι ὑμᾶς οἷς καὶ ἐγράψαμεν; 22, 1
ἢ ὅτι προετρεψάμεθα εἰς σύνοδον ἀπαντῆσαι; ἀλλὰ τοῦτο μᾶλλον ἔδει μετὰ χαρᾶς δέξασθαι.
οἱ γὰρ παρρησίαν ἔχοντες, ἐφ' οἷς πεποιήκασι καί, ὡς αὐτοὶ λέγουσι, 'κεκρίκασιν', οὐκ
ἀγανακτοῦσιν, εἰ παρ' ἑτέρων ἐξετάζοιτο ἡ κρίσις, ἀλλὰ θαρροῦσιν, ὅτι ἃ δικαίως ἔκριναν,
ταῦτα ἄδικα οὐκ ἄν ποτε γένοιτο. διὰ τοῦτο καὶ οἱ ἐν τῇ κατὰ Νίκαιαν μεγάλῃ συνόδῳ 2
συνελθόντες ἐπίσκοποι οὐκ ἄνευ θεοῦ βουλήσεως συνεχώρησαν ἐν ἑτέρᾳ συνόδῳ τὰ τῆς D
προτέρας ἐξετάζεσθαι, ἵνα καὶ οἱ κρίνοντες πρὸ ὀφθαλμῶν ἔχοντες τὴν ἐσομένην δευτέραν
κρίσιν μετὰ πάσης ἀσφαλείας ἐξετάζωσι καὶ οἱ κρινόμενοι πιστεύωσι, μὴ κατ' ἔχθραν τῶν
προτέρων, ἀλλὰ κατὰ τὸ δίκαιον ἑαυτοὺς κρίνεσθαι. εἰ δὲ τὸ τοιοῦτον ἔθος παλαιὸν τυγ-
χάνον, μνημονευθὲν δὲ καὶ γραφὲν ἐν τῇ μεγάλῃ συνόδῳ, ὑμεῖς τοῦτο παρ' ὑμῖν ἰσχύειν
οὐ θέλετε, ἀπρεπὴς μὲν ἡ τοιαύτη παραίτησις· τὸ γὰρ ἅπαξ συνήθειαν ἐσχηκὸς ἐν τῇ
ἐκκλησίᾳ καὶ ὑπὸ συνόδων βεβαιωθὲν ¹ οὐκ εὔλογον ὑπὸ ὀλίγων παραλύεσθαι. ἄλλως M 285 A
τε οὐδὲ ἐν τούτῳ δικαίως ἂν φανεῖεν λυπηθέντες. οἱ γὰρ παρ' ὑμῶν τῶν περὶ Εὐσέβιον 3

13 Mt. 18, 6 16 Eph. 4, 26 24 Julius bezieht sich auf Can. 5 von Nicaea; seine Interpretation kann sich aber nicht auf den Wortlaut stützen. Denn der Kanon sieht nur für einen Exkommunizierten aus dem Klerus oder dem Laienstande die Möglichkeit der Wiederaufnahme des Prozesses vor der Provinzialsynode vor. Für den Prozeß gegen einen Bischof enthält der Kanon keinerlei Regelung. Julius' Worte sind mit denen unten S. 113, 1 ff. zu interpretieren 31 ff. Die Überbringer des alexandrinischen Synodalschreibens c. 3 ff. hatten in Rom bereits 338, also vor der Vertreibung des Athanasius, den Legaten Eusebs die Einsetzung des Pistus, eines Exkommunizierten, vorgehalten (c. 19 S. 101, 18). Auch Julius war ein amtlicher Verkehr mit diesem unmöglich (c. 24 S. 105, 11 ff.). In die Enge gedrängt, hat Macarius vielleicht eine Bemerkung gemacht, man solle das Ergebnis der Untersuchungskommission der tyrischen Synode nochmals einer Synode vorlegen. Das war für Julius der Anlaß, den Gedanken an eine Synode in den Vordergrund zu rücken. Nach Julius' Meinung stehen nunmehr die Orientalen im Widerspruch zu ihren Vertrauensmännern, die selbst die Synode gefordert hatten, wenn sie sich jetzt der Einladung versagen (S. 104, 13. 19). Athanasius griff den Vorschlag des Julius geschickt auf (vgl. die Stellen oben zu S. 102, 2). Seine Reise nach Rom 339 stellte er so hin, als ob er der Einladung des Julius Folge geleistet habe

BKO RE

1 ἡμᾶς BKO ὑμᾶς RE 2 μετασχηματιζόμενοι BKO σχηματιζόμενοι RE 19 ὑμᾶς λυπηθῆναι ~ E 24 σ̄η: ὅτι οὐκ ἀπαιτεῖ τὴν ἔκκλητον ὡς πάπας καὶ ἄκρος ἀρχιερεύς, ἀλλ' ἁπλῶς ἀξιοῖ ἐν ἑτέρᾳ συνόδῳ τὰ τῆς προτέρας ἐξετάζεσθαι κατὰ τὸν κανόνα τῆς ἐν Νικαίᾳ συνόδου a. Rd. R[c] 25 ἵνα doppelt a. Ende d. Seite O 30 ὑπὸ ὀλίγων > K

ἀποσταλέντες μετὰ γραμμάτων, λέγω δὴ Μακάριος ὁ πρεσβύτερος καὶ Μαρτύριος καὶ
Ἡσύχιος οἱ διάκονοι, ἀπαντήσαντες ἐνταῦθα, ὡς οὐκ ἠδυνήθησαν πρὸς τοὺς ἐλθόντας
Ἀθανασίου πρεσβυτέρους ἀντιστῆναι, ἀλλ' ἐν πᾶσι διετρέποντο καὶ διηλέγχοντο, τὸ
τηνικαῦτα ἠξίωσαν ἡμᾶς ὥστε σύνοδον συγκροτῆσαι καὶ γράψαι καὶ Ἀθανασίῳ τῷ
ἐπισκόπῳ εἰς Ἀλεξάνδρειαν, γράψαι δὲ καὶ τοῖς περὶ Εὐσέβιον, ἵνα ἐπὶ παρουσίᾳ πάντων
ἡ δικαία κρίσις ἐξενεχθῆναι δυνηθῇ· τότε γὰρ καὶ ἀποδεικνύναι πάντα τὰ κατὰ Ἀθανάσιον
4 ἐπηγγείλαντο. κοινῇ γὰρ ὑφ' ἡμῶν διηλέγχθησαν οἱ περὶ Μαρτύριον καὶ Ἡσύχιον
B καὶ οἱ Ἀθανασίου τοῦ ἐπισκόπου πρεσβύτεροι μετὰ πεποιθήσεως ἀνθίσταντο, οἱ δὲ περὶ
Μαρτύριον, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐν πᾶσι διετρέποντο, ὅθεν καὶ ἠξίωσαν σύνοδον γενέ-
5 σθαι. εἰ τοίνυν μηδὲ τῶν περὶ Μαρτύριον καὶ Ἡσύχιον ἀξιωσάντων γενέσθαι σύνοδον
προτρεψάμενος ἤμην ἐγὼ σκῦλαι τοὺς γράψαντας ἕνεκεν τῶν ἀδελφῶν ἡμῶν τῶν αἰτιω-
B 143 μένων ἀδικίαν πεπονθέναι, καὶ οὕτως | εὔλογος ἦν καὶ δικαία ἡ προτροπή, ἔστι γὰρ
ἐκκλησιαστικὴ καὶ θεῷ ἀρέσκουσα· ὅτε δὲ οὓς ὑμεῖς αὐτοὶ οἱ περὶ Εὐσέβιον ἀξιοπίστους
ἡγήσασθε, καὶ οὗτοι ἠξίωσαν ἡμᾶς συγκαλέσαι, ἀκόλουθον ἦν τοὺς κληθέντας μὴ λυπη-
6 θῆναι, ἀλλὰ μᾶλλον προθύμως ἀπαντῆσαι. οὐκοῦν ἡ μὲν δόξασα ἀγανάκτησις τῶν
λυπηθέντων προπετής, ἡ δὲ παραίτησις τῶν μὴ θελησάντων ἀπαντῆσαι ἀπρεπὴς καὶ
C ὕποπτος ἐκ τούτων δείκνυται. αἰτιᾶταί τις ἃ πράττων αὐτὸς ἀποδέχεται, εἰ παρ' ἑτέρου
γινόμενα βλέποι; εἰ γάρ, ὡς γράφετε, 'ἀσάλευτον ἔχει τὴν ἰσχὺν ἑκάστη σύνοδος, καὶ
ἀτιμάζεται ὁ κρίνας ἐὰν παρ' ἑτέρων ἡ κρίσις ἐξετάζηται', σκοπεῖτε, ἀγαπητοί, τίνες εἰσὶν
οἱ σύνοδον ἀτιμάζοντες καὶ τίνες τὰ τῶν φθασάντων κρῖναι διαλύουσι. καὶ ἵνα μὴ τὰ
καθ' ἕκαστον νῦν ἐξετάζων ἐπιβαρεῖν τινας δοκῶ, ἀλλὰ τό γε τελευταῖον γενόμενον,
ἐφ' ᾧ καὶ φρίξειεν ἄν τις ἀκούων, ἀρκεῖ πρὸς ἀπόδειξιν πάντων τῶν παραλειφθέντων.
23,1 Οἱ Ἀρειανοὶ οἱ ἀπὸ τοῦ τῆς μακαρίας μνήμης Ἀλεξάνδρου τοῦ γενομένου ἐπισκόπου
τῆς Ἀλεξανδρείας ἐπὶ ἀσεβείᾳ ἐκβληθέντες οὐ μόνον ὑπὸ τῶν καθ' ἑκάστην πόλιν ἀπεκηρύχ-
D θησαν, ἀλλὰ καὶ ὑπὸ πάντων τῶν κοινῇ συνελθόντων ἐν τῇ κατὰ Νίκαιαν μεγάλῃ συνόδῳ
ἀνεθεματίσθησαν. οὐ γὰρ ἦν αὐτῶν τὸ τυχὸν πλημμέλημα, οὐδὲ εἰς ἄνθρωπον ἦσαν ἁμαρτή-
σαντες, ἀλλ' εἰς αὐτὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος.
2 καὶ ὅμως οἱ ὑπὸ πάσης τῆς οἰκουμένης ἀποκηρυχθέντες καὶ κατὰ πᾶσαν ἐκκλησίαν στηλι-
τευθέντες νῦν λέγονται δεδέχθαι, ἐφ' ᾧ καὶ ὑμᾶς ἀκούσαντας χαλεπαίνειν δίκαιον ἡγοῦμαι.
τίνες οὖν εἰσιν οἱ 'σύνοδον ἀτιμάζοντες'; οὐχ οἱ τῶν τριακοσίων τὰς ψήφους παρ' οὐδὲν
M 288 A 3 θέμενοι καὶ ἀσέβειαν εὐσεβείας προκρίναντες; | ἡ μὲν γὰρ τῶν Ἀρειομανιτῶν αἵρεσις
ὑπὸ πάντων τῶν ἁπανταχοῦ ἐπισκόπων κατεγνώσθη καὶ ἀπεκηρύχθη, Ἀθανάσιος δὲ
καὶ Μάρκελλος οἱ ἐπίσκοποι πλείονας ἔχουσι τοὺς ὑπὲρ ἑαυτῶν λέγοντας καὶ γράφοντας.
Μάρκελλος μὲν γὰρ ἐμαρτυρήθη ἡμῖν καὶ ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ τοῖς τὰ Ἀρείου
φρονοῦσιν ἀντειρηκώς, Ἀθανάσιος δὲ ἐμαρτυρήθη μηδὲ ἐν Τύρῳ καταγνωσθείς, ἐν δὲ τῷ
Μαρεώτῃ μὴ παρεῖναι, ἔνθα τὰ ὑπομνήματα κατ' αὐτοῦ γεγενῆσθαι λέγεται. οἴδατε
4 δέ, ἀγαπητοί, ὅτι τὰ κατὰ μονομέρειαν ἰσχὺν οὐκ ἔχει, ἀλλ' ὕποπτα τυγχάνει. καὶ
ὅμως τούτων ὄντων ἡμεῖς ὑπὲρ ἀκριβείας οὔτε ὑμῖν οὔτε τοῖς ὑπὲρ αὐτῶν γράψασι πρό-
B 144 κριμα ποιοῦντες προετρεψάμεθα τοὺς γράψαντας ἐλθεῖν, ἵν' ἐπειδὴ πλείους | εἰσὶν οἱ
B ὑπὲρ αὐτῶν γράψαντες, ἐπὶ συνόδου πάντα ἐξετασθῇ πρὸς τὸ μηδὲ τὸν ἀναίτιον κατα-
κριθῆναι μήτε τὸν ὑπεύθυνον ὡς καθαρὸν λογισθῆναι. οὐκοῦν οὐ παρ' ἡμῶν 'ἀτιμάζεται

29 Nämlich durch die Synode von Jerusalem 335 vgl. c. 84 34 Zu Marcell vgl. unten S. 110, 19 ff. 36 Vgl. die Darlegungen der Ägypter oben c. 13. 14

BKO RE

8 ἐπισκόπου + τῆς Ἀλεξανδρείας RE 10 μηδὲ] μηδὲν K 11 ἐγὼ ἤμην ~ K 18 βλέπει K 19 ἐξετάζηται] ἐργάζηται B 21 τελευταῖον + εἰπεῖν E*, getilgt von E^c 24 τῆς > K 37 τὰ > E

σύνοδος', ἀλλὰ παρ' ἐκείνων τῶν ἁπλῶς καὶ ὡς ἔτυχε τοὺς παρὰ πάντων κατακριθέντας
'Αρειανοὺς καὶ παρὰ γνώμην τῶν κρινάντων δεξαμένων. οἱ γὰρ πλείονες ἤδη ἀναλύσαντές
εἰσι σὺν Χριστῷ, οἱ δὲ ἔτι καὶ νῦν ἐν τῷ βίῳ τούτῳ ἐξετάζονται ἀγανακτοῦντες ὅτι τὴν
αὐτῶν κρίσιν ἔλυσάν τινες.

Τοῦτο δὲ καὶ ἀπὸ τῶν γενομένων μὲν ἐν τῇ 'Αλεξανδρείᾳ ἔγνωμεν (καὶ γὰρ καὶ 24, 1
Καρπώνης τις ἐκβληθεὶς ὑπὸ 'Αλεξάνδρου διὰ τὴν 'Αρείου αἵρεσιν μετά τινων καὶ αὐτῶν
ἐκβληθέντων διὰ τὴν αὐτὴν αἵρεσιν ἐληλύθασιν ἐνταῦθα ἀποσταλέντες παρὰ Γρηγορίου
τινός), ὅμως δὲ ἐμάθομεν καὶ παρὰ Μακαρίου τοῦ πρεσβυτέρου καὶ Μαρτυρίου καὶ 'Ησυχίου C
τῶν διακόνων. πρὸ τοῦ γὰρ ἀπαντῆσαι τοὺς 'Αθανασίου πρεσβυτέρους προετρέποντο
ἡμᾶς γράφειν ἐν 'Αλεξανδρείᾳ Πιστῷ τινι, ἡνίκα καὶ 'Αθανάσιος ὁ ἐπίσκοπος ἐν 'Αλεξ-
ανδρείᾳ ἦν. τοῦτον δὲ τὸν Πιστὸν οἱ 'Αθανασίου τοῦ ἐπισκόπου πρεσβύτεροι παρα- 2
γενόμενοι ἀπέδειξαν εἶναι 'Αρειανὸν ἐκβληθέντα μὲν ὑπὸ 'Αλεξάνδρου τοῦ ἐπισκόπου καὶ
τῆς κατὰ Νίκαιαν συνόδου, κατασταθέντα δὲ ὑπὸ Σεκούνδου τινός, ὃν ἡ μεγάλη σύνοδος
'Αρειανὸν ὄντα ἐξέβαλε. τοῦτο δὲ οὐδὲ αὐτοὶ οἱ περὶ Μαρτύριον ἀντέλεγον οὐδὲ ἠρνοῦντο
τὸν Πιστὸν ὑπὸ Σεκούνδου ἐσχηκέναι τὴν κατάστασιν. σκοπεῖτε τοίνυν καὶ ἐκ τούτων,
τίνες ἂν ὑπὸ μέμψιν δικαίως γένοιντο, οἱ μὴ | πεισθέντες ἡμεῖς, ὥστε Πιστῷ τῷ 'Αρειανῷ M 289 A
γράψαι, ἢ οἱ συμβουλεύοντες 'ἀτιμάσαι' τὴν μεγάλην σύνοδον καὶ τοῖς ἀσεβέσιν ὡς
εὐσεβέσι γράψαι; καὶ γὰρ καὶ Μακάριος ὁ πρεσβύτερος ὁ παρὰ Εὐσεβίου μετὰ τῶν 3
περὶ Μαρτύριον ἀποσταλεὶς ὡς ἤκουσεν ἐπιστάντας τοὺς πρεσβυτέρους 'Αθανασίου,
ἐκδεχομένων ἡμῶν τὴν παρουσίαν αὐτοῦ μετὰ τῶν περὶ Μαρτύριον καὶ 'Ησύχιον, ἀπε-
δήμησε νυκτὸς καίτοι νοσῶν τῷ σώματι, ὡς ἐκ τούτου λοιπὸν ἡμᾶς ἀκολούθως στοχά-
ζεσθαι ὅτι αἰσχυνόμενος τὸν κατὰ Πιστοῦ ἔλεγχον ἀνεχώρησεν. ἀδύνατον γὰρ τὴν 4
κατάστασιν Σεκούνδου τοῦ 'Αρειανοῦ ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἰσχύσαι. 'ἀτιμία' γὰρ
ἀληθῶς αὕτη κατὰ τῆς συνόδου καὶ τῶν ἐν αὐτῇ συνελθόντων ἐπισκόπων, ἐὰν τὰ μετὰ
τοσαύτης σπουδῆς καὶ εὐλαβείας ὡς θεοῦ παρόντος γενόμενα ἀντὶ μηδενὸς λυθῇ. B

Εἴπερ οὖν, ὡς γράφετε, 'ἐκ τοῦ κατὰ Νοβάτον καὶ τὸν Σαμοσατέα Παῦλον παρα- 25, 1
δείγματος τὰ τῶν συνόδων ἰσχύειν δόγματα χρή', ἔδει μᾶλλον μὴ λυθῆναι τῶν τριακ-
οσίων τὴν ψῆφον, ἔδει τὴν καθολικὴν σύνοδον ὑπὸ τῶν ὀλίγων μὴ ἀτιμασθῆναι. αἱρετι-
κοὶ γὰρ οἱ 'Αρειανοὶ ὥσπερ κἀκεῖνοι καὶ ὅμοιαι αἱ κατὰ τούτων ψῆφοι ταῖς κατ' ἐκείνων.
τούτων δὲ τολμηθέντων τίνες εἰσὶν οἱ 'φλόγα διχονοίας ἀνάψαντες'; ἡμᾶς γὰρ τοῦτο
πεποιηκέναι γράψαντες ἐμέμψασθε. ἆρ' οὖν ἡμεῖς διχονοίας εἰργασάμεθα οἱ συναλγοῦντες
τοῖς πάσχουσιν | ἀδελφοῖς καὶ κατὰ κανόνα πάντα πεποιηκότες; ἢ οἱ φιλονείκως καὶ B 145

2 f. Vgl. Phil. 1, 23 6 Karpones: Urk. 4^b, 6 (III 7, 14) 7 Gregor ist am 21. März 339 in Alexandrien eingezogen (Kephalaion zum 11. Festbrief 339). Euseb hatte ihn zum Bischof von Alexandrien gemacht vgl. ep. enc. 6. Gregor versuchte sofort nach überallhin die Verbindungen herzustellen vgl. ep. enc. 7 (Migne 25, 237 B). Seine Legaten sind aber kaum vor Sommer 339 in Rom angelangt; wenn zu dieser Zeit die Legaten Eusebs noch in Rom waren, dann müssen diese so etwas wie ständige Gesandte der antiochenischen Synode gewesen sein. Julius springt Z. 8—22 auf Ereignisse des Jahres 338 über 10 Zu Pistus vgl. c. 19 S. 101, 12. Er wurde von Alexander exkommuniziert Urk. 4^a, 2 (III 6, 9); Urk. 6, 6 (III 13, 23) 13 Secundus vgl. Urk. 23 (III 48, 9). Er hat durch seine Umtriebe Athanasius immer zugesetzt, vgl. de syn. 12 (Migne 26, 701 C), hist. Arian. 65. 71 (Migne 25, 769 D, 777 D). Er protegierte Aetius und Eunomius (Philostorgius III 19. 20; S. 48, 15. 19) 18 ff. Vgl. S. 103, 31 ff. Danach war M. 338 bei der Gegenüberstellung mit den Legaten des Athanasius zugegen. Macarius verschwindet von dem Zeitpunkt an aus den Verhandlungen. Z. 20 αὐτοῦ d. i. M., der mit seinen Begleitern zur Audienz beim Papst geladen wurde 27 Wie Euseb auch die orientalische Synode von Serdika, Coll. antiar. Paris. A IV 1, 26, 2 (CSEL 65, 65, 15 ff.)

BKO RE

9 γὰρ τοῦ ~ KO 14 τούτῳ B^c 16 'Αρείῳ B 17 γράφαι O 26 Ναυάτον KO

C παρὰ κανόνα τῶν τριακοσίων τὴν ψῆφον λύσαντες καὶ κατὰ πάντα ‘τὴν σύνοδον ἀτιμά-
2 σαντες’; οὐ γὰρ μόνον οἱ ’Αρειανοὶ ἐδέχθησαν, ἀλλὰ καὶ ἀπὸ τόπου εἰς τόπον μεμελε-
τήκασιν ἐπίσκοποι διαβαίνειν. εἰ οὖν ἀληθῶς ‘ἴσην καὶ τὴν αὐτὴν ἡγεῖσθε τιμὴν τῶν ἐπι-
σκόπων καὶ μὴ ἐκ τοῦ μεγέθους τῶν πόλεων’, ὡς γράφετε, ‘κρίνετε τοὺς ἐπισκόπους’,
ἔδει τὸν πεπιστευμένον μικρὰν μένειν ἐν τῇ πιστευθείσῃ καὶ μὴ ἐξουθενεῖν μὲν τὸ πεπιστευμέ-
νον, μεταβαίνειν δὲ εἰς τὴν μὴ ἐγχειρισθεῖσαν, ἵνα τῆς μὲν παρὰ θεοῦ δοθείσης κατα-
3 φρονῇ, τὴν δὲ τῶν ἀνθρώπων κενοδοξίαν ἀγαπήσῃ. οὐκοῦν, ἀγαπητοί, ἔδει ἀπαν-
τῆσαι καὶ μὴ παραιτήσασθαι, ἵνα καὶ τέλος λάβῃ τὸ πρᾶγμα· τοῦτο γὰρ ὁ λόγος ἀπ-
αιτεῖ. ἀλλ’ ἴσως ἡ προθεσμία ἐνεπόδισε· γράψαντες γὰρ ἐμέμψασθε, ὅτι ‘στενὴν τὴν προ-
D θεσμίαν τῆς συνόδου’ ὡρίσαμεν, ἀλλὰ καὶ τοῦτο, ἀγαπητοί, πρόφασίς ἐστιν. εἰ μὲν γὰρ
ἐρχομένους τινὰς συνέκλεισεν ἡ ἡμέρα, στενὸν ἂν τὸ διάστημα τῆς προθεσμίας ἠλέγχθη,
εἰ δὲ οἱ ἐλθεῖν μὴ βουλόμενοι κατεσχήκασι καὶ τοὺς πρεσβυτέρους ἕως αὐτοῦ τοῦ ’Ιαννου-
4 αρίου μηνός, μὴ θαρρούντων ἐστὶν ἡ πρόφασις. ἦλθον γὰρ ἄν, ὡς προεῖπον, εἰ ἐθάρρουν,
οὐ πρὸς τὸ διάστημα τῆς ὁδοῦ σκοποῦντες οὐδὲ πρὸς τὴν προθεσμίαν ὁρῶντες, ἀλλ’ ἐπὶ
M 292 A τοῖς δικαίοις καὶ | τοῖς εὐλόγοις παρρησιαζόμενοι. ἀλλ’ ἴσως διὰ τὸν καιρὸν οὐκ ἀπήν-
τησαν. τοῦτο γὰρ γράφοντες πάλιν ἐδηλώσατε, ὡς ἄρα ἔδει ἡμᾶς ‘σκοπήσαντας τὸν ἐπὶ
τῆς ‘Εῴας καιρὸν’ μὴ προτρέψασθαι ὑμᾶς ἀπαντῆσαι. εἰ μὲν οὖν διὰ τὸ τοιοῦτον εἶναι τὸν
καιρὸν οὐκ ἀπηντήσατε, ὥς φατε, ἔδει προτέρους ὑμᾶς τὸν καιρὸν τοῦτον σκοπήσαντας
μὴ αἰτίους σχίσματος μηδὲ ὀλολυγῆς καὶ θρήνων ἐν ταῖς ἐκκλησίαις γενέσθαι. νῦν δὲ οἱ
ταῦτα πεποιηκότες ἔδειξαν μὴ τὸν καιρὸν αἴτιον, ἀλλὰ τὴν προαίρεσιν τῶν μὴ θελη-
B σάντων ἀπαντῆσαι.
26, 1 Θαυμάζω δὲ κἀκεῖνο τὸ μέρος τῆς ἐπιστολῆς, πῶς ὅλως κἂν ἐγράφη παρ’ ὑμῶν
ὅτι δὴ ‘τοῖς περὶ Εὐσέβιον μόνοις καὶ οὐ πᾶσιν ὑμῖν’ μόνος ἔγραψα· εὐχέρειαν γὰρ τῶν
μεμψαμένων μᾶλλον ἄν τις εὕροι ἤπερ ἀλήθειαν. ἐγὼ γὰρ οὐκ ἄλλοθεν λαβὼν κατὰ
’Αθανασίου γράμματα ἢ διὰ τῶν περὶ Μαρτύριον καὶ ‘Ησύχιον ἐκείνοις ἀνάγκῃ ἔγραψα
τοῖς καὶ γράψασι κατ’ αὐτοῦ. ἔδει τοίνυν ἢ τοὺς περὶ Εὐσέβιον μὴ μόνους χωρὶς πάντων
ὑμῶν γράψαι ἢ ὑμᾶς, οἷς μὴ ἔγραψα, μὴ λυπεῖσθαι, εἰ ἐκείνοις ἐγράφη τοῖς καὶ γράψασιν. |
B 146 2 εἰ γὰρ ἐχρῆν καὶ πᾶσιν ὑμῖν ἐπιστεῖλαι, ἔδει καὶ ὑμᾶς σὺν ἐκείνοις γράψαι. νῦν δὲ τὸ
ἀκόλουθον σκοποῦντες ἐκείνοις ἐγράψαμεν τοῖς καὶ δηλώσασιν ἡμῖν καὶ τοῖς ἀποστείλασι
πρὸς ἡμᾶς. εἰ δὲ καὶ τὸ μόνον ἐμὲ γεγραφέναι ἐκείνοις ἐκίνησεν ὑμᾶς, ἀκόλουθόν ἐστιν
C ὑμᾶς ἀγανακτεῖν, ὅτι καὶ μόνῳ ἐμοὶ ἔγραψαν. ἀλλὰ καὶ ἐν τούτῳ πιθανὴ μὲν καὶ οὐκ
ἄλογος ἡ πρόφασις, ἀγαπητοί, ὅμως δὲ γνωρίσαι ὑμῖν ἀναγκαῖον ὅτι, εἰ καὶ μόνος
ἔγραψα, ἀλλ’ οὐκ ἐμοῦ μόνου ἐστὶν αὕτη ἡ γνώμη ἀλλὰ καὶ πάντων τῶν κατὰ τὴν ’Ιτα-
λίαν καὶ τῶν ἐν τούτοις τοῖς μέρεσιν ἐπισκόπων. καὶ ἔγωγε τοὺς πάντας οὐκ ἠθέλησα
3 ποιῆσαι γράψαι, ἵνα μὴ παρὰ πολλῶν τὸ βάρος ἔχωσιν. ἀμέλει καὶ νῦν τῇ ὁρισθείσῃ
προθεσμίᾳ συνῆλθον ἐπίσκοποι καὶ ταύτης τῆς γνώμης γεγόνασιν, ἣν πάλιν γράφων
ὑμῖν σημαίνω, ὥστε, ἀγαπητοί, εἰ καὶ μόνος ἐπιστέλλω, ἀλλὰ πάντων γνώμην εἶναι
ταύτην γινώσκετε. ταῦτα μὲν οὖν περὶ τοῦ μὴ εὐλόγως τινὰς ἐξ ὑμῶν προφάσεις, ἀλλὰ
D ἀδίκους καὶ ὑπόπτους πορίσασθαι.

5 Gemeint ist Euseb von Konstantinopel vgl. oben c. 6, 6 S. 93, 1 ff. 12 Elpidius und Philoxenus wurden bis Januar 341 in Antiochien zurückgehalten 16 Vgl. hist. Arian. 11 (Migne 25, 705 C): . . . πλάσασθαι δὲ πρόφασιν ἀπρεπῆ· ὅτι μὴ δυνάμεθα νῦν ἐλθεῖν διὰ τοὺς παρὰ Περσῶν γιγνομένους πολέμους; vgl. Kommentar zur Stelle 23 Julius hat sein Schreiben nur an Euseb als den eigentlichen Urheber der Verhandlungen gerichtet, dagegen hatte sich Euseb verwahrt, da eine Synode die Auftraggeberin der Legaten war

BKO RE

1 τὴν ψῆφον τῶν τριακοσίων ~ K 3 διαβαίνειν ἐπίσκοποι ~ K 5 τὸ] τὸν B 18 ὑμᾶς B[c] ἡμᾶς B* 27 λυπεῖσθε B 32 ἄλογος Montf. εὔλογος Hss. Comm. 33 ἡ > RE 37/38 γνώμην εἶναι ταύτην KOE εἶναι γνώμην ταύτην B γνώμην ταύτην εἶναι R

Περὶ δὲ τοῦ μὴ εὐχερῶς μηδὲ ἀδίκως ἡμᾶς ὑποδεδέχθαι εἰς κοινωνίαν τοὺς συν- 27,1
επισκόπους ἡμῶν Ἀθανάσιον καὶ Μάρκελλον, εἰ καὶ τὰ προλεχθέντα ἱκανά, ὅμως διὰ
βραχέων εὔλογον ὑμῖν δεῖξαι. ἔγραψαν οἱ περὶ Εὐσέβιον πρότερον κατὰ τῶν περὶ Ἀθα-
νάσιον, ἐγράψατε δὲ καὶ νῦν ὑμεῖς, ἔγραψαν ¹ δὲ καὶ πλεῖστοι ἐπίσκοποι ἀπὸ τῆς Αἰγύπ- M 293 A
του καὶ ἐξ ἄλλων ἐπαρχιῶν ὑπὲρ Ἀθανασίου. πρῶτον μὲν οὖν τὰ κατ' αὐτοῦ γράμ- 2
ματα παρ' ὑμῶν μάχεται πρὸς ἑαυτὰ καὶ οὐδεμίαν συμφωνίαν ἔχει τὰ δεύτερα πρὸς τὰ
πρῶτα, ἀλλ' ἐν πολλοῖς τὰ πρῶτα ὑπὸ τῶν δευτέρων λύεται καὶ τὰ δεύτερα ὑπὸ τῶν
πρώτων διαβάλλεται· ἀσυμφώνων δὲ ὄντων τῶν γραμμάτων οὐδεμία πίστις περὶ τῶν
λεγομένων ἐστίν. ἔπειτα, εἰ τοῖς παρ' ὑμῶν γραφεῖσιν ἀξιοῦτε πιστεύειν, ἀκόλουθόν
ἐστι καὶ τοῖς ὑπὲρ αὐτοῦ γράψασι μὴ ἀπιστῆσαι, καὶ μάλιστα ὅτι ὑμεῖς μὲν πόρρωθεν,
ἐκεῖνοι δὲ ἐν τοῖς τόποις ὄντες καὶ εἰδότες τὸν ἄνδρα καὶ τὰ ἐκεῖ γινόμενα πράγματα γρά-
φουσι μαρτυροῦντες αὐτοῦ τῷ βίῳ καὶ διαβεβαιούμενοι ἐν πᾶσιν αὐτὸν συσκευὴν πεπον- B
θέναι. καὶ πάλιν Ἀρσένιός τις ἐπίσκοπος ἐλέχθη ποτὲ ὡς ἀναιρεθεὶς παρὰ Ἀθανασίου, 3
ἀλλὰ τοῦτον ἐμάθομεν ζῆν, ἀλλὰ καὶ φιλίαν ἔχειν πρὸς αὐτόν. τὰ ὑπομνήματα τὰ 4
ἐν Μαρεώτῃ γενόμενα διεβεβαιώσατο κατὰ μονομέρειαν γεγενῆσθαι· μήτε γὰρ ἐκεῖ
παρεῖναι Μακάριον τὸν πρεσβύτερον τὸν κατηγορούμενον μήτε αὐτὸν τὸν ἐπίσκοπον
αὐτοῦ Ἀθανάσιον. καὶ τοῦτο οὐ μόνον ἐκ τῶν αὐτοῦ λόγων, ἀλλὰ καὶ ἐκ τῶν ὑπο-
μνημάτων, ¹ ὧν ἐκόμισαν ἡμῖν οἱ περὶ Μαρτύριον καὶ Ἡσύχιον, ἔγνωμεν. ἀναγνόντες B 147
γὰρ εὕρομεν ὅτι ὁ μὲν κατήγορος Ἰσχύρας ἐκεῖ παρῆν, οὔτε δὲ Μακάριος οὔτε ὁ ἐπί-
σκοπος Ἀθανάσιος· ἀλλὰ καὶ τοὺς πρεσβυτέρους Ἀθανασίου ἀξιοῦντας παρεῖναι καὶ
μὴ συγχωρηθέντας. ἔδει δέ, ἀγαπητοί, εἴπερ μετὰ ἀληθείας ἐγίνετο τὸ κριτήριον 5
μὴ μόνον τὸν κατήγορον, ἀλλὰ καὶ τὸν κατηγορούμενον παρεῖναι. ὥσπερ γὰρ ἐν τῇ C
Τύρῳ Μακάριος παρῆν ὁ κατηγορούμενος καὶ Ἰσχύρας ὁ κατήγορος, καὶ οὐδὲν ἐδείχθη,
οὕτως ἔδει καὶ ἐν τῷ Μαρεώτῃ μὴ μόνον ἀπελθεῖν τὸν κατήγορον, ἀλλὰ καὶ τὸν κατη-
γορούμενον, ἵνα παρὼν ἢ ἐλεγχθῇ ἢ μὴ ἐλεγχθεὶς δείξῃ τὴν συκοφαντίαν. νῦν δὲ τού-
του μὴ γενομένου, ἀλλὰ μόνου ἀπελθόντος τοῦ κατηγόρου, μεθ' ὧν παρῃτήσατο Ἀθα-
νάσιος, ὕποπτα τὰ πράγματα φαίνεται.

Ἠτιᾶτο δὲ καὶ τοὺς ἀπελθόντας εἰς τὸν Μαρεώτην παρὰ γνώμην αὐτοῦ ἀπεληλυ- 28,1
θέναι. ἔλεγε γὰρ ὅτι Θεόγνιον καὶ Μάριν καὶ Θεόδωρον, Οὐρσάκιον καὶ Οὐάλεντα καὶ
Μακεδόνιον ὑπόπτους ὄντας ἀπέστειλαν. καὶ τοῦτο οὐκ ἐκ τῶν λόγων αὐτοῦ μόνον, D
ἀλλὰ καὶ ἐκ τῆς ἐπιστολῆς Ἀλεξάνδρου τοῦ γενομένου ἐπισκόπου τῆς Θεσσαλονίκης
ἐδείκνυε. προήνεγκε γὰρ ἐπιστολὴν αὐτοῦ γραφεῖσαν πρὸς Διονύσιον τὸν ἐν τῇ συνόδῳ
κόμητα, ἐν ᾗ δηλοῖ φανερὰν συσκευὴν γενέσθαι κατὰ Ἀθανασίου. καὶ ¹ αὐτοῦ δὲ 2 M 296 A
τοῦ κατηγόρου Ἰσχύρα προεκόμισε χεῖρα ὁλόγραφον αὐθεντικήν, ἐν ᾗ μάρτυρα τὸν
θεὸν τὸν παντοκράτορα ἐπικαλούμενος μήτε ποτηρίου κλάσιν μήτε τραπέζης ἀνατροπὴν
γεγενῆσθαι ἔλεγεν, ἀλλ' ὑποβεβλῆσθαι ἑαυτὸν ὑπό τινων πλάσασθαι ταύτην τὴν κα-
τηγορίαν. ἀπαντήσαντες δὲ καὶ πρεσβύτεροι τοῦ Μαρεώτου διεβεβαιώσαντο μήτε τὸν

3 D. i. der Brief von 338 s. oben S. 101, 18 4 D. i. der Brief der antiochenischen Synode von 339 nach der Absetzung des Athanasius | D. i. der Brief c. 3ff. 13 ff. = c. 8, 4 S. 94, 18. Julius' Argumentation beruht ganz auf dem Brief der ägypt. Synode und den ihm beiliegenden Urkunden. Daneben haben J. noch die Akten der Kommission vorgelegen, Z. 14 15 ff. = c. 13. 14 20 = S. 98, 9, vgl. S. 110, 7 24 = S. 98, 2. 8 29 = S. 97, 25 ff. 31 = S. 99, 25; c. 80 34 = S. 99, 26, Brief c. 64 37 Vgl. den Brief c. 74 S. 154, 6 ff.

BKO RE

1 ἡμᾶς] ὑμᾶς RE | ὑποδέχεσθαι K 3 ἔγραψαν Comm. Montf. ἐγράψατε Hss. | τῶν περὶ R[c] τὸν R* 14 ἀλλὰ² > E 20 τοὺς > B 21 ἐγένετο RE 22 κατηγουρούμενον B 25 τὴν ÷ κατηγορίαν O*, aber exp. O[c] 26 γινομένου K 29 Οὐρσάκιον ÷ ⟨τε⟩ Schw. 30 μόνον] μόνων RE 32 αὐτοῦ > E 34 τὸν > E

'Ισχύραν πρεσβύτερον εἶναι τῆς καθολικῆς ἐκκλησίας μήτε τι τοιοῦτον πεπλημμεληκέναι
3 Μακάριον, ὁποῖον ἐκεῖνος κατηγόρησεν. οἱ πρεσβύτεροι δὲ καὶ οἱ διάκονοι ἀπαντή-
σαντες ἐνταῦθα οὐκ ὀλίγα, ἀλλὰ καὶ πολλὰ ἐμαρτύρησαν ὑπὲρ τοῦ ἐπισκόπου 'Αθανασίου
διαβεβαιούμενοι μηδὲν ἀληθὲς εἶναι τῶν κατ' αὐτοῦ λεγομένων, συσκευὴν δὲ αὐτὸν πε-
B πονθέναι. καὶ οἱ ἀπὸ τῆς Αἰγύπτου δὲ καὶ Λιβύης πάντες ἐπίσκοποι γράφοντες διεβεβαιώ-
σαντο καὶ τὴν κατάστασιν αὐτοῦ ἔννομον καὶ ἐκκλησιαστικὴν γεγονέναι καὶ πάντα τὰ
παρ' ὑμῶν λεγόμενα κατ' αὐτοῦ εἶναι ψευδῆ· οὔτε γὰρ φόνον γεγενῆσθαι οὔτε τινὰς
ἀναιρεθῆναι δι' αὐτὸν οὔτε κλάσιν ποτηρίου γεγενῆσθαι, ἀλλὰ πάντα εἶναι ψευδῆ.
4 καὶ ἐκ τῶν ὑπομνημάτων δὲ τῶν ἐν Μαρεώτῃ κατὰ μονομέρειαν γενομένων ἐδείκνυεν ὁ
ἐπίσκοπος 'Αθανάσιος ἕνα κατηχούμενον ἐξετασθέντα καὶ εἰπόντα ἔνδον εἶναι μετὰ
B 148 'Ισχύρα, | ὅτε Μακάριος ὁ πρεσβύτερος 'Αθανασίου, ὡς λέγουσιν, ἐπέστη τῷ τόπῳ,
καὶ ἄλλους δὲ ἐξετασθέντας καὶ εἰπόντας τὸν μὲν »ἐν κελλίῳ μικρῷ«, τὸν δὲ »ὄπισθεν τῆς
θύρας κατακεῖσθαι τὸν 'Ισχύραν τότε νοσοῦντα«, ὅτε Μακάριον λέγουσιν ἀπηντηκέναι
C 5 ἐκεῖ. ἀπὸ δὴ τούτων ὧν ἔλεγε, καὶ ἡμεῖς ἀκολούθως στοχαζόμεθα ὅτι πῶς οἷόν τε
τὸν ὄπισθεν τῆς θύρας νόσῳ κατακείμενον τότε ἑστηκέναι καὶ λειτουργεῖν καὶ προσφέρειν;
ἢ πῶς οἷόν τε ἦν προσφορὰν προκεῖσθαι ἔνδον ὄντων τῶν κατηχουμένων; εἰ γὰρ ἔνδον
6 ἦσαν οἱ κατηχούμενοι, οὔπω ἦν ὁ καιρὸς τῆς προσφορᾶς. ταῦτα, ὥσπερ εἴρηται,
ἔλεγεν ὁ ἐπίσκοπος 'Αθανάσιος καὶ ἐκ τῶν ὑπομνημάτων ἐδείκνυε, διαβεβαιουμένων καὶ
τῶν σὺν αὐτῷ μηδὲ ὅλως αὐτὸν πρεσβύτερον γεγενῆσθαί ποτε ἐν τῇ καθολικῇ ἐκκλησίᾳ
μηδὲ σεσυνῆχθαι αὐτόν ποτε ἐν τῇ ἐκκλησίᾳ ὡς πρεσβύτερον· οὐδὲ γὰρ [οὐδὲ] ὅτε 'Αλέξαν-
δρος ἐδέχετο κατὰ φιλανθρωπίαν τῆς μεγάλης συνόδου τοὺς ἀπὸ τοῦ σχίσματος Μελιτίου,
ὠνομάσθαι αὐτὸν ὑπὸ Μελιτίου μετὰ τῶν αὐτοῦ διεβεβαιοῦντο· ὃ καὶ μέγιστόν ἐστι
D τεκμήριον μὴ εἶναι αὐτὸν μήτε Μελιτίου. εἰ γὰρ ἦν, πάντως καὶ αὐτὸς αὐτοῖς συνηριθ-
7 μεῖτο. ἄλλως τε καὶ ἐν ἄλλοις ὁ 'Ισχύρας ψευσάμενος ἐδείκνυτο ὑπὸ 'Αθανασίου ἐκ
τῶν ὑπομνημάτων· κατηγορήσας γὰρ ὡς βιβλίων κεκαυμένων ὅτε, ὡς λέγουσι, Μα-
κάριος ἐπέστη, ἠλέγχθη ὑφ' ὧν αὐτὸς ἤνεγκε μαρτύρων ψευσάμενος.
29, 1 Τούτων τοίνυν οὕτως λεγομένων καὶ τοσούτων μὲν ὄντων τῶν μαρτύρων τῶν
M 297 A ὑπὲρ αὐτοῦ, | τοσούτων δὲ δικαιωμάτων προφερομένων ὑπ' αὐτοῦ, τί ἔδει ποιεῖν ἡμᾶς;
ἢ τί ὁ ἐκκλησιαστικὸς κανὼν ἀπαιτεῖ ἢ μὴ καταγνῶναι τοῦ ἀνδρός, ἀλλὰ μᾶλλον ἀποδέ-
2 ξασθαι καὶ ἔχειν αὐτὸν ἐπίσκοπον, ὥσπερ καὶ εἴχομεν; καὶ γὰρ πρὸς τούτοις πᾶσι
παρέμεινεν ἐνταῦθα ἐνιαυτὸν καὶ ἓξ μῆνας ἐκδεχόμενος τὴν παρουσίαν ὑμῶν ἢ τῶν βου-
λομένων ἐλθεῖν· τῇ δὲ παρουσίᾳ ἐδυσώπει πάντας, ὅτι οὐκ ἂν παρῆν εἰ μὴ ἐθάρρει. καὶ
γὰρ οὐκ ἀφ' ἑαυτοῦ ἐλήλυθεν, ἀλλὰ κληθεὶς καὶ λαβὼν γράμματα παρ' ἡμῶν, καθάπερ
3 καὶ ὑμῖν ἐγράψαμεν. καὶ ὅμως μετὰ τοσαῦτα ὑμεῖς ὡς »παρὰ κανόνας ποιήσαντας«
ἡμᾶς ἐμέμψασθε. σκοπεῖτε τοίνυν, τίνες εἰσὶν οἱ παρὰ κανόνας πράξαντες, ἡμεῖς οἱ μετὰ

---

2 ff. D. s. die Überbringer des Briefes c. 3 ff. 5 D. i. der Brief c. 3 6 Vgl. c. 6, 4 S. 92, 13 ff. 7 Vgl. c. 5, 2 S. 91, 3 ff. 8 Vgl. c. 11 10 ff. Dies ist ein Auszug aus den Akten der Untersuchungskommission, s. S. 107, 18. Vgl. die Darstellung des Athanasius unten c. 83, der die Akten durch Vermittlung des Julius zu Gesicht bekam, der sie seinerseits von Euseb zugeschickt erhalten hatte 19 Vgl. oben Z. 1 21 Vgl. oben c. 11 S. 97, 6. Das nicaenische Dekret s. Urk. 23, 6 (III 49, 1 ff.) 25 Vgl. c. 83 S. 162, 12 ff. 31 Da die römische Synode vor der antiochenischen Kirchweihsynode tagte, diese aber nach Athan. de syn. 25 (Migne 26, 725 A) ὑπατείᾳ Μαρκελλίνου καὶ Προβίνου (= 341) Ἰνδικτίωνος ιδ̅ (= 1. Sept. 340 — 31. Aug. 341), also spätestens im Sommer 341 stattfand, so ist Athanasius ein Jahr und sechs Monate vor Frühjahr 341, mithin vor Winter 339/40 nach Rom gekommen 33 ἐγράψαμεν vgl. ep. enc. 7 (Migne 25, 237 A) und hist. Arian. 9 (Migne 25, 704 C)

BKO RE

---

5 Λίβυες B* Λιβύης B^c 9 γεγενημένων B 20 σεσυνῆχθαι BR* (σε- ausradiert R^c)E συναχθῆναι KO | ~~[οὐδὲ] Op.~~ 21 τοῦ > B 21 u. 22 Μελετίου E* (-ιτίου E^c) ebenso Z. 23 23/24 συνηριθμήθη K 27 ὄντων > E 35 τοίνυν > E | κανόνας B κανόνα KORE

τοσούτων ἀποδείξεων τὸν ἄνδρα δεξάμενοι ἢ οἱ ἀπὸ τριάκοντα καὶ ἓξ μονῶν ἐν Ἀντιο- B
χείᾳ | ὀνομάσαντές τινα ὡς ἐπίσκοπον ξένον καὶ ἀποστείλαντες εἰς τὴν Ἀλεξάνδρειαν B 149
μετὰ στρατιωτικῆς ἐξουσίας; ὅπερ οὐ γέγονεν οὐδὲ εἰς Γαλλίας αὐτοῦ ἀποσταλέντος·
ἐγεγόνει γὰρ ἂν καὶ τότε, εἰ ὄντως ἦν καταγνωσθείς. ἀμέλει ἐπανελθὼν σχολάζουσαν
καὶ ἐκδεχομένην αὐτὸν τὴν ἐκκλησίαν εὗρεν.
Ἀλλὰ νῦν οὐκ οἶδα, ποίῳ τρόπῳ γέγονε τὰ γενόμενα. πρῶτον μὲν γάρ, εἰ δεῖ 30, 1
τἀληθὲς εἰπεῖν, οὐκ ἔδει γραψάντων ἡμῶν σύνοδον γενέσθαι προλαβεῖν τινας τὴν ἐκ τῆς
συνόδου κρίσιν. ἔπειτα οὐκ ἔδει τοιαύτην καινοτομίαν κατὰ τῆς ἐκκλησίας γενέσθαι.
ποῖος γὰρ κανὼν ἐκκλησιαστικὸς ἢ ποία παράδοσις ἀποστολικὴ τοιαύτη, ὥστε εἰρη- C
νευούσης ἐκκλησίας καὶ ἐπισκόπων τοσούτων ὁμόνοιαν ἐχόντων πρὸς τὸν ἐπίσκοπον
τῆς Ἀλεξανδρείας Ἀθανάσιον ἀποσταλῆναι Γρηγόριον, ξένον μὲν τῆς πόλεως, μήτε
ἐκεῖ βαπτισθέντα μήτε γινωσκόμενον τοῖς πολλοῖς, μὴ αἰτηθέντα παρὰ πρεσβυτέρων,
μὴ παρ' ἐπισκόπων, μὴ παρὰ λαῶν, ἀλλὰ κατασταθῆναι μὲν ἐν Ἀντιοχείᾳ, ἀποσταλῆναι
δὲ εἰς τὴν Ἀλεξάνδρειαν, οὐ μετὰ πρεσβυτέρων, οὐ μετὰ διακόνων τῆς πόλεως, οὐ μετὰ
ἐπισκόπων τῆς Αἰγύπτου, ἀλλὰ μετὰ στρατιωτῶν; τοῦτο γὰρ ἔλεγον καὶ ᾐτιῶντο 2
οἱ | ἐνταῦθα ἐλθόντες. εἰ γὰρ καὶ μετὰ τὴν σύνοδον ὑπεύθυνος ἦν εὑρεθεὶς ὁ Ἀθανάσιος, M 300 A
οὐκ ἔδει τὴν κατάστασιν οὕτως παρανόμως καὶ παρὰ τὸν ἐκκλησιαστικὸν κανόνα γενέ-
σθαι, ἀλλ' ἐπ' αὐτῆς τῆς ἐκκλησίας, ἀπ' αὐτοῦ τοῦ ἱερατείου, ἀπ' αὐτοῦ τοῦ κλήρου
τοὺς ἐν τῇ ἐπαρχίᾳ ἐπισκόπους ἔδει καταστῆσαι καὶ μὴ νῦν τοὺς ἀπὸ τῶν ἀποστόλων
κανόνας παραλύεσθαι. ἆρα γάρ, εἰ καθ' ἑνὸς ὑμῶν ἐγεγόνει τὸ τοιοῦτον, οὐκ ἂν ἐβοήσατε,
οὐκ ἂν ἠξιώσατε ὡς παραλελυμένων τῶν κανόνων ἐκδικηθῆναι; ἀγαπητοί, ὡς 3
θεοῦ παρόντος μετὰ ἀληθείας φθεγγόμεθα καὶ λέγομεν· οὐκ ἔστι τοῦτο εὐσεβὲς οὐδὲ
νόμιμον οὐδὲ ἐκκλησιαστικόν. καὶ γὰρ καὶ τὰ λεγόμενα γεγενῆσθαι παρὰ Γρηγορίου
ἐν τῇ εἰσόδῳ αὐτοῦ δείκνυσι τὴν τῆς καταστάσεως τάξιν. ἐν γὰρ τοιούτοις εἰρηνικοῖς B
καιροῖς, ὡς αὐτοὶ οἱ ἐλθόντες ἀπὸ τῆς Ἀλεξανδρείας ἀπήγγειλαν, καθὼς καὶ οἱ ἐπίσκοποι
ἔγραψαν, ἡ ἐκκλησία ἐμπρησμὸν ὑπέμεινε, παρθένοι ἐγυμνώθησαν, μονάζοντες κατε-
πατήθησαν, πρεσβύτεροι καὶ πολλοὶ τοῦ λαοῦ ᾐκίσθησαν καὶ βίαν πεπόνθασιν, ἐπί-
σκοποι ἐφυλακίσθησαν, περιεσύρησαν πολλοί, τὰ ἅγια μυστήρια, ἐφ' οἷς ᾐτιῶντο Μα-
κάριον τὸν πρεσβύτερον, ὑπὸ ἐθνικῶν διηρπάζετο καὶ εἰς γῆν ἐβάλλετο, ἵνα τὴν Γρηγο-
ρίου τινὲς κατάστασιν δέξωνται. τὰ δὲ τοιαῦτα δείκνυσι τοὺς »παραλύοντας τοὺς 4

1 Das Itinerarium Antonini zählt von Antiochien bis Alexandrien auch 36 Stationen, Itineraria romana I. ed. Cuntz S. 21 Nr. 147—154. Die Tabula Peutingeriana hat 39 Stationen, K. Miller: Itineraria romana Sp. 801 ff. 869 ff. 2 D. i. Gregor vgl. ep. enc. 2. 4 3 Julius argumentiert mit der Tatsache, daß Konstantin Athanasius nach seiner Verbannung i. J. 335 keinen Nachfolger gab. Wenn Julius daraus schließt, daß Konstantin A. nicht als rechtens bestraft ansah, so scheint er sich schon die eigenartige Auffassung des Athanasius zu eigen gemacht zu haben, die dieser S. 89, 13 vortragen läßt 7 Julius betrachtet die Einsetzung des Gregor als ein Präjudiz der von den Legaten Eusebs und von Julius vorgesehenen Synodalentscheidung. Ebenso Athan. ep. enc. 7 (Migne 25, 237 A). Man wollte erst Euseb v. Emesa, der sich in Alexandria studienhalber aufgehalten hatte, dort zum Bischof machen, Sokr. II 9, 1 12 = ep. enc. 6 (Migne 25, 233 D) 17 ff. Die Argumentation folgt Athan. ep. enc. 2 (Migne 25, 225 C/D) 24 Vgl. die Schilderung ep. enc. 3 ff.; hist. Arian. 10. 12. Kephalaion zum 11. Festbrief des Athanasius d. J. 339: ἐν τούτῳ (τῷ ἔτει) (= 339) πολλῶν ταραχῶν γενομένων τῇ $\overline{\kappa\beta}$ Φαμενωθ (= 18. März) νυκτὸς ἐξεδιώχθη καὶ τῇ ἐπιούσῃ ἔφυγεν ἐκ τῆς Θεωνᾶ ἐκκλησίας πολλοὺς βαπτίσας· μεθ' ὃ μετὰ τέσσαρας ἡμέρας (= 21. März) Γρηγόριος ὁ Καππαδόκης εἰσῆλθεν ὡς ἐπίσκοπος εἰς τὴν πόλιν 26 f. ep. enc. 3 (Migne 25, 228 C) 28 = ep. enc. 3 (Migne 25, 229 A)

BKO RE

1 δεξάμενοι E^{c} ἀποδεξάμενοι E* 2 τὴν > B 4 ἐπανελθὼν > E 16 ὁ > K 22 λέγομεν B^{c} λέγωμεν B* 25 οἱ ἀπὸ τῆς Ἀλεξανδρείας ἐλθόντες ~ RE 27 καὶ βίαν — 28 ἐφυλακίσθησαν > E 28 μυστήρια > E am Anfang d. Zeile 29 ἐβάλλετο B^{c} κατεβάλλετο B*

B 150 κανόνας«. εἰ γὰρ νομίμη ἦν ἡ κατάστασις, | οὐκ ἂν διὰ παρανομίας ἠνάγκαζε πείθεσθαι
τοὺς νομίμως ἀπειθοῦντας αὐτῷ. καὶ ὅμως τοιούτων γενομένων γράφετε »εἰρήνην με-
C γάλην γεγενῆσθαι ἐν τῇ Ἀλεξανδρείᾳ καὶ τῇ Αἰγύπτῳ«, ἐκτὸς εἰ μὴ ἀντιμεταβέβληται
τὸ ἔργον τῆς εἰρήνης καὶ τὰ τοιαῦτα εἰρήνην ὀνομάζετε.

31,1 Κἀκεῖνο δὲ ὑμῖν ἀναγκαῖον ἐνόμισα δηλῶσαι ὅτι Ἀθανάσιος διεβεβαιοῦτο Μα-
κάριον ἐν Τύρῳ ὑπὸ στρατιώτας γεγενῆσθαι καὶ μόνον τὸν κατήγορον ἀπεληλυθέναι
μετὰ τῶν ἀπελθόντων εἰς τὸν Μαρεώτην, καὶ τοὺς μὲν πρεσβυτέρους ἀξιοῦντας παρεῖναι
ἐν τῇ ἐξετάσει μὴ συγκεχωρῆσθαι, τὴν δὲ ἐξέτασιν γεγενῆσθαι περὶ ποτηρίου καὶ τρα-
πέζης ἐπὶ παρουσίᾳ τοῦ ἐπάρχου καὶ τῆς τάξεως αὐτοῦ παρόντων ἐθνικῶν καὶ Ἰουδαίων.
τοῦτο δὲ κατὰ τὰς ἀρχὰς ἄπιστον ἦν, εἰ μὴ καὶ ἐκ τῶν ὑπομνημάτων ἐδείκνυτο, ἐφ' ᾧ
2 καὶ ἐθαυμάσαμεν, νομίζω δὲ καὶ ὑμᾶς ἔτι θαυμάζειν, ἀγαπητοί. πρεσβύτεροι μὲν οὐκ
D ἐπιτρέπονται παρεῖναι οἱ καὶ τῶν μυστηρίων λειτουργοὶ τυγχάνοντες, ἐπὶ δὲ ἐξωτικοῦ
δικαστοῦ παρόντων κατηχουμένων καὶ τό γε χείριστον, ἐπὶ ἐθνικῶν καὶ Ἰουδαίων τῶν
διαβεβλημένων περὶ τὸν Χριστιανισμὸν ἐξέτασις περὶ αἵματος Χριστοῦ καὶ σώματος
Χριστοῦ γίνεται. εἰ γὰρ καὶ ὅλως ἐγεγόνει τι πλημμέλημα, ἔδει ἐν τῇ ἐκκλησίᾳ ὑπὸ κλη-
M 301 A ρικῶν νομίμων ἐξετάζεσθαι τὰ τοιαῦτα καὶ | μὴ ὑπὸ ἐθνικῶν τῶν τὸν λόγον βδελυσσο-
μένων καὶ μὴ εἰδότων τὴν ἀλήθειαν. τοῦτο δὲ τὸ ἁμάρτημα ἡλίκον καὶ ὁποῖόν ἐστι,
συνορᾶν καὶ ὑμᾶς καὶ πάντας πεπίστευκα. περὶ μὲν Ἀθανασίου τοιαῦτα·

32,1 Περὶ δὲ Μαρκέλλου, ἐπειδὴ καὶ περὶ αὐτοῦ ὡς ἀσεβοῦντος εἰς τὸν Χριστὸν ἐγράψατε,
δηλῶσαι ὑμῖν ἐσπούδασα ὅτι ἐνταῦθα γενόμενος διεβεβαιώσατο μὲν μὴ εἶναι ἀληθῆ τὰ
περὶ αὐτοῦ γραφέντα παρ' ὑμῶν, ὅμως δὲ ἀπαιτούμενος παρ' ἡμῶν εἰπεῖν περὶ τῆς
πίστεως οὕτως μετὰ παρρησίας ἀπεκρίνατο δι' ἑαυτοῦ ὡς ἐπιγνῶναι μὲν ἡμᾶς ὅτι
2 μηδὲν ἔξωθεν τῆς ἀληθείας ὁμολογεῖ. οὕτως γὰρ εὐσεβῶς περὶ τοῦ κυρίου καὶ σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ ὡμολόγησε φρονεῖν, ὥσπερ καὶ ἡ καθολικὴ ἐκκλησία φρονεῖ· καὶ
B οὐ νῦν ταῦτα πεφρονηκέναι διεβεβαιώσατο, ἀλλὰ καὶ ἔκπαλαι, ὥσπεροῦν καὶ οἱ ἡμέτεροι
πρεσβύτεροι τότε ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ γενόμενοι ἐμαρτύρησαν αὐτοῦ τῇ ὀρ-
θοδοξίᾳ. καὶ γὰρ καὶ τότε καὶ νῦν κατὰ τῆς αἱρέσεως τῶν Ἀρειανῶν πεφρονηκέναι
διισχυρίσατο, ἐφ' ᾧ καὶ ὑμᾶς ὑπομνῆσαι δίκαιόν ἐστιν, ἵνα μηδεὶς τὴν τοιαύτην αἵρεσιν
3 ἀποδέχηται, ἀλλὰ βδελύττηται ὡς ἀλλοτρίαν τῆς ὑγιαινούσης διδασκαλίας. ὀρθὰ

5 ff. Hier wird das Thema von c. 28 wiederaufgenommen, um das Raissonement Z. 10 ff. einzuleiten, Vgl. c. 13, 3 S. 97, 33 ff. 7 f. = S. 107, 20 ff. 19 M. war fast gleichzeitig mit Athanasius gegen Ende 339 nach Rom gekommen, vgl. den Brief Marcells an Julius Epiph. haer. 72, 2, 3 (III 257, 4); zur Zeit dieses Briefes war er ein Jahr und drei Monate in Rom. Der Brief ist einige Zeit vor der römischen Synode geschrieben, daher ist die Differenz zu S. 108, 31 erklärlich. M. war nach dem Tode Konstantins I. nach Ancyra zurückgekehrt, aber seine Anwesenheit löste dort heftigen Tumult aus, vgl. Schreiben d. orient. Synode von Serdika, Coll. antiar. Paris. A IV 1, 9 (CSEL 65, 55, 12). Über M. hatten zwischen Antiochien und Rom schon Verhandlungen stattgefunden, ehe die römische Synode zusammentrat. M. war durch eine Synode als Ketzer abgesetzt worden, daher betrachtete Euseb es als eine conditio sine qua non für die Lösung des Konfliktes, M. fallen zu lassen. Tatsächlich war auch die Aufnahme des M. keineswegs kanonischer als die Rezeption der in Nicäa verurteilten Ketzer. Julius, d. h. Athanasius, hütete sich, solche Vergleiche zu ziehen; man hätte dann zugegeben, das M. ein Ketzer war. So aber stellte man die Orientalen als Ketzer hin, die kein Recht hatten, M. zu verurteilen. Der dogmatische Streit geht seit der Verurteilung des M. immer um dessen Theologie, das bleibt so bis gegen 360 20 ff. Vgl. die Eingangsworte des Schreibens Marcells bei Epiph. haer. 72, 2, 1—2 (III 256, 15 ff.) (= Urk. 88). M. verlangte von Julius, seine Erklärung dem Schreiben an die Orientalen beizulegen (ebenda S. 259, 1). Julius' Referat hier beruht auf Marcells Brief 26 D. s. Vito und Vicentius, die Legaten des römischen Bischofs in Nicäa; vgl. oben S. 104, 34

BKO RE

3 τῇ[1] > BKO | ἀντιβέβληται K 11 ἐπιθαυμάζειν Comm. Montf. 15 γίνεται O[c] γέγονε O* (?) 16 νομίμως Comm. Montf. 16 καὶ μὴ — 18 τοιαῦτα > BKO 20 γινόμενος R* γενόμενος R[c]

τοίνυν αὐτὸν φρονοῦντα καὶ ἐπὶ ὀρθοδοξίᾳ μαρτυρούμενον τί πάλιν καὶ ἐπὶ τούτου
ἔδει ποιεῖν ἡμᾶς ἢ ἔχειν αὐτόν, ὥσπερ καὶ εἴχομεν, ἐπίσκοπον καὶ μὴ ἀποβάλλειν τῆς
κοινωνίας; ταῦτα μὲν οὖν ἐγὼ οὐχ ὡς ὑπεραπολογούμενος αὐτῶν γέγραφα, ἀλλ' ἕνεκα 4
τοῦ πιστεῦσαι ὑμᾶς ὅτι δικαίως καὶ κανονικῶς ¦ ἐδεξάμεθα τοὺς ἄνδρας, καὶ μάτην B 151
φιλονεικεῖτε, ὑμᾶς δὲ δίκαιόν ἐστι σπουδάσαι καὶ πάντα τρόπον καμεῖν, ἵνα τὰ μὲν παρὰ
κανόνα γενόμενα διορθώσεως τύχῃ, αἱ δὲ ἐκκλησίαι εἰρήνην ἔχωσι πρὸς τὸ τὴν τοῦ κυρίου
εἰρήνην τὴν δοθεῖσαν ἡμῖν παραμεῖναι καὶ μὴ σχίζεσθαι τὰς ἐκκλησίας μηδὲ ὑμᾶς ὡς
αἰτίους σχίσματος μέμψιν ὑπομεῖναι. ὁμολογῶ γὰρ ὑμῖν τὰ γενόμενα οὐκ εἰρήνης, ἀλλὰ
σχίσματος προφάσεις εἰσίν.

Οὐ γὰρ μόνον οἱ περὶ Ἀθανάσιον καὶ Μάρκελλον οἱ ἐπίσκοποι ἐληλύθασιν ἐνταῦθα 33,1
αἰτιώμενοι κατ' αὐτῶν ἀδικίαν γεγονέναι, ἀλλὰ καὶ πλεῖστοι ἄλλοι ἐπίσκοποι ἀπὸ
Θρᾴκης, ἀπὸ Κοίλης Συρίας, ἀπὸ Φοινίκης καὶ Παλαιστίνης. καὶ πρεσβύτεροι μὲν οὐκ
ὀλίγοι, ἄλλοι δέ τινες ἀπὸ Ἀλεξανδρείας καὶ ἄλλοι ἐξ ἄλλων μερῶν, ἀπήντησαν εἰς τὴν D
ἐνταῦθα σύνοδον, ἐπὶ πάντων τῶν συνελθόντων ἐπισκόπων πρὸς τοῖς ἄλλοις οἷς ἔλεγον
ἔτι καὶ ἀπωδύροντο βίαν ¦ καὶ ἀδικίαν τὰς ἐκκλησίας πεπονθέναι, καὶ ὅμοια τῶν κατὰ M 304 A
Ἀλεξάνδρειαν καὶ τὰς ἑαυτῶν καὶ ἐν ἄλλαις ἐκκλησίαις γεγενῆσθαι διεβεβαιοῦντο οὐ
λόγῳ μόνον, ἀλλὰ καὶ πράγμασι. καὶ ἐξ Αἰγύπτου δὲ καὶ τῆς Ἀλεξανδρείας πάλιν 2
ἐλθόντες νῦν πρεσβύτεροι μετὰ γραμμάτων ἀπωδύροντο ὅτι πολλοὶ ἐπίσκοποι καὶ
πρεσβύτεροι θέλοντες ἐλθεῖν εἰς τὴν σύνοδον ἐκωλύθησαν. μέχρι γὰρ νῦν καὶ μετὰ τὴν τοῦ
ἐπισκόπου Ἀθανασίου ἀποδημίαν ἔλεγον ἐπισκόπους ὁμολογητὰς κατακόπτεσθαι
πληγαῖς καὶ ἄλλους φυλακίζεσθαι, ἤδη δὲ καὶ ἀρχαίους, πλεῖστον ὅσον χρόνον ἔχοντας
ἐν τῇ ἐπισκοπῇ, εἰς λειτουργίας δημοσίας παραδίδοσθαι καὶ σχεδὸν πάντας τοὺς τῆς
καθολικῆς ἐκκλησίας κληρικοὺς καὶ λαοὺς ἐπιβουλεύεσθαι καὶ διώκεσθαι. καὶ γὰρ καί B
τινας ἐπισκόπους καί τινας ἀδελφοὺς ὑπερορίους ἔλεγον γεγενῆσθαι δι' οὐδὲν ἕτερον,
ἢ ἵνα καὶ ἄκοντες ἀναγκάζωνται κοινωνεῖν Γρηγορίῳ καὶ τοῖς σὺν αὐτῷ Ἀρειανοῖς.
καὶ ἐν Ἀγκύρᾳ δὲ τῆς Γαλατίας οὐκ ὀλίγα γεγενῆσθαι, ἀλλὰ τὰ αὐτὰ πάλιν τοῖς κατὰ 3
Ἀλεξάνδρειαν γενομένοις ἠκούσαμεν καὶ παρ' ἑτέρων, καὶ Μάρκελλος δὲ ὁ ἐπίσκοπος
διεμαρτύρατο. πρὸς δὲ τούτοις καὶ τοιαύτας κατηγορίας καὶ οὕτω δεινὰς κατά τινων
ἐξ ὑμῶν, ἵνα μὴ λέγω τὰ ὀνόματα, οἱ ἀπαντήσαντες εἰρήκασιν, ἃς ἐγὼ μὲν γράψαι παρῃ-
τησάμην· ἴσως δὲ καὶ ὑμεῖς παρ' ἑτέρων ἀκηκόατε. διὰ τοῦτο ¦ γὰρ μάλιστα καὶ 4 B 152
ἔγραψα προτρεπόμενος ὑμᾶς ἐλθεῖν, ἵνα καὶ παρόντες ἀκούσητε καὶ πάντα διορθωθῆναι
καὶ θεραπευθῆναι δυνηθῇ. ἐπὶ δὲ τούτῳ προθυμοτέρως ἔδει τοὺς κληθέντας ἀπαντῆσαι

3 ff. Zusammenfassung der Darlegung über A. u. M. αὐτῶν d. s. A. u. M. 11 In Rom sammelten sich alle die Bischöfe, die unter Konstantin abgesetzt, nach seinem Tode zurückgekehrt waren, aber dann wieder vertrieben wurden. Thrakien: Lucius von Adrianopel vgl. Sokr. II 15, 2; Schreiben der orient. Synode von Serdika: Coll. antiar. Par. A IV 1, 9, 2 (CSEL 65, 55, 21); Athan. hist. Arian. 19; de fuga 3, 3 (oben S. 70, 4). Koile Syria: Kyros von Beroea vgl. Sokr. I 24, 3; Euphration von Balaneae vgl. hist. Arian. 5 (Migne 25, 700 B). Phönikien: Hellanikos von Tripolis vgl. hist. Arian. 5 (Migne 25, 700 B). Palästina: Asklepas von Gaza vgl. Sokr. II 15, 2; Sozom. III 8, 1; s. unten Serdika c. 45, 2 S. 122, 3 und hist. Arian. 5 (Migne 25, 700 B); Schreiben der orient. Synode von Serdika: Coll. antiar. Paris. A IV 1 (CSEL 65, 55, 19; 56, 19) 13 Presbyter aus Alexandrien s. S. 118, 8 ff. 20 Athanasius nennt hist. Arian. 12 (Migne 25, 708 A) Sarapammon und Potammon. Gregor entfernte alle Parteigänger des Athanasius 22 Den Athanasianern wurde die Immunität entzogen vgl. unten c. 54 26 Zu den Vorgängen in Ancyra vgl. das zu S. 110, 19 Angemerkte 31 ff. Eine undeutliche erneute Aufforderung zu einer Synode

BKO RE

1 τούτου] τούτοις E 11 αἰτιώμενοι — γεγονέναι] ἀδικίαν γενομένην κατ' αὐτῶν αἰτιώμενοι K | γεγονέναι] γενομένην KOR 14 οἷς > E 15 ἔτι Montf. ὅτι Hss. | τὰς] τῆς B 25 ἀναγκάζονται R 30 δὲ > B 32 προθυμοτέρους O

C καὶ μὴ παραιτήσασθαι, ἵνα μήτε ὡς ὕποπτοι περὶ τὰ λεχθέντα, ἐὰν μὴ ἀπαντήσωσι,
νομισθῶσι μήτε ὡς μὴ δυνάμενοι ἐλέγξαι ἃ ἔγραψαν.
34, 1 Τούτων τοίνυν οὕτως λεγομένων καὶ οὕτως τῶν ἐκκλησιῶν πασχουσῶν καὶ ἐπι-
βουλευομένων, ὡς οἱ ἀπαγγέλλοντες διεβεβαιοῦντο, τίνες εἰσὶν οἱ »φλόγα διχονοίας
ἀνάψαντες«; ἡμεῖς οἱ λυπούμενοι ἐπὶ τοῖς τοιούτοις καὶ συμπάσχοντες τοῖς πάσχουσιν
ἀδελφοῖς ἢ οἱ τὰ τοιαῦτα ἐργασάμενοι; θαυμάζω γάρ, πῶς τοιαύτης καὶ τοσαύτης ἐκεῖ
ἀκαταστασίας καθ' ἑκάστην ἐκκλησίαν οὔσης, δι' ἣν καὶ οἱ ἀπαντήσαντες ἦλθον ἐνταῦθα,
γράφετε ὑμεῖς »ὁμόνοιαν γεγενῆσθαι ἐν ταῖς ἐκκλησίαις«. τὰ δὲ τοιαῦτα οὐκ ἐπὶ οἰκοδομῇ
M 305 A τῆς ἐκκλησίας, ἀλλ' ἐπὶ καθαιρέσει ταύτης γίνεται. καὶ οἱ | ἐν τούτοις δὲ χαίροντες οὐκ
εἰσιν εἰρήνης υἱοί, ἀλλὰ ἀκαταστασίας· ὁ δὲ θεὸς ἡμῶν »οὐκ ἔστιν ἀκαταστασίας ἀλλ'
2 εἰρήνης«. διόπερ, ὡς οἶδεν ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κηδό-
μενος μὲν καὶ τῆς ὑμῶν ὑπολήψεως, εὐχόμενος δὲ καὶ τὰς ἐκκλησίας μὴ ἐν ἀκαταστασίᾳ
εἶναι, ἀλλὰ διαμένειν ὥσπερ ὑπὸ τῶν ἀποστόλων ἐκανονίσθη, γράψαι ὑμῖν ταῦτα ἀναγ-
καῖον ἡγησάμην, ἵνα ἤδη ποτὲ δυσωπήσητε τοὺς διὰ τὴν πρὸς ἀλλήλους ἀπέχθειαν
οὕτω διαθεμένους τὰς ἐκκλησίας. ἤκουσα γὰρ ὅτι τινές εἰσιν ὀλίγοι οἱ τούτων πάντων
3 αἴτιοι τυγχάνοντες. καὶ σπουδάσατε ὡς σπλάγχνα ἔχοντες οἰκτιρμοῦ διορθώσασθαι,
ὡς προεῖπον, τὰ παρὰ κανόνα γενόμενα, ἵνα, εἰ καί τι προελήφθη, τοῦτο τῇ ὑμετέρᾳ
B σπουδῇ θεραπευθῇ. καὶ μὴ γράφητε ὅτι »τὴν Μαρκέλλου καὶ Ἀθανασίου ἢ τὴν ἡμῶν
ἑλοῦ κοινωνίαν«, οὐ γὰρ εἰρήνης, ἀλλὰ φιλονεικίας καὶ μισαδελφίας τὰ τοιαῦτα γνωρίσματα.
διὰ τοῦτο οὖν κἀγὼ τὰ προειρημένα ἔγραψα, ἵνα μαθόντες ὅτι οὐκ ἀδίκως ἐδεξάμεθα
4 αὐτούς, παύσησθε τῆς τοιαύτης ἔριδος. εἰ μὲν γὰρ ἐλθόντων ὑμῶν ἦσαν καταγνω-
σθέντες, εἰ μὴ εὐλόγους ἀποδείξεις ἔχειν ἐφαίνοντο ὑπὲρ ἑαυτῶν, καλῶς ἂν τὰ τοιαῦτα
γεγραφήκειτε· ἐπειδὴ δέ, ὡς προεῖπον, κανονικῶς καὶ οὐκ ἀδίκως τὴν πρὸς αὐτοὺς ἔσχομεν
κοινωνίαν, παρακαλῶ ὑπὲρ Χριστοῦ, μὴ ἐπιτρέψητε διασχισθῆναι τὰ μέλη τοῦ Χριστοῦ
5 μηδὲ τοῖς προλήμμασι πιστεύσητε, ἀλλὰ τὴν τοῦ κυρίου εἰρήνην προτιμήσατε. οὐ
γὰρ ὅσιον οὐδὲ δίκαιον δι' ὀλίγων μικροψυχίαν τοὺς μὴ καταγνωσθέντας ἀπορρίπτειν
C καὶ »λυπεῖν ἐν τούτῳ τὸ πνεῦμα«· εἰ δὲ νομίζετε δύνασθαί τινα κατ' αὐτῶν ἀποδεῖξαι
καὶ εἰς πρόσωπον αὐτοὺς ἐλέγξαι, ἐλθέτωσαν οἱ βουλόμενοι. ἑτοίμους γὰρ ἑαυτοὺς καὶ
B 153 αὐτοὶ εἶναι ἐπηγγείλαντο, ὥστε καὶ ἀποδεῖξαι καὶ διελέγξαι, περὶ ὧν ἡμῖν ἀπήγγειλαν. |
35, 1 Σημάνατε οὖν ἡμῖν, ἀγαπητοί, περὶ τούτου, ἵνα κἀκείνοις γράψωμεν καὶ τοῖς
ὀφείλουσι πάλιν συνελθεῖν ἐπισκόποις πρὸς τὸ πάντων παρόντων τοὺς ὑπευθύνους κατα-
γνωσθῆναι καὶ μηκέτι ἀκαταστασίαν ἐν ταῖς ἐκκλησίαις γενέσθαι. ἀρκεῖ γὰρ τὰ γενόμενα·
ἀρκεῖ ὅτι παρόντων ἐπισκόπων ἐπίσκοποι ἐξωρίζοντο. περὶ οὗ οὐδὲ μακρηγορεῖν δεῖ,
ἵνα μὴ βαρεῖσθαι οἱ παρόντες τότε δοκῶσιν. εἰ γὰρ δεῖ τἀληθὲς εἰπεῖν, οὐκ ἔδει μέχρι τούτων
2 φθάσαι οὐδὲ εἰς τοσοῦτον ἐλθεῖν τὰς μικροψυχίας. ἔστω δὲ Ἀθανάσιος καὶ Μάρκελλος,
D ὡς γράφετε, 'μετετέθησαν ἀπὸ τῶν ἰδίων τόπων', τί καὶ περὶ τῶν ἄλλων ἄν τις εἴποι
τῶν ἐκ διαφόρων τόπων, ὡς προεῖπον, ἐλθόντων ἐνταῦθα ἐπισκόπων καὶ πρεσβυτέρων;
3 καὶ αὐτοὶ γὰρ πάλιν ἡρπάσθαι ἑαυτοὺς καὶ τοιαῦτα πεπονθέναι ἔλεγον. ὦ ἀγαπητοί,
οὐκέτι κατὰ τὸ εὐαγγέλιον, ἀλλὰ λοιπὸν ἐπὶ ἐξορισμῷ καὶ θανάτῳ αἱ κρίσεις τῆς ἐκκλησίας

---

10 I. Cor. 14, 33 15 Nämlich die Adressaten s. oben zu 102, 13 27 Vgl. Eph. 4, 30. Nochmalige Aufforderung zu einer Synode 30 ff. Zu der Rechtsauffassung der Orientalen vgl. das Schreiben der orient. Synode von Serdika: Coll. antiar. Paris. A IV 1, 26 (CSEL 65, 65, 7 ff.)

BKO RE

---

1 μήτε ὡς Op. μὴ τέως Hss. Comm. Montf. 2 μήτε > Comm. Montf. 12 ὑμῶν] ἡμῶν B | τὰς] τῆς B* τὰς B[c] 16 σπουδάσατε B σπουδάσητε KORE | οἰκτιρμῶν BK 17 καὶ εἰ ~ E 21 ὑμῶν] ἡμῶν E 24 μέλη] μέρη B 29 καὶ[1] > E 32 γίνεσθαι E 34 δεῖ] δὴ R 37 ὡς προεῖπον > K

εἰσίν. εἰ γὰρ καὶ ὅλως, ὥς φατε, γέγονέ τι | εἰς αὐτοὺς ἁμάρτημα, ἔδει κατὰ τὸν ἐκκλη- M 308 A
σιαστικὸν κανόνα καὶ μὴ οὕτως γεγενῆσθαι τὴν κρίσιν, ἔδει γραφῆναι πᾶσιν ἡμῖν, ἵνα
οὕτως παρὰ πάντων ὁρισθῇ τὸ δίκαιον. ἐπίσκοποι γὰρ ἦσαν οἱ πάσχοντες καὶ οὐχ αἱ
τυχοῦσαι ἐκκλησίαι αἱ πάσχουσαι, ἀλλ' ὧν αὐτοὶ οἱ ἀπόστολοι δι' ἑαυτῶν καθηγή-
σαντο. διὰ τί δὲ περὶ τῆς Ἀλεξανδρέων ἐκκλησίας μάλιστα οὐκ ἐγράφετο ἡμῖν; 4
ἢ ἀγνοεῖτε, ὅτι τοῦτο ἔθος ἦν, πρότερον γράφεσθαι ἡμῖν καὶ οὕτως ἔνθεν ὁρίζεσθαι τὰ
δίκαια; εἰ μὲν οὖν τι τοιοῦτον ἦν ὑποπτευθὲν εἰς τὸν ἐπίσκοπον τὸν ἐκεῖ, ἔδει πρὸς τὴν
ἐνταῦθα ἐκκλησίαν γραφῆναι, νῦν δὲ οἱ ἡμᾶς μὴ πληροφορήσαντες, πράξαντες δὲ αὐτοὶ ὡς
ἠθέλησαν, λοιπὸν καὶ ἡμᾶς οὐ καταγνόντας βούλονται συμψήφους εἶναι. οὐχ οὕτως 5
αἱ Παύλου διατάξεις, οὐχ οὕτως οἱ πατέρες παραδεδώκασιν· ἄλλος τύπος ἐστὶν οὗτος B
καὶ καινὸν τὸ ἐπιτήδευμα. παρακαλῶ, μετὰ μακροθυμίας ἐνέγκατε· ὑπὲρ τοῦ κοινῇ συμ-
φέροντός ἐστιν ἃ γράφω. ἃ γὰρ παρειλήφαμεν παρὰ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου,
ταῦτα καὶ ὑμῖν δηλῶ. καὶ οὐκ ἂν ἔγραψα φανερὰ ἡγούμενος εἶναι ταῦτα παρὰ πᾶσιν,
εἰ μὴ τὰ γενόμενα ἡμᾶς ἐτάραξεν. ἐπίσκοποι ἁρπάζονται καὶ ἐκτοπίζονται, ἄλλοι δὲ 6
ἀλλαχόθεν ἀντιτίθενται καὶ ἄλλοι ἐπιβουλεύονται, ὥστε ἐπὶ μὲν τοῖς ἁρπασθεῖσιν αὐτοὺς
πενθεῖν, ἐπὶ δὲ τοῖς πεμπομένοις ἀναγκάζεσθαι, ἵνα οὓς μὲν θέλουσι, μὴ ἐπιζητῶσιν, οὓς
δὲ μὴ βούλονται, δέχωνται. ἀξιῶ ὑμᾶς μηκέτι τοιαῦτα γίνεσθαι, γράψατε δὲ μᾶλλον 7
κατὰ τῶν τὰ τοιαῦτα ἐπιχειρούντων, ἵνα μηκέτι τοιαῦτα πάσχωσιν αἱ ἐκκλησίαι μηδέ C
τις ἐπίσκοπος ἢ πρεσβύτερος ὕβριν πάσχῃ ἢ παρὰ γνώμην, ὥσπερ ἐδήλωσαν | ἡμῖν, B 154
ἀναγκάζηταί τις ποιεῖν, ἵνα μὴ καὶ παρὰ τοῖς ἔθνεσι γέλωτα ὀφλήσωμεν, καὶ πρό γε
πάντων, ἵνα μὴ τὸν θεὸν παροξύνωμεν. ἕκαστος γὰρ ἡμῶν »ἀποδώσει λόγον ἐν ἡμέρᾳ
κρίσεως«, περὶ ὧν ἐνταῦθα ἔπραξε. γένοιτο δὲ πάντας κατὰ θεὸν φρονῆσαι, ἵνα καὶ 8
αἱ ἐκκλησίαι τοὺς ἐπισκόπους αὐτῶν ἀπολαβοῦσαι χαίρωσι διὰ παντὸς ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, δι' οὗ τῷ πατρὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.
ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ καὶ ποθεινότατοι ἀδελφοί.

Ταῦτα τῆς ἐν Ῥώμῃ συνόδου γραψάσης διὰ Ἰουλίου τοῦ ἐπισκόπου Ῥώμης, 36, 1

1 ff. Julius verlangt, daß das Abendland (Z. 2 πᾶσιν ἡμῖν) von vornherein an dem Prozeß hätte beteiligt werden müssen, damit von der ganzen Kirche (Z. 3 παρὰ πάντων) das Urteil hätte ergehen können. Diese Behandlung hat vor allem Marcell als Inhaber eines von dem Apostel Paulus (d. i. Z. 4 gemeint) gegründeten Stuhles zu beanspruchen. Besonders (Z. 5 μάλιστα) aber steht nach den gewohnten Beziehungen zwischen Rom und Alexandrien dem römischen Bischof das Recht zu, nach Mitteilung aus dem Orient Urteile in Sachen des alexandrinischen Bischofs zu fällen (Z. 6). Julius beansprucht also für sich nicht das Recht einer letzten Instanz, sondern er lehnt die Synode von Tyrus als nicht zuständig für ein Urteil über Klagen gegen die Bischöfe von Ancyra und Alexandrien ab; denn in Tyrus waren zu wenige Bischöfe, als daß sie über mehr als nur beliebige Sitze hätten ein Urteil sprechen können. Julius fordert dagegen den Urteilsspruch der gesamtkirchlichen Instanzen, also Roms für den alexandrinischen Bischof und der ökumenischen Synode für Marcell. Der Urheber dieser Argumentation kann nur Athanasius sein, der dadurch den Rechtsgrund gewann, nach seiner verfehlten Appellation von Tyrus an Konstantin (vgl. S. 164, 12) nunmehr die Revision des tyrischen Urteils durch die zuständigen Stellen der Gesamtkirche herbeizuführen
21 Vgl. Mt. 12, 36 26 ff. Der Bericht über die Synode von Serdika ist übermäßig dürftig. Die beigefügten Urkunden sollen allein die volle Rehabilation des Athanasius bezeugen. Über die eigentlichen Zusammenhänge erfährt der Leser der Apologie nichts. Er soll nur durch die Wucht der Zeugnisse der drei Synoden Alexandrien, Rom, Serdika überzeugt werden: Athanasius ist dreimal rehabilitiert worden. Tatsächlich geben die beiden Urkunden von Serdika ein sehr einseitiges Bild von den Verhandlungen

BKO RE

4 δι' ἑαυτῶν οἱ ἀπόστολοι ~ RE 5 ἐκκλησίας RE πόλεως BKO | μάλιστα ἐκκλησίας ~ E
7 τι > K 8 μὴ > KE* (μὴ E[c]) 11 μακροθυμίας] προθυμίας B | κοινῇ] κοινοῦ RE
17 βούλωνται R* (-λονται R[c]) E | δέχονται ORE 19 πάσχῃ] παράσχῃ E, a. Rd. γρ' πάσχῃ
21 ἵνα μὴ RE > BKO

D ἐπειδὴ πάλιν ἠναισχύντουν οἱ περὶ Εὐσέβιον τάς τε ἐκκλησίας ἐτάραττον καὶ πολλοῖς ἐπεβούλευον, μαθόντες οἱ θεοφιλέστατοι βασιλεῖς Κωνστάντιος καὶ Κώνστανς ἐκέλευσαν τούς τε ἀπὸ τῆς Δύσεως καὶ τῆς Ἀνατολῆς ἐπισκόπους συνελθεῖν εἰς τὴν Σερδῶν πόλιν.
M 309 A 2 ὁ μὲν οὖν Εὐσέβιος ἐν τῷ μεταξὺ τετελεύτηκε, πλείστων δὲ ¹ πανταχόθεν συνελθόντων, ἡμεῖς μὲν προεκαλούμεθα τοὺς κοινωνοὺς τῶν περὶ Εὐσέβιον εἰς κρίσιν, ἐκεῖνοι δὲ πρὸ ὀφθαλμῶν ἔχοντες ἃ ἔπραξαν καὶ βλέποντες τοὺς ἀνελθόντας κατηγόρους αὐτῶν ἐφοβοῦντο τὴν κρίσιν· καὶ γὰρ πάντων καθαρῶς ἀπαντησάντων αὐτοὶ πάλιν ἐπήγοντο μεθ' ἑαυτῶν κόμητας Μουσωνιανὸν καὶ Ἡσύχιον τὸν καστρίσιον, ἵν', ὥσπερ εἰώθεισαν,
3 τῇ ἐκείνων ἐξουσίᾳ ταῦθ' ἅπερ ἐβούλοντο πράξωσιν. ἐπειδὴ δὲ χωρὶς κομήτων ἡ σύνοδος ἦν καὶ στρατιώτης οὐδεὶς ἐγίνετο μέσος, ἐταράχθησαν πληγέντες ὑπὸ τοῦ συνειδότος. οὐκέτι γὰρ ὡς ἤθελον ἐκρίνοντο, ἀλλ' ὡς ὁ τῆς ἀληθείας ἀπῄτει λόγος. ἐπὶ πολὺ τοίνυν ἡμῶν προκαλουμένων καὶ τῆς συνόδου τῶν ἐπισκόπων προκαλούσης
B αὐτοὺς καὶ λεγούσης· 'ἤλθετε κριθῆναι, διὰ τί τοίνυν ἐλθόντες ὑποποδίζετε; ἐχρῆν γὰρ ὑμᾶς ἢ μὴ ἐλθεῖν ἢ ἐλθόντας μὴ κρύπτεσθαι· τοῦτο γὰρ ὑμῖν φέρει μεγίστην κατάγνωσιν. ἰδοὺ πάρεισιν οἱ περὶ Ἀθανάσιον, οὓς ἀπόντας διεβάλλετε, ἵν', εἴ τι νομίζετε ἔχειν, διελέγξητε τούτους παρόντας, εἰ δὲ μὴ δύνασθε, προσποιεῖσθε δὲ μὴ βούλεσθαι, δῆλοί
4 ἐστε συκοφάνται, καὶ ταύτην ὑμῖν ἡ σύνοδος δώσει τὴν κρίσιν.' οἱ δὲ ταῦτα ἀκούσαντες καὶ καταγινώσκοντες ἑαυτῶν (ᾔδεισαν γὰρ ἃ ἔπραξαν καὶ ἐπλάσαντο καθ' ἡμῶν) ᾐσχύνθησαν ἀπαντῆσαι πολλὴν καὶ ἀπρεπῆ καθ' ἑαυτῶν τὴν συκοφαντίαν ἐλέγξαντες. ἡ τοίνυν ἁγία σύνοδος καταγνοῦσα τῆς ἀπρεποῦς καὶ ὑπόπτου φυγῆς ἐκείνων ἐδέξατο ἡμᾶς

---

1 Das mag auf die Synode von Antiochien 341 gehen, wo die Symbole der Orientalen festgesetzt und Marcells Theologie ausdrücklich abgelehnt wurde, vgl. Schwartz NGG 1911, 504 ff. Die Unruhe in der Kirche bedeutet den Konflikt in Konstantinopel nach Eusebs Tode (s. zu Z. 4). Man versteht die Andeutungen des Athanasius nur, wenn man die von ihm nicht ausdrücklich geschilderten Vorgänge kennt. In Trier wurden 341/2 vor Konstans Verhandlungen geführt, bei denen wohl die Legaten aus Antiochien eine Synode gefordert haben (Athan. de syn. 25 Migne 26, 728 A; apol. ad Const. 4 Migne 25, 601 A). Das traf mit den Absichten der Römer und des Athanasius zusammen (hist. Arian. 15 Migne 25, 709 B). Also Serdika ist alles andere als eine Fortsetzung der römischen Synode 2 In der Sammlung des Theodosius diaconus des Cod. Veron. LX f. 71[b] steht eine wichtige Bemerkung zu der Einberufung der Synode: tunc temporis ingerebantur molestiae imperatoribus synodum conuocare [ut insidiarentur Paulo episcopo Constantinopolitano per suggestionem Eusebii Acacii Theodori Ualentis Stephani et sociorum ipsorum] et congregata est synodus consolatu Constantii [cod.: Constantini] et Constantis [cod.: Constantini] aput Sardicam, vgl. Schwartz NGG 1904, 341. 378; 1911, 516 4 Tod Eusebs Ende 341, denn 342 fand der Aufstand gegen Hermogenes in Konstantinopel statt (Hieronymus chron. 5. J. des Constantius; Euseb Chronik ed. Helm S. 235, 16), vgl. Schwartz ZNW 34, 148 8 Die beiden Comites werden auch hist. Arian. 15 (Migne 25, 709 C) genannt. Die Orientalen hielten nur unter kaiserlichem Protektorat Synoden. Musonianus, Beiname des Flavius Strategius, war ein in den kirchlichen Fragen sehr erfahrener Beamter, der schon 326 bei dem antiochenischen Konflikt Konstantin Dienste geleistet hatte, Euseb VC III 62, 1 (110, 3); vgl. die Vita dieses zu hohen Ämtern gelangten Mannes bei Seeck, Briefe des Libanius S. 282 (TU N. F. 15, 1. 2). Hesychius ist sonst nicht bekannt 9 ff. Vgl. die ähnlichen Auslassungen des Athanasius in dem Schreiben an die alex. Kleriker = Urk. 103 aus Cod. Veron. LX f. 99[b]. 100[a] (Leonis opera III 612 Ballerini). Der Bericht ist im höchsten Maße tendenziös, beruht aber auf den serdicenischen Briefen vgl. S. 115, 30 ff. Athanasius konnte wenig später ganz anders über Serdika berichten s. hist. Arian. 15 f. Vgl. die Darstellung des Ossius bei Athan. hist. Arian. 44 (Migne 25, 745 A) und s. Sokr. II 20, 8. 13 ff. Dieses Referat ist ein Produkt der Rhetorik des Athanasius

---

BKO RE

---

1 οἱ περὶ Εὐσέβιον ἠναισχύντουν ~ K 2 Κώνστας Hss. 3 Σερδῶν B* RE* Σαρδῶν KO, B[c] a. Rd., E[c] 4 πανταχόθεν] πάντοθεν E 5 κοινωνικούς B 8 καστρίσιον BE hist. arian. 15 κανστρίσιον KO καστρήσιον R 9 βούλονται KORE 10 ἐγένετο E 11 ὁ > B 12 προκαλούσης BKO ἀποστελλούσης πρὸς RE 15 διαβάλλετε KRE | νομίζητε B* (-ετε B[c]) RE 15/16 διελέγξηται R 16 βούλεσθε B* -σθαι B[c]

εἰς ἀπολογίαν. διηγησαμένων δὲ ἡμῶν διὰ μαρτύρων καὶ ἀποδείξεων τὰ πραχθέντα 5 C
καθ' ἡμῶν ἐθαύμασαν καὶ ἅπαντες ἐπέγνωσαν ὅτι διὰ τοῦτο | εἰκότως ἐφοβήθησαν τὴν B 155
σύνοδον, ἵνα μὴ εἰς πρόσωπον ἐλεγχθῶσιν, ἔλεγόν τε 'ἴσως νομίζοντες μὴ παραγίνεσθαι
τοὺς περὶ Ἀθανάσιον ἀπήντησαν ἀπὸ τῆς Ἀνατολῆς, ὅπου γε ἰδόντες αὐτοὺς παρρησια-
ζομένους καὶ προκαλουμένους τὴν κρίσιν φεύγουσιν'. ἡμᾶς μὲν οὖν ἀπεδέξαντο ὡς 6
ἀδικηθέντας καὶ μάτην διαβληθέντας καὶ ἐκύρωσαν ἔτι μᾶλλον εἰς ἡμᾶς τήν τε κοινωνίαν
καὶ ἀγάπην, τοὺς δὲ κοινωνοὺς καὶ ἀναιδεστέρους γενομένους τῆς Εὐσεβίου κακουργίας
καθεῖλον, Θεόδωρον ἀπὸ Ἡρακλείας, Νάρκισσον ἀπὸ Νερωνιάδος, Ἀκάκιον ἀπὸ Καισα-
ρείας, Στέφανον ἀπὸ Ἀντιοχείας καὶ Οὐρσάκιον καὶ Οὐάλεντα ἀπὸ Παννονίας καὶ Μηνό-
φαντον ἀπὸ Ἐφέσου καὶ Γεώργιον ἀπὸ Λαοδικείας. καὶ ἔγραψαν τοῖς ἁπανταχοῦ τῆς D
οἰκουμένης ἐπισκόποις καὶ τῇ ἑκάστου τῶν ἀδικηθέντων παροικίᾳ ταῦτα·

Ἐπιστολὴ τῆς ἐν Σαρδικῇ συναχθείσης συνόδου M 312 A

Ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν ἐν Σαρδικῇ συναχθεῖσα ἀπὸ Ῥώμης καὶ Σπανίων 37,1
Γαλλίων Ἰταλίας Καμπανίας Καλαβρίας Ἀπουλίας Ἀφρικῆς Σαρδανίας Παννονίων
Μυσίων Δακίας Νωρίκου Σισκίας Δαρδανίας ἄλλης Δακίας Μακεδονίας Θεσσαλίας
Ἀχαίας Ἠπείρων Θρᾴκης καὶ Ῥοδόπης καὶ Παλαιστίνης καὶ Ἀραβίας καὶ Κρήτης
καὶ Αἰγύπτου πρεσβυτέροις καὶ διακόνοις καὶ πάσῃ τῇ ἁγίᾳ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ ἐν
Ἀλεξανδρείᾳ παροικούσῃ, ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.
Καὶ πρὶν μὲν λαβεῖν ἡμᾶς τὰ γράμματα τῆς εὐλαβείας ὑμῶν οὐκ ἠγνοοῦμεν, ἀλλὰ 2
καὶ φανερὸν ἡμῖν ἦν, ὡς ὅτι οἱ τῆς δυσωνύμου τῶν Ἀρειανῶν αἱρέσεως προστάται πολλὰ B
καὶ δεινά, μᾶλλον δὲ καὶ ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν ψυχῆς ἢ κατὰ τῆς ἐκκλησίας ἐμηχανῶντο.
αὕτη γὰρ ἦν αὐτῶν τέχνη καὶ πανουργία, ταύτης ἀεὶ τῆς θανατηφόρου γεγόνασι προ- 3
θέσεως, ὅπως πάντας τοὺς ὁποιδήποτε τυγχάνοντας τῆς ὀρθῆς δόξης καὶ τὴν τῆς | B 156
καθολικῆς ἐκκλησίας διδασκαλίαν κατέχοντας τὴν παρὰ τῶν πατέρων αὐτοῖς παρα-
δοθεῖσαν σπουδάζειν ἐλαύνειν καὶ διώκειν. τοὺς μὲν γὰρ πλαστοῖς ἐγκλήμασιν ὑπέβαλλον,
ἄλλους εἰς ἐξορισμὸν ἀπέστελλον, ἄλλους ἐν αὐταῖς ταῖς τιμωρίαις κατεπόνουν. ἀμέλει 4
καὶ τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν Ἀθανασίου τὴν καθαρότητα βίᾳ καὶ τυραννίδι
συλλαβέσθαι ἐσπούδασαν, καὶ διὰ τοῦτο οὔτε ἐπιμελὴς οὔτε μετὰ πίστεως οὐθ' ὅλως C
δικαία γέγονεν ἡ παρ' ἐκείνων κρίσις. διόπερ οὐδὲ θαρροῦντες οἷς ἐδραματούργησαν
οὐδὲ οἷς ἐθρύλησαν κατ' αὐτοῦ, ἀλλὰ καὶ θεωροῦντες, ὡς οὐ δύνανται περὶ τούτων ἀπο-
δείξεις ἔχειν ἀληθεῖς, παρόντες εἰς τὴν Σερδῶν πόλιν οὐκ ἠθέλησαν εἰς τὴν σύνοδον πάντων
τῶν ἁγίων ἐπισκόπων ἀπαντῆσαι. ἐκ δὴ τούτου φανερὰ καὶ δικαία καθέστηκεν ἡ 5
κρίσις τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου ἡμῶν Ἰουλίου. οὐ γὰρ ἀσκεπτὶ βεβούλευται, ἀλλὰ
καὶ μετ' ἐπιμελείας ὥρισεν, ὥστε μηδὲ ὅλως διστάσαι περὶ τῆς κοινωνίας τοῦ ἀδελφοῦ

---

5 ff. Die Rezeption des Athanasius s. u. c. 40, 2. 47, 1. Zu den Exkommunikationen vgl. c. 47, 2. 3 12 Der Brief ist nur hier erhalten, wird erwähnt in dem Schreiben der Synode an die Kleriker der Mareotis = Urk. 101 aus Cod. Veron. LX f. 102[a] (Leonis opera III 607). Er ist wohl aus dem Lat. übersetzt, wie S. 115, 23 ὅπως = ut; 116, 1 ἐπισκόπων = lat. gen. part.; 116, 3 = non iudicio, sed ui innisos zeigen 13 ff. Zu der Liste der Provinzen vgl. Feder, Studien zu Hilarius von Poitiers II (Sitzungsber. d. K. Akademie d. Wiss. in Wien. phil.-hist. Kl. 166, 5 S. 64 ff.), vgl. oben S. 87, 16 19 Eine Eingabe der Alexandriner an die Synode kennen wir nicht; wegen S. 116, 1 wird es der Brief oben c. 3 ff. sein, zumal nach S. 121, 19 der Brief der Synode vorlag 32 ff. Das Urteil der römischen Synode wird also übernommen

---

BKO RE

---

7 γενομένους > KO 12 ξα̅ B ν̅β̅ K λε̅ E* λθ̅ BE[c] 14 Καμπανίας — Ἀπουλίας > E | Πανονίων O* (Παννο . . O[c]) 15 Δακίων B | Σισκίας E* Τουσκίας E[c] s. oben c. 1 p. 12, 8 18 ἀδελφοῖς > R 19 a. Rd. μ̅β̅ R 21 καί: B > KORE 31 ἔχειν ἀποδείξεις ~ K | Σαρδῶν KO 34 διστάξαι RE

ἡμῶν Ἀθανασίου. εἶχε γὰρ ἐπισκόπων ὀγδοήκοντα ἀληθεῖς μάρτυρας, εἶχε καὶ τοῦτο
δίκαιον, ὅτι διὰ τῶν ἀγαπητῶν ἀδελφῶν ἡμῶν τῶν πρεσβυτέρων ἑαυτοῦ καὶ διὰ γραμ-
D μάτων μεθώδευσε τοὺς περὶ Εὐσέβιον τοὺς οὐκ ἐπὶ κρίσει, ἀλλ' ἐπὶ βίᾳ μᾶλλον ἐπερειδο-
μένους. ὅθεν οἱ πανταχοῦ πάντες ἐπίσκοποι τὴν κοινωνίαν Ἀθανασίου ἐβεβαίωσαν διὰ
6 τὴν καθαρότητα αὐτοῦ. κἀκεῖνο δὲ ὑμῶν ἡ ἀγάπη συνοράτω. ἐπειδὴ εἰς τὴν ἁγίαν
σύνοδον τὴν ἐν Σαρδικῇ συναχθεῖσαν παρεγένετο, τότε δή, καθὰ προείπομεν, καὶ διὰ
M 313 A γραμμάτων καὶ διὰ ἀγράφων ἐντολῶν ὑπεμνήσθησαν οἱ τῆς Ἑῴας καὶ ἐκλήθησαν | παρ'
ἡμῶν ὥστε παρεῖναι. ἀλλ' ἐκεῖνοι ὑπὸ τῆς συνειδήσεως καταγινωσκόμενοι ἀπρεπέσι
χρώμενοι προφάσεσι φυγοδικεῖν ἤρξαντο. ἠξίουν γὰρ τὸν ἀθῷον ὡς ὑπεύθυνον ἀπὸ τῆς
ἡμετέρας κοινωνίας ἐκβάλλεσθαι οὐ συνορῶντες ὡς ἀπρεπές, μᾶλλον δὲ ἀδύνατον ἦν
7 τοῦτο. καὶ τὰ ὑπομνήματα δὲ τὰ ἐν τῷ Μαρεώτῃ γενόμενα ὑπὸ παμπονήρων καὶ
ἐξωλεστάτων τινῶν νεωτέρων, οἷς οὐκ ἂν τις ἐπίστευσεν οὐδὲ τὸν τυχόντα βαθμὸν τοῦ
κλήρου, συνέστηκε κατὰ μονομέρειαν πεπρᾶχθαι. οὔτε γὰρ ὁ ἀδελφὸς ἡμῶν Ἀθανάσιος
ὁ ἐπίσκοπος οὔτε Μακάριος ὁ πρεσβύτερος ὁ κατηγορούμενος ὑπ' αὐτῶν παρῆν. καὶ
ὅμως ἡ παρ' αὐτῶν ἐρώτησις, μᾶλλον δὲ ὑποβολὴ ἡ γενομένη πάσης αἰσχύνης ἦν μεστή.
B πῇ μὲν γὰρ ἐθνικοί, πῇ δὲ κατηχούμενοι ἠρωτῶντο, οὐχ ἵνα ἅπερ ἴσασιν εἴπωσιν, ἀλλ' ἵνα
8 ἅπερ παρ' αὐτῶν μεμαθήκασι ψεύσωνται. καὶ γὰρ καὶ ὑμῶν τῶν πρεσβυτέρων
φροντιζόντων ἐπὶ τῇ ἀπουσίᾳ τοῦ ὑμετέρου ἐπισκόπου καὶ βουλομένων παρεῖναι ἐπὶ
τῇ ἐξετάσει καὶ τὴν ἀλήθειαν δεῖξαι καὶ τὰ ψευδῆ διελέγξαι οὐδεὶς λόγος γέγονεν· οὐκ
9 ἐπέτρεψαν γὰρ ὑμᾶς παρεῖναι, ἀλλὰ καὶ μεθ' ὕβρεως ἐξέβαλον. καὶ εἰ καὶ τὰ μάλιστα
φανερὰ πᾶσι καθέστηκε καὶ ἐκ τούτων ἡ συκοφαντία, ὅμως ἀναγινωσκομένων τῶν ὑπο-
B 157 μνημάτων | εὕρομεν αὐτὸν τὸν παμπόνηρον Ἰσχύραν τὸν ἐπὶ τῇ συκοφαντίᾳ μισθὸν
παρ' αὐτῶν λαβόντα τὸ δοκοῦν ὄνομα τῆς ἐπισκοπῆς διελέγχοντα ἑαυτοῦ τὴν συκο-
φαντίαν. αὐτὸς γὰρ ὁ Ἰσχύρας ἐν αὐτοῖς τοῖς ὑπομνήμασι διελάλησε κατ' ἐκείνην τὴν
ὥραν, ἐν ᾗ Μακάριον ἐληλυθέναι εἰς τὸ κελλίον ἑαυτοῦ διεβεβαιοῦτο, νοσοῦντα τότε
κατακεῖσθαι ἑαυτόν, καίτοι τῶν περὶ Εὐσέβιον γράψαι τολμησάντων ἑστάναι τότε τὸν
Ἰσχύραν καὶ προσφέρειν, ὅτε Μακάριος ἐπέστη.

38,1 Κἀκείνη δὲ πᾶσι φανερὰ καθέστηκεν ἡ συκοφαντία καὶ διαβολή, ἣν ᾐτιάσαντο
C μετὰ ταῦτα. ἔφασαν γὰρ καὶ κατεβόησαν φόνον δεδρακέναι τὸν Ἀθανάσιον, καὶ [ὡς]
Ἀρσένιόν τινα Μελιτιανὸν ἐπίσκοπον ἀνῃρηκέναι, ἐφ' ᾧ προσποιητῷ στεναγμῷ καὶ

1 Die 80 Zeugen auch im Brief der Synode an Julius von Rom (= Urk. 99; Coll. antiar. Paris. B II 2, 2; CSEL 65, 127, 16), daraus Sulp. Sev. Chron. II 36, 5 (CSEL 1, 89, 24), der es aber auf die alexandrinische Synode von 338 (oben c. 3 ff.) bezieht. Das ist richtig, Athanasius sagt selbst oben S. 87, 11: ἐγγὺς ἑκατόν. Also die Synode in Serdika betrachtet sich selbst als Revisionsinstanz für die alexandrinische von 338 und die römische von 341. Auf Grund dieser Rechtsauffassung hat A. seine Apologie aufgebaut. Die Orientalen haben dem prinzipiell widersprochen, wie das Schreiben der orientalischen Synode zeigt 2 Das sind die Legaten des Athanasius in Rom genau so wie die Kleriker zur Zeit von Tyrus c. 73—76, vgl. S. 108, 2 5 Über die Vorgänge in Serdika vgl. vielmehr die Darstellung der orientalischen Synode in: = Urk. 105; Coll. antiar. Paris. A IV 1 (CSEL 65, 48 ff.) 8 Vgl. oben S. 106, 16 10 Vgl. die Darstellung der Orientalen in Coll. antiar. Paris. A IV 1 c. 18 (CSEL 65, 60, 1 ff.) 11 = S. 107, 15 ff. 12 Die νεώτεροι sind Ursacius und Valens, s. oben S. 97, 28; vgl. Schreiben der Okzidentalen an Constantius 5 = Urk. 98; Coll. antiar. Paris. II B App. (CSEL 65, 184, 7) 16 = S. 108, 10 ff. 17 ff. = S. 107, 20 ff. 21/22 Akten der Kommission 23 Vgl. S. 99, 15 24 f. Wörtlich aus den Akten s. S. 108, 12 ff. 30 Zur Sache des Arsenius vgl. c. 8, 4 und c. 27 S. 107, 13 ff.

BKO RE

2 πρεσβυτέρων] ἐπισκόπων B*, darüber πρεσβυτέρων B^c 5 ἡ ὑμῶν ~ BKO | συνορᾶται E 7 ἐντολὴν RE 7/8 παρ' ἡμῶν ὥστε > BKO 15 ὅμως] οὕτως K 16 ἴσασιν > B*, zugefügt B^c 17 ὑμῶν] ἡμῶν B 20 καὶ¹ > O*, zugefügt O^c 1. Hd. | ὕβρεων K 21 τῶν am Ende der Seite doppelt R*, getilgt R^c 23 ἑαυτοῦ] αὐτοῦ B* ἑαυτοῦ B^c ἑαυτὸν R* ἑαυτοῦ R^c 26 τῶν] τὸν R 29 ἔφθασαν E | [ὡς] Op. 30 Μελιτιανὸν B^c Μελιτινιανον B* ? | προσποιεῖ τῷ R* προσποιείτω R^c

πεπλασμένοις δάκρυσιν ὑπεκρίνοντο καὶ ἠξίουν τοῦ ζῶντος ὡς τεθνηκότος τὸ σῶμα
ἀποδοθῆναι. ἀλλ' οὐκ ἄγνωστα γέγονε τὰ σοφίσματα τούτων. ἔγνωσαν γὰρ ἅπαντες
ζῆν τὸν ἄνθρωπον καὶ ἐν τοῖς ζῶσιν ἐξετάζεσθαι. καὶ ἐπειδὴ ἑώρων ἑαυτοὺς οἱ πρὸς 2
πάντα εὐχερεῖς διελεγχομένους ἐπὶ τοῖς ψεύσμασι τούτοις (αὐτὸς γὰρ ζῶν ὁ Ἀρσένιος
ἐδείκνυεν ἑαυτὸν μὴ ἀνῃρῆσθαι μηδὲ τεθνηκέναι), ὅμως οὐχ ἡσύχασαν, ἀλλ' ἑτέρας συκο-
φαντίας πρὸς ταῖς προτέραις συκοφαντίαις ἐπεζήτουν, ἵνα πάλιν μηχανησάμενοι διαβά-
λωσι τὸν ἄνθρωπον. τί οὖν, ἀγαπητοί; οὐκ ἐταράχθη ὁ ἀδελφὸς ἡμῶν Ἀθανάσιος, 3 D
ἀλλὰ πάλιν πολλῇ παρρησίᾳ χρώμενος προεκαλεῖτο καὶ ἐπὶ τούτοις αὐτούς. καὶ ἡμεῖς δὲ
ηὐχόμεθα καὶ προετρεπόμεθα ἐλθεῖν αὐτοὺς εἰς τὴν κρίσιν καί, εἴπερ δύνανται, διελέγξαι.
ὢ τῆς πολλῆς πλεονεξίας· ὢ τῆς δεινῆς ὑπερηφανίας· μᾶλλον δέ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ὢ
κακῆς καὶ | ὑπευθύνου συνειδήσεως.· τοῦτο γὰρ πᾶσι πεφανέρωται. ὅθεν, ἀγαπητοὶ 4 M 316A
ἀδελφοί, ὑπομιμνήσκομεν καὶ προτρεπόμεθα ὑμᾶς πρὸ πάντων τὴν ὀρθὴν πίστιν τῆς κα-
θολικῆς ἐκκλησίας κατέχειν. πολλὰ μὲν γὰρ καὶ δεινὰ καὶ χαλεπὰ πεπόνθατε, πολλὰς δὲ
ὕβρεις καὶ ἀδικίας ὑπέμεινεν ἡ καθολικὴ ἐκκλησία, ἀλλ' »ὁ ὑπομείνας εἰς τέλος οὗτος σω-
θήσεται«. διόπερ κἂν ἔτι ποιεῖν τολμήσωσι καθ' ὑμῶν, ἡ θλῖψις ἀντὶ χαρᾶς ὑμῖν ἔστω·
τὰ γὰρ τοιαῦτα παθήματα μέρος ἐστὶ μαρτυρίου καὶ αἱ τοιαῦται ὑμῶν ὁμολογίαι καὶ
αἱ βάσανοι οὐκ ἄμισθοι τυγχάνουσιν, ἀλλ' ἀπολήψεσθε παρὰ τοῦ θεοῦ τὰ ἔπαθλα.
διότι μάλιστα ἀγωνίζεσθε ὑπὲρ τῆς ὑγιαινούσης πίστεως καὶ τῆς καθαρότητος τοῦ ἐπι- 5
σκόπου ὑμῶν Ἀθανασίου τοῦ συλλειτουργοῦ ἡμῶν. καὶ γὰρ οὐδὲ ἡμεῖς παρεσιωπή-
σαμεν οὐδὲ ἠμελήσαμεν τῆς ὑμῶν ἀμεριμνίας χάριν, ἀλλ' ἐφροντίσαμεν καὶ πεποιήκαμεν, B
ἅπερ ὁ τῆς ἀγάπης λόγος ἀπαιτεῖ. συμπάσχομεν γὰρ τοῖς πάσχουσιν ἀδελφοῖς ἡμῶν,
καὶ τὰ ἐκείνων παθήματα ἴδια ἡγούμεθα· [καὶ τοῖς δάκρυσιν ὑμῶν τὰ ἡμέτερα δάκρυα
συνεμίξαμεν, οὐχ ὑμεῖς δὲ μόνοι πεπόνθατε, ἀδελφοί, ἀλλὰ καὶ πολλοὶ ἄλλοι συλλειτουργοὶ
ἡμῶν ταῦτα ἐλθόντες ἀπωδύραντο.

Διόπερ] ἀνηνέγκαμεν τοίνυν καὶ ἠξιώσαμεν τοὺς | εὐσεβεστάτους καὶ θεοφιλεστάτους **39, 1** B 158
βασιλέας, ὅπως ἡ φιλανθρωπία αὐτῶν καὶ τοὺς ἔτι κάμνοντας καὶ πιεζομένους ἀνεθῆναι
κελεύσῃ, καὶ προστάξωσι μηδένα τῶν δικαστῶν, οἷς περὶ μόνων τῶν δημοσίων μέλειν
προσήκει, μήτε κρίνειν κληρικοὺς μήτε ὅλως τοῦ λοιποῦ προφάσει τῶν ἐκκλησιῶν ἐπι-
χειρεῖν τι κατὰ τῶν ἀδελφῶν, ἀλλ' ἵνα ἕκαστος χωρίς τινος διωγμοῦ, χωρίς τινος βίας
καὶ πλεονεξίας, ὡς εὔχεται καὶ βούλεται, ζῇ καὶ μεθ' ἡσυχίας καὶ εἰρήνης τὴν καθολικὴν C
καὶ ἀποστολικὴν πίστιν μετέρχηται. Γρηγόριος μέντοι ὁ παρανόμως παρὰ τῶν 2
αἱρετικῶν λεγόμενος κατασταθῆναι καὶ εἰς τὴν ὑμετέραν πόλιν παρ' αὐτῶν ἀποσταλείς,

---

5 Die anderen „Verleumdungen" richteten sich gegen die Wahl des Athanasius s. c. 6, gegen seine Gewalttätigkeiten c. 5 und die Unterschleife c. 18   14 Mt. 10, 22   25 Der Brief an die Kaiser = sog. Liber I. ad Constantium des Hilarius (CSEL 65, 181 ff.); betr. Bitte um Anweisung an die Richter ebenda S. 181, 13 ff.: prouideat et decernat clementia tua, ut omnes ubique iudices, quibus prouinciarum amministrationes creditae sunt, ad quos sola cura et sollicitudo publicorum negotiorum pertinere debet, a religiosa se obseruantia abstineant neque post hac praesumant atque usurpent et putent se causas cognoscere clericorum et innocentes homines uariis afflictationibus, minis, uiolentia, terroribus frangere atque uexare; s. Urk. 98

BKO RE

---

2 ἀποδοῦναι E, a. Rd. ἀποδοθῆναι E | πάντες RE   4 τούτούτοις B   5 μηδὲ] μὴ B   10 τὸ ἀληθὲς ORE   15 ἡμῶν B* ὑμῶν B^c | ἡ > K   18 τῆς καθαρότητος — 19 συλλειτουργοῦ] τοῖς συλλειτουργοῖς E   18 καθαρότης B* καθαρότητος B^c 19 ἡμῶν R* ὑμῶν R^c | ὑμῶν B* ἡμῶν B^c 22 [καὶ[2] — 25 διόπερ] als Randglosse R; da συλλειτουργοί nur paßt, wenn ὑμεῖς Bischöfe sind, ist der Text der Randglosse in R ebenso wie die S. 118, 10 ff. eingeklammerten Stellen dem Synodalschreiben an die ägypt. Bischöfe entnommen, gegen meine Untersuchungen S. 104   22 ἡμῶν E* ὑμῶν E^c | ὑμέτερα B   24 ἀπωδύροντο B   25 τοίνυν RE > BKO | θεοφιλεστάτους B   27 μέλλειν E   31 παρὰ] ὑπὸ KORE

καὶ τοῦτο γὰρ γινωσκέτω ὑμῶν ἡ ὁμοψυχία, ὅτι κρίσει τῆς ἱερᾶς πάσης συνόδου καθῃρέθη, εἰ καὶ τὰ μάλιστα οὐδεπώποτε οὐδὲ ὡς ἐπίσκοπος ὅλως γενόμενος ἐνομίσθη.
3 χαίρετε τοίνυν ἀπολαμβάνοντες ἑαυτῶν τὸν ἐπίσκοπον Ἀθανάσιον· διὰ τοῦτο γὰρ
καὶ μετ' εἰρήνης αὐτὸν ἀπελύσαμεν. ὅθεν καὶ παραινοῦμεν πᾶσι τοῖς ἢ διὰ φόβον ἢ διὰ
περιδρομήν τινων κοινωνήσασι Γρηγορίῳ, ἵνα νῦν ὑπομνησθέντες καὶ προτραπέντες καὶ
ἀναπεισθέντες παρ' ἡμῶν παύσωνται τῆς πρὸς ἐκεῖνον μυσαρᾶς κοινωνίας καὶ λοιπὸν
M 317 A ἑαυτοὺς συνάψωσι τῇ καθολικῇ ἐκκλησίᾳ. |
40,1 Ἐπειδὴ δὲ ἔγνωμεν ὅτι καὶ Ἀφθόνιος καὶ Ἀθανάσιος ὁ Καπίτωνος καὶ Παῦλος καὶ
Πλουτίων οἱ συμπρεσβύτεροι ἡμῶν συσκευὴν καὶ αὐτοὶ πεπόνθασιν ὑπὸ τῶν περὶ Εὐσέβιον,
ὥστε τοὺς μὲν ἐξορισμοῦ πειραθῆναι, τοὺς δὲ καὶ θανάτων ἀπειλὰς διαπεφευγέναι, τούτου
ἕνεκεν καὶ περὶ τούτου δηλῶσαι ὑμῖν ἀναγκαῖον ἡγησάμεθα, ἵνα γινώσκητε ὅτι καὶ
τούτους ἀπεδεξάμεθα καὶ ἀθώους ἀπελύσαμεν εἰδότες ὅτι πάντα τὰ παρὰ τῶν περὶ
Εὐσέβιον κατὰ τῶν ὀρθοδόξων γενόμενα ἐπὶ δόξῃ καὶ συστάσει τῶν συσκευασθέντων
2 ὑπ' αὐτῶν γέγονεν. ἔπρεπε μὲν οὖν τὸν ὑμέτερον ἐπίσκοπον, τὸν συλλειτουργὸν
ἡμῶν Ἀθανάσιον, περὶ αὐτῶν ὡς περὶ ἰδίων ὑμῖν δηλῶσαι, ἐπειδὴ δὲ ὑπὲρ πλείονος
μαρτυρίας καὶ τὴν ἁγίαν σύνοδον ἠθέλησεν ὑμῖν γράψαι, διὰ τοῦτο οὐκ ἀνεβαλλόμεθα,
B ἀλλὰ καὶ σημᾶναι ὑμῖν ἐσπουδάσαμεν, ἵν' ὥσπερ ἡμεῖς οὕτως καὶ ὑμεῖς αὐτοὺς ἀποδέξησθε. ἄξιοι γὰρ καὶ αὐτοὶ ἐπαίνου, ὅτι διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν καὶ αὐτοὶ ἠξιώ-
3 θησαν παρὰ τῶν αἱρετικῶν ὕβριν ὑπομεῖναι. [τίνα δέ ἐστι τὰ παρὰ τῆς ἁγίας συνόδου
δογματισθέντα κατὰ Θεοδώρου καὶ Ναρκίσσου καὶ Στεφάνου καὶ Ἀκακίου καὶ Μηνοφάντου
καὶ Οὐρσακίου καὶ Οὐάλεντος καὶ Γεωργίου, τῶν προισταμένων τῆς ἀρειανῆς αἱρέσεως
καὶ πλημμελησάντων καθ' ὑμῶν καὶ κατὰ τῶν ἄλλων ἐκκλησιῶν, γνώσεσθε ἐκ τῶν ὑπο-
B 159 τεταγμένων. ἀπεστείλαμεν γὰρ | ὑμῖν, ἵνα καὶ ἡ ὑμετέρα θεοσέβεια σύμψηφος τοῖς
παρ' ἡμῶν ὁρισθεῖσι γένηται καὶ ἐκ τούτων γνῶτε ὅτι ἡ καθολικὴ ἐκκλησία οὐ παρορᾷ
τοὺς εἰς αὐτὴν πλημμελοῦντας.]

41 Ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν ἐν Σαρδικῇ συναχθεῖσα τοῖς κατ' Αἴγυπτον
C καὶ Λιβύην ἐπισκόποις καὶ συλλειτουργοῖς, ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.
Καὶ πρὶν μὲν λαβεῖν τὰ γράμματα τῆς εὐλαβείας ὑμῶν . . .

8 Die Presbyter wurden zur Zeit von Tyrus vertrieben, vgl. oben c. 17, 6 S. 100, 16 ff. — Ἀφθόνιος s. S. 153, 7 — Ἀθανάσιος ὁ Καπίτωνος war nach Pap. Lond. 1914 Z. 33 (Bell, Jews and Christians in Egypt S. 59) an dem Versuch beteiligt, den angeklagten Makarius zu befreien. Dabei wurde er gefangengesetzt. | Παῦλος unbekannt 9 Πλουτίων s. S. 153, 11 19 ff. Die Exkommunikationen sind unten c. 47, 2—4 im Synodalschreiben mitgeteilt, worauf sich Z. 22/23 τὰ ὑποτεταγμένα bezieht; dieser Zusammenhang und Z. 23 ἵνα κτλ. beweisen, daß c. 40, 3 zu dem Brief c. 41 an die Bischöfe gehört, die auch das Synodalschreiben c. 42 erhielten

BKO RE

2 εἰ ∸ δὲ O*, getilgt O^c 3 τὸν ἐπίσκοπον ἑαυτῶν ~ K 6 παύσονται R 7 ἑαυτοὺς > KO 8 zu ἐπειδὴ Note a. Rd.: ⋇ ἀπὸ τοῦ σημείου τούτου R, das ist der Anfang der Note zu Z. 19, der zu weit nach oben versetzt ist | ἐπειδὴ] ἐπεὶ B 12 παρὰ] περὶ R* περὰ R^c 13 συστάσει καὶ δόξῃ ~ K 14 μὲν > B 15 ἰδίων ∸ ἰδίοις RE | ὑμῖν ∸ ὑμῖν BO 16 ἀνεβαλόμεθα RE 19 zu ὑπομεῖναι Note a. Rd.: ἔχει κατὰ προσθήκην αὕτη ἡ ἐπιστολὴ τῆς μετ' αὐτῆς ἤγουν τῆς πρὸς πάντας ἐπισκόπους R also dies Stück ist ein Zusatz des (d. h. aus dem) Schreibens an die Bischöfe; tatsächlich paßt nur c. 40, 3 zu diesem 20 Θεοδώρου — 21 Γεωργίου als Note a. Rd. R 20 Ναρκισοῦ E* Ναρκισσοῦ E^c | Μονοφάντου B 23 καὶ ἡ ὑμετέρα — 24 γένηται > R in der Textkolumne, a. Rd. als Note zu 23 ἵνα: εἰς δὲ τὴν ἐπισκόπων ἐπιστολὴν πρόσκειται καὶ τοῦτο· ἵνα καὶ ἡ ὑμετέρα θεοσέβεια σύμψηφος τοῖς παρ' ἡμῖν ὁρισθείση (!) γένηται καὶ γινώσκητε R 24 ἡμῶν] ἡμῖν E | ἐκ τούτων γνῶτε] γινώσκητε E 25 nach πλημμελοῦντας: ἡ αὐτὴ οὖν ἐπιστολὴ ἀπαραλλάκτως κατὰ πάντα ἐγράφη πρὸς τοὺς κατ' Αἴγυπτον καὶ Λιβύην ἐπισκόπους BK 26—119, 3 > BKE 26 a. Rd. μγ̄ R

καὶ διὰ τὸ εἶναι αὐτὴν ἴσην κατὰ πάντα τῆς πρὸ αὐτῆς ἤτοι τῆς πρὸς τὴν ἐκκλησίαν Ἀλεξανδρείας πλὴν τῶν πρὸς τὸ τέλος σεσημιωμένων κατελείφθη ἄγραφος διὰ τὸ μὴ δευτερωθῆναι καὶ τὴν σπουδὴν καὶ τὰ χάρτα

Ἡ ἁγία σύνοδος ἡ κατὰ θεοῦ χάριν ἐν Σαρδικῇ συναχθεῖσα τοῖς ἀπανταχοῦ ἐπι- 42,1
σκόποις καὶ συλλειτουργοῖς τῆς καθολικῆς ἐκκλησίας, ἀγαπητοῖς ἀδελφοῖς, ἐν κυρίῳ B 162
χαίρειν. M 324 B

Πολλὰ μὲν καὶ πολλάκις ἐτόλμησαν οἱ Ἀρειομανῖται κατὰ τῶν δούλων τοῦ θεοῦ 2
τῶν τὴν πίστιν φυλαττόντων τὴν ὀρθήν· νόθον γὰρ ὑποβάλλοντες διδασκαλίαν τοὺς
ὀρθοδόξους ἐλαύνειν ἐπειράθησαν· τοσοῦτον δὲ λοιπὸν κατεπανέστησαν κατὰ τῆς
πίστεως, ὡς μηδὲ τὴν εὐσέβειαν τῶν εὐσεβεστάτων βασιλέων λαθεῖν. τοιγαροῦν 3
τῆς χάριτος τοῦ θεοῦ συνεργούσης καὶ αὐτοὶ οἱ εὐσεβέστατοι βασιλεῖς συνήγαγον ἡμᾶς C
ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων καὶ τὴν ἁγίαν ταύτην σύνοδον ἐν τῇ Σερδῶν πόλει
γενέσθαι δεδώκασιν, ἵνα πᾶσα μὲν διχόνοια περιαιρεθῇ, πάσης δὲ κακοπιστίας ἐξελαθείσης
ἡ εἰς Χριστὸν εὐσέβεια μόνη παρὰ πάντων φυλάττηται. ἦλθον γὰρ καὶ οἱ ἀπὸ τῆς 4
Ἑῴας ἐπίσκοποι προτραπέντες καὶ αὐτοὶ παρὰ τῶν | εὐσεβεστάτων βασιλέων, μάλιστα M 325 A
δι' ἅπερ ἐθρύλουν πολλάκις περὶ τῶν ἀγαπητῶν ἀδελφῶν ἡμῶν καὶ συλλειτουργῶν
Ἀθανασίου ἐπισκόπου τῆς Ἀλεξανδρείας καὶ Μαρκέλλου ἐπισκόπου τῆς Ἀγκυρογα-
λατίας. ἴσως γὰρ καὶ εἰς ὑμᾶς ἔφθασαν αὐτῶν αἱ διαβολαί, ἴσως καὶ τὰς ὑμετέρας ἀκοὰς
ἐπεχείρησαν παρασαλεῦσαι, ἵνα κατὰ μὲν τῶν ἀθῴων ἃ λέγουσι πιστεύσητε, τὴν δὲ τῆς
μοχθηρᾶς αὐτῶν αἱρέσεως ὑπόνοιαν ἐπικρύψωσιν. ἀλλ' οὐκ ἐπὶ πολὺ ταῦτα ποιεῖν
συνεχωρήθησαν. ἔστι γὰρ ὁ προιστάμενος τῶν ἐκκλησιῶν κύριος ὁ ὑπὲρ τούτων καὶ 5
πάντων ἡμῶν θάνατον ὑπομείνας καὶ δι' ἑαυτοῦ τὴν εἰς οὐρανὸν ἄνοδον πᾶσιν ἡμῖν
δεδωκώς. πάλαι μὲν οὖν γραψάντων τῶν περὶ Εὐσέβιον Ἰουλίῳ τῷ συλλειτουργῷ ἡμῶν
τῷ τῆς Ῥωμαίων ἐκκλησίας ἐπισκόπῳ κατὰ τῶν προειρημένων συλλειτουργῶν ἡμῶν, B
λέγομεν δὴ Ἀθανασίου καὶ Μαρκέλλου καὶ Ἀσκληπᾶ, ἔγραψαν καὶ οἱ ἀπὸ τῶν ἄλλων
μερῶν ἐπίσκοποι μαρτυροῦντες μὲν τῇ καθαρότητι τοῦ συλλειτουργοῦ ἡμῶν Ἀθανασίου,
τὰ δὲ παρὰ τῶν περὶ Εὐσέβιον γενόμενα μηδὲν ἕτερον ἢ ψευδῆ καὶ συκοφαντίας εἶναι
μεστά. | καὶ εἰ καὶ τὰ μάλιστα ἐκ τοῦ κληθέντας αὐτοὺς παρὰ τοῦ ἀγαπητοῦ ἡμῶν καὶ 6 B 163
συλλειτουργοῦ Ἰουλίου μὴ ἀπαντῆσαι, καὶ ἐκ τῶν γραφέντων παρὰ τοῦ αὐτοῦ Ἰουλίου
φανερὰ τούτων ἡ συκοφαντία πέφηνεν (ἦλθον γὰρ ἄν, εἴπερ ἐθάρρουν οἷς ἔπραξαν καὶ
πεποιήκασι κατὰ τῶν συλλειτουργῶν ἡμῶν), ὅμως καὶ ἐξ ὧν πεποιήκασιν ἐν ταύτῃ τῇ

4 Vgl. die gesamte Überlieferung im Bd. III. Urk. 95. Das Schreiben ist im Original lateinisch abgefaßt, und ist erhalten: Coll. antiar. Paris. B II 1 (CSEL 65, 103 ff. = Hil.). Eine andere von Athanasius unabhängige Übersetzung ins Griechische überliefert Theodoret h. e. II 8, 1—52 (= Thdt.). Die lateinische Fassung in Cod. Veron. LX f. 81^a ff. (= Ver.) vgl. CSEL 65, 103 ff. ist eine Retroversion aus dem Griechischen ins Lateinische. Thdt. und Ver. haben nach c. 47 noch die Ekthesis der Synode. Athanasius läßt sie fort, da er sich durch die von ihr vertretene theologische Position nicht belasten wollte, vgl. tom. ad. Antiochenos 5

BKO RE

1—3 lautet in O: ἡ δὲ τοιαύτη ἐπιστολὴ κατελείφθη ἄγραφος διὰ τὸ εἶναι ἴση κατὰ πάντα τῇ πρὸ αὐτῆς ἤτοι τῇ πρὸς τὴν ἐκκλησίαν Ἀλεξανδρείας σταλείσῃ ὥστε μὴ δευτερωθῆναι κατὰ τὸ περισσόν   4 a. Rd. ξβ B ν̅γ̅ K μ̅δ̅ R λ̅ϛ̅ E* μ̅α̅ E^c | Überschrift ἄλλη τῆς αὐτῆς συνόδου K | χάριν θεοῦ ~ K | συναχθεῖσα ἐν Σαρδικῇ ~ BK   8 νόθην B^c νόθον B*   10 εὐσέβειαν BKOR religiosam pietatem Hil. εὐλάβειαν E bonitatem Ver. ἀκοὴν Thdt. | εὐσεβεστάτων KORE θεοφιλεστάτων Thdt. piissimorum Ver. εὐλαβεστάτων B clementissimorum Hil. (= φιλανθρωποτάτων ?)   12 Σερδῶν BRE Σαρδῶν KO   13 ἐξελασθείσης RE   16 ἡμῶν ἀδελφῶν ~ K | ἡμῶν > E   19 πιστεύσηται R πιστεύηται Thdt. Ver. | τὴν O^c τῆς O*   20 ὑποκρύψωσι E Thdt. (n), a. Rd. ἐπικρύψωσι E^c 21 τούτων καὶ > O*, nachgetragen O^c 24 ἐκκλησίας > E im Text, a. Rd. E^c 29 μὴ — Ἰουλίου > B

7 ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ φανερωτέραν τὴν ἑαυτῶν συσκευὴν ἀπέδειξαν. ἀπαντή-
C σαντες γὰρ εἰς τὴν Σερδῶν πόλιν, ἰδόντες τοὺς ἀδελφοὺς ἡμῶν Ἀθανάσιον καὶ Μάρκελλον καὶ Ἀσκληπᾶν καὶ τοὺς ἄλλους ἐφοβήθησαν εἰς κρίσιν ἐλθεῖν, καὶ οὐχ ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ καὶ πολλάκις κληθέντες οὐκ ἐπήκουσαν ταῖς κλήσεσι, καίτοι πάντων ἡμῶν ⟨τῶν⟩ συνελθόντων ἐπισκόπων καὶ μάλιστα τοῦ εὐγηροτάτου Ὁσίου τοῦ καὶ διὰ τὸν χρόνον καὶ τὴν ὁμολογίαν καὶ διὰ τὸ τοσοῦτον κάματον ὑπομεμενηκέναι πάσης αἰδοῦς ἀξίου τυγχάνοντος ἀναμενόντων καὶ προτρεπομένων αὐτοὺς εἰσελθεῖν εἰς τὴν κρίσιν, ἵν'
M 328 A ἅπερ ἀπόντων τῶν συλλειτουργῶν ἡμῶν ἐθρύλησαν καὶ ἔγραψαν κατ' αὐτῶν, ταῦτα |
8 παρόντες ἐλέγξαι δυνηθῶσιν. ἀλλ' οὐκ ἦλθον κληθέντες, καθάπερ προείπομεν, δεικνύντες καὶ ἐκ τούτων τὴν συκοφαντίαν ἑαυτῶν καὶ μονονουχὶ τὴν ἐπιβουλὴν καὶ συσκευήν, ἣν πεποιήκασι, βοῶντες διὰ τῆς παραιτήσεως. οἱ γὰρ θαρροῦντες οἷς λέγουσι τούτοις καὶ εἰς πρόσωπον συστῆναι δύνανται. ἐπειδὴ δὲ οὐκ ἀπήντησαν, νομίζομεν λοιπὸν μηδένα ἀγνοεῖν, κἂν ἐκεῖνοι πάλιν κακουργεῖν ἐθέλωσιν, ὅτι μηδὲν ἔχοντες κατὰ τῶν συλλειτουργῶν ἡμῶν ἐλέγξαι, τούτους μὲν διαβάλλουσιν ἀπόντας, παρόντας δὲ φεύγουσιν.

43, 1 Ἔφυγον γάρ, ἀγαπητοὶ ἀδελφοί, οὐ μόνον διὰ τὴν τούτων συκοφαντίαν, ἀλλ' ὅτι καὶ τοὺς ἐπὶ διαφόροις ἐγκαλοῦντας αὐτοῖς ἐθεώρουν ἀπαντήσαντας. δεσμὰ γὰρ ἦν
B καὶ σίδηρα προφερόμενα· ἀπ' ἐξοριστίας ἐπανελθόντες ἄνθρωποι καὶ παρὰ τῶν ἔτι κατεχομένων εἰς ἐξοριστίαν ἐλθόντες ἦσαν συλλειτουργοί, συγγενεῖς καὶ φίλοι δὲ τῶν δι' αὐτῶν ἀποθανόντων παρεγένοντο. καὶ τὸ μέγιστον, ἐπίσκοποι παρῆσαν, ὧν ὁ μὲν τὰ σίδηρα καὶ τὰς ἁλύσεις προέφερεν, ἃς δι' αὐτοὺς ἐφόρεσεν, οἱ δὲ τὸν ἐκ τῆς διαβολῆς
2 αὐτῶν θάνατον ἐμαρτύραντο. εἰς τοσοῦτον γὰρ ἔφθασαν ἀπονοίας, ὡς καὶ ἐπισκόπους ἐπιχειρεῖν ἀνελεῖν, καὶ ἀνεῖλον ἄν, εἰ μὴ ἐξέφυγον τὰς χεῖρας αὐτῶν. †ἀπέθανεν οὖν
B 164 ὁ συλλειτουργὸς ἡμῶν ὁ μακαρίτης | Θεόδουλος φεύγων αὐτῶν τὴν διαβολήν, κεκέλευστο γὰρ ἐκ διαβολῆς αὐτῶν ἀποθανεῖν. ἄλλοι δὲ πληγὰς ξιφῶν ἐπεδείκνυντο, ἄλλοι δὲ λιμὸν
3 ὑπομεμενηκέναι παρ' αὐτῶν ἀπωδύροντο. καὶ ταῦτα οὐχ οἱ τυχόντες ἐμαρτύρουν ἄνθρω-
C ποι, ἀλλ' ἐκκλησίαι ὅλαι ἦσαν, ὑπὲρ ὧν οἱ ἀπαντήσαντες καὶ πρεσβεύοντες ἐδίδασκον στρατιώτας ξιφήρεις, ὄχλους μετὰ ῥοπάλων, δικαστῶν ἀπειλάς, πλαστῶν γραμμάτων ὑποβολάς (ἀνεγνώσθη γὰρ γράμματα τῶν περὶ Θεόγνιον πλαττομένων κατὰ τῶν συλλειτουργῶν ἡμῶν Ἀθανασίου καὶ Μαρκέλλου καὶ Ἀσκληπᾶ, ἵνα καὶ βασιλέας κατ' αὐτῶν κινήσωσι, καὶ ταῦτα ἤλεγξαν οἱ γενόμενοι τότε διάκονοι Θεογνίου), πρὸς τούτων παρθένων γυμνώσεις, ἐμπρησμοὺς ἐκκλησιῶν, φυλακὰς κατὰ τῶν λειτουργῶν, καὶ ταῦτα
M 329 A πάντα δι' οὐδὲν ἕτερον ἢ διὰ τὴν δυσώνυμον αἵρεσιν τῶν Ἀρειομανιτῶν. οἱ γὰρ |
4 παραιτούμενοι τὴν πρὸς τούτους κοινωνίαν ἀνάγκην εἶχον πειρᾶσθαι τούτων. ταῦτα τοίνυν συνορῶντες εἰς στενὸν εἶχον τὰ τῆς προαιρέσεως· ᾐσχύνοντο μὲν γὰρ ὁμολογεῖν ἃ δεδράκασι, διὰ δὲ τὸ μὴ δύνασθαι λοιπὸν ταῦτα κρύπτεσθαι ἀπήντησαν εἰς τὴν Σερδῶν πόλιν, ἵνα διὰ τῆς ἀφίξεως ὑπόνοιαν ὡς μὴ πλημμελήσαντες δόξωσιν ἀποφέρεσθαι.

---

5 εὐγηροτάτου, darauf spielt Severus v. Antiochien an: Select letters II 2 (p. 230 Brooks), und V 4 (p. 322)

BKO RE

---

2 Σερδῶν BORE Σαρδῶν K 5 ⟨τῶν⟩ Schw. vgl. qui Hil. 13 ἐθέλουσι E* 16 αὐτοῖς] αὐτοὺς B* αὐτοῖς B^c 18 συλλειτουργοί, συγγενεῖς Op. συλλειτουργοὶ συγγενεῖς· Hss. 20 περιέφερεν B 21 ἐμαρτύρατο E* ἐμαρτύραντο E^c 22 ἀπέθανεν KORE > B, mit ἀπέθανεν ist decessit Hil. falsch übersetzt, da Theodul von Traianopolis (Thrakien) nicht gestorben ist (vgl. Athan. de fuga 3, 4; S. 70, 7 u. hist. Arian. 19; M 25, 716 A), sondern nur zum Tode verurteilt war. Dem entzog er sich durch die Flucht: decessit .. fugiens Hil. Thdt. gibt decessit richtig mit ἀνέστη (venit Cass.) wieder, Ver. macht daraus: surrexit, also darf man in ἀπέθανεν eine Korrektur des A. erkennen. Nach Ausweis der Listen war Theodul nicht in Serdika; die Synode führt ihn als besonders eindringliches Beispiel für das Vorgehen seitens des Kaisers und der orientalischen Bischöfe an 22/23 ὁ οὖν ~ B 24 αὐτὸν BO 25 ταῦτα + μὲν KO 28 τῶν + Rasur ca. 5 Buchst., συλλειτ. a. Rd. B 30 Διογνίου R 33 πειρασθῆναι B πειραθῆναι B* (?) Thdt. 35 λοιπὸν + ἔτι RE Thdt. | Σερδῶν BORE Σαρδῶν K

ἰδόντες δὲ τοὺς παρ' αὐτῶν συκοφαντηθέντας καὶ τοὺς παρ' αὐτῶν παθόντας, τοὺς 5
κατηγόρους, τοὺς ἐλέγχους πρὸ ὀφθαλμῶν ἔχοντες ἐλθεῖν οὐκ ἐβούλοντο κληθέντες, καίτοι
τῶν συλλειτουργῶν ἡμῶν Ἀθανασίου καὶ Μαρκέλλου καὶ Ἀσκληπᾶ πολλῇ τῇ παρρησίᾳ
χρωμένων, ἀποδυρομένων καὶ ἐπικειμένων καὶ προκαλουμένων αὐτοὺς καὶ ἐπαγγελ-
λομένων μὴ μόνον ἐλέγχειν τὴν συκοφαντίαν, ἀλλὰ καὶ δεικνύναι, ὅσα κατὰ τῶν ἐκκλη- B
σιῶν αὐτῶν ἐπλημμέλησαν. οἱ δὲ τοσούτῳ φόβῳ τοῦ συνειδότος κατεσχέθησαν, ὡς 6
φεύγειν αὐτοὺς καὶ διὰ τῆς φυγῆς τὴν συκοφαντίαν ἑαυτῶν ἐλέγξαι καὶ ἅπερ ἐπλημ-
μέλησαν, διὰ τὸν δρασμὸν ὁμολογῆσαι.

Εἰ καὶ τὰ μάλιστα τοίνυν οὐ μόνον ἐκ τῶν προτέρων, ἀλλὰ καὶ ἐκ τούτων αὐτῶν 44, 1
ἡ κακοτροπία δείκνυται καὶ συκοφαντία, ὅμως ἵνα μηδὲ ἐκ τῆς φυγῆς πρόφασίν τινα
ἑτέρας κακουργίας πορίσασθαι δυνηθῶσιν, ἐσκεψάμεθα κατὰ τὸν τῆς ἀληθείας λόγον
τὰ παρ' ἐκείνων δραματουργηθέντα ἐξετάσαι. καὶ τοῦτο προθέμενοι εὕρομεν αὐτοὺς 2
καὶ ἐκ τῶν πραχθέντων συκοφάντας καὶ μηδὲν ἕτερον ἢ ἐπιβουλὴν κατὰ τῶν συλλειτουρ-
γῶν ἡμῶν πεποιηκότας. ὃν γὰρ ἔλεγον παρὰ Ἀθανασίου πεφονεῦσθαι Ἀρσένιον, οὗτος C
ζῇ καὶ ἐν τοῖς ζῶσιν ἐξετάζεται· ἀπὸ δὲ τούτου καὶ τὰ περὶ τῶν ἄλλων θρυληθέντα παρ'
αὐτῶν φαίνεται πλάσματα. ἐπειδὴ δὲ καὶ περὶ ποτηρίου ἐθρύλουν, ὡς θλασθέντος παρὰ
Μακαρίου τοῦ πρεσβυτέρου Ἀθανασίου, ἐμαρτύρησαν μὲν οἱ παραγενόμενοι ἀπὸ τῆς
Ἀλεξανδρείας καὶ Μαρεώτου | καὶ τῶν τόπων, ὅτι μηδὲν τούτων πέπρακται. καὶ 3 B 165
οἱ ἐπίσκοποι δὲ γράφοντες οἱ ἀπὸ τῆς Αἰγύπτου πρὸς Ἰούλιον τὸν συλλειτουργὸν ἡμῶν
ἱκανῶς διεβεβαιοῦντο μηδὲ ὑπόνοιαν ὅλως τοιαύτην ἐκεῖ γεγενῆσθαι. ἄλλως τε ἃ λέ-
γουσιν ὑπομνήματα ἔχειν κατ' αὐτοῦ, κατὰ μονομέρειαν συνέστηκε γεγενῆσθαι. καὶ 4
ὅμως καὶ ἐν τοῖς ὑπομνήμασι τούτοις ἐθνικοὶ καὶ κατηχούμενοι ἠρωτῶντο, ἐξ ὧν εἷς κατη- D
χούμενος ἐρωτώμενος ἔφασκεν ἔνδον εἶναι, ὅτε ὁ | Μακάριος ἐπέστη τῷ τόπῳ, καὶ ἕτερος M 332 A
ἐρωτώμενος ἔλεγε τὸν θρυλούμενον παρ' αὐτῶν Ἰσχύραν νοσοῦντα τότε κατακεῖσθαι
ἐν κελλίῳ, ὡς ἀπὸ τούτου φαίνεσθαι μηδόλως γεγενῆσθαί τι τῶν μυστηρίων διὰ τὸ τοὺς
κατηχουμένους ἔνδον εἶναι καὶ τὸν Ἰσχύραν μὴ παρεῖναι, ἀλλὰ νοσοῦντα κατακεῖσθαι.
καὶ γὰρ καὶ αὐτὸς ὁ παμπόνηρος Ἰσχύρας ψευσάμενος ἐπὶ τῷ εἰρηκέναι κεκαυκέναι τὸν 5
Ἀθανάσιόν τινα τῶν θείων βιβλίων καὶ διελεγχθεὶς ὡμολόγησε κατ' ἐκεῖνο καιροῦ νοσεῖν,
ὅτε Μακάριος παρῆν, καὶ κατακεῖσθαι, ὡς καὶ ἐκ τούτου συκοφάντην αὐτὸν εἶναι. ἀμέλει
τῆς συκοφαντίας ταύτης μισθὸν αὐτῷ τῷ Ἰσχύρᾳ δεδώκασιν ἐπισκοπῆς ὄνομα τῷ μηδὲ
πρεσβυτέρῳ τυγχάνοντι. ἀπαντήσαντες γὰρ δύο πρεσβύτεροι σὺν Μελιτίῳ ποτὲ 6
γενόμενοι, ὕστερον δὲ ὑπὸ τοῦ μακαρίτου Ἀλεξάνδρου τοῦ γενομένου ἐπισκόπου Ἀλε- B
ξανδρείας δεχθέντες καὶ νῦν σὺν Ἀθανασίῳ ὄντες ἐμαρτύρησαν μηδεπώποτε τοῦτον πρεσ-
βύτερον Μελιτίου γεγενῆσθαι μηδὲ ὅλως ἐσχηκέναι Μελίτιον εἰς τὸν Μαρεώτην ἐκκλη-
σίαν ἢ λειτουργόν, καὶ ὅμως τὸν μηδὲ πρεσβύτερον τυγχάνοντα νῦν ὡς ἐπίσκοπον ἤγαγον,
ἵνα τῷ ὀνόματι τούτῳ δόξωσι τῇ συκοφαντίᾳ καταπλήττειν τοὺς ἀκούοντας.

Ἀνεγνώσθη δὲ καὶ τὸ σύγγραμμα τοῦ συλλειτουργοῦ Μαρκέλλου καὶ ηὑρέθη τῶν 45, 1
περὶ Εὐσέβιον ἡ κακοτεχνία. ἃ γὰρ ὡς ζητῶν ὁ Μάρκελλος εἴρηκε, ταῦτα ὡς ὁμολογούμενα
διαβεβλήκασιν. ἀνεγνώσθη γοῦν τὰ ἑξῆς καὶ τὰ πρὸ αὐτῶν τῶν ζητημάτων, καὶ ὀρθὴ

BKO RE

6 ἐπλημμέλησαν Thdt. Montf. = conmiserant Hil. deliquerint Ver. ἐκοινώνησαν BKORE falsch 7 φυγεῖν B Thdt. | αὐτῶν B* (ἑαυτῶν B^c) E Thdt. 12 προσθέμενοι E 16 θλασθέντος BKO κλασθέντος RE Thdt. 17/18 ἀπὸ τ. Α. καὶ Μαρεώτου καὶ τῶν τόπων BKORE Thdt. (rz) de Alexandriae et Mareotae locis ipsis Ver. ex Alexandria de eodem loco Hil. ἀπὸ — καὶ τῶν λοιπῶν τόπων Thdt. (A B, τόπων > B, τῶν ἄλλων τ. T) 18 πέπρακτο K 19 γραφέντες K 21 συνέστη RE 23 ὁ > RE 28 διελεγχθεὶς Valois nach: ad hoc convictus confiteri coepit Hil. διηλέγχθαι BKOE διηλέχθαι R διαψεύσασθαι Thdt. et in hoc suum mendacium demonstravit, nam confessus est Ver. διαλεγχθεὶς ψευσάμενος Parmentier vgl. oben S. 108, 26. Ob [καὶ] διελεγχθεὶς? 36 τούτῳ + ἀγάγωσι B*, exp. B^c

ἡ πίστις τοῦ ἀνδρὸς εὑρέθη. οὔτε γὰρ ἀπὸ τῆς ἁγίας Μαρίας, ὡς αὐτοὶ διεβεβαιώσαντο,
C ἀρχὴν ἐδίδου τῷ τοῦ θεοῦ λόγῳ οὔτε τέλος ἔχειν τὴν βασιλείαν αὐτοῦ, ἀλλὰ καὶ τὴν
2 βασιλείαν ἄναρχον καὶ ἀτελεύτητον εἶναι τὴν τούτου ἔγραψε. καὶ Ἀσκληπᾶς δὲ ὁ
συλλειτουργὸς προήνεγκεν ὑπομνήματα γενόμενα ἐν Ἀντιοχείᾳ παρόντων τῶν κα-
τηγόρων καὶ Εὐσεβίου τοῦ ἀπὸ Καισαρείας· καὶ ἐκ τῶν ἀποφάσεων τῶν δικασάντων ἐπι-
B 166 3 σκόπων ἔδειξεν ἑαυτὸν ἀθῷον εἶναι. | εἰκότως οὖν, ἀγαπητοὶ ἀδελφοί, καλούμενοι
πολλάκις οὐχ ὑπήκουσαν, εἰκότως ἔφυγον. ὑπὸ γὰρ τοῦ συνειδότος ἐλαυνόμενοι φυγῇ
τὰς συκοφαντίας ἑαυτῶν ἐβεβαίωσαν καὶ πιστευθῆναι κατ' αὐτῶν πεποιήκασιν, ἃ παρ-
4 όντες οἱ κατηγοροῦντες ἔλεγον καὶ ἐπεδείκνυον. ἔτι τοίνυν πρὸς τούτοις πᾶσι καὶ
D τοὺς πάλαι καθαιρεθέντας καὶ ἐκβληθέντας διὰ τὴν Ἀρείου αἵρεσιν οὐ μόνον ἐδέξαντο,
ἀλλὰ καὶ εἰς μείζονα βαθμὸν προήγαγον, διακόνους μὲν εἰς πρεσβυτέριον, ἀπὸ δὲ πρεσβυ-
M 333 A τέρων εἰς ἐπισκόπους, | δι' οὐδὲν ἕτερον ἢ ἵνα τὴν ἀσέβειαν διασπεῖραι καὶ πλατῦναι
δυνηθῶσι καὶ τὴν εὐσεβῆ διαφθείρωσι πίστιν.

46, 1 Εἰσὶ δὲ τούτων μετὰ τοὺς περὶ Εὐσέβιον νῦν ἔξαρχοι Θεόδωρος ὁ ἀπὸ Ἡρακλείας,
Νάρκισσος ὁ ἀπὸ Νερωνιάδος τῆς Κιλικίας, Στέφανος ὁ ἀπὸ Ἀντιοχείας, Γεώργιος ὁ
ἀπὸ Λαοδικείας, Ἀκάκιος ὁ ἀπὸ Καισαρείας τῆς Παλαιστίνης, Μηνόφαντος ἀπὸ Ἐφέσου
τῆς Ἀσίας, Οὐρσάκιος ὁ ἀπὸ Σιγγιδόνου τῆς Μυσίας, Οὐάλης ἀπὸ Μουρσῶν τῆς Παν-
2 νονίας. καὶ γὰρ οὗτοι τοὺς σὺν αὐτοῖς ἐλθόντας ἀπὸ τῆς Ἑῴας οὐκ ἐπέτρεπον οὔτε
εἰς τὴν ἁγίαν σύνοδον εἰσελθεῖν οὔτε ὅλως εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ παραβάλλειν.
καὶ ἐρχόμενοι δὲ εἰς τὴν Σερδικὴν κατὰ τόπους συνόδους ἐποιοῦντο καθ' ἑαυτοὺς καὶ
B συνθήκας μετὰ ἀπειλῶν, ὥστε ἐλθόντας αὐτοὺς εἰς τὴν Σερδικὴν μηδὲ ὅλως εἰς τὴν κρίσιν
ἐλθεῖν μηδ' ἐπὶ τὸ αὐτὸ συνελθεῖν τῇ ἁγίᾳ συνόδῳ, ἀλλὰ μόνον ἐλθόντας καὶ ἀφοσιώσει
3 τὴν ἐπιδημίαν ἑαυτῶν ἐπιδειξαμένους ταχέως φυγεῖν. ταῦτα γὰρ γνῶναι δεδυνήμεθα
παρὰ τῶν συλλειτουργῶν ἡμῶν Ἀρείου ἀπὸ Παλαιστίνης καὶ Ἀστερίου ἀπὸ Ἀρα-
βίας τῶν ἐλθόντων σὺν αὐτοῖς καὶ ἀναχωρησάντων ἀπὸ τῆς ἀπιστίας αὐτῶν. οὗτοι
γὰρ ἐλθόντες εἰς τὴν ἁγίαν σύνοδον τὴν μὲν βίαν ἣν ἔπαθον ἀπωδύραντο, οὐδὲν δὲ παρ'
αὐτοῖς ὀρθὸν ἔλεγον πράττεσθαι, προστιθέντες καὶ τοῦτο ὡς ἄρα εἶεν ἐκεῖ πολλοὶ τῆς
ὀρθῆς ἀντιποιούμενοι δόξης καὶ κωλυόμενοι παρ' αὐτῶν ἐλθεῖν ἐνταῦθα διὰ τὸ ἀπειλεῖν
καὶ ἐπαγγέλλεσθαι κατὰ τῶν βουλομένων ἀναχωρεῖν ἀπ' αὐτῶν. τούτου γοῦν ἕνεκα
καὶ ἐν ἑνὶ οἴκῳ πάντας μεῖναι ἐσπούδασαν μηδὲ τὸ βραχύτατον ἰδιάζειν αὐτοὺς ἐπι-
τρέψαντες.

47, 1 Ἐπεὶ οὖν οὐκ ἔδει παρασιωπῆσαι οὐδὲ ἀνεκδιηγήτους ἐᾶσαι τὰς συκοφαντίας,
C τὰ δεσμά, τοὺς φόνους, τὰς πληγάς, τὰ περὶ τῶν πλαστῶν ἐπιστολῶν, τὰς αἰκίας,
τὰς γυμνώσεις τῶν παρθένων, τὰς ἐξοριστίας, τὰς καταλύσεις τῶν ἐκκλησιῶν, τοὺς
ἐμπρησμούς, τὰς μεταθέσεις ἀπὸ μικρῶν πόλεων εἰς μείζονας παροικίας, καὶ πρό γε
B 167 πάντων, τὴν κατὰ τῆς ὀρθῆς πίστεως ἐπαναστᾶσαν | δυσώνυμον ἀρειανὴν αἵρεσιν δι'
αὐτῶν, τούτου ἕνεκεν τοὺς μὲν ἀγαπητοὺς ἀδελφοὺς ἡμῶν καὶ συλλειτουργοὺς Ἀθανά-

---

BKO RE

---

2 τοῦ > B 6 εἰκότως — 9 ἐπεδείκνυον > E 9 ἀπεδείκνυον K | ἔτι Thdt. ἐπεὶ Ath. quid Hil. qui Ver. = τί? 11 πρεσβυτερεῖον R*E (-ριον R^c) 13 πίστιν διαφθείρωσι ~ E 14 μετὰ τούτων ~ R* τούτων μετὰ R^c 16 Μηνόφαντος + ὁ K 17 Μουρσῶν] Μαρσῶν KO* Μουρσῶν O^c 18 ἐπέτρεπον] ἔπρεπεν E* ἐπέτρεπον E^c 20 Σερδικὴν RE Σαρδικὴν BKO | καθ' BKO πρὸς RE Thdt. inter se Hil. Ver. 21 εἰσελθόντας E | Σερδικὴν RE Σαρδικὴν BKO 23 ἐπιδημίαν BKO Thdt. praesentiam Hil. adventum Ver. ἀποδημίαν RE 24 Ἀρείου = Ario Hil. vgl. hist. Arian. 15, 4 Μακαρίου BKORE Thdt. Ver. falsch | Ἀρραβίας KO 26 ἀπωδύροντο B 30 ἐν > K 33 τὰ² Op. τὰς BKORE falsas epistulas Hil. Ver. τὰς περὶ τῶν πλαστῶν ἐπιστολῶν συσκευάς Montf. Thdt. 37 ἡμῶν ἀδελφοὺς ~ K | συλλειτουργοὺς + ἡμῶν E

σιον καὶ Μάρκελλον καὶ Ἀσκληπᾶν καὶ τοὺς σὺν αὐτοῖς συλλειτουργοῦντας τῷ κυρίῳ
ἀθώους καὶ καθαροὺς εἶναι ἀπεφηνάμεθα γράψαντες καὶ εἰς τὴν ἑκάστου παροικίαν, ὥστε
γινώσκειν ἑκάστης ἐκκλησίας τοὺς λαοὺς τοῦ ἰδίου | ἐπισκόπου τὴν καθαρότητα καὶ M 336 A
τοῦτον μὲν ἔχειν ἐπίσκοπον καὶ προσδοκᾶν, τοὺς δὲ εἰς τὰς ἐκκλησίας αὐτῶν ἐπελ- 2
θόντας δίκην λύκων, Γρηγόριον τὸν ἐν Ἀλεξανδρείᾳ, Βασίλειον τὸν ἐν Ἀγκύρᾳ καὶ Κυιν-
τιανὸν τὸν ἐν Γάζῃ τούτους μηδὲ ἐπισκόπους ὀνομάζειν μηδὲ ὅλως κοινωνίαν τινὰ πρὸς
αὐτοὺς ἔχειν μηδὲ δέχεσθαί τινα παρὰ τούτων γράμματα μηδὲ γράφειν πρὸς αὐτούς.
τοὺς δέ γε περὶ Θεόδωρον καὶ Νάρκισσον καὶ Ἀκάκιον καὶ Στέφανον καὶ Οὐρσάκιον καὶ 3
Οὐάλεντα καὶ Μηνόφαντον καὶ Γεώργιον, εἰ καὶ φοβηθεὶς μὴ παρεγένετο ἀπὸ τῆς Ἑῴας,
ὅμως διὰ τὸ ἀπὸ τοῦ μακαρίτου Ἀλεξάνδρου καθῃρῆσθαι αὐτὸν καὶ διὰ τὸ εἶναι καὶ
αὐτὸν καὶ τούτους τῆς Ἀρείου μανίας καὶ διὰ τὰ ἐπενεχθέντα αὐτοῖς ἐγκλήματα τούτους
παμψηφὶ καθεῖλεν ἡ ἁγία σύνοδος ἀπὸ τῆς ἐπισκοπῆς. καὶ ἐκρίναμεν μὴ μόνον αὐτοὺς 4 B
ἐπισκόπους μὴ εἶναι, ἀλλὰ μηδὲ κοινωνίας μετὰ τῶν πιστῶν αὐτοὺς καταξιοῦσθαι. τοὺς
γὰρ χωρίζοντας τὸν υἱὸν καὶ ἀπαλλοτριοῦντας τὸν λόγον ἀπὸ τοῦ πατρὸς χωρίζεσθαι
τῆς καθολικῆς ἐκκλησίας προσήκει καὶ ἀλλοτρίους εἶναι τοῦ Χριστιανῶν ὀνόματος.
ἔστωσαν τοίνυν ὑμῖν ἀνάθεμα διὰ τὸ »κεκαπηλευκέναι τὸν λόγον« τῆς ἀληθείας· ἀποστο- 5
λικόν ἐστι παράγγελμα· »εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ᾽ ὃ παρελάβετε, ἀνάθεμα
ἔστω«. τούτοις μηδένα κοινωνεῖν παραγγείλατε· »οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς
σκότος«. τούτους πάντας μακρὰν ποιεῖτε· »οὐδεμία γὰρ συμφωνία Χριστῷ πρὸς Βε-
λίαρ«. καὶ φυλάξασθε, ἀγαπητοί, μήτε γράφειν πρὸς αὐτοὺς μήτε γράμματα παρ᾽ 6 C
αὐτῶν δέχεσθαι. σπουδάσατε δὲ μᾶλλον καὶ ὑμεῖς, ἀδελφοὶ καὶ συλλειτουργοί, »ὡς τῷ
πνεύματι παρόντες« τῇ συνόδῳ ἡμῶν συνεπιψηφίσασθαι δι᾽ ὑπογραφῆς ὑμετέρας ὑπὲρ
τοῦ παρὰ πάντων τῶν πανταχοῦ συλλειτουργῶν τὴν ὁμοφωνίαν διασῴζεσθαι. ἡ θεία
πρόνοια καθωσιωμένους ὑμᾶς καὶ εὐθυμοῦντας διαφυλάττοι, | ἀγαπητοὶ ἀδελφοί. Ὅσιος M 337 A
ἐπίσκοπος ὑπέγραψα, καὶ | οὕτω πάντες. B 168

Ταῦτα γράψασα ἡ ἐν Σαρδικῇ σύνοδος ἀπέστειλε καὶ πρὸς τοὺς μὴ δυνηθέντας **48, 1**
ἀπαντῆσαι, καὶ γεγόνασι καὶ αὐτοὶ σύμψηφοι τοῖς κριθεῖσι. τῶν δὲ ἐν τῇ συνόδῳ γρα-
ψάντων καὶ τῶν ἄλλων ἐπισκόπων τὰ ὀνόματά ἐστι τάδε·
1 Ὅσιος ἀπὸ Σπανίας 2

---

5 Vgl. Mt. 7, 15; Acta 20, 29 16 II. Cor. 2, 17 17 Gal. 1, 9 18 II. Cor. 6, 14 19 II. Cor. 6, 15 21 I. Cor. 5, 3 29 Die folgenden Namen zerfallen in zwei Gruppen: 1. Die Namen der Bischöfe, die die Beschlüsse zugunsten des Athanasius auf der Synode von Serdica herbeigeführt haben, nr. 1—78. 2. Die Namen der Bischöfe, die später den Dekreten beigetreten sind, nr. 79—284. S. 132, 7 sagt Athanasius, die Zahl der Bischöfe, die sich für ihn erklärten, sei im Ganzen 344 (vgl. Athan. hist. Arian. 28; Migne 25, 725 A: πλείους ἦσαν υ΄), davon hätten schon 63 aus Asia, Phrygia und Isauria vor der Synode ihr Votum abgegeben, das ergäbe für die Liste 281 Namen; dazu müßten aber Ossius auf S. 123, 24 und die römischen Legaten nr. 2 hinzugerechnet werden.
Die Namen von Serdica, nr. 1—78, sind in dieser Vollständigkeit, leider ohne die Sitze, nur hier überliefert. Alle anderen Listen enthalten nur einen Teil der Teilnehmer an der okzidentalischen Synode, haben aber den Vorteil, daß in ihnen die Sitze angegeben sind. Nach Athanasius hist. Arian. 15 (Migne 25, 709 B) waren zuerst etwa 170 Bischöfe anwesend; die sich separierenden Orientalen zählten nach eigenem Zeugnis (CSEL 65, 58, 26) 80 Namen; 73 enthält ihre Liste (CSEL 65, 74 ff.). Mithin blieben unter Ossius etwa

---

BKO RE

4/5 ἐπανελθόντας E 5 Γρηγόριον > R im Text, a. Rd. nachgetr. 8 Οὐσάκιον B 10 καθαιρεθῆναι B 14 γὰρ] δὲ B | ἀπαλλοτριώτας O* ἀπαλλοτριοῦντας O^c 17 ἐστι + τὸ B 19 τούτους Thdt. Hil. τούτων BKORE | πάντας RE Thdt. Hil. Ver. πάντες BKO 21 δέχεσθε O 22 παρόντες] συνόντες B | συνεψηφίσασθαι RE* (συνεπιψ. E^c) | ἡμετέρας O* 25 ἔγραψε E 28 τάδε B ταῦτα KORE

2 Ἰούλιος Ῥώμης δι' Ἀρχιδάμου καὶ Φιλοξένου πρεσβυτέρων
3 Πρωτογένης Σερδικῆς
4 Γαυδέντιος
5 Μακεδόνιος
6 Σεβῆρος
7 Πραιτέξτατος
8 Οὐρσίκιος
9 Λούκιλλος
10 Εὐγένιος
11 Βιτάλιος
12 Καλεπόδιος
13 Φλωρέντιος
14 Βάσσος
15 Βικέντιος
16 Στερκόριος
17 Παλλάδιος
18 Δομιτιανός
19 Χαλβῆς

90. Die Zahl wird erreicht, wenn man zu obenstehender Liste noch diejenigen Namen hinzurechnet, die nur in den kürzeren Listen überliefert sind. Die Liste hier kommt am nächsten der in Cod. Veron. LX f. 94b—99a ausradierten; sie hat wohl gegen 100 Namen umfaßt (Turner, Monumenta I 2, 3 S. XII). Doch durch die vorliegende griechische Liste wird der Verlust einigermaßen ausgeglichen, besonders wenn man sie mit der ausgezeichneten alexandrinischen Überlieferung (Schwartz, Zeitschr. f. neutest. Wiss. 35 [1936] 1 ff.) in den Listen zu Briefen der Synode im Cod. Veron. LX f. 102^aff. (= s) und f. 103^aff. (= a) verbindet. Hilarius hat eine Liste überliefert (CSEL 65, 132ff.), die vielleicht zu dem Briefe der Synode an Julius von Rom (a. a. O. S. 126ff.) gehört (= H). Der Verfasser der Kanonessammlung der sog. Prisca hat etwa unter Papst Gelasius (Schwartz, Savigny-Zeitschr. f. Rechtsgesch. 56. Bd. Kan. Abt. 25 [1936] 108) Hilarius' Liste hinter die Kanones von Serdica eingefügt (Schwartz a. a. O. 97); aus der Prisca sind die Namen in jüngere Sammlungen gelangt und von Turner, Monumenta I 545ff. herausgegeben (= P). Diese Ausgabe, die am besten auch die Liste aus Cod. Armament. 483, d. h. Hilarius wiedergibt, ist den folgenden Angaben zugrunde gelegt. Die Nummern aus dem Veron. LX beziehen sich auf meine Ausgabe. Nur in den beiden Listen des Veron. LX finden sich Namen über Athanasius hinaus; Hilarius' Namen begegnen alle bei Athanasius. S. 123, Z. 29: 1 Ossius ab Spania Cordubensis H 1. O. war Vorsitzender der Synode, vgl. Can. I 2 Der römische Bischof wurde durch die Presbyter Archidamus und Philoxenus sowie den Diakon Leo vertreten, a 20. 21. 22 und Coll. antiar. Paris. B II 2, 2 (CSEL 65, 127, 8ff.). Wie in den nicänischen Listen stehen die päpstlichen Legaten an erster Stelle nach dem Vorsitzenden 3 Protogenes a Dacia (acacia cod.) de Serdica H 16, a 1 ohne Sitz, folgt als Bischof des Ortes der Synode 4 Gaudentius a Dacia de Naiso H 32, G. naisitanus a 23, vgl. Can. III, VII 5 Macedonius a Dardania de ulpianis H 35, M. lypianensis a 40 6 Seuerus ab Italia de Rauennensi H 49, ohne Sitz s 23, sc. Italia annonaria 7 Praetextatus ab Spaniis de Barcilona H 6, P. de Narcidono Pann a 27 8 Ursacius ab Italia de Brixa H 50, U. Brixensis a 44 9 Lucius ab Italia de Uerona H 20, L. de Uerona a 32 Nach Athan. apol. ad Const. 3 (Migne 25, 600 B) ist der richtige Name: Lucillus 10 Eugenius de He⟨ra⟩clea Lyncesti (Lynchis cod.) a 33 so richtig, aber Euagrius a Macedonia de ⟨H⟩eraclialeneo (Heraclianopolim P) H 21. Nach Hierocles, Synecdemus 639, 1 ist gemeint: Ἡρακλεία Λύγκου (Λαούκου cod.) in Macedonia I. Der Eugenius ohne Sitz a 7 ist ein andrer 11 Uitalis a Dacia ripensi de Aquis H 28, ohne Sitz s 21 12 Calepodius a Campania H 45, ohne Sitz a 13, C. neapolitanus legatus sanctae ecclesiae romanae P 2c ist falsche Konjektur des Verfassers der Prisca. Bischof von Neapel ist nach dem Schreiben der Orientalen in Serdica Fortunatus (CSEL 65, 48, 15). Die zuletzt von Achelis, Abh. d. Sächsischen Akad. d. Wiss. XL, 4 (1930) S. 10f., erörterte angebliche Aporie zwischen Calepodius und Fortunatus löst sich auf Grund der guten Überlieferung: Hilarius, Cod. Veron. LX (d. h. alexandrinische Kanzlei) und neapolitanische Bischofslisten, die keinen Calepodius v. Neapel kennen. C. war Bischof einer kampanischen Stadt 13 Florentius ab Spaniis de Emerita H 3 a 24, war schon als Diakon in Arles 314, Labbé I 1430 C 14 Bassus de Macedonia de Diocletianopoli H 8, ohne Sitz s 7. Macedonia steht im Widerspruch zu den Akten von Chalcedon (actio 6 nr. 84 Schwartz), wo ein Bischof aus D. in Thracica unterschreibt 15 Uincentius a Campania de Capua H 14, ohne Sitz s 26, P 2a setzt hinzu: legatus sanctae ecclesiae romanae. Uincentius war in Nicäa römischer Legat, spielte noch in den folgenden Jahren eine bedeutende Rolle 16 Stercorius ab Apulia de Canusio H 44 a 34a 17 Palladius a Macedonia de Diu H 55 a 42, gemeint ist Dius 18 Domitianus ab Spaniis de Asturica H 4 19 Caluus (Caluius P) a dacia ripensi de Castra martis H 36, Caloes Castromartis a 38

BKO RE

3 Σαρδικῆς KO 7 Πρ(αι)ῆτέξτατος K 17 Παλάδιος E 18 Δομετιανός KO 19 Χαλβίς BRE

20 Γερόντιος — 21 Προτάσιος
22 Εὐλόγιος — 23 Πορφύριος
24 Διόσκορος — 25 Ζώσιμος
26 Ἰαννουάριος — 27 Ζώσιμος
28 Ἀλέξανδρος — 29 Εὐτύχιος
30 Σωκράτης — 31 Διόδωρος
32 Μαρτύριος — 33 Εὐθήριος
34 Εὔκαρπος — 35 Ἀθηνόδωρος
36 Εἰρηναῖος — 37 Ἰουλιανός
38 Ἀλύπιος — 39 Ἰωνᾶς
40 Ἀέτιος — 41 Ῥεστοῦτος
42 Μαρκελλῖνος — 43 Ἀπριανός
44 Βιτάλιος — 45 Οὐάλης
46 Ἑρμογένης — 47 Κάστος

---

20 Gerontius a macedonia de Breui H 56, ohne Sitz s 24 a 10; Turner bessert: de Berui = Beroea 21 Protasius ab italia de Mediolano H 51, P. Mediolanensis a 53, sonst noch oft bezeugt 22 Eulogius ohne Sitz a 5 23 Porfirius a Macedonia de Filippis H 9, ohne Sitz s 18, a 12 24 Dioscorus de Tracia H 17, ohne Sitz s 9; Feder will: de Terasia, da 'de' immer vor den Städten steht 25 Zosimus ab Achaia de Lignedon H 23, Z. Lychnis a 34. Es muß heißen: ab Epiro nova de Lichnido 26 Ianuarius a Campania de Beneuento H 15, I. de Ueneuento a 26, P 2b setzt hinzu: legatus sanctae ecclesiae romanae, vgl. Can. XII 27 Zosimus Orreomargensis a 52, so auch Not. Dign. or. XI 39, d. h. Z. a moesia ⟨superiore⟩ de Horreo Margi 28 Alexander a Thessalia de Larissa H 26, ohne Sitz a 14 29 Eutychius de Mothona a 47, d. i. nach Hier. 647, 17 Μοθόνη in Messenien; die Überlieferung in H und P korrupt: Euticius ab Acaia H 58, Ticius ab Asia de Moutonis H 59 30 Cocras ab Acaia de Asapofoebus H 43, nach Hier. 647, 11: Ἀσώπολις = Ἄσωπος in Achaia, so wohl am besten 31 Diodorus ab Asia de Thenedos H 25, s. Athan. hist. Arian. 5 (Migne 25, 700 B): Διόδωρος ὁ ἐν Ἀσίᾳ, genauer zu Νῆσοι der Diözese Asia 32 Martyrius ab Acaia de Neapoli H 47; da ein Martyrius Naupactis a 41 und ein M. ohne Sitz a 11 bezeugt werden, haben diese beiden eine Verwechslung veranlaßt: Achaia für Neapolis ist falsch, es muß Macedonia I heißen; hingegen paßt 'ab Achaia' zu 'de Naupacto' 33 Es stehen zwei Bischöfe dieses Namens zur Verfügung: 1. Eutherius a Procia de Caindos H 11, worin nach Hier. 633, 1: 'ab Europa de Gannos' steckt, und 2. Eutherius (Eutarius cod.) a Pannoniis H 40 34 Zwei Bischöfe dieses Namens sind bezeugt: 1. Eucarpus ohne Sitz a 13, 2. Eucarpus Oponsius Achaiae a 55, d. i. Ὀποῦς (in Chalcedon vertreten) 35 Athenodorus ab Achaia de Blatea (d. i. Plataea) H 24, ohne Sitz s 20 36 Ierenius ab Acaia de Scyro (Secoro cod.) H 46, Ireneus syconeus a 39 ist fehlerhaft, da Sicyon durch nr. 46 besetzt ist. Scyrus nach Hier. 646, 5 37 Julianus de Thebis Eptapolis a 31, Julius ab Acatia de tebepsetafileos H 22, lies: Julianus ab Achaia de Thebis Heptapulis 38 Alypius ab Achaia de Magari H 34, Can. VII, ohne Sitz Alysius s 22. Hier. 645, 12: Μάγαρα = Megara 39 Jonas a Macedonia de Particopoli H 33 40 Aetius a Macedonia de Thessalonica H 27, ohne Sitz s 14, vgl. die orient. Synode von Serdica CSEL 65, 61, 18 41 Restutus ohne Sitz s 25 42 wohl = Marcellus [a Macedonia] de Ancyra galatia H 10, Marellus a 8 43 Aprianus de Petabione Pannoniae a 48 44 Uitalis Ucrensis (uertaresis cod.) Africae a 56, s. Turner Monumenta I 594. U. schon in Arles 314; Labbé I 1430 E: civitas Ucrentium Uitalis 45 Ualens a Dacia ripensi de Isco (scio cod.) H 54, Not. dign. or. XLII 26. 33: Oescus; Hier. 655, 6: Ἴσκος. Ualens Arrius s 15 historische Reminiszenz 46 Hermogenes de Sicyone (syceono cod.) ⟨Achaiae⟩ a 35 47 Castus ab Spaniis de Caesarea Augusta H 5, C. de Augustocaesareae a 29

BKO RE

---

21 Πρωτάσιος K 22 Εὔλογος BRE 42 Μαρκελῖνος O

48 Δομετιανός	49 Φουρτουνάτιος
50 Μάρκος	51 Ἀννιανός
52 Ἡλιόδωρος	53 Μουσαῖος
54 Ἀστέριος	55 Παρηγόριος
56 Πλούταρχος	57 Ὑμέναιος
58 Ἀθανάσιος	59 Λούκιος
60 Ἀμάντιος	61 Ἄρειος
62 Ἀσκλήπιος	63 Διονύσιος
B 64 Μάξιμος	65 Τρύφων
66 Ἀλέξανδρος	67 Ἀντίγονος
68 Αἰλιανός	69 Πέτρος
70 Σύμφορος	71 Μουσώνιος
72 Εὔτυχος	73 Φιλολόγιος

48 Dometius de Acaria Constantias a 50, eine Verbesserung kaum möglich, da man an: de Arabia a Constantia nicht denken darf; ob: ab Africa de Constantina (= Cirta)? 49 Fortunatianus ab Italia de Aquileia H 37 50 Marcus Siscensis Sauiae a 54, M. ab sauia (asia cod.) de Siscia H 52 51 Ann[an]ianus ab Spaniis de Castalona H 2, Ammianus de Castello Pannoniae a 25 52 Heliodorus a Nicopoli H 39, ohne Sitz s 3 a 9. Nicopolis am besten wohl: Epirus uetus, da so in Chalcedon (actio 6 nr. 46 Schwartz) 53 Moysтus (=Conc., mostus H) a Thessalia de Thebis H 13; zur Namensform vgl. unten S. 138, 23 wo Μουσαῖος in der lat. Vorlage in Coll. antiar. Paris (CSEL 65, 145, 10): Moysetis entspricht 54 Asterius (asturius cod.) de Arabia H 42, ohne Sitz s 5. A. ist nicht mit dem Athan. tom. ad Antioch. 10 (Migne 26, 808 B) genannten Bischof von Petra, das aber politisch zu Palaestina gehört, zu verwechseln, vgl. hier nr. 61. Asterius gehört in die Provinz um Bostra Athan. hist. Arian. 18 55 Paregorius (so s 12 a 37; Paragorius H) a Dardania de Scupis H 29, P. capinus a 37, ohne Sitz s 12 56 Plutarchus (so s 17; Plotarcus H) ab Aca[c]ia de Patras H 38, ohne Sitz s 17 57 Hymeneus (so Conc., Hypeneus a 28, Himonius H) de Hypata (—to cod.) Thessaliae a 28, H. a Th. de oparata (pharata Conc.) H 18 58 Athanasius ab Alexandria H 31, ohne Sitz s 2 59 Lucius a Tracia de Cainopoli H 19, ohne Sitz s 4 a 15. Gemeint sein kann nur L. v. Hadrianopel, der nach Athan. hist. Arian. 19 (Migne 25, 713 C) zur Partei der Okzidentalen gehörte. Einen Beleg für Hadrianopel als Cainopolis d. i. Καινῶν πόλις (vgl. Σερδῶν πόλις = Σέρδικα) gibt es nicht. Nur wäre darauf zu verweisen, daß ein συνέδριον ἐν τῷ τόπῳ τῶν Καινῶν in dem Einführungssatz zu einer griechischen Übersetzung eines Zitates aus dem 3. Kanon von Serdica vorkommt, über das Schwartz, Zeitschr. f. neutest. Wiss. 30 (1931) 34 f. handelt. Die Notitia urbis Constantinopol. verzeichnet in der 9. Region eine Kirche Caenopolis 60 Amantius Uiminacensis per presbyterum Maximum a 45, d. i. Uiminacium Moesiae 61 Arius a Palaestina H 41; Arius ist Bischof von Petra, ohne Sitz unten nr. 272, und war nach S. 122, 24 in Serdica. Nach Athan. hist. Arian 18 (Migne 25, 713 C) ist A. Bischof von Petra 62 Asclepius a Palestina de Gaza H 12, ohne Sitz a 16 63 Dionysius ab Acai[d]a de Elida H 48, so auch Schreiben der orient. Synode von Serdica CSEL 65, 61, 12, ohne Sitz s 11 64 Maximus a Tuscia de Luca H 7, ohne Sitz a 19 65 Trifon ab Acaia de Marcarce H 30, Trypho de Megara a 36, das Megara in Achaia kann wegen nr. 38 nicht gemeint sein. Beide Stellen sind korrupt. Nach Turner verbessert man am besten: a Moesia de Margo. Margo schon im Veroneser Provinzen-Verzeichnis: Moesia superior Margensis; vgl. Not. Dign. or. XLI 24. 33. 66 Alexander Cypar⟨isi⟩ensis Achaie a 46; in H und P starke Verderbnis: A. ab Acaia de Ceparisma H 57, A. ab Acaia de Moremis H 59 (vgl. oben nr. 29). Cyparisia nur bei Hier. 648, 1 67 Antigonos Pellensis (Pallenensis cod.) Macedonie a 49 68 Aelianus (helianus cod.) de Tyrtanis a 57. Schwer verderbt. Feder denkt, weil hier wie in a kretische Bischöfe aufeinanderfolgen, an de Gortyna. Oder Τυνδάριον Σικελίας nach Georg. Cypr. 588? 70 Synphorus de Herapythis a 58; Chalcedon u. Hier. 649, 7 Ἱεράπυθνα Κρήτης 71 Mosinius Heracleae a 59, nach Feder Heracleion auf Creta, nicht in Chalcedon u. bei Hier. 72 Eucissius Chisamensus a 60, nach Hier. 650, 13: Κίσαμος 73 Ein Bischof dieses Namens ist überhaupt unbekannt

BKO RE

49 Φουρτουνάτιος BO Φουρτουνάτος KE* (Φοῦρτ. E[c]) Φορτουνάτιος R 60 Ἀμάντειος RE[c] Ἀμάντιος E* 73 Φιλολόγος E

74 Σπουδάσιος
75 Ζώσιμος
76 Πατρίκιος
77 Ἀδόλιος
78 Σαπρίκιος

Γαλλίας 49,1

79 Μαξιμι[α]νός
80 Βηρίσσιμος
81 Βήκτουρος
82 Βαλεντῖνος
83 Δησιδέριος
84 Εὐλόγιος
85 Σαρβάτιος
86 Δυσκόλιος
87 Σουπερίωρ
88 Μερκούριος
89 Δικλοπετός
90 Εὐσέβιος
91 Σεβηρῖνος
92 Σάτυρος
93 Μαρτῖνος
94 Παῦλος
95 Ὀπτατιανός
96 Νικάσιος
97 Βίκτωρ
98 Σεμπρώνιος
99 Βαλερι⟨α⟩νός
100 Πάκατος
101 Ἰεσσῆς
102 Ἀρίστων
103 Σιμπλίκιος
104 Μετιανός
105 Ἄμαντος
106 Α⟨ἰ⟩μιλλιανός
107 Ἰουστινιανός
108 Βικτωρῖνος
109 Σατορνῖλος
110 Ἀβουνδάντιος
111 Δωνατιανός
112 Μάξιμος

Ἀφρικῆς 2

113 Νέσσος
114 Γράτος
115 Μεγάσιος
116 Κολδαῖος
117 Ῥογατιανός
118 Κονσόρτιος

75 Zosimus a 14 ohne Sitz 76 Ein Patricius unten nr. 278 c. 49, 1 Athanasius gibt hier die Liste einer gallischen Synode wieder, die nach Serdica den Beschlüssen der Synode beigetreten ist. Die folgenden gallischen Bischöfe lassen sich zum größten Teil auf Grund der Liste der Kölner Synode von 346 identifizieren (Labbé II 615 C). Die Liste ebenso wie die Akten sind unzweifelbar echt. Ich zitiere nach meiner in Vorbereitung befindlichen Ausgabe (= K) 79 Maximinus a Treueris K 1 80 In Serdica: Uerissimus a Gallia de Lugduno H 53, Broseus Ludonensis Galliae a 43. War in Köln nicht 81 Uictor Mediomatricorum K 16 82 Ualentinus ab Arelatu K 2 83 Desiderius Lingonie K 17 84 Eulogius Ameianorum K 12 85 Seruatius Tungrorum K 13 86 Discolius Remorum K 14 87 Superior Neruiorum K 21 88 Mercurius Suessionum K 22 89 Diclopetus Aurilianorum K 23 90 Eusebius Rotomagentium K 24 91 Severinus Senonum K 4 93 Martinus Mogontiacensium K 15 95 Optatianus Tricassium K 5 96 In Nicaea: Νικάσιος Δουίας Γαλλίων 97 Victor Uangionum K 7 99 Ualerianus Antisidorensium K 8 100 Ob = Pancharius Uisocensium K 18? 101 Jessis Nemetum K 6 103 Simplicius Augustodunensium K 9 105 Amandus Argentoratensium K 10 106 Ein Aemilianus ohne Sitz in Valence 374; Labbé II 906 A 107 Iustinianus Rauracorum K 11 108 Uictorinus Pariseorum K 20 111 Donatianus Cabellonorum K 3 112 In Serdica: Maximus sim̄ per epistulas de Galliis incolumes uos in dn̄o opto dd̄ a 19 c. 49, 2 Die afrikanischen Bischöfe lassen sich kaum identifizieren, obwohl Akten einer karthagischen Synode mit einer Anzahl Namen überliefert sind (Labbé II 713), die bald nach Serdica getagt hat 114 Gratus v. Carthago, Carthago (Labbé II 713 D), auch durch Serdica Canon III (I 462, 9 Turner) bezeugt

BKO RE

80 Βηρίσσημος RE Βηρίσιμος BKO 89 Δηκλοπετός BRE 95 Ὀπτατιατιανός BKO Ὀπτατατιανός E 99 Βαλερι⟨α⟩νός Op. nach K 107 Ἰουστινιανιανός E

119 Ῥουφῖνος	120 Μαννῖνος
121 Κεσσιλιανός	122 Ἐρεννιανός
123 Μαριανός	124 Οὐαλέριος
125 Δυνάμιος	126 Μυζόνιος
C 127 Ἰοῦστος	128 Κελεστῖνος
129 Κυπριανός	130 Βίκτωρ
131 Ὀνορᾶτος	132 Μαρῖνος
133 Παντάγαθος	134 Φῆλιξ
135 Βαύδιος	136 Λίβερ
137 Καπίτων	138 Μινερβάλης
139 Κόσμος	140 Βίκτωρ
141 Ἑσπερίων	142 Φῆλιξ
143 Σεβηριανός	144 Ὀπτάντιος
145 Ἕσπερος	146 Φιδέντιος
147 Σαλούστιος	148 Πασχάσιος

3

Αἰγύπτου

149 Λιβούρνιος	150 Ἀμάντιος
151 Φῆλιξ	152 Ἰσχυράμμων
153 Ῥωμῦλος	154 Τιβερῖνος
155 Κονσόρτιος	156 Ἡρακλείδης
M 340 A 157 Φορτουνάτιος |	158 Διόσκορος
159 Φορτουνατιανός	160 Β⟨λ⟩αστάμ⟨μ⟩ων
B 169 161 Δάτυλλος	162 Ἀνδρέας |
163 Σερῆνος	164 Ἄρειος
165 Θεόδωρος	166 Εὐαγόρας

120 Ob = Magnus Astyagensis, Carthago can. VIII? 126 = Musonius, ein Bischof dieses Namens wird für die Provinz Byzacene von Hieronymus, adv. Luciferianos 18 (Migne PL 23, 180 A) bezeugt 130 Ein Victor v. Utica in Arles 314 (Labbé I 1430) 134 Felix Baianensis, Carthago can. X 143 Ein Severianus aus Africa unterschrieb in Sirmium 358 nach Sozomenus IV 15, 2 das Symbol 144 Ein Optantius wird in Can. XII von Carthago erwähnt c. 49, 3 Die Namen der ägyptischen Bischöfe müssen einer Synode entnommen sein, die nach der Rückkehr des Athanasius, der am 21. Okt. 346 in die Stadt einzog, stattgefunden hat, vgl. Sozom. IV 1, 3. Gerade der 19. Festbrief (p. ܠܡ Cureton) bezeugt ein großes Revirement in dem ägyptischen Episkopat. Die Liste hilft viele Namen identifizieren. In den 94 Namen dürfte ein vollständiger Katalog des ägyptischen Episkopats vorliegen, der nach S. 87, 11 und S. 149, 8 etwa aus 100 (ἐγγὺς ἑκατόν) Namen bestanden hat 150 seit 346 Bi. v. Nilopolis; 19. Festbr. mit Isaac, zwischen denen der Friede wiederhergestellt ist 156 in Tyrus 335: S. 159 nr. 20 ohne Sitz 158 in Tyrus 335: S. 159 nr. 37 ohne Sitz, s. auch nr. 183 160 Βλαστάμμων in Tyrus 335: S. 159 nr. 34 162 seit 346 Bi. v. Arsenoitis: 19. Festbr. Auch 362 Teilnehmer a. d. alex. Synode: Athan. tom. ad. Antioch. 10 163 Ein Serenus seit 336 Bi. v. Aphrodition: ep. Athan. ad Serapionem (p. ܩܗ Cureton; vgl. dazu Schwartz, Zeitschr. f. neut. Wiss. 34 (1935) 131 f.); vgl. unten nr. 185 164 seit 346 Bi. v. Panos: 19. Festbr. Fordert als Bi. v. Panos Pachomius zur Klostergründung auf, Pachomii vita prima 81 (Subsidia hagiogr. 19 S. 54, 15) 165 seit 346 Bi. v. Diospolis [ܕܐܝܘܣܦܘܠܝܣ ܕܥܠ ܣܦܪ ܢܗܪܐ = Διόσπολις (so!) κατὰ Νεῖλον], d. i. Diospolis magna (= Theben), oder Δ. ἄνω in der oberen Thebais (Hierocles, Synecdemus 731, 9)

BKO RE

121 Κεσσηλιανός RE 131 Ὀνωρᾶτος KO 134 Φίληξ KO 138 Μινερσάλης B Μινερβάλις RE 142 Φίληξ KO 151 Φίληξ KO 152 Ἰσχυράμων BO 157 Φουρτουνάτιος E* (Φορτ. E^c) 159 vor 158 B 159 Φορτουνιανός B* Φουρτ. B^c 163 Σερῖνος BKO 166 αγορας B* Εὐαγόρας B^c

167 Ἠλίας	168 Τιμόθεος
169 Ὡρίων	170 Ἀνδρόνικος
171 Παφνούτιος	172 Ἑρμίας
173 Ἀραβίων	174 Ψενόσιρις
175 Ἀπολλώνιος	176 Μοῦις
177 Σαραπάμπων	178 Φίλων
179 Φίλιππος	180 Ἀπολλώνιος
181 Παφνούτιος	182 Παῦλος
183 Διόσκορος	184 Νειλάμμων
185 Σερῆνος	186 Ἀκύλας
187 Ἀωτᾶς	188 Ἁρποκρατίων
189 Ἰσαάκ	190 Θεόδωρος
191 Ἀπολλῶς	192 Ἀμμωνιανός
193 Νεῖλος	194 Ἡράκλειος
195 Ἀρείων	196 Ἀθάς
197 Ἀρσένιος	198 Ἀγαθάμμων
199 Θέων	200 Ἀπολλώνιος
201 Ἠλίας	202 Παννινούθιος
203 Ἀνδραγάθιος	204 Νεμεσίων
205 Σαραπίων	206 Ἀμμώνιος

168 in Tyrus 335: S. 159 nr. 38: Τιμόθεος Διοσπόλεως d. i. wegen nr. 165 Diospolis parva, im Nildelta (Hier. 725, 1) 169 seit 346 Bi. v. Sethroitis (ܣܛܪܘܐܛܝܣ cod.], 19. Festbrief 170 seit 336 Bi. v. Tentyra, Sohn seines Vorgängers Saprion (s. unten S. 159 nr. 14), ep. Athan. ad Serap. [p. ܗܘ Cureton) 171 Seit 346 Bi. v. Sais [ܣܐܝܣ cod.]: 19. Festbr. Nahm an der alex. Synode von 362 teil (Π. Σάεως): Athan. tom. ad Antioch. 10 173 Seit 336 Bi. v. Stathma: ep. Athan. ad Serap. 174 Seit 346 Bi. v. Coptos: 19. Festbr. 175 Vgl. nr. 180. 200. 236. Ein A. in Tyrus 335 unten S. 159 nr. 15 176 Seit 346 Bi. v. Laton [ܠܐܛܘ cod., so auch Subs. hagiogr. a. a. O.): 19. Festbr. War, ehe er Bischof wurde, Mönch (so auch Athan. ep. ad Dracontium 7; Migne 25, 532 A: τῆς ἄνω Θηβαΐδος) und nahm an der Synode von Laton teil: Pachomii vita prima 112 (Subs. hagiogr. 19 S. 72, 31), vgl. auch Athan. hist. arian. 72 177 Ein Sarapammon wird von Athan. hist. Arian. 12 (Migne 25, 708 A) aus der Zeit um 340 genannt; vgl. S. in Tyrus unten S. 159 nr. 8 178 Seit 336 Bi. in der Thebais: Athan. ep. ad. Serap.; vgl. nr. 213 179 Ein Ph. von Panyphis in Nicäa, ohne Sitz in Tyrus 335: S. 159 nr. 35 180 In Tyrus 335: S. 159 nr. 15; vgl. nr. 175. 200. 236 181 Vgl. nr. 171. 226. Ein P. wird Athan. hist. Arian. 72 (Migne 25, 780 B) 356 erwähnt 182 Kann wohl wegen nr. 176 nicht der von Athan. ep. ad Drac. 7 (Migne 25, 732 A) erwähnte Π. ὁ ἐν Λατῷ sein 183 Vgl. nr. 158 184 Seit 346 Bi. v. Syene: 19. Festbr. 185 Vgl. nr. 163 188 In Nicaea Ἁρ. Ἀλφοκράνων; in Tyrus 335: S. 159 nr. 10 189 346 in Nilopolis; 19. Festbr. vgl. nr. 150; offenbar ein früherer Gegner des Athanasius 190 Bis 346 Bi. v. Coptos: 19. Festbrief, ehemaliger Melitianer vgl. S. 159 nr. 21 Note 191 Seit 346 Bi. v. Xois: 19. Festbr. 192 In Tyrus 335: S. 159 nr. 5 195 Seit 346 Bi. v. Antinous: 19. Festbr., vgl. Pap. Flor. 71, 519 196 In Nicäa Bi. v. Schedia, in Tyrus 335: S. 159 nr. 25 197 Jener bekannte Bischof, von dem der 19. Festbrief ausdrücklich bezeugt, daß er zum Bi. v. Hypsepolis, seinem alten Sitz, ernannt sei, ὡς εἰρηνεύσας πρὸς τὴν ἐκκλησίαν, vgl. unten c. 69 198 in Tyrus 335: S. 159 nr. 22; ob früher Melitianer s. unten c. 71 nr. 33 200 Vgl. Nr. 175. 180. 236 202 In Tyrus 335: S. 159 nr. 29 203 Seit 336 Bi. in der östlichen Garyathis (Marmarica): Athan. ep. ad Serap. 204 Seit 336 Bi. v. Paralus: Athan. ep. ad Serap. 205 Seit 336 Bi. v. Apollon inf.: Athan. ep. ad Serap. 206 Ein A. v. Pachnemunis ist nach Historia Athanasii (Cod. Veron. LX f. 106ª) Mitglied der Gesandtschaft des Athanasius an Constantius (353), vgl. dazu Athan. ep. ad Drac. 7 (Migne 25, 532 A) und Teilnehmer der alex. Synode von 362: Athan. tom. ad Antioch. 10: A. Παχνεμούνεως καὶ τοῦ λοιποῦ μέρους τῆς Ἐλεαρχίας. Athanasius nennt de fuga 7, 4 (S. 73,

BKO RE

172 Ἑρμείας B^c K Ἑρμίας B* 177 Σαμαράπων K 185 Σερῖνος KO 188 Ἀποκρατίων B 189 Ἰσάκ BOR 193 Ἀμμωνανός B 202 Πανινούθιος RE

207 Ἀμμώνιος	208 Ξένων
209 Γερόντιος	210 Κόιντος
211 Λεωνίδης	212 Σεμπρωνιανός
213 Φίλων	214 Ἡρακλείδης
215 Ἱέρακυς	216 Ῥοῦφος
217 Πασόφιος	218 Μακεδόνιος
219 Ἀπολλόδωρος	220 Φλαβιανός
221 Ψάης	222 Σύρους
223 Ἀπφοῦς	224 Σαραπίων
225 Ἡσαίας	226 Παφνούτιος
227 Τιμόθεος	228 Ἐλουρίων
B 229 Γάιος	230 Μουσαῖος
231 Πιστός	232 Ἡρακλάμμων
233 Ἥρων	234 Ἠλίας
235 Ἀνάγαμφος	236 Ἀπολλώνιος
237 Γάιος	238 Φιλοτᾶς
239 Παῦλος	240 Τιθόης
241 Εὐδαίμων	242 Ἰούλιος

50, 1 Οἱ ἐν τῷ καναλίῳ τῆς Ἰταλίας

243 Προβάτιος	244 Βιάτωρ
245 Φακουνδῖνος	246 Ἰωσῆς
247 Νουμήδιος	248 Σπηράντιος

10. 11) und hist. Arian. 72 (Migne 25, 780 B) zwei Bischöfe mit Namen Ammonius, von denen dann der eine = nr. 206, der andere = nr. 207 sein kann. 213 Vgl. nr. 178. Pachomii Vita prima 112 (Subs. hagiogr. 19 S. 72, 31) wird ein Bischof Philon neben Muis (vgl. nr. 176) erwähnt, der auf der Synode von Laton ist; er war vorher Mönch, oder ob der mit nr. 176 identisch? vgl. hist. Arian. 72, 4 214 In Tyrus 335: S. 159 nr. 48 221 In Tyrus 335: S. 159 nr. 47; vgl. auch Athan. hist. Arian. 72 (Migne 25, 780 B) 224 Ob der Serapion v. Antipyrgos, der schon in Nicaea war, und dann noch in Seleucia 359 nach Epiphan. haer. 73, 26, 7 (III 301, 2)? 226 Vgl. nr. 171. 181; ein P. ist auch in Tyrus 335: S. 159 Nr. 19 227 Vgl. nr. 168 228 In Tyrus 335: S. 159 nr. 9. In den Pachomiusviten wird der Name stets Ἐλουρίων geschrieben 229 In Tyrus 335: S. 159 nr. 23 231 In Tyrus 335; S. 159 nr. 24 232 In Tyrus 335: S. 159 nr. 40 233 Ein Heron in der Thebais zur Zeit von Julian Philost. VII 13 234 Vgl. nr. 167, 201 235 Ein A. wird Athan. hist. arian. 72 (Migne 25, 780 A) erwähnt 236 Vgl. nr. 175. 180. 200 237 Vgl. nr. 229. Ein G. wird Athan. hist. Arian. 72 (Migne 25, 780 A) erwähnt, es dürfte der Παρατονίου τῆς ἔγγιστα Λιβύης sein, der an der alex. Synode von 362 teilnimmt; Athan. tom. ad Ant. 10 239. 240 19. Festbr.: Ἐν Κλύσμα ἀντὶ Ἰακὼβ Τιθόης [[illegible] cod.] καὶ σὺν αὐτῷ Παῦλος ὡς εἰρηνεύσας πρὸς τὴν ἐκκλησίαν. Es ist wichtig, daß die beiden hier nr. 239. 240 aufeinanderfolgen 241 Seit 346 Bi. v. Lycon: 19. Festbr. c. 50, 1 Zu canalis Italiae vgl. die Bemerkungen von Turner, Monumenta I 488. Die folgenden Bischöfe müssen der Italia annonaria, d. h. den Provinzen an der via Flaminia, also Umbria, Picenum, Flaminia und Aemilia angehören. Daher wäre es wohl möglich, die Städte von Ancona etwa bis Mailand zu erschließen, aber in Anbetracht der Überlieferung sind hier Identifikationen der genannten Bischöfe verwehrt. Doch einiges hat Lanzoni, Le diocesi d'Italia dalle origini al principio del secolo VII (Studi e testi 35[2]) 1927 festgestellt 245 Facundinus v. Tadinum (Umbria), gesichert durch Verehrung als Heiliger, Lanzoni 453

BKO RE

211 Λεονίδης B[c]O 217 Πανσόφιος K 232 Ἡρακλάμων O 238 Φιλωτᾶς KO 240 Τιθώης KRE

249 Σεβῆρος — 250 Ἡρακλειανός
251 Φαυστῖνος — 252 Ἀντωνῖνος
253 Ἡράκλειος — 254 Οὐιτάλιος
255 Φῆλιξ — 256 Κρησπῖνος
257 Παυλιανός

Κύπρου 2

258 Αὐξίβιος — 259 Φώτιος
260 Γηράσιος — 261 Ἀφροδίσιος
262 Εἰρηνικός — 263 Νουνέχιος
264 Ἀθανάσιος — 265 Μακεδόνιος
266 Τριφύλλιος — 267 Σπυρίδων
268 Νορβανός — 269 Σωσικράτης

Παλαιστίνης 3

270 Μάξιμος — 271 Ἀέτιος
272 Ἄρειος — 273 Θεοδόσιος
274 Γερμανός — 275 Σιλουανός
276 Παῦλος — 277 Κλαύδιος
278 Πατρίκιος — 279 Ἐλπίδιος

---

249 S. oben nr. 6: Bi. von Ravenna, kaum Bi. v. Septempeda, wie Lanzoni S. 392 will   250 Heraclianus v. Pisaurum (Umbria), sicher gegen Lanzonis Bedenken S. 501   251 Faustinus v. Bononia (Aemilia), nach der Liste der Bischöfe von Bologna der zweite, Lanzoni S. 785   252 Antoninus v. Mutina (Aemilia), Lanzoni 793   255 Felix v. Bellunum (Venetia), ohne Grund von Lanzoni S. 906 angesetzt, nur weil vielleicht nr. 256 Crispinus nach Athan. apol. ad Const. 3 (Migne 25, 600 B) Bi. v. Padua sein soll. Diese Identifikation ist aber fraglich. Darum will Lanzoni S. 903 nr. 257 Paulianus zum Bi. v. Tarvisium machen   258 Ein Auxibius v. Solia, ohne Zeitangabe vgl. Anal. Bolland. 1907 S. 259   260 Ob Γελάσιος? dieser in Nicaea Bi. v. Salamis   262 Ein Eirenicos wird bei Ζωτία verehrt, Anal. Bolland. 1907 S. 253   264 Ein Athanasius zu Paphos ibid. S. 243 erwähnt   266 Triphyllios v. Ledra, Hieron. de viris ill. 92, Sozom. I 11, 8   267 Spyridon v. Trimythuntos Sozom. I 11, 1   269 Sosicrates v. Carpassus, Anal. Bolland. 1907 S. 255.   c. 50, 3 Die Liste von Palästina entspricht der von der Jerusalemer Synode c. 57, 7, wie Ath. S. 137, 17 ausdrücklich sagt. Es fehlt hier nur aus c. 57, 7 nr. 14 Macrinus und hier nr. 277 steht in c. 57 an 16. Stelle. Diese geringfügigen Unterschiede erklären sich vielleicht daraus, daß die Namen hier dem Schreiben entnommen sind, das das formelle Placet für die Dekrete von Serdica erteilt, während die Unterschriften c. 57 zu dem Eirenikon für Athanasius gehören, wenn nicht die Abschreiber sich versehen haben.   270 Maximus v. Jerusalem, Philost. III 12; Sokr. II 8, 3   271 Philost. III 12 (43, 17ff.) weiß eine Geschichte von einem A. ἔφορος τῆς Παλαιστίνης zu erzählen, der Athanasius mit Maximus v. Jerusalem anerkannte, um sein eigenes Verbrechen (Unzucht) zu verdecken. Die Frage, ob dieser der schon in Antiochien 325, Nicaea, und Antiochien 326 (Euseb VC III 62 und Theodoret h. e. I 21, 4) anwesende A. v. Lydda war, oder der von Epiph. haer. 40, 1, 5 (II 81, 12) namhaft gemachte Bi. v. Eleutheropolis, möchte ich zugunsten d. letzten entscheiden   272 Arius v. Petra s. oben nr. 61   273 Ein Theodosius ist unbekannt; in den Unterschriften c. 57 lautet der Name: Theodorus, vielleicht der von Sidon, der in Nicaea und in Antiochien 326 unterschrieb (Euseb VC III 62, und die Liste bei Schwartz, Abh. d. Bayer. Akad. N. F. 13 S. 77 nr. 2)   274 Germanus v. Neapolis, in Nicaea   275 Silvanus v. Azotus, in Nicaea   276 Paulus v. Maximianopolis, in Nicaea, Antiochien 326 nr. 5 (s. Schwartz a. a. O. 78)   278 Patricius ohne Sitz in Antiochien 326 nr. 18 (Schwartz a. a. O. S. 78)

BKO RE

---

255 Φίληξ KO   258 Αὐξήβιος BKO   261 Ἀφροδήσιος B* Ἀφροδίσιος B^c   269 vor 268 B*, 268, 269 B^c

280 Γερμανός
281 Εὐσέβιος
282 Ζηνόβιος
283 Παῦλος
284 Πέτρcς

C 4 Οἱ μὲν οὖν τοῖς ὑπὸ τῆς συνόδου γραφεῖσιν ὑπογράψαντες οὗτοι, ἕτεροι δὲ πλεῖστοί
M 341 A εἰσιν οἱ καὶ πρὸ ταύτης τῆς συνόδου γράψαντες ὑπὲρ ἡμῶν ἀπό | τε τῆς Ἀσίας καὶ
Φρυγίας καὶ Ἰσαυρίας, καὶ τὰ ὀνόματα αὐτῶν ἐν ταῖς ἰδίαις ἐπιστολαῖς ἐμφέρεται, ἐγγὺς
ξγʹ, ὁμοῦ τμδʹ.
51, 1 Ταῦτα μαθὼν ὁ θεοφιλέστατος βασιλεὺς Κωνστάντιος μετεπέμψατο ἡμᾶς γρά-
ψας ἰδίᾳ πρὸς τὸν ἀδελφὸν ἑαυτοῦ τὸν μακαρίτην Κώνσταντα, πρὸς δὲ ἡμᾶς καὶ ἅπαξ
B 170 καὶ δεύτερον καὶ τρίτον ταῦτα· |

Κωνστάντιος Νικητὴς Αὔγουστος Ἀθανασίῳ.
2 Ἐπὶ πολύ σε κλυδωνίζεσθαι καὶ χειμάζεσθαι τοῖς τῆς θαλάττης ἀγρίοις κύμασιν
οὐκ ἀφῆκεν ἡ τῆς ἡμετέρας ἡμερότητος φιλανθρωπία. γυμνωθέντα σε τῆς πατρῴας
B ἑστίας καὶ στερηθέντα τῶν ἰδίων καὶ πλανώμενον ἐν θηριώδεσιν ἀνοδίαις οὐ παρῆκεν
3 ἡ ἀκάματος ἡμῶν εὐσέβεια. καὶ εἰ καὶ τὰ μάλιστα ἐπιπολὺ ὑπερεθέμην γράψαι τὴν
πρόθεσιν τῆς ἐμῆς διανοίας προσδοκῶν αὐθαίρετόν σε παραγενέσθαι πρὸς ἡμᾶς καὶ τῶν
καμάτων αἰτεῖν θεραπείαν, ὅμως, ἐπειδὴ ἴσως ὁ φόβος τὴν προαίρεσιν τῆς προθέσεως
ἐνεπόδισε, διὰ τοῦτο δωρεᾶς πληρέστατα γράμματα πρὸς τὴν σὴν στερρότητα διεπεμ-
ψάμεθα, ἵνα ἀφόβως ταῖς ἡμετέραις προσόψεσι ταχεῖαν τὴν σαυτοῦ παρουσίαν παρασχεῖν
σπουδάσῃς, ὑπὲρ τοῦ τῆς σαυτοῦ ἐπιθυμίας ἀπολαύσας καὶ πειραθεὶς ἡμῶν τῆς φιλαν-
4 θρωπίας τοῖς ἰδίοις ἀποκατασταθῇς. τούτου γὰρ ἕνεκα καὶ τὸν δεσπότην μου καὶ
ἀδελφόν μου Κώνσταντα τὸν Νικητὴν Αὔγουστον ὑπὲρ σοῦ παρεκάλεσα, ἵνα τοῦ ἐλθεῖν
ἐξουσίαν σοι δῷ, ἐπὶ τῷ ἀμφοτέρων ἡμῶν ἐπινευόντων τῇ πατρίδι ἀποκατασταθῇς
ἔχων τοῦτο τῆς ἡμῶν χάριτος ἐνέχυρον.

C Ἐπιστολὴ δευτέρα

5 Εἰ καὶ τὰ μάλιστα διὰ προτέρων γραμμάτων ἐδηλώσαμεν, ὅπως ἀμερίμνως εἰς τὸ
ἡμέτερον κομιτάτον παραγένῃ διὰ τὸ μάλιστα βούλεσθαι ἡμᾶς ἀποστεῖλαί σε εἰς τὰ ἴδια,

281 Wahrscheinlich Euseb v. Sebaste, der in Seleucia 359 unterschreibt, Epiph. haer. 73, 26, 7 (III 301, 3) 283 Paulus, ob der unten S. 144, 14 genannte Bi. von Tyrus? 284 Petrus v. Nicopolis, in Nicaea und Antiochien nr. 15 (Schwartz a. a. O. S. 78) 7 Zu den Zahlen vgl. oben Note zu S. 123, 29 8ff. Athan. läßt hier das Wichtigste und für das Verständnis der Ereignisse nach Serdica Entscheidende aus, vgl. die Noten zu hist. Arian. 17ff. und Schwartz ZNW 34 (1935) 140. Der Briefwechsel zwischen Constans und Constantius hat frühestens 344 stattgefunden. Die beiden wichtigsten Voraussetzungen für die Rückkehr des Athanasius waren erst dann gegeben, als 1. die Verurteilung Photins (d. h. Marcells), und 2. der Tod des Gregor v. Alexandrien am 26. 6. 345 erfolgt waren; vgl. Schwartz a. a. O., vgl. auch apol. ad Const. 3. 4, und zur Datierung unten S. 133, 15 11 Der Brief fällt in das Jahr 345, Noten s. Bd. III. Er ist noch hist. Arian. 21 (Migne 25, 717 C) erwähnt. Von Athan. hat ihn Sokr. II 23, 5—7, und von ihm Theod. lector Cod. Marc. gr. 344 f. 95^{b}. Theodoret h.e. II 10, 3 kennt alle drei Briefe 25 Brief (vgl. Noten Bd. III) nach Athan. bei Sokr. II 23, 8—9, aus ihm Theod. lector cod. Marc. gr. 344 f. 95^{b}; ferner bei Theodoret h. e. II 11

BKO RE

5 ταύτης > K 9 ἀδελφὸν + τὸν K | καὶ > B 11 a. Rd. ξ̅γ̅ B ν̅δ̅ K α̅ R λ̅η̅ E* μ̅β̅ E^{c} 13 ἡ] ὁ B* ἡ B^{c} 14 παρῆκεν BKO παρεῖδεν RE Sokr. 16 καὶ + τὴν K 20 ὑπὲρ τοῦ] ἐπὶ τῷ B vgl. Z. 23 21 ἀποκατασταθεὶς RE* Sokr. (MT) ἀποκατασταθῇς E^{c} 23 τῷ BKO τὸ RE 24 ἔχον R 25 a. Rd. μ̅γ̅ E^{c}

ὅμως καὶ νῦν καὶ ταῦτα τὰ γράμματα πρὸς τὴν σὴν στερρότητα δεδώκαμεν, δι' ὧν προτρεπόμεθα, χωρίς τινος ἀπιστίας καὶ φόβου ἐπιβῆναί σε δημοσίοις ὀχήμασι καὶ σπουδάσαι πρὸς ἡμᾶς, ἵνα ὧν ἐπιθυμῆς ἀπολαῦσαι δυνηθῇς.

Ἐπιστολὴ τρίτη

Ἡνίκα ἐν τῇ Ἐδέσσῃ διετρίβομεν, παρόντων τῶν σῶν πρεσβυτέρων ἤρεσεν, ὅπως 6
ἀποσταλέντος | πρεσβυτέρου πρὸς σὲ ἐλθεῖν εἰς τὸ ἡμέτερον κομιτάτον σπουδάσῃς ἐπὶ M 344 A
τῷ ἰδόντα σε τὴν ἡμετέραν πρόσοψιν εὐθέως εἰς τὴν Ἀλεξάνδρειαν ὁδεύσῃς. ἀλλ' ἐπει- 7
δὴ πλεῖστος χρόνος παρῆλθεν, ἀφ' οὗ γράμματα δεξάμενος παρ' ἡμῶν οὐκ ἀπήντησας,
διὰ τοῦτο καὶ νῦν ὑπομνῆσαί σε ἐσπουδάσαμεν, ἵνα καὶ νῦν τὴν σὴν παρουσίαν ταχεῖαν
ποιῆσαι πρὸς ἡμᾶς σπουδάσῃς καὶ οὕτω δυνηθῇς τῇ τε πατρίδι σου ἀποκατασταθῆναι
καὶ τῆς εὐχῆς σου ἐπιτυχεῖν. πρὸς δὲ πληρεστέραν διήγησιν Ἀχιτᾶν τὸν διάκονον 8
ἀπεστείλαμεν, παρ' οὗ δυνήσῃ μαθεῖν τῆς τε ἡμετέρας ψυχῆς τὴν προαίρεσιν καὶ ὅτι
τούτων ὧν εὔχῃ τυχεῖν δυνήσῃ. | B 171

Ὁ μὲν οὖν βασιλεὺς τοιαῦτα γράφει, ἐγὼ δὲ δεξάμενος ἀνῆλθον εἰς τὴν Ῥώμην συν- 52, 1
τάξασθαι τῇ ἐκκλησίᾳ καὶ τῷ ἐπισκόπῳ· ἐν τῇ Ἀκυλίᾳ γὰρ ἤμην, ὅτε ταῦτα ἐγράφη. B
καὶ ἡ μὲν ἐκκλησία πάσης χαρᾶς πεπλήρωτο, ὁ δὲ ἐπίσκοπος Ἰούλιος συγχαίρων τῇ
ἐπανόδῳ γράφει πρὸς τὴν ἐκκλησίαν. καὶ διερχομένους ἡμᾶς οἱ ἐπίσκοποι καθεξῆς μετ' εἰρή-
νης προέπεμψαν. καὶ ἔστι τὰ γραφέντα ταῦτα·

Ἰούλιος πρεσβυτέροις καὶ διακόνοις καὶ λαῷ παροικοῦντι Ἀλεξάνδρειαν.

Συγχαίρω κἀγὼ ὑμῖν, ἀγαπητοὶ ἀδελφοί, ὅτι τὸν καρπὸν τῆς ἑαυτῶν πίστεως 2
ἐπ' ὀφθαλμῶν λοιπὸν ὁρᾶτε. τοῦτο γὰρ καὶ ἀληθῶς ἄν τις ἴδοι γενόμενον ἐπὶ τοῦ ἀδελφοῦ
καὶ συνεπισκόπου μου Ἀθανασίου, ὃν διὰ τὴν καθαρότητα τοῦ βίου καὶ διὰ τὰς ὑμετέρας C
εὐχὰς θεὸς ὑμῖν ἀποδίδωσιν. ἐκ δὴ τούτου συνορᾶν ἔστι καθαρὰς ὑμᾶς καὶ μεστὰς 3
ἀγάπης ἀεὶ τὰς εὐχὰς ἀνενηνοχέναι πρὸς τὸν θεόν. μνήμονες γὰρ ὄντες τῶν οὐρανίων
ἐπαγγελιῶν καὶ τῆς πρὸς αὐτὰς ἀγωγῆς, ἣν ἐκ τῆς διδασκαλίας τοῦ προειρημένου ἀδελφοῦ
μου ἐπαιδεύθητε, ἔγνωτε ἀληθῶς καὶ κατὰ τὴν προσοῦσαν ὑμῖν ὀρθὴν πίστιν κατειλή-
φατε, ὡς οὐκ ἂν εἰς τέλος ἀφ' ὑμῶν ἀποσχοινισθήσεται οὗτος, ὃν ⟨ἐν⟩ ταῖς θεοσεβεστάταις
ὑμῶν ψυχαῖς ἀεὶ ὡς παρόντα ἐσχήκατε. οὐκοῦν οὐ πολλῶν μοι χρεία λόγων πρὸς 4
ὑμᾶς ἐπιστέλλοντι. ὅσα γὰρ ὑμῖν ἂν λεχθῇ παρ' ἐμοῦ, ταῦθ' ἡ ὑμετέρα πίστις προὔλαβε
καὶ πεπλήρωκε κατὰ θεοῦ χάριν τὰ τῆς κοινῆς πάντων ἡμῶν εὐχῆς. συγχαίρω τοίνυν 5

4 Brief (vgl. Noten Bd. III) nach Athan. bei Sokr. II 23, 10—12, aus ihm Theod. lector cod. Marc. gr. 344 f. 95^{b}—96^{a} 15 Athanasius war Ostern 345 in Aquileja, Kephalaion zu 345: πορευσάμενος εἰς Ἀκυληίαν ἐκεῖ τοῦτο τὸ πάσχα ἐποιήσατο. Philost. III 12 sagt, A. habe sich bei seinen Verhandlungen der Vermittlung des comes rerum privatarum Eustathius bedient; dieser ist auch für 345 durch eine Konstitution des Konstans vom 15. 5. 345 (Cod. Theod. X 10, 7) bezeugt   16 Der Aufenthalt in Rom fällt in den Winter 345/6, vielleicht noch später   19ff. Der Brief (s. Noten Bd. III) ist aus Athan. bei Sokr. II 23, 15—32 mit einigen Erweiterungen erhalten, aus Sokr. bei Theod. lector cod. Marc. gr. 344 f. 96^{a}—97^{b}

BKO RE

3 ἐπιθυμῆς B*RE ἐπιθυμεῖς B^{c}KO   4 a. Rd. λ̅δ̅ E* μ̅γ̅ E^{c} 5 Ἐδέσῃ B Αἰδέσῃ RE   7 ὁδεῦσαι K Sokr.   10 δυνηθεὶς RE* δυνηθῇς E^{c} 11 πληρεστάτην E   14 ὁ > K | ἀπῆλθον KO   16 ἐπεπλήρωτο RE   19 Überschrift: ἐπιστολὴ Ἰουλίου ἐπισκόπου Ῥώμης περὶ τῆς ἀποκαταστάσεως αὐτοῦ τῷ λαῷ Ἀλεξανδρείας K | a. Rd. ξ̅δ̅ B ν̅ε̅ K μ̅ς̅ R μ̅δ̅ E* μ̅ε̅ E^{c} | Ἰούλιος — Ἀλεξανδρείαν > K   23 τούτων K   25 αὐτοὺς BE   27 ⟨ἐν⟩ Schw.   29 ἂν ὑμῖν ∼ E | ἡ > B

ὑμῖν, πάλιν γὰρ ἐρῶ, ὅτι τὰς ψυχὰς ἀκαταμαχήτους ἐν τῇ πίστει τετηρήκατε, καὶ αὐτῷ
M 345 A δὲ τῷ ἀδελφῷ μου | Ἀθανασίῳ οὐκ ἔλαττον συγχαίρω, ὅτι καίπερ πολλὰ πάσχων
λυπηρὰ οὐδεμίαν ὥραν ἐπιλήσμων γέγονε τῆς ὑμετέρας ἀγάπης καὶ τοῦ ὑμετέρου πόθου.
εἰ γὰρ καὶ τῷ σώματι πρὸς καιρὸν ἔδοξεν ἀφ' ὑμῶν ἀφελκυσθῆναι, ἀλλὰ τῷ πνεύματι
διαπαντὸς ὡς συνὼν ὑμῖν διῆγεν.

53, 1 Ἐπανέρχεται τοίνυν πρὸς ὑμᾶς λαμπρότερος νῦν, ἢ ὅτε παρ' ὑμῶν ἀπεδήμησεν. εἰ
γὰρ καὶ τὰς τιμίας ὕλας, χρυσὸν δὴ καὶ ἄργυρον, εἰς καθαρότητα τὸ πῦρ δοκιμάζει, τί ἂν
τις εἴποι κατ' ἀξίαν τοῦ τοσούτου ἀνδρός, ὃς κινδύνους τοσούτων θλίψεων νικήσας ἀποδί-
B 172 δοται | ὑμῖν ἀθῷος οὐ παρ' ἡμῶν μόνον, ἀλλὰ καὶ παρὰ πάσης τῆς συνόδου ἀποδειχθείς;
2 ὑποδέξασθε τοίνυν, ἀγαπητοὶ ἀδελφοί, μετὰ πάσης τῆς κατὰ θεὸν δόξης καὶ χαρᾶς τὸν
B ἐπίσκοπον ὑμῶν Ἀθανάσιον μετὰ τούτων, οἵτινες αὐτῷ καὶ τῶν τοσούτων καμάτων
κοινωνοὶ γεγόνασι καὶ χαίρετε τῶν εὐχῶν ἑαυτῶν ἀπολαύοντες, οἳ τὸν ποιμένα τὸν
ὑμέτερον, ἵν' οὕτως εἴπω, ποθοῦντα καὶ διψῶντα τὴν ὑμετέραν θεοσέβειαν, σωτηρίοις
3 γραφαῖς ἐθρέψατε καὶ ἐποτίσατε. καὶ γὰρ τῆς ἐπὶ ξένης αὐτοῦ διατριβῆς ὑμεῖς παρα-
μυθία γεγόνατε καὶ διωκόμενον ἐθάλψατε ταῖς πιστοτάταις ἑαυτῶν ψυχαῖς καὶ διανοίαις.
4 ἐμὲ δὲ ἤδη εὐφραίνει ἐννοούμενον καὶ προορῶντα τῷ λογισμῷ τὴν ἐπὶ τῇ ἐπανόδῳ ἑκάστου
ὑμῶν χαρὰν καὶ τοῦ πλήθους τὰς θεοσεβεστάτας ἀπαντήσεις καὶ τὸ ἔνδοξον τῆς τῶν
συντρεχόντων ἑορτῆς. καὶ τίς ἐκείνη ἡ ἡμέρα ὑμῖν καὶ ποία ἔσται, ἐπανερχομένου μὲν τοῦ
C ἀδελφοῦ μου, παυομένων δὲ τῶν προγενομένων καὶ τῆς πολυτιμήτου καὶ κατ' εὐχὴν
5 ἐπανόδου εἰς εὐφροσύνην τινὰ πληρεστάτης χαρᾶς συναπτούσης τοὺς πάντας; ἡ
τοιαύτη δὲ χαρὰ κατὰ τὸ μέγιστον μέχρις ἡμῶν φθάνει, εἰ θεόθεν καὶ τοῦτο συγχωρεῖσθαι
συνέστηκεν, ὅπως εἰς γνῶσιν τοῦ τηλικούτου ἀνδρὸς ἐλθεῖν δυνηθῶμεν. εἰς εὐχὴν δὴ οὖν
6 τὴν ἐπιστολὴν τελειῶσαι καλόν. ὁ θεὸς ὁ παντοκράτωρ καὶ ὁ τούτου υἱὸς ὁ κύριος
καὶ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς διηνεκῆ τὴν χάριν ὑμῖν παράσχοι διδοὺς ἔπαθλον τῇ
θαυμαστῇ ὑμῶν πίστει, ἣν περὶ τὸν ἐπίσκοπον ὑμῶν ἐνδόξῳ μαρτυρίᾳ ἐνεδείξασθε, ἵνα
M 348 A ὑμῖν τε καὶ τοῖς μεθ' ὑμᾶς ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι τὰ βελτίονα νέμοι, ἃ »ὀφθαλμὸς |
οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς
ἀγαπῶσιν αὐτὸν« διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ τῷ παντοκράτορι θεῷ ἡ
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. ἐρρῶσθαι ὑμᾶς ἐν κυρίῳ εὔχομαι, ἀγαπητοὶ
ἀδελφοί.

54, 1 Μετὰ τούτων ἐλθόντα με γνησίως ἑώρακεν ὁ βασιλεὺς καὶ ἀπέστειλε πρὸς τὴν πα-
B 173 τρίδα καὶ τὴν ἐκκλησίαν γράψας τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις καὶ λαοῖς ταῦτα· |

---

26 II. Cor. 2, 9 31 Athanasius wurde von Constantius in Antiochien empfangen, sicher erst 346 im Sommer, zur Zeit als Constantius zum Entsatz von Nisibis Anstrengungen machte, vgl. oben S. 133, 5

BKO RE

---

3 ὑμετέρας. ὑμετέρου $R^{c}E^{c}$ Sokr. ἡμετέρας. ἡμετέρου BKOR*E* 4 ὑμῶν B^{c} ἡμῶν B* 5 ὑμῖν E^{c} ἡμῖν E* 8 ὃς B^{c} οὓς B* 9 ὑμῖν] ἡμῖν B | ἡμῶν] ὑμῶν B ἡμῖν K | μόνων RE | ἀποδειχθείς BKO Th. ἀποδεχθείς RE Sokr. | ἀποδειχθείς + ἐπανέρχεται τοίνυν πρὸς ἡμᾶς E, vgl. Z. 6 11 αὐτῷ — καμάτων] καὶ τῶν καμάτων αὐτῷ K 15 ἐθάλψετε O 16 τῷ λογισμῷ καὶ προορῶντα ~ K 21 συγχωρεῖσθαι καὶ τοῦτο ~ K 22 δὴ > B Sokr. 23 τελειῶσαι τὴν ἐπιστολὴν ~ E | ὁ θεὸς RE Sokr. Th. θεὸς BKO 24 Ἰησοῦς + ὁ E^{c} | παράσχῃ E 27 οἶδε B | ἀνθρώπου > B*, eingefügt B^{c} 29 εὔχομαι > E 31—32 > E, weil er nur die Aktenstücke kopiert 31 ὁ > R

Νικητὴς Κωνστάντιος Μέγιστος Σεβαστὸς ἐπισκόποις καὶ πρεσβυτέροις τῆς καθολι-
κῆς ἐκκλησίας.
Οὐκ ἀπελείφθη τῆς τοῦ θεοῦ χάριτος ὁ αἰδεσιμώτατος Ἀθανάσιος. ἀλλ' εἰ καὶ ἐν 2
βραχεῖ χρόνῳ τῇ κατὰ ἀνθρώπους δοκιμασίᾳ ὑπεβλήθη, ὅμως τὴν ὀφειλομένην παρὰ B
τῆς παντεφόρου προνοίας ἀπηνέγκατο ψῆφον ἀπολαβὼν βουλήσει τοῦ κρείττονος καὶ
κρίσει ἡμετέρᾳ τὴν πατρίδα ὁμοῦ καὶ τὴν ἐκκλησίαν, ἧς θείῳ νεύματι προστάτης ἐτύγ-
χανε. τούτῳ τὰ ἀκόλουθα ἔδει παρὰ τῆς ἡμετέρας ὑπάρξαι πραότητος, ὥστε πάντα 3
τὰ πρὸ τούτου κατὰ τῶν αὐτῷ κεκοινωνηκότων ὡρισμένα νῦν ἀμνηστίᾳ παραδοθῆναι
πᾶσάν τε ὑποψίαν τὴν κατ' αὐτῶν σχολάσαι τοῦ λοιποῦ. τὴν ἀτέλειαν, ἧς ἔτυχον πάλαι 4
οἱ ἅμα αὐτῷ κληρικοί, τούτοις βεβαιωθῆναι προσηκόντως — ἀλλὰ μὴν καὶ τοῦτο τῇ
εἰς αὐτὸν χάριτι προστιθέναι ἐδικαιώσαμεν, ὥστε πάντας τοὺς τοῦ ἱεροῦ καταλόγου
γινώσκειν ἐνδεδόσθαι τὸ ἄφοβον πᾶσι τοῖς αὐτῷ προστιθεμένοις εἴτε ἐπισκόποις εἴτε C
κληρικοῖς. ἱκανὸν δὲ γνώρισμα τῆς ἑκάστου ὀρθῆς προαιρέσεως ἔσται ἡ πρὸς τοῦτον 5
ἕνωσις. ὅσοι γὰρ ἂν τῆς καλλίονος ὁμοῦ κρίσεώς τε καὶ μοίρας γενόμενοι τὴν τούτου
ἕλωνται κοινωνίαν, τούτους πάντας ἐκελεύσαμεν καθ' ὁμοιότητα τῆς φθανούσης προ-
νοίας καὶ νῦν τῆς ὑφ' ἡμῶν βουλήσει τοῦ κρείττονος παρασχεθείσης χάριτος ἀπολαύειν.
ὁ θεὸς ὑμᾶς διαφυλάττοι.

Ἐπιστολὴ δευτέρα

Νικητὴς Κωνστάντιος Μέγιστος Σεβαστὸς τῷ λαῷ τῆς κατὰ Ἀλεξάνδρειαν καθολι-
κῆς ἐκκλησίας.
Σκοπὸν ποιούμενοι τὴν ὑμετέραν ἐν ἅπασιν εὐνομίαν εἰδότες τε ὡς ἐπὶ πολὺ τῆς 55, 1
τοῦ ἐπισκοποῦντος προνοίας ἐστέρησθε, Ἀθανάσιον τὸν ἐπίσκοπον, ἄνδρα τοῖς πᾶσι
διά τε τὴν προσοῦσαν ὀρθότητα καὶ διὰ τὴν τῶν οἰκείων ἠθῶν εὐτροπίαν γνώριμον, D
πάλιν πρὸς ὑμᾶς ἀποστεῖλαι ἐδικαιώσαμεν. τοῦτον συνήθως καὶ προσηκόντως ὑπο- 2
δεξάμενοι καὶ ταῖς πρὸς θεὸν εὐχαῖς βοηθὸν προστησάμενοι τὴν ὑμῖν τε πρέπουσαν καὶ
ἡμῖν ἀρίστην ὁμόνοιαν καὶ εἰρήνην κατὰ τὸν τῆς ἐκκλησίας θεσμὸν διαρκῆ φυλάττειν
σπουδάσατε. οὐδὲ γὰρ εὔλογόν ἐστι | διχόνοιάν τινα ἢ στάσιν ἐν ὑμῖν κινηθῆναι 3 M 349 A
ὑπεναντίον τῆς τῶν ἡμετέρων καιρῶν εὐμοιρίας. καὶ τοῦτο μὲν ἀπεῖναι ἀφ' ὑμῶν 4
παντελῶς βουλόμεθα, τὸ δὲ ταῖς εὐχαῖς ὑμᾶς διαρκῶς | αὐτῷ, ὡς προείρηται, προστάτῃ B 174
καὶ ἐπικούρῳ χρωμένους πρὸς τὸ θεῖον ἐμμένειν συνήθως παραινοῦμεν, ὡς ἂν τῆς τοιαύτης
ὑμῶν προθέσεως εἰς τὰς ἁπάντων εὐχὰς διαβαινούσης καὶ οἱ ἐκ τῶν ἐθνῶν τῇ τῶν εἰδώλων
πλάνῃ ἔτι καὶ νῦν προσανέχοντες ἐπὶ τὴν τῆς ἱερᾶς θρησκείας ἐπίγνωσιν προθυμότατα
σπεύδοιεν, ἀγαπητοί. καὶ αὖθις οὖν παραινοῦμεν τοῖς προειρημένοις ἐμμένειν, τὸν 5
δὲ ἐπίσκοπον ψήφῳ τοῦ κρείττονος καὶ ἡμετέρᾳ γνώμῃ ἀπεσταλμένον ἡδέως δέξασθε
καὶ πάσῃ ψυχῇ καὶ γνώμῃ ἀσπαστὸν ἡγήσασθε. τοῦτο γὰρ καὶ ὑμῖν πρέπει καὶ τῇ
ἡμετέρᾳ πραότητι προσήκειν συνέστηκεν. ὑπὲρ γὰρ τοῦ πᾶσαν ἀνασόβης καὶ στά- 6

1 u. 19 Die beiden Briefe werden von Athanasius auch hist. Arian. 21 (Migne 25, 717 B) angeführt, sind dort aber in den Hss. ausgelassen. Sokr. II 23, 45—56 übernimmt sie aus Athan., aus Sokr. hingegen Theodorus lector cod. Marc. gr. 344 f. 98a; Sozom. III 21, 1 verzeichnet sie im Regest. Die Noten s. Bd. III

BKO RE

1 a. Rd. ξε̅ B νς̅ K μζ̅ R μς̅ E 1/2 Νικητὴς — ἐκκλησίας] ἐπιστολὴ τοῦ βασιλέως Κωνσταντίου περὶ τῆς ἀποκαταστάσεως αὐτοῦ K 7 ὑμετέρας RE 9 τὴν ἀτέλειαν — 10 προσηκόντως Übersetzungsfehler oder Zusatz? 17 διαφυλάττει E 18 a. Rd. μζ̅ E[c] | ἐπιστολὴ δευτέρα] ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ K 19/20 > E 25 πρὸς + τὸν KO Sokr. 26 καὶ εἰρήνην > K 29 ὑμᾶς — 30 τοιαύτης > E 31 etwa: vestro consilio in omnium vota veniente ..., εὐχή ist enger als votum, das auch 'Wunsch' bedeutet; daher erübrigt sich Valois' Änderung in ἀκοάς | τῇ τ. εἰδ. πλάνῃ R[c] Sokr. Th. τῆς .. πλάνης BKOR*E 34 καὶ + τῇ KO 36 ἀνασόβησιν E vgl. ἀνασόβην Sokr. Th.

B σεως πρόφασιν περιαιρεθῆναι τῶν ἐθελοκακίᾳ χρωμένων, τοῖς παρ' ὑμῖν δικασταῖς διὰ
γραμμάτων προσετάξαμεν ἅπαντας οὓς ἂν στασιώδεις καταμάθοιεν τῇ τῶν νόμων ὑπο-
7 βάλλειν ἐκδικίᾳ. ἀμφότερα τοίνυν συνορῶντες καὶ τὴν ἡμετέραν μετὰ τοῦ κρείττονος
γνώμην καὶ τὸν ὑπὲρ ὑμῶν καὶ τῆς ὁμονοίας λόγον καὶ τὴν κατὰ τῶν ἀτάκτων τιμωρίαν
τὰ πρέποντα καὶ ἁρμόζοντα τῷ τῆς ἱερᾶς θρησκείας θεσμῷ διαφυλάττοντες τὸν προειρη-
μένον διὰ πάσης αἰδοῦς καὶ τιμῆς ἄγοντες τὰς εὐχὰς ἅμα αὐτῷ ὑπέρ τε ἑαυτῶν καὶ τῆς
τοῦ βίου παντὸς εὐνομίας τῷ τῶν ὅλων πατρὶ θεῷ ἀναπέμπειν σπουδάσατε.

56, 1 Ταῦτα γράψας ἐκέλευσε καὶ τὰ πρότερον παρ' αὐτοῦ γραφέντα κατ' ἐμοῦ ἐκ δια-
C βολῆς τῶν περὶ Εὐσέβιον ἀναιρεθῆναι καὶ ἀφανισθῆναι ἀπὸ τῶν τάξεων τοῦ τε δουκὸς
καὶ τοῦ ἐπάρχου τῆς Αἰγύπτου καὶ ἀποσταλεὶς Εὐσέβιος ὁ δεκουρίων ἔλαβεν αὐτὰ ἀπὸ
τῶν τάξεων. καὶ ἔστι τὰ γραφέντα ταῦτα·

Νικητὴς Κωνστάντιος Αὔγουστος Νεστορίῳ.
2 τῷ δὲ αὐτῷ τύπῳ καὶ τοῖς ἐν Αὐγουσταμνικῇ καὶ Θηβαΐδι καὶ Λιβύαις ἡγεμόσιν.
Εἴ τί ποτε πρὸ τούτου ἐπὶ βλάβῃ καὶ ὕβρει τῶν κοινωνούντων Ἀθανασίῳ τῷ
ἐπισκόπῳ προσταχθὲν εὑρίσκεται, ταῦτα νῦν ἀπαλειφθῆναι βουλόμεθα. καὶ γὰρ καὶ
τὴν ἀλειτουργησίαν, ἣν εἶχον οἱ αὐτοῦ κληρικοί, τοὺς αὐτοὺς πάλιν τὴν αὐτὴν θέλομεν
8 ἔχειν. ταύτην δὲ τὴν ἡμετέραν πρόσταξιν φυλαχθῆναι βουλόμεθα, ὥστε ἀποδοθέντος
M 352 A Ἀθανασίου τοῦ ἐπισκόπου τῇ ἐκκλησίᾳ τοὺς κοινωνοῦντας αὐτῷ ἔχειν τὴν | ἀλειτουρ-
γησίαν, ἣν ἀεὶ εἶχον, ἣν καὶ οἱ λοιποὶ κληρικοὶ ἔχουσιν, ἵν' οὕτως ἔχοντες καὶ αὐτοὶ
χαίρωσι.

B 175 57, 1 Προπεμφθεὶς οὕτως καὶ διερχόμενος τὴν Συρίαν | συνέτυχον τοῖς κατὰ Παλαιστίνην
ἐπισκόποις. καὶ σύνοδον ποιήσαντες ἐν Ἱερουσαλὴμ γνησίως ἡμᾶς ἀπεδέξαντο καὶ αὐτοὶ
μετ' εἰρήνης προέπεμψαν καὶ ἔγραψαν πρὸς τὴν ἐκκλησίαν καὶ τοὺς ἐπισκόπους ταῦτα·

2 Ἡ ἁγία σύνοδος ἡ ἐν Ἱεροσολύμοις συναχθεῖσα τοῖς ἐν Αἰγύπτῳ καὶ Λιβύαις
συλλειτουργοῖς καὶ τοῖς ἐν Ἀλεξανδρείᾳ πρεσβυτέροις καὶ διακόνοις καὶ λαῷ, ἀγαπη-
τοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.
3 Κατ' ἀξίαν τῷ τῶν ὅλων θεῷ εὐχαριστεῖν οὐκ ἀρκοῦμεν, ἀγαπητοί, ἐφ' οἷς θαυμα-
B σίοις ἐποίησε πάντοτε, ἐποίησε δὲ καὶ νῦν μετὰ τῆς ὑμετέρας ἐκκλησίας τὸν ποιμένα ὑμῶν

10 Der decurio ab actis Euseb gehörte wohl zum Büro des Praetorianerpräfekten der Diözese Oriens, er ist sonst nicht bekannt 12 Der Brief ist in dieser Fassung von Sokr. II 23, 57—58 übernommen, aus dem ihn Theodorus Lector cod. Marc. 344 f. 98[b] abschreibt. Sozom. III 21, 2 erwähnt ihn kurz. Tatsächlich enthält aber der von Athan. hist. Arian. 23 in gleichem Zusammenhange wie hier mitgeteilte Brief den Befehl, die im Büro des Präfekten befindlichen Akten an das Kaiserliche Hoflager zu senden, während hier die Immunität für die Kleriker befohlen wird; vgl. auch das zu hist. Arian. 51 (Migne 29, 756 A/B) Angemerkte 21 Auf der Reise von Antiochien nach Alexandrien läßt sich Athanasius das Placet der palästinensischen Bischöfe durch eine in Jerusalem tagende Synode geben; er sagt selbst (hist. Arian. 25;

BKO RE

1 ὑμῖν E[c] Sokr. Th. Montf. ἡμῖν BKORE* 4 ὑμῶν Sokr. Th. Montf. ἡμῶν BKORE 5 φυλάττοντες B 11 ταῦτα + ἑρμηνεία τούτων R 12 a. Rd. ξ̅ς̅ B μ̅η̅ R μ̅η̅ E | Νεστορίῳ > K 13 τοῖς E[c] Sokr. Th. Montf. τῷ BKORE* 15 ἀπαλειφῆναι B 16 αὐτοῦ Sokr. Th. Montf. αὐτοὶ BKORE 19 κληρικοὶ a. Rd. O, im Text: ἀδελφοὶ | οὕτως > K 21 κατὰ + τὴν B 23 προέγραψαν καὶ ἔπεμψαν E 24 a. Rd. ξ̅ζ̅ B ν̅ζ̅ K μ̅θ̅ R μ̅δ̅ E* μ̅θ̅ E[c] | vor dem Gruß: ἐπιστολὴ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας τῶν ὀρθοδόξων ἐπὶ τῇ εἰς Ἀλεξάνδρειαν εἰσελεύσει αὐτοῦ K | τοῖς] τῆς R 28 ὑμῶν E[c] ἡμῶν E*

καὶ κύριον καὶ συλλειτουργὸν ἡμῶν Ἀθανάσιον ἀποδοὺς ὑμῖν. τίς γὰρ ἤλπισέ ποτε
ταῦτα ὀφθαλμοῖς ἰδεῖν, ἃ νῦν ὑμεῖς ἔργῳ ἀπολαμβάνετε; ἀληθῶς αἱ προσευχαὶ ὑμῶν
εἰσηκούσθησαν παρὰ τῷ τῶν ὅλων θεῷ τῷ κηδομένῳ τῆς ἑαυτοῦ ἐκκλησίας καὶ ἐπιδόντι
ὑμῶν τὰ δάκρυα καὶ τοὺς ὀδυρμοὺς καὶ διὰ τοῦτο τῶν δεήσεων ὑμῶν ἐπακούσαντι. ἦτε
γὰρ »ὡς πρόβατα ἐρριμμένα καὶ ἐσκυλμένα μὴ ἔχοντα ποιμένα«· διὰ τοῦτο ἐπεσκέψατο
ὑμᾶς ὁ ἀληθινὸς ποιμὴν οὐρανόθεν, ὁ τῶν ἰδίων προβάτων κηδόμενος, ἀποδοὺς ὑμῖν ὃν
ἐπιθυμεῖτε. ἰδοὺ γὰρ καὶ ἡμεῖς πάντα ὑπὲρ τῆς ἐκκλησιαστικῆς εἰρήνης πράττοντες 4
καὶ τῇ ὑμετέρᾳ συμπνέοντες ἀγάπῃ προλαβόντες αὐτὸν ἠσπασάμεθα, καὶ κοινωνήσαντες C
δι' αὐτοῦ ὑμῖν ταύτας τὰς προσρήσεις διαπεμπόμεθα καὶ τὰς εὐχαριστηρίους ἡμῶν εὐχάς,
ἵν' εἰδῆτε τῷ συνδέσμῳ τῆς ἀγάπης τῆς πρὸς αὐτὸν καὶ ἡμᾶς ἡνῶσθαι. ὀφείλετε δὲ καὶ 5
ὑπὲρ τῆς εὐσεβείας τῶν θεοφιλεστάτων βασιλέων εὔχεσθαι, οἵτινες καὶ αὐτοὶ γνόντες τὸν
πόθον ὑμῶν τὸν περὶ αὐτὸν καὶ τὴν αὐτοῦ καθαρότητα ἀποκαταστῆσαι αὐτὸν ὑμῖν μετὰ
πάσης τιμῆς κατηξίωσαν. ὑπτίαις οὖν ὑποδεξάμενοι αὐτὸν χερσὶ καὶ τὰς ὀφειλομένας 6
περὶ τούτου εὐχαριστηρίους εὐχὰς ἀναπέμψαι τῷ ταῦτα ὑμῖν χαρισαμένῳ θεῷ σπου-
δάσατε, ὑπὲρ τοῦ διαπαντὸς ὑμᾶς χαίρειν σὺν θεῷ καὶ δοξάζειν ἡμῶν τὸν κύριον ἐν Χριστῷ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, δι' οὗ τῷ πατρὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Τῶν δὲ ὑπογραψάντων τὰ ὀνόματα, εἰ καὶ | φθάσας ἐδήλωσα, ἀλλὰ καὶ νῦν ἔγραψα· 7 M 353 A
εἰσὶ γὰρ 1 Μάξιμος, 2 Ἀέτιος, 3 Ἄρειος, 4 Θεόδωρος, 5 Γερμανός, 6 Σιλουανός, | 7 Παῦλος, B 176
8 Πατρίκιος, 9 Ἐλπίδιος, 10 Γερμανός, 11 Εὐσέβιος, 12 Ζηνόβιος, 13 Παῦλος, 14 Μακρῖνος,
15 Πέτρος, 16 Κλαύδιος.

Ταῦτα βλέποντες Οὐρσάκιος καὶ Οὐάλης κατέγνωσαν λοιπὸν ἑαυτῶν καὶ ἀνελ- 58, 1
θόντες εἰς τὴν Ῥώμην ἐξωμολογήσαντο καὶ αὐτοὶ μεταγινώσκοντες συγγνώμην τε
ᾐτήσαντο καὶ ἔγραψαν πρὸς Ἰούλιον τὸν ἐπίσκοπον τῆς πρεσβυτέρας Ῥώμης καὶ πρὸς
ἡμᾶς ταῦτα. τὰ μέντοι ἀντίγραφα ἀπεστάλη μοι παρὰ Παυλίνου τοῦ ἐπισκόπου Τρι-
βέρων.

Migne 25, 721 B) nur 2 oder 3 Bischöfe hätten sich versagt; in der Tat, man vermißt in der Liste den Bischof von Caesarea. Aber auf der Reise muß Athanasius noch in die dortigen Kirchen eingegriffen und Bischöfe ordiniert, Ketzer abgesetzt haben, um dann über Pelusium, also unter Benutzung der offiziellen Poststraße, nach Ägypten zu gelangen, wie Sokr. II 24, 7. 8 aus unbekannter Quelle (aus späteren Anklageakten bei Sabinus?) berichtet 24 Der Brief ist von Sozom. III 22 übernommen, den Theodorus Lector Cod. Marc. gr. 344 f. 99ᵇ ausschreibt. Erwähnt wird das Schreiben von Sokr. II 24, 3 — 137, 5 Mt. 9, 36 17 Zu den Namen, die Ath. schon oben S. 131, 14 ff. (vgl. Z. 17 φθάσας ἐδήλωσα) ausschrieb, vgl. das dort Angemerkte. Nr. 14 Macrinus nur hier, es ist Macrinus von Jamnia, der schon in Antiochien 325 und Nicaea unterschrieb 21 Die in c. 58 berührten Ereignisse haben sich, wie Schwartz ZNW 34 (1935) 144 ff. gezeigt hat, nach der Mailänder Synode (s. unten S. 138, 17) vom Jahre 345 abgespielt. Hilarius, der den lateinischen Originaltext der Erklärungen des Valens und Ursacius überliefert (CSEL 65, 143 ff.), sagt zu dem 1. Brief: haec epistula post biennium missa est, quam heresis Fotini a Romanis damnata est. Also haben die beiden ihren Widerruf 347 eingereicht 24 Paulin v. Trier, der in der Überlieferung erst bei der Synode von Arles 353 (CSEL 65, 102, 10) in Erscheinung tritt, hat Athanasius zu dieser Zeit — er wurde 355 nach dem Orient (in Phrygien starb er) verbannt — mit diesem für den publizistischen Kampf des Athanasius ungeheuer wichtigen Dokument versorgt. Der Brief an Athanasius (§ 5) ist ihm von den Verfassern direkt zugegangen. Es ist aber bemerkenswert, daß er im Originalwortlaut Hilarius auch zugänglich war

BKO RE

1 ὑμῖν Eᶜ ἡμῖν E* 2 ἀλλὰ ἀληθῶς E Soz. Th. 4 ὑμῶν² Eᶜ ἡμῶν E* 7 ἐπεθυμεῖτε O | ἡμεῖς] ὑμεῖς R | πράττετε K 8 ὑμετέρᾳ] ἡμετέρᾳ K 9 ὑμῖν Eᶜ ἡμῖν E* | ἡμῶν E* ὑμῶν BKOREᶜ 10 ἀγάπης τῆς > BKO 13 τιμῆς > R 14 ἀναπέμψαι nach θεῷ ∼ K 24 ἀπεστάλη Bᶜ ἀπεστάλησαν B* 24/25 Τριβέρων B Τιβέρων KOR Τιμέρων E

Ἑρμηνεία ἀπὸ τοῦ Ῥωμαικοῦ τῆς πρὸς Ἰούλιον ἐπιστολῆς περὶ τῆς μετανοίας Οὐρσακίου καὶ Οὐάλεντος

B Κυρίῳ μακαριωτάτῳ πάπᾳ Ἰουλίῳ Οὐρσάκιος καὶ Οὐάλης.
2 Ἐπειδὴ συνέστηκεν ἡμᾶς πρὸ τούτου πολλά τε καὶ δεινὰ περὶ Ἀθανασίου τοῦ
ἐπισκόπου διὰ γραμμάτων ὑποβεβληκέναι γράμμασί τε τῆς σῆς χρηστότητος μεθοδευ-
θέντες τοῦ πράγματος χάριν, περὶ οὗ ἐδηλώσαμεν, οὐκ ἠδυνήθημεν λόγον ἀποδοῦναι,
ὁμολογοῦμεν παρὰ τῇ σῇ χρηστότητι παρόντων τῶν ἀδελφῶν ἡμῶν πάντων τῶν πρεσ-
βυτέρων ὅτι πάντα τὰ πρὸ τούτου ἐλθόντα εἰς ἀκοὰς ἡμῶν περὶ τοῦ ὀνόματος τοῦ
προειρημένου Ἀθανασίου ψευδῆ καὶ πλαστά ἐστι πάσῃ τε δυνάμει ἀλλότρια αὐτοῦ
3 τυγχάνει. διά τε τοῦτο ἡδέως ἀντιποιούμεθα τῆς κοινωνίας τοῦ προειρημένου Ἀθα-
νασίου, μάλιστα ὅτι ἡ θεοσέβειά σου κατὰ τὴν ἔμφυτον ἑαυτῆς καλοκἀγαθίαν τῇ πλάνῃ
C ἡμῶν κατηξίωσε συγγνώμην δοῦναι. ὁμολογοῦμεν δὲ καὶ τοῦτο ὅτι, ἄν ποτε ἡμᾶς
οἱ Ἀνατολικοὶ θελήσωσιν ἢ καὶ αὐτὸς Ἀθανάσιος κακοτρόπως περὶ τούτου εἰς κρίσιν κα-
4 λέσαι, μὴ ἀπέρχεσθαι παρὰ γνώμην τῆς σῆς διαθέσεως. τὸν δὲ αἱρετικὸν Ἄρειον καὶ
τοὺς ὑπερασπίζοντας αὐτοῦ τοὺς λέγοντας· »ἦν ποτε ὅτε οὐκ ἦν ὁ υἱός, καὶ ὅτι ἐκ
τοῦ μὴ ὄντος ὁ υἱός ἐστι« καὶ τοὺς ἀρνουμένους τὸν Χριστὸν θεὸν εἶναι θεοῦ υἱὸν πρὸ
αἰώνων, καθὼς καὶ ἐν τῷ προτέρῳ λιβέλλῳ ἑαυτῶν ἐν τῇ Μεδιολάνῳ ἐπιδεδώκαμεν, καὶ
νῦν καὶ ἀεὶ ἀναθεματίζομεν. ταῦτα δὲ τῇ χειρὶ ἑαυτῶν γράψαντες ὁμολογοῦμεν πάλιν
ὅτι τὴν ἀρειανὴν αἵρεσιν, καθὰ προείπομεν, καὶ τοὺς ταύτης αὐθέντας κατεκρίναμεν εἰς
τὸν αἰῶνα. Ἐγὼ Οὐρσάκιος τῇ ὁμολογίᾳ μου ταύτῃ παρὼν ὑπέγραψα· ὁμοίως καὶ
B 177 Οὐάλης. |

M 356 A | Κυρίῳ ἀδελφῷ Ἀθανασίῳ ἐπισκόπῳ Οὐρσάκιος καὶ Οὐάλης ἐπίσκοποι.
5 Ἀφορμὴν εὑρόντες διὰ τοῦ ἀδελφοῦ καὶ συμπρεσβυτέρου ἡμῶν Μουσαίου ἐρχομένου
πρὸς τὴν σὴν ἀγάπην, ἀδελφὲ ἀγαπητέ, δι' αὐτοῦ σε καὶ πάνυ προσαγορεύομεν ἀπὸ τῆς
Ἀκυλίης καὶ εὐχόμεθα ὑγιαίνοντά σε τὰ γράμματα τὰ ἡμέτερα ἀναγνῶναι. δώσεις γὰρ
καὶ ἡμῖν θαρρεῖν, ἐὰν καὶ σὺ ἐν τῷ γράφειν τὴν ἀμοιβὴν ἡμῖν ἀποδῷς. γίνωσκε γὰρ ἡμᾶς
εἰρήνην ἔχειν μετὰ σοῦ καὶ κοινωνίαν ἔχειν ἐκκλησιαστικήν, καὶ τούτου γνώρισμα ἡ διὰ
τούτων τῶν γραμμάτων προσηγορία. ἡ θεία πρόνοιά σε διαφυλάττοι, κύριε ἀγαπητὲ
ἀδελφέ.

6 Τὰ μὲν οὖν γραφέντα ταῦτα, καὶ αὕτη τῶν ἐπισκόπων ἡ ψῆφος καὶ κρίσις ὑπὲρ
ἡμῶν. ὅτι δὲ οὐ κεχαρισμένα πεποιήκασιν οὐδὲ ἀναγκαζόμενοι παρά τινος, βούλομαι συγ-

1 Der Brief ist im lateinischen Originalwortlaut bei Hilarius Coll. antiar. Paris. B II 6 (CSEL 65, 143) erhalten. Die hier vorliegende griechische Übersetzung hat Athan. auch hist. Arian. 26, doch die Hss. lassen sie aus. Von hier entnahm sie Sozom. III 23, 2—5. Sokr. II 24, 5 erwähnt sie. Noten s. Bd. III 22 Der Brief ist aus Aquileja geschrieben, vgl. Athanasius' Bemerkungen hist. Arian. 26 (Migne 25, 724 C). Der lateinische Originaltext bei Hilarius, Coll. antiar. Paris. B II 8 (CSEL 65, 145); die griechische Übersetzung auch Athanasius hist. Arian. 26; aus Athan. hat sie Sozom. III 24, 1—2 übernommen. Sokr. II 24, 6 erwähnt den Brief 30ff. Die folgenden Zeilen bilden die Zusammenfassung des ersten Teiles

BKO RE

1 a. Rd. ξη B ν̄ R | τοῦ > KOR 6 λόγον + λόγον B, Seitenanfang 7 τῶν² + ἐπισκόπων O*, getilgt O^c 8 ἡμῶν Hil. ὑμῶν BKORE 11 ἑαυτῆς] αὐτοῦ B 12 ἄν] ἐάν K 19 ταύτας R 22 a. Rd. ξθ B να R Überschrift: ἐπιστολὴ τῶν αὐτῶν πρὸς τὸν ἅγιον Ἀθανάσιον K 24 ἀγαπητὲ ἀδελφέ (β, α) R*, wie oben R^c 25 σε > K 27 ἔχειν² > K 29 Vor den Text als Titel: διήγησις τῶν κατὰ τοὺς Μελιτιανοὺς καὶ τῶν παρ' αὐτῶν κατὰ τοῦ πάπα Ἀθανασίου γεγενημένων καττύοντος Εὐσεβίου E, a. Rd. με E* ν̄ E^c | ψῆφος] κρίσις B | κρίσις καὶ ψῆφος ~ KO 30 ταῦτα RE τοιαῦτα BKO

χωρούντων ὑμῶν ἄνωθεν ἐξ ἀρχῆς διηγήσασθαι τὸ πρᾶγμα, ἵνα γνῶτε ὡς οἱ μὲν ἐπίσκοποι B
ὀρθῶς καὶ δικαίως βουλόμενοι τοιαῦτα ἔγραψαν, ὁ δὲ Οὐάλης καὶ Οὐρσάκιος κἂν ὀψέ ποτε
τὴν ἀλήθειαν ὡμολόγησαν.

Πέτρος παρ' ἡμῖν πρὸ μὲν τοῦ διωγμοῦ γέγονεν ἐπίσκοπος, ἐν δὲ τῷ διωγμῷ καὶ 59, 1
ἐμαρτύρησεν. οὗτος Μελίτιον ἀπὸ τῆς Αἰγύπτου λεγόμενον ἐπίσκοπον ἐπὶ πολλαῖς ἐλεγχ-
θέντα παρανομίαις καὶ θυσίᾳ ἐν κοινῇ συνόδῳ τῶν ἐπισκόπων καθεῖλεν. ἀλλὰ Μελίτιος
οὐ πρὸς ἑτέραν σύνοδον κατέφυγεν οὐδὲ ἐσπούδασεν ἀπολογήσασθαι τοῖς μετὰ ταῦτα,
σχίσμα δὲ πεποίηκε καὶ ἀντὶ Χριστιανῶν Μελιτιανοὶ μέχρι νῦν οἱ τῆς ἐκείνου μερίδος
ὀνομάζονται. εὐθύς τε τοὺς ἐπισκόπους λοιδορεῖν ἤρξατο καὶ πρῶτον αὐτὸν Πέτρον καὶ 2
τὸν μετ' αὐτὸν Ἀχιλλᾶν διέβαλε καὶ μετὰ Ἀχιλλᾶν Ἀλέξανδρον. τοῦτο δὲ πανούργως C
ἔπραττε μαθὼν καὶ παρὰ τοῦ Ἀβεσσαλώμ, ἵν', ἐπειδὴ διὰ τὴν καθαίρεσιν ᾐσχύνετο,
κἂν ταῖς διαβολαῖς ἀπατῆσαί πως τοὺς ἀκεραίους δυνηθῇ. ταῦτα δὲ πράττοντος τοῦ 3
Μελιτίου γέγονε καὶ ἡ ἀρειανὴ αἵρεσις. ἀλλ' ἐν τῇ συνόδῳ τῇ κατὰ Νίκαιαν ἡ μὲν αἵρεσις
ἀνεθεματίσθη καὶ οἱ Ἀρειανοὶ ἐξεβλήθησαν, οἱ δὲ Μελιτιανοὶ ὁπωσδήποτε ἐδέχθησαν· οὐ
γὰρ ἀναγκαῖον νῦν τὴν αἰτίαν ὀνομάζειν. | οὔπω γὰρ πέντε μῆνες παρῆλθον, καὶ ὁ μὲν B 178 M 357 A
μακαρίτης Ἀλέξανδρος τετελεύτηκεν, οἱ δὲ Μελιτιανοὶ δέον ἠρεμεῖν καὶ χάριν ἔχειν, ὅτι
κἂν ὅλως ἐδέχθησαν, οἱ δὲ κατὰ τοὺς κύνας οὐκ ἐπιλαθόμενοι ὧν ἐξήρασαν πάλιν τὰς ἐκκλη-
σίας ἐτάραττον. Εὐσέβιος τοίνυν τοῦτο μαθὼν καὶ προιστάμενος τῆς ἀρειανῆς αἱρέσεως 4
πέμπει καὶ ὠνεῖται τοὺς Μελιτιανοὺς ἐπὶ πολλαῖς ἐπαγγελίαις. καὶ γίνεται μὲν αὐτῶν
κρύφα φίλος, συντάττεται δὲ αὐτοῖς εἰς ὃν ἐβούλετο καιρόν. τὴν μὲν οὖν ἀρχὴν προσέπεμπε
προτρέπων δέξασθαί με τοὺς περὶ Ἄρειον, καὶ ἀγράφως μὲν ἠπείλει, γράφων δὲ ἠξίου.

der Apologie, der die drei für Athanasius auf Synoden gefällten Urteile aufführt. Mit großer Berechnung auf die publizistische Wirkung hat A. nicht, wie es für ein klares historisches Verständnis der Briefe erforderlich gewesen wäre, die materies Tyriana diesen vorangestellt. Diese führt er jetzt vor, nachdem auf Grund der Briefe den Lesern die Synodalbeschlüsse in ihrer sachlichen Begründung als völlig eindeutig erscheinen mußten. Allerdings sind alle drei Dekrete für Athanasius unter Protest der Orientalen ergangen; das wird nicht gesagt. Nunmehr c. 59 ff. soll eine sehr sorgfältige Auswahl aus den Urkunden der tyrischen Synode, die von sehr allgemeinen, die wichtigsten Umstände verschweigenden Noten umrahmt sind, den Beweis erbringen, daß die drei Synoden nicht κατὰ χάριν (vgl. S. 167, 5. 17) für Athanasius gefällt sind. Größtenteils werden nur die dem Schreiben der alexandrinischen Synode beigelegten Urkunden mitgeteilt (s. oben die Noten zu S. 89). Der Gegenstand des 2. Teiles der Apologie ist eine res iudicata, die Beweiskraft der Urkunden liegt darin begründet 4 Petrus wurde am 24. 11. 311 Märtyrer, vgl. Schwartz NGG 1904, 529[3] 5 Athanasius stellt den Märtyrerbischof Petrus dem Melitius mit einer auffallenden Begründung gegenüber, vgl. Athan. ep. ad episc. Aeg. et Libyae 22 (Migne 25, 589 A) und Sozom. I 15, 1, s. Schwartz NGG 1905, 186f. παρανομίαι und θυσία konnte der Rigorist M. eher Petrus vorwerfen, der Lapsi zur Buße zuließ und dadurch die Zucht lockerte 6 M. wurde 306 exkommuniziert, vgl. Schwartz NGG 1905, 175[1] 6/7 Μελίτιος οὐ — κατέφυγεν: man muß ergänzen, M. benahm sich also unkanonisch, nicht wie Athanasius, der selbst nach den »unbegründeten« Anklagen seiner Gegner den Instanzenzug von Synode zu Synode strikt innehielt 10 Genaue Daten für Achillas lassen sich nicht ermitteln. Was überliefert ist, beruht auf Kombination. Mehr als Theodoret h. e. I 2, 8 bezeugt: er war kurze Zeit Bischof (vgl. dazu Gelasius II 1, 14. 15: 5 Mon.), ist nicht zu sagen. Alexander ist wohl schon 315 im Amt 11 Vgl. II. Reg. 15, 1 ff. 13 Gemeint ist Nicäa 325 15 Alexander starb nach Vorrede zu den Keph. am 17. 4. 328. Die fünf Monate können sich nur auf die 2. Session von Nicäa, Ende 327 beziehen, s. Zeitschr. f. neut. Wiss. 33 (1934) 156f. 17 Vgl. II. Petr. 2, 22 17 ff. Die hier bis zur Unkenntlichkeit in allgemeine Vorwürfe verflüchtigten Berichte müssen auf Ereignisse gleich zu Beginn der Amtszeit des Athanasius anspielen, als es sich um die durch die 2. Session von Nicäa beschlossene Wiederaufnahme des Arius handelte; über den Verhandlungen war Alexander gestorben, s. Urk. 32 (III 66) u. Zeitschr. f. neut. Wiss. 33[4] (1934) 155. Die Vorgänge haben sich vor 330 abgespielt

BKO RE

1 ὑμῶν B^c ἡμῶν B*R 2 τοιαῦτα] ταῦτα K 10 διέβαλλε B 11 Ἀβεσαλώμ BE 12 ἀπατῆσαι B^c ἀπαντῆσαι B* 15 νῦν] ἦν E 17 κατὰ + τὸ R*E* (getilgt R^cE^c) 21 τοὺς περὶ] τὸν B

5 ἐπειδὴ δὲ ἀντέλεγον 'μὴ χρῆναι' φάσκων 'δεχθῆναι τοὺς αἵρεσιν ἐφευρόντας κατὰ τῆς ἀλη-
θείας καὶ ἀναθεματισθέντας παρὰ τῆς οἰκουμενικῆς συνόδου', ποιεῖ καὶ βασιλέα μοι γράψαι
B τὸν μακαρίτην Κωνσταντῖνον ἀπειλὴν ἔχοντα, εἰ μὴ λάβοιμι τοὺς περὶ Ἄρειον, ταῦτά
6 με παθεῖν, ἃ πρότερον καὶ νῦν πέπονθα. τὸ τοίνυν μέρος τῆς ἐπιστολῆς ἐστι τοῦτο,
καὶ παλατῖνοι Συγκλήτιος καὶ Γαυδέντιος ἦσαν οἱ κομίσαντες τὰ γράμματα·

Μέρος ἐπιστολῆς τοῦ βασιλέως Κωνσταντίνου

... Ἔχων τοίνυν τῆς ἐμῆς βουλήσεως τὸ γνώρισμα ἅπασι τοῖς βουλομένοις εἰς τὴν ἐκκλησίαν εἰσελθεῖν ἀκώλυτον παράσχου τὴν εἴσοδον. ἐὰν γὰρ γνῶ ὥς κεκώλυκάς τινας αὐτῶν τῆς ἐκκλησίας μεταποιουμένους ἢ ἀπεῖρξας τῆς εἰσόδου, ἀποστελῶ παραχρῆμα τὸν καὶ καθαιρήσοντά σε ἐξ ἐμῆς κελεύσεως καὶ τῶν τόπων μεταστήσοντα ...

60, 1 Ἐπειδὴ τοίνυν καὶ βασιλέα γράφων ἔπειθον 'μηδεμίαν εἶναι κοινωνίαν τῇ χριστο-
C μάχῳ αἱρέσει πρὸς τὴν καθολικὴν ἐκκλησίαν', τότε λοιπὸν Εὐσέβιος τὸν καιρὸν ὃν συνεφώ-
νησε μετὰ τῶν Μελιτιανῶν προφέρων γράφει καὶ πείθει τούτους πλάσασθαι πρόφασιν,
ἵν', ὥσπερ κατὰ Πέτρου καὶ Ἀχιλλᾶ καὶ Ἀλεξάνδρου μεμελετήκασιν, οὕτω καὶ καθ' ἡμῶν
2 ἐπινοήσωσι καὶ θρυλήσωσι. πολλὰ μὲν οὖν ζητήσαντες καὶ μὴ εὑρόντες ὕστερον μετὰ
γνώμης τῶν περὶ Εὐσέβιον συντιθέασι καὶ πλάττονται πρώτην κατηγορίαν διὰ Ἰσίωνος
καὶ Εὐδαίμονος καὶ Καλλινίκου περὶ στιχαρίων λινῶν, ὡς ἐμοῦ κανόνα τοῖς Αἰγυπτίοις
3 ἐπιβαλόντος καὶ πρώτους αὐτοὺς ἀπαιτήσαντος. ἀλλὰ πρεσβυτέρων ἡμετέρων εὑρε-
B 179 θέντων ἐκεῖ καὶ βασιλέως ἀκούοντος κατεγνώσθησαν. | οἱ μὲν οὖν πρεσβύτεροι ἦσαν
M 360 A Ἄπις καὶ Μακάριος, ὁ δὲ βασιλεὺς γράφει καταγινώσκων μὲν Ἰσίωνος, κελεύων δὲ ἐμὲ
ἀπαντῆσαι πρὸς αὐτόν. καὶ τὰ μὲν γραφέντα ἐστὶ ταῦτα·

4 Ὁ δὲ Εὐσέβιος μαθὼν πείθει περιμένειν αὐτούς. καὶ ἐλθόντος μου κατηγοροῦσι πάλιν
Μακαρίου μὲν περὶ ποτηρίου, ἐμὲ δὲ οὐ τὴν τυχοῦσαν διαβολήν, ἀλλὰ τὴν ἀνωτάτω πα-

---

4 ἃ πρότερον καὶ νῦν πέπονθα, die Verurteilungen in Tyrus und 356 5 Syncletius und Gaudentius sind nach Urk. 34, 43; III 75, 6 μαγιστριανοί, also agentes in rebus 6 Das Brieffragment (= Urk. 45) übernimmt von hier: Sokr. I 27, 4, aus ihm Sozom. II 22, 5, Gelas. III 14, Theodorus Lector cod. Marc. 344 f. 56^b. Noten s. Bd. III 15ff. Die folgenden Ereignisse haben sich 330—331 abgespielt. Athanasius schreibt am Schluß des 4. Festbriefes zu Ostern 332 (p. 35, 18ff. Cureton in griechischer Übersetzung): τήνδε τὴν ἐπιστολὴν ἀπὸ κομιτάτου ἐπέμψαμεν δι' ὀφφικιαλίου ᾧ δέδοται ὑπὸ τοῦ ἀληθῶς θεοσεβοῦς Ἀβλαβίου τοῦ ἐπάρχου τοῦ πραιτωρίου. ἐν κομιτάτῳ γάρ εἰμι μετακληθεὶς ὑπὸ βασιλέως Κωνσταντίνου εἰς ὄψιν αὐτοῦ· ἀλλ' οἱ Μελιτιανοὶ οἱ ἐκεῖ παρόντες φθονοῦντες διέβαλον ἐμὲ ἐπὶ τοῦ βασιλέως, καταισχυνθέντες δὲ ἐρρίφησαν ὡς συκοφάνται διὰ πολλῶν ἐλεγχθέντες· εἰσὶ δὲ οἱ ῥιφέντες Καλλίνικος Ἰσίων Εὐδαίμων ὁ καὶ Γελοῦος [[illegible] cod.] Ἱερακάμμων ὁ διὰ τὴν τοῦ ὀνόματος αἰσχύνην Εὐλόγιον ἑαυτὸν καλέσας (s. Schwartz NGG 1911, 369). Diese Notiz muß mit dem obenstehenden Text kombiniert werden. Danach haben die Melitianer Kallinikus v. Pelusium (S. 150 nr. 25; Epiphan. haer. 68, 5, 3; III 145, 22), Ision v. Athripe (S. 150 nr. 21), Eudaimon v. Tanis (S. 150 nr. 26; was sein Beiname bedeutet, ist nicht klar), Hierakammon (sonst nicht bekannt), 330 ihre Klagen erhoben. Zunächst vertraten die beiden Z. 20 genannten Presbyter die Sache des Athanasius (zu Apis vgl. oben S. 34 Nr. 14; Macarius ist der unten viel besprochene alexandrinische Kleriker). Darauf erläßt Constantin das in den Hss. nicht erhaltene Schreiben, etwa 331 22 In der Tat blieben die Melitianer am Hofe, wie der oben zitierte Festbrief lehrt 23 Die Vorfälle mit dem zerbrochenen Kelch des Ischyras müssen etwa 330 fallen, in der Tat weiß das Keph. zum 2. Festbrief von einer Visitationsreise des Athanasius, allerdings in die Thebais zu berichten, s. unten S. 154, 11 ff.; 143, 1

BKO RE

---

6 a. Rd. $\overline{\text{μς}}$ E* $\overline{\text{να}}$ E^c | μέρος + τῆς KE | τοῦ > E 8 ὡς R^c Sokr. Soz. ὡς εἰ BKO RE* ὡς ἢ E^c 9/10 παραχρῆμα KORE Sokr. Soz. παραυτίκα B 10 τὸν τόπον K | μεταστήσαντα E 11 καὶ > E | κοινωνίαν εἶναι ~ KO 13 τούτοις E 17 στιχαρίων] χαρίων O* στιχαρίων O^c | Αἰγυπτίοις > E, Reste von αἰγ] ... jedoch a. Rd., der allerdings jetzt abgeschnitten 23 ἐμὲ] ἐμοῦ K

σῶν, ὅτι δὴ κατὰ βασιλέως γενόμενος ἔπεμψα γλωσσόκομον χρυσίου Φιλουμένῳ τινί. ὁ μὲν οὖν βασιλεὺς καὶ περὶ ταύτης ἐν τῇ Ψαμαθίᾳ ἤκουσεν ἡμῶν, αὐτοὶ δὲ συνήθως καταγνωσθέντες ἐρρίφησαν. καὶ γράφει τοῖς λαοῖς ἐπανερχομένων ἡμῶν ταῦτα·

Κωνσταντῖνος Μέγιστος Σεβαστὸς τῷ λαῷ τῷ κατὰ Ἀλεξάνδρειαν καθολικῆς 61, 1
ἐκκλησίας. B
Ἀγαπητοὶ ἀδελφοί, προσαγορεύω ὑμᾶς ἐπικαλούμενος τὸν θεὸν τὸν τῆς ἐμῆς βου-
λήσεως μέγιστον μάρτυρα καὶ τὸν τοῦ ἡμετέρου νόμου μονογενῆ δημιουργόν, ὃς καὶ
τῆς ζωῆς προκαθέζεται τῶν ἁπάντων καὶ τὰς διχονοίας μισεῖ. πλὴν τί ἂν εἴποιμι; ὅτι
καλῶς ὑγιαίνομεν; ἀλλ' ἐξῆν καλλίονος ἀπολαῦσαι τῆς εὐρωστίας, εἰ ὑμᾶς αὐτοὺς ἀμοι-
βαδὶς ἠγαπᾶτε ἀποσεισάμενοι τὰ μίση, δι' ὧν ταῖς τῶν ἐρεσχηλούντων τρικυμίαις τὸν
λιμένα τῆς ἀγάπης ἐγκατελίπομεν. φεῦ τῆς ἀτοπίας ταύτης· ὅσα καθ' ἑκάστην ἡμέραν 2
συμπτώματα τοῦ συγκεχυμένου φθόνου κινεῖται. οὕτω πρὸς τὸν λαὸν τοῦ θεοῦ μετῳκίσθη- C
σαν αἱ δυσφημίαι. ποῦ τοίνυν τῆς δικαιοσύνης ἡ πίστις ἀνακεχώρηκεν; ὅπου γε εἰς το-
σοῦτον τῇ τοῦ σκότους ἀχλύι περιβεβλήμεθα οὐ μόνον διὰ τὴν πολύπλοκον πλάνην, ἀλλὰ
καὶ διὰ τὰ τῶν ἀχαρίστων ἐλαττώματα. τῶν μὲν τὴν ἄνοιαν βραβευόντων ἀνεχόμεθα,
τῶν δὲ τὴν ἐπιείκειαν καὶ τὴν ἀλήθειαν διακρουομένων αἰσθανόμενοι παρενθυμούμεθα.
τί τὸ δεινὸν τοῦτο τῆς ἡμετέρας κακίας; τοὺς ἐχθροὺς οὐκ ἐλέγχομεν, ἀλλ' ἑπόμεθα τῷ 3
λῃστηρίῳ, δι' οὗ ὁδόν τινα ἑαυτῇ, ἵν' οὕτως εἴπω, ἡ τῆς ἀπωλείας ἀπάτη μηδενὸς ἀντι-
κειμένου ῥᾳδίως εἰργάσατο. ἆρα οὐδεμία ἐστὶν αἴσθησις οὐδὲ κατὰ χάριν τῆς κοινῆς ἁπάν-
των φύσεως, εἴ γε τῶν τοῦ νόμου προσταγμάτων ἠμελήσαμεν; ἀλλ' ἐρεῖ τις· κατὰ φύσιν
ἡ ἀγάπη ἐξευρίσκεται. τί οὖν ὅτι ἡμεῖς καὶ τὸν τοῦ θεοῦ νόμον πρὸς τῇ εὐφυΐᾳ σχόντες 4
ἀνεχόμεθα τῆς ὀχλήσεως καὶ τοῦ θορύβου τῶν ἐχθρῶν πυρσοῖς τισιν, ὡς ἔοικεν, ἐξαπτο- D
μένων; καὶ οὐχ ὁρῶμεν ὀφθαλμοὺς ἔχοντες οὐδὲ αἰσθανόμεθα, καίτοι ταῖς τοῦ νόμου αἰσθή-
σεσιν ὄντες πεφραγμένοι. ὁπόση ἄρα πτόησις τὴν ἡμετέραν ζωὴν κατείληφεν, ὅπου 5
γε ἡμῶν ἑαυτῶν οὕτως | ἀμελοῦμεν καὶ ταῦτα ὑπομιμνήσκοντος τοῦ θεοῦ; εἶτα οὐκ ἔστιν M 361 A
ἀφόρητον τὸ κακόν; οὐ πολεμίους ἡγεῖσθαι προσήκει τούτους, οὐ | τὸν οἶκον καὶ τὸν B 180
λαὸν τοῦ θεοῦ; ἐμπαροινοῦσιν ἡμῖν καὶ ἐγκαλοῦσί γε οἱ πανώλεις ἐκεῖνοι καὶ ἐπιπλήσ-
σουσιν ἐκ τῶν ἐναντίων ἡμῖν. μεθ' ὅσης δὲ ἀπονοίας τοῦτο πράττουσιν, ὑμᾶς αὐτοὺς 62, 1
ἐννοεῖν ἀξιῶ. οἱ γὰρ μωροὶ ἐπὶ τῆς γλώττης κειμένην ἔχουσι τὴν κακίαν. οὗτοι γοῦν
μολιβδίνας τινὰς ὀργὰς ἐπιφέρονται, ὡς ἑαυτοὺς μὲν κατ' ἀντίδοσιν πλήττειν, ἡμᾶς δὲ
πρὸς κέρδος τῆς οἰκείας κολάσεως ἀπάγειν. καὶ ὁ μὲν καλῶς διδάξας πολέμιος κρίνε- 2
ται, ὁ δὲ τὴν τοῦ φθόνου κακίαν προβεβλημένος ἐκεῖνος τὴν τοῦ λαοῦ ἡμερότητα οὐ δεόντως

1 Philost. I 9 (10, 23 Bidez) nennt Ph. μάγιστρος zur Zeit von Nicäa (ob μαγιστριανός?). Er begegnet als suffragator für Donatus am Hofe Konstantins etwa im Jahre 313 (Optatus I 26; CSEL 26, 28, 2); man wird dem nicht einwandfreien Zeugnis des Philost. nicht zu großen Wert beilegen, und daher annehmen, daß er 331 noch suffragator war (vgl. Godefroy zu Cod. Theod. II 29, 2) und Athanasius Gefälligkeiten bei den Verhandlungen vor Konstantin tat, wie Athan. offenbar auch des praef. praet. Ablabius sicher sein konnte 2 Psamathia, kaiserliches Gut bei Nikomedien. Da Athanasius den Festbrief zu 332 vom Hoflager schreibt, hat wohl die Verhandlung Ende 331 stattgefunden. Danach sind alle Vorfälle, die zu den Anklagen führten, zu datieren 4 Das Schreiben (= Urk. 47) ist nur hier überliefert; denn Theodoret schreibt nur eine Stelle (s. unten) aus, und Gelasius III 16, 1—3 gibt mit schweren Interpolationen den Text Theodorets wieder. Kurzes Regest bei Sozom. II 22, 8. Datum: vor Ostern 332
29 Vgl. Sir. 21, 26? 31 ff. Gemeint ist Athanasius und die Melitianer

BKO RE

1 γινόμενος ORE 2 Ψαμμαθίᾳ BKO 4 a. Rd. μζ̄ E* νβ̄ E[c] | τῷ] E* τῆς KE[c] 8 τῶν] τῆς RE 9/10 ἀμοιβαδὶς K[c]R[c] ἀμοιβαδεῖς BK*OR*E 12 φθόνου κινεῖται] φθονεῖται φθόνου E*, a. Rd. κινεῖται E 14 προβεβλήμεθα E 19 ἐστὶν + ἡ E 25 ἑαυτῶν R* αὐτῶν R[c] 28 ἡμῖν ἐκ τῶν ἐναντίων ~ E 31 καλὸς E* καλῶς E[c]

καταλαμβάνει, πορθεῖ, καταναλίσκει, καὶ ἑαυτὸν κακοθελεῖ ἐγκωμίῳ κοσμεῖ καὶ συντίθησι,
τὴν δὲ ἀλήθειαν ἀνατρέπει καὶ τὴν πίστιν ἀπατᾷ, μέχρις οὗ τῷ οἰκείῳ συνειδότι φωλεὸν
3 καὶ κρυπτηρίαν ἐπιζητήσας εὕρῃ. αὕτη γοῦν αὐτοὺς ἡ σκαιότης ἀθλίους ποιεῖ, ὅταν
B προπετῶς ἑαυτοὺς ἀναξίους ὄντας ἀποδέχωνται λέγοντες· 'φεῦ τῶν κακῶν· ἐκεῖνος πρεσ-
βύτερός ἐστι καὶ ἐκεῖνος παῖς, ἐμοῦ ἅπτεται ἡ τιμή, ἐμοὶ ὀφείλεται, ἐκείνου περιαιρεθῇ,
ἐπεὶ αὐτὸς ἐμαυτῷ ἀφαρπάσας ἅπαντας ἐπ' ἐξουσίας ἀπολέσαι πειράσομαι'. λαμπρά
τις ἡ τῆς μανίας ἐκβόησις, τάγματα καὶ συλλόγους ἤ, ἵν' οὕτως εἴπω, ἀρχιαιρεσίαν τῶν
4 ἀτόπων τούτων συστημάτων ἰδεῖν. ὢ τῆς ἀτοπίας ἡμῶν, ἵν' οὕτως εἴπω, ἐπὶ τῆς
ἐκκλησίας τοῦ θεοῦ ἀνοίας ἐστὶν ἐπίδειξις. εἶτα οὐκ αἰδοῦνται; οὐκ αὐτοὶ ἑαυτοὺς ψέγουσιν
οὐδὲ τὰς ψυχὰς δάκνονται, ἵνα νῦν γοῦν καταντικρὺ τῆς ἀπάτης καὶ τῆς ἐρεσχηλίας ἄξιόν
5 τι φρονεῖν δόξωσι; βία μόνη ἐστὶ τοῦ φθόνου τοῖς ἰδίοις ἐπερειδομένη φαρμάκοις. οὐδὲν
C ἴσχυσαν οἱ πονηροὶ κατὰ τοῦ ἐπισκόπου ὑμῶν, ἐμοὶ πιστεύσατε, ἀδελφοί. οὐδὲν ἕτερον
ἐσπουδάκασιν, ἢ ἵνα κατατρίψαντες τοὺς ἡμετέρους χρόνους μηδεμίαν χώραν ἐν τῇ ζωῇ
ταύτῃ μεταμελείας ἔχωσιν. ἐπικουρήσατε τοίνυν ὑμῖν αὐτοῖς, παρακαλῶ, τὸ φίλτρον τὸ
ἡμέτερον ἀγαπήσατε καὶ παντὶ σθένει διώξατε τοὺς τὴν τῆς ἡμετέρας ὁμονοίας χάριν
ἀφανίζειν ἐπιθυμοῦντας καὶ πρὸς τὸν θεὸν ἀπιδόντες ὑμᾶς αὐτοὺς ἀγαπᾶτε. ἐγὼ γὰρ
τὸν ὑμέτερον ἐπίσκοπον Ἀθανάσιον ἀσμένως προσηκάμην οὕτως τε προσεφθεγξάμην
7 ὡς ἄνθρωπον αὐτὸν θεοῦ ὄντα πεπεισμένος. ὑμέτερόν ἐστι ταῦτα συνιέναι, οὐκ
ἐμὸν κρίνειν. τὴν γὰρ παρ' ἐμοῦ πρόσρησιν αὐτὸν Ἀθανάσιον ὑμῖν διακονῆσαι τὸν
αἰδεσιμώτατον ἀναγκαῖον ἡγησάμην ἐννοῶν τὴν ἐπιμέλειαν τῆς ἐπιεικείας αὐτοῦ, ἥτις
D οὐκ ἀναξίως τῆς εἰρηνικῆς μου πίστεως εἰς τὸ ἀγαθὸν τῆς σωτηριώδους γνώμης κατέχεται
διαπαντὸς καὶ ἕξει τὸν προτρέποντα λογισμόν. ὁ θεὸς ὑμᾶς διαφυλάξει, ἀδελφοὶ ἀγα-
M 364 A πητοί. |

B 181 **63, 1** Τούτων οὕτως πραχθέντων πρὸς ὀλίγον ἡσυχάσαντες οἱ Μελιτιανοὶ παροξύνονται |
πάλιν, καὶ ταύτην ὕστερον τίθενται βουλὴν σπουδάζοντες ἀρέσαι τοῖς μισθωσαμένοις
2 αὐτούς. Μαρεώτης χώρα τῆς Ἀλεξανδρείας ἐστίν· ἐν ταύτῃ σχίσμα Μελίτιος οὐκ
ἠδυνήθη ποιῆσαι. τῶν τοίνυν ἐκκλησιῶν ἐν ὡρισμένοις τόποις οὐσῶν καὶ τῶν πρεσβυ-
τέρων πάντων ἐν αὐταῖς συναγόντων τῶν τε λαῶν εἰρηνευόντων Ἰσχύρας τις οὕτω λε-
γόμενος, οὐ κληρικός, ἀλλὰ καὶ τὸν τρόπον πονηρός, ἐπεχείρει τοὺς ἐν τῇ ἰδίᾳ κώμῃ πλανᾶν

12 οἱ πονηροί sind die Melitianer 24 Nachdem der Brief des Kaisers bei dem Leser das dem Athanasius erwünschte Vorurteil geschaffen hat, wird die Prozeßmaterie mit den allernotwendigsten Bemerkungen kurz erklärt. Nach S. 140, 23; 144, 5 ist ja die Ischyrassache schon in Psamathia verhandelt worden. Athanasius beachtet also die chronologische Folge der Ereignisse überhaupt nicht, auch sind die folgenden Angaben nicht einmal die Rudimente einer Darstellung; das ist beim Lesen genau zu beachten. Jedenfalls fällt die Ischyrassache spätestens in das Jahr 330, in dem A. eine Visitationsreise durchführte, vgl. 143, 1 27 ff. Daß die Melitianer nicht in der Mareotis vertreten waren, schließt A. allein aus der Liste des Melitius c. 72, in der kein Kleriker für die Mareotis erwähnt ist. Den wahren Sachverhalt, daß Ischyras Kolluthianer war, mag der Leser aus den Briefen c. 74, 3; 76 entnehmen. Die Darstellung der Melitianer über die Vorgänge findet sich in Sozomenus' Exzerpt aus den Akten von Tyrus II 25, 3: ... ὅτι μυστικὸν ποτήριον συνέτριψε καὶ ἐπισκοπικὸν καθεῖλε θρόνον, καὶ Ἰσχυρίωνα τοῦτον πρεσβύτερον ὄντα πολλάκις καθεῖρξε καὶ συκοφαντήσας πρὸς Ὑγῖνον τὸν Αἰγύπτου ὕπαρχον ὡς βασιλικὰς εἰκόνας λιθάσαντα δεσμωτήριον οἰκεῖν παρεσκεύασε, vgl. dazu Schwartz NGG 1911, 374; die tyrische Klage wird von den Orientalen in Serdica wiederholt (CSEL 65, 53, 12 ff.)

BKO RE

2 οὗ B οὐδ' ἂν KOR οὗ δ'ἂν E | φωλεὰν KO 3 αὐτοὺς B^c αὐτοῖς B^* 4 ἀποδέχονται R 7 ἀρχιαιρεσίαν Op. ἀρχιερεσίαν B ἀρχιαιρέσια E ἀρχιερέσια OR ἀρχιερέα K 11—18 = Theodoret (= Thdt.) h. e. I 27 (82, 1—9 Parm.), davon abhängig Theod. lect. f. 57^b (= Th.) 15 ἡμέτερον BKORE ὑμέτερον Thdt. Th. | τὴν nachgetr. B^c | ὑμετέρας Thdt. (Bz) Th. 18 θεοῦ αὐτὸν ∼ E | αὐτὸν B^c αὐτοῦ B^* | θεοῦ ὄντα] εἶναι θεοῦ Thdt. 21 ἀναξίους R 22 προτρέποντα] πρέποντα E | διαφυλάξοι BKO 25 σπουδάσαντες E 26 Μαρεώτις BKO 29 ἰδίᾳ] Ἰουδαίᾳ E

λέγων εἶναί τινα ἑαυτὸν κληρικόν. τοῦτο μαθὼν ὁ τῶν τόπων πρεσβύτερος περι- 3
ερχομένῳ μοι τὰς ἐκκλησίας ἀναγγέλλει. καὶ ἀποστέλλω σὺν αὐτῷ Μακάριον πρεσβύτερον
καλέσαι τὸν Ἰσχύραν. εὑρόντες δὲ αὐτὸν νοσοῦντα καὶ κατακείμενον ἐν κελλίῳ ἐντέλλον-
ται τῷ πατρὶ αὐτοῦ παραγγεῖλαι τῷ υἱῷ μηδέν τι τοιοῦτον ἐπιχειρεῖν, οἷον εἴρηται κατ' B
αὐτοῦ. ἀλλ' ἀναστὰς ἀπὸ τῆς νόσου καὶ κωλυόμενος ἀπὸ τῶν ἰδίων καὶ τοῦ πατρὸς
καταφεύγει πρὸς τοὺς Μελιτιανούς. κἀκεῖνοι κοινοῦνται τοῖς περὶ Εὐσέβιον καὶ λοιπὸν 4
συντίθεται παρ' αὐτῶν ἡ συκοφαντία ὅτι δὴ ποτήριον μὲν Μακάριος κατέαξεν, Ἀρσένιος
δέ τις ἐπίσκοπος ἐφονεύθη παρ' ἡμῶν. καὶ τὸν μὲν Ἀρσένιον κρύπτουσιν ὑπὲρ τοῦ μὴ
φαινόμενον αὐτὸν ὡς ἀναιρεθέντα νομίζεσθαι καὶ χεῖρα, φησίν, ὡς συγκοπέντος αὐτοῦ
περιέφερον, τὸν δὲ Ἰσχύραν, ὃν οὐκ ᾔδεισαν, ἄρχονται θρυλεῖν ὡς πρεσβύτερον,
ἵνα καὶ περὶ ποτηρίου λέγων πλανᾶν δύνηται. ὁ μὲν οὖν Ἰσχύρας μεμφομένων αὐτὸν 5
τῶν ἰδίων ἦλθε πρὸς ἡμᾶς ἀποδυρόμενος καὶ λέγων μηδὲν μὲν γεγενῆσθαι παρὰ Μακαρίου, C
οἷον ἐθρύλησαν, ὑποβεβλῆσθαι δὲ ἑαυτὸν παρὰ τῶν Μελιτιανῶν πλάσασθαι τοιαύτην
λοιδορίαν. καὶ γράφει ταῦτα·

Τῷ μακαρίῳ πάπᾳ Ἀθανασίῳ Ἰσχύρας ἐν κυρίῳ χαίρειν. **64, 1**
Ἐπειδὴ προσῆλθόν σοι, κύριε ἐπίσκοπε, βουλόμενος τῆς ἐκκλησίας εἶναι, ᾐτιάσω δέ
με ἐφ' οἷς πρότερον ἐφθεγξάμην, ὡς ἐμοῦ ἀπὸ προαιρέσεως εἰς τοῦτο παρελθόντος, τούτου
ἕνεκεν ταύτην τὴν ἀπολογίαν ἐγγράφως σοι ἐπιδίδωμι, ἵν' εἰδέναι ἔχοις ὅτι βίας μοι
γενομένης καὶ πληγῶν ἐπιτεθεισῶν ἀπὸ Ἰσαὰκ καὶ Ἡρακλείδου καὶ Ἰσαὰκ τοῦ τῆς
Λητοῦς καὶ ὑπὸ τῶν σὺν αὐτοῖς. ἐγὼ δὲ μάρτυρα τὸν θεὸν εἰς τοῦτο λαμβάνων ἀπο- 2
λογοῦμαι ὅτι οὐδὲν ὧν ἐκεῖνοι εἰρήκασι σύνοιδά σε πεποιηκέναι. οὔτε γὰρ ποτηρίου D
κλάσις γέγονεν οὔτε τῆς ἁγίας τραπέζης καταστροφὴ γεγένηται, ἀλλὰ ταῦτα πάντα
ἐκεῖνοι βίαν ἐπιθέντες μοι εἰς τοῦτο παρώρμησάν με. ταῦτα δὲ ἀπελογησάμην σοι καὶ
ἐγγράφως ἐπιδέδωκα αἱρούμενος καὶ ἐπιδικαζόμενος εἶναι τῶν ὑπὸ σὲ συναγομένων. | B 182
ἐρρῶσθαί σε εὔχομαι ἐν κυρίῳ.
Ἐπιδέδωκα δὲ τήνδε μου τὴν χεῖρά σοι τῷ ἐπισκόπῳ Ἀθανασίῳ | ἐπὶ παρουσίᾳ **3** M 365 A
τῶν πρεσβυτέρων 1 Ἀμμωνᾶ Δικέλλης, 2 Ἡρακλείου Φάσκω, 3 Βόκκονος Χενεβρί,
4 Ἀχιλλᾶ Μυρσίνης, 5 Διδύμου Ταφοσίρεως καὶ 6 Ἰούστου ἀπὸ Βωμοθέου, καὶ διακόνων

2 Über die Visitationsreise vgl. c. 74, 6 S. 154, 11 3ff. Vgl. c. 83, 2 7 Die Erwähnung des Arsenius steht außer allem Zusammenhang; es wird S. 94, 18ff. vorausgesetzt. Die Einzelheiten des Konfliktes mit Arsenius werden weder hier noch sonst bei Athanasius berichtet. Nur durch Sozomenus' Exzerpte aus den tyrischen Akten, II 25, 12, ist überliefert, daß die Melitianer behaupteten, ὡς Πλουσιανός τις, ἐπίσκοπος τῶν ὑπὸ Ἀθανασίου [s. unten S. 147, 21] κατὰ πρόσταξιν αὐτοῦ τὴν Ἀρσενίου οἰκίαν κατέφλεξε, καὶ κίονι προσδήσας καὶ ἱμᾶσιν αἰκισάμενος ἐν οἰκίσκῳ καθεῖρξε· διὰ θυρίδος δὲ ἀποδρᾶσαι τοῦτον· καὶ ἐπειδὴ ζητητέος ἦν, ἐπὶ χρόνον λαθεῖν κρυπτόμενον· μὴ φαινόμενον δὲ εἰκότως ἀποθανεῖν νομισθῆναι. Dieser Bericht wird wohl zutreffen. Aber die Sache des Arsenius war erledigt, vgl. c. 65, und bildete nicht mehr einen Bestandteil des tyrischen Urteils. Arsenius selbst wurde 346 von Athanasius in Ehren eingesetzt, s. oben S. 129 Nr. 197 11 Das Geständnis wurde ihm abgepreßt, vgl. unten S. 154, 16; denn Ischyras hat nie von selbst den Weg zu Athanasius gefunden, noch in Serdica war er als Bischof der Mareotis bei den Orientalen 16 Der Brief nur hier (= Urk. 48), er lag dem Schreiben der alexandrinischen Synode bei, vgl. S. 99, 26. Datum: 332 19 Isaak v. Kleopatris (S. 150 nr. 17); Heracleides v. Nikiu (S. 150 nr. 16); Isaak v. Leto (S. 150 nr. 15; Pap. Lond. 1914, 7 bei: Bell, Jews and Christian in Egypt) 27ff. Zu den Namen: 1. i. J. 318: oben S. 34 nr. 50; 335: S. 155 nr. 3 2. 335: S. 155 nr. 4 3. 318: S. 34 nr. 55; 335: S. 155 nr. 5 4. 318: S. 34 nr. 57 5. 318: S. 34 nr. 53 6. Vgl. S. 35 nr. 62

BKO RE

7 συντίθενται R 9 νομίζοντες E 14 ταῦτα + ἐπιστολὴ Ἰσχύρα K 15 a. Rd. ο̅ B ν̅θ̅ K ν̅γ̅ R μ̅η̅ E* ν̅γ̅ E[c] | τῷ > RE 18 ἔχῃς E 24 ὑπὸ RE ἐπὶ BKO 28 Μυρσήνης BO

ἀπὸ μὲν Ἀλεξανδρείας 7 Παύλου καὶ 8 Πέτρου καὶ 9 Ὀλυμπίου, ἀπὸ δὲ Μαρεώτου
10 Ἀμμωνίου καὶ 11 Πιστοῦ καὶ 12 Δημητρίου καὶ 13 Γαίου.

65, 1 Ταῦτα γράψαντος καὶ Ἰσχύρα ὅμως πάλιν τὴν τοιαύτην κατηγορίαν θρυλοῦσι
μὲν πανταχοῦ, ἀναφέρουσι δὲ καὶ τῷ βασιλεῖ Κωνσταντίνῳ. κἀκεῖνος περὶ μὲν τοῦ ποτη-
ρίου φθάσας ἦν ἀκούσας αὐτὸς ἐν τῇ Ψαμαθίᾳ παρόντων ἡμῶν καὶ καταγνοὺς τῆς συκο-
φαντίας τῶν ἐχθρῶν, γράφει δὲ εἰς τὴν Ἀντιόχειαν Δαλματίῳ τῷ κήνσωρι ἀκοῦσαι περὶ
2 τῆς τοῦ φόνου δίκης. ὁ τοίνυν κήνσωρ ἐπιστέλλει μοι παρασκευάσασθαι πρὸς ἀπο-
B λογίαν τοῦ ἐγκλήματος. ἐγὼ δὲ δεξάμενος τὰ τοιαῦτα γράμματα, καίτοι τὴν ἀρχὴν μηδὲ
προσποιούμενος διὰ τὸ εἰδέναι μηδὲν αὐτοὺς λέγειν ἀληθές, ὅμως, ἐπειδὴ βασιλεὺς κεκί-
νητο, γράφω τοῖς συλλειτουργοῖς εἰς Αἴγυπτον καὶ πέμπω διάκονον βουλόμενος μαθεῖν
3 περὶ Ἀρσενίου· οὐ γὰρ ἑωράκειν τὸν ἄνθρωπον ἔτεσί που πέντε ἢ ἕξ. καὶ τί γάρ;
ἵνα μὴ τελείως τὰ τούτων λέγω, ἐγνώσθη κρυπτόμενος ὁ Ἀρσένιος τὴν μὲν ἀρχὴν ἐν
Αἰγύπτῳ, λοιπὸν δὲ καὶ ἐν Τύρῳ πάλιν κρυπτόμενον αὐτὸν εὗρον οἱ ἡμέτεροι. καὶ τό γε
θαυμαστὸν οὐδὲ εὑρεθεὶς ὡμολόγει αὐτὸς εἶναι Ἀρσένιος, ἕως ἐν δικαστηρίῳ ἐπὶ Παύλου
τοῦ τηνικαῦτα ἐπισκόπου τῆς Τύρου ἠλέγχθη καὶ καταισχυνθεὶς λοιπὸν οὐκ ἠρνήσατο.
C τοῦτο δὲ ἐποίει φυλάττων ⟨τὴν πρὸς⟩ τοὺς περὶ Εὐσέβιον συνθήκην, ἵνα μὴ ὡς εὑρεθέντος
4 λοιπὸν ἐκείνων τὸ δρᾶμα διαλυθῇ, ὅπερ καὶ γέγονε. γράψαντος γάρ μου τῷ βασιλεῖ
ὅτι Ἀρσένιος εὑρέθη, καὶ ὑπομνήσαντος αὐτὸν περὶ ὧν ἤκουσεν ἐν τῇ Ψαμαθίᾳ Μακαρίου
τοῦ πρεσβυτέρου χάριν, ἔπαυσε μὲν τὸ δικαστήριον τοῦ κήνσωρος, ἔγραψε δὲ κατα-
γινώσκων τὴν συκοφαντίαν τῶν καθ' ἡμῶν γενομένων καὶ τοὺς περὶ Εὐσέβιον ἐρχομένους
5 εἰς τὴν Ἀνατολὴν καθ' ἡμῶν ἐκέλευσεν ὑποστρέψαι. ὅτι μὲν οὖν κατηγόρησαν ὡς
ἀναιρεθέντος Ἀρσενίου, ἵνα μὴ ταῖς παρὰ τῶν πολλῶν γραφείσαις ἐπιστολαῖς χρήσωμαι,
ἀρκεῖ μόνον τὴν Ἀλεξάνδρου τοῦ ἐπισκόπου Θεσσαλονίκης παραθέσθαι· ἀπὸ γὰρ
D ταύτης καὶ τὰς τῶν ἄλλων γνῶναι δυνατόν. ἐκεῖνος τοίνυν εἰδὼς ὅσα μὲν ἐθρύλησε
M 368 A B 183 καθ' ἡμῶν Ἀρχὰφ ὁ καὶ Ἰωάννης περὶ φόνου, καὶ μαθὼν ὅτι ζῇ Ἀρσένιος, γράφει ταῦτα· |

7. 318: S. 34 nr. 28 8. 318: S. 34 nr. 29 9. 318: S. 34 nr. 24 10. 318: S. 34 nr. 70; 335: S. 155 nr. 21 11. 335: S. 155 nr. 16 12. 318: S. 34 nr. 64 13. 318: S. 34 nr. 74

4 Aus dieser Stelle geht klar hervor, daß der Prozeß wegen Arsenius erst 332 stattgefunden hat, vgl. Constantin unten S. 146, 16 ff. Also die Ischyrassache darf nicht mit der des Arsenius verbunden werden (gegen Holl, Ges. Aufsätze II 284). Athanasius knüpft hier wieder an c. 60 S. 141, 2 an. Die Sache des Arsenius wird von Athan. mit der des Ischyras gekoppelt, obwohl jene erst nach der Verhandlung in Psamathia fällt. Nach Z. 8 ist Athanasius in Alexandrien. Der Prozeß findet in Antiochien statt, weil nach Z. 20 Euseb und die Synode sich mit der Sache befaßten 6 Dalmatius, Bruder Constantins; er bekam den Ehrentitel eines Censors s. Chron. pasch. bei Philostorgius S. 207, 3 Bidez, mit sittenrichterlichen (?) Funktionen, wie wohl aus Cod. Theod. XII 17, 1, Cod. Just. V 17, 7 hervorgeht. 333 war er Konsul 10 Vgl. S. 145, 20 14 Paulus v. Tyrus nur hier bezeugt. Neben dieser Darstellung der Entdeckung des Arsenius sind alle anderen Berichte Legende, die die Entlarvung des Arsenius vielleicht auch wegen S. 151, 15 auf die tyrische Synode verlegen; Rufin. X 18, Sokr. I 29, 5 ff., Sozom. II 25, 9. 10, Theodoret h. e. I 30. Etwas weicht Epiphan. haer. 68, 10, 1 (III 150, 10 ff.) ab, der von einer Entdeckung des A. in Arabia etwas weiß 19 f. Vgl. c. 68 20 Es war also in Antiochien eine Synode zusammengetreten 25 Johannes Archaph v. Memphis, wurde der Führer der Melitianer nach dem Tode des Melitius (Sozom. II 21, 2). Er vertrat die Melitianer am Hofe, Epiphan. haer. 68, 5, 3 (III 145, 21)

BKO RE

1 Μαρεώτου + Ὀλυμπίου B*, getilgt B^{c} 4 τῷ > ORE 5 Ψαμ̈μαθίᾳ B Ψα$^{\mu}$μαθίᾳ K 6 τὴν > BKO 6/7 περὶ τῆς BKO τῆς περὶ RE 12 τούτων] τοιαῦτα B 14 θαυμαστὸν + ὅτι K | εἶναι + ὁ B 16 ⟨τὴν πρὸς⟩ Op. ⟨πρὸς⟩ Comm. Montf. | τοὺς E* τὴν E^{c} 17 λυθῇ B 18 Ψαμ̈μαθίᾳ B Ψα$^{\mu}$μαθίᾳ K 19 τοῦ > B 22 χρήσομαι R 25 καὶ — ταῦτα > O | ταῦτα + ἐπιστολὴ Ἀλεξάνδρου ἐπισκόπου K

Κυρίῳ ἀγαπητῷ υἱῷ καὶ ὁμοψύχῳ συλλειτουργῷ Ἀθανασίῳ Ἀλέξανδρος ἐπί- **66, 1**
σκοπος ἐν κυρίῳ χαίρειν.

Συγχαίρω τῷ βελτίστῳ Σαραπίωνι οὕτως ἱεροῖς ἑαυτὸν ἤθεσι κοσμεῖν ἀγωνιζο-
μένῳ καὶ τὴν [τε] τοῦ πατρὸς μνήμην ἐγκωμιαστικώτερον ἐπαύξοντι. »ἐτελεύτησε γάρ«, ὥς
που ἡ ἱερά φησι γραφή, »ὁ πατὴρ αὐτοῦ καὶ ὡς οὐκ ἀπέθανε«, κατέλιπε γὰρ τῷ βίῳ μνη-
μόσυνον. ὅπως μὲν οὖν διεκείμεθα περὶ τὸν μνήμης ἄξιον Σώζοντα, οὐδ' αὐτὸς ἀγνοεῖς, **2**
δέσποτα, τὴν περὶ ἐκεῖνον ἱερὰν μνήμην καὶ τὴν προσοῦσαν τῷ νεωτέρῳ ἐπιείκειαν. μίαν
μόνην τὴν διὰ τοῦ νεωτέρου τούτου ἐδεξάμην παρὰ τῆς σεμνότητός σου ἐπιστολήν.
ἐδήλωσα οὖν σοι αὐτὸ τοῦτο, ἵν' εἰδέναι ἔχοις, δέσποτα. ὁ ἀγαπητὸς ἡμῶν καὶ **3**
συνδιάκονος Μακάριος εὔφρανέ με ἀπὸ τῆς Κωνσταντινουπόλεως γράψας, ὅπως Ἀρχὰφ **B**
ὁ συκοφάντης ἠσχημόνησε τὸν ζῶντα ὡς φονευθέντα παρὰ πᾶσι κηρύξας. ὅτι γὰρ τὴν
ἐπὶ τοῖς τολμηθεῖσιν αὐτῷ ἀξίαν εἴσπραξιν κομιεῖται παρὰ τοῦ δικαίου κριτοῦ μετὰ τοῦ
ὁμοτρόπου στίφους, αἱ ἀψευδεῖς ἀναφωνοῦσι γραφαί. ὁ τῶν ὅλων διατηροίη σε ἐπὶ
μήκιστον δεσπότης, κύριε πάντων χάριν χρηστότατε.

Ὅτι δὲ ἐκρύπτετο Ἀρσένιος διὰ τοῦτο, ἵνα θάνατον οὗτοι πλάσωνται, τοῦτο μαρ- **67, 1**
τυροῦσιν οἱ σὺν αὐτῷ διατρίψαντες· ζητοῦντες γὰρ αὐτὸν εὕρομεν τοῦτον, καὶ ἔγραψε
⟨ὁ Πίννης⟩ πρὸς Ἰωάννην τὸν ὑποκρινόμενον τὴν τοιαύτην συκοφαντίαν ταῦτα·

Τῷ ἀγαπητῷ ἀδελφῷ Ἰωάννῃ Πίννης πρεσβύτερος μονῆς Πτεμενκύρκεως τοῦ
Ἀντεοπολίτου νομοῦ χαίρειν. **C**

Γινώσκειν σε θέλω ὅτι ἀπέστειλεν Ἀθανάσιος εἰς τὴν Θηβαΐδα διάκονον ἑαυτοῦ **2**
ἐρευνῆσαι πάντα ἕνεκεν Ἀρσενίου. καὶ πρῶτον μὲν εὑρεθέντες Πεκύσιος πρεσβύτερος
καὶ Σιλβανὸς ὁ ἀδελφὸς Ἡλία καὶ Ταπενακεραμεὺς καὶ Παῦλος μοναχὸς ἀπὸ Ὑψηλῆς
ὡμολόγησαν ὅτι παρ' ἡμῖν ἐστιν Ἀρσένιος, ἡμεῖς δὲ μαθόντες πεποιήκαμεν αὐτὸν ἐμ-
βληθῆναι εἰς πλοῖον καὶ | πλεῦσαι εἰς τὰ κάτω μέρη μετὰ Ἡλία μοναχοῦ. καὶ ἐξαίφνης **3** B 184
μετὰ ταῦτα πάλιν ἀνελθὼν ὁ διάκονος μετά τινων ἐπιστὰς ἐν τῇ μονῇ ἡμῶν ἕνεκεν τοῦ
αὐτοῦ Ἀρσενίου αὐτὸν μὲν οὐχ εὕρηκεν διὰ τὸ ἀπεσταλκέναι ἡμᾶς αὐτόν, ὡς προείπομεν,
ἐν τοῖς κάτω μέρεσιν, ἐμὲ δὲ μετὰ τοῦ μοναχοῦ τοῦ παραλαβόντος αὐτὸν Ἡλία κατήνεγκαν **D**
εἰς τὴν Ἀλεξάνδρειαν καὶ προσήνεγκάν με τῷ δουκί, καὶ οὐκ ἴσχυσα ἀρνήσασθαι, ἀλλ'
ὡμολόγησα, ὅτι ζῇ καὶ οὐκ ἀνῃρέθη. τὰ αὐτὰ δὲ καὶ ὁ παραλαβὼν αὐτὸν | μοναχὸς
ὡμολόγησε. διὰ τοῦτο ταῦτά σοι γνωρίζω, πάτερ, ἵνα μὴ δόξῃ σοι κατηγορῆσαι **4** M 369A
Ἀθανασίου· εἶπον γὰρ ὅτι ζῇ καὶ παρ' ἡμῖν ἦν κρυπτόμενος. καὶ ἐγνωρίσθη πάντα

1 Der Brief (= Urk. 55) ist nur hier überliefert. Das Dokument ist seltsam; ob Athan. nicht ein besseres Zeugnis beibringen konnte, aus dem das Prozeßergebnis des Bischofsgerichtes in Tyrus hervorging? Offenbar stand ihm auf der Flucht kein anderes Dokument zur Verfügung. Was die Sache des Sarapion und Sozon bedeutet, ist unbekannt. Datum: 332 4 Sir. 30, 4 10 Macarius, ein Diakon Alexanders, ist offenbar sein Legat am Hofe; oder steckt hinter M. der bekannte Presbyter des Athanasius? 18 Der Brief (Urk. 50) an Johannes Archaph nur hier überliefert. Ein Regest bei Sozom. II 23, 5. Ein Mönch namens Πέννης begegnet auch in der melitianischen Mönchskorrespondenz Pap. Lond. 1919, 2. Das Kloster ist unbekannt, und kaum eins der Pachomianischen, obwohl einige der Namen in der Pachomiusvita vorkommen. Datum: 332 22 Paulus, offenbar ein Mönch aus der Stadt des Arsenius 28 Die staatlichen Stellen unterstützen also Athanasius, wie es auch durch Pap. Lond. 1914 und Sozom. II 25, 3 bezeugt ist 30 ff. Der Brief soll Johannes warnen

BKO RE

1 a. Rd. οα B ξ K νδ RE | υἱῷ καὶ > K 3 αὐτὸν KO 4 [τε] Op. 9 ἔχοις RE ἔχῃς BKO 11 παρὰ + παρὰ E*, getilgt E^c 17 ⟨ὁ Πίννης⟩ Op. | ταῦτα + ἐπιστολαὶ δι' Ἀρσένιον K 18 a. Rd. οβ B ξα K νε RE | Πένης E* Πέννης E^c | Πτεμενκύρεως K 19 Ἀντεπολίτου R 22 ὁ > B 27 αὐτὸν παραλαβόντος ∼ RE 28 τὴν > E | με Op. μὲν BKORE | ἴσχυσαι O

ταῦτα ἐν Αἰγύπτῳ καὶ οὐκέτι δύναται κρυβῆναι τοῦτο. Παφνούτιος μοναχὸς τῆς αὐτῆς μονῆς ὁ γράψας τὴν ἐπιστολὴν πολλά σε ἀσπάζομαι, ἐρρῶσθαί σε εὔχομαι.

68, 1 Ἃ δὲ καὶ βασιλεὺς ἔγραψε μαθὼν ὅτι εὑρέθη Ἀρσένιος ζῶν, ἔστι ταῦτα·

Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς τῷ πάπᾳ Ἀθανασίῳ.
Τοῖς παρὰ τῆς σῆς συνέσεως ἐντυχὼν γράμμασι ταύτης γνώμης αὐτὸς ἐγενόμην,
ὡς ἀντιγράφων τῇ σῇ στερρότητι προτρέψασθαί σε, ὅπως πρὸς εὐταξίαν καὶ οἶκτον
B τὸν τοῦ θεοῦ λαὸν ἄγειν σπουδάσῃς. ταῦτα γὰρ μάλιστα προηγούμενα ἐν τῇ ἐμαυτοῦ
ψυχῇ κατέχω, ὡς ἀλήθειάν τε ἀσκεῖν καὶ ἐν τῇ διανοίᾳ δικαιοσύνην ἀεὶ φυλάττειν καὶ
2 τούτοις μάλιστα χαίρειν τοῖς ὀρθὴν ὁδὸν τοῦ βίου πορευομένοις. περὶ δὲ ἐκείνων τῶν
πάσης ἀρᾶς ἀξίων, τῶν Μελιτιανῶν δηλαδὴ τῶν σκαιοτάτων καὶ ἀθεμίτων, οἵτινες τῇ
ἐμπληξίᾳ λοιπὸν ἀπονεναρκήκασι καὶ μόνον φθόνῳ καὶ ζάλῃ καὶ θορύβοις τὰ ἄτοπα
κινοῦσι τὴν ἀθέμιτον αὐτῶν διάνοιαν ἐπιδεικνύντες, ταῦτα φθέγξομαι. ὁρᾷς γάρ, ὅπως
οἱ ἄνδρες, οὓς ἐκεῖνοι ξίφει ἀνῃρῆσθαι ἔφασκον, ἐν μέσοις νῦν εἰσι καὶ τῆς ζωῆς ἀπολαύουσι.
πρὸς δὴ ταῦτα τί ἂν γένοιτο πρόκριμα χεῖρον οὕτω φανερῶς καὶ σαφῶς ἐπιφερόμενον
C τῇ ἐκείνων δίκῃ, ἢ τὸ τούτους, οὓς ἀνῃρῆσθαι ἔλεγον, ζῆν τε καὶ τοῦ βίου ἀπολαύειν,
3 οἵτινες δηλονότι καὶ ὑπὲρ ἑαυτῶν φθέγξασθαι δυνήσονται; προσέκειτο δὲ καὶ τοῖς
παρὰ τῶν Μελιτιανῶν ἐκείνων καὶ τοῦτο. διεβεβαιοῦντο γὰρ ἀθεμίτῳ ὁρμῇ ἐπεισελθόντα
σε καὶ ἁρπάσαντα ποτήριον ἐν τῷ ἁγιωτάτῳ ἀποκείμενον τόπῳ κεκλακέναι, οὗ πράγ-
ματος ἀληθῶς οὐδὲν μεῖζον ἦν ἔγκλημα οὔτε τηλικοῦτον ἀτόπημα, εἰ τοῦτο οὕτως πε-
πρᾶχθαί τε καὶ ἡμαρτῆσθαι συνέβαινεν. ἀλλὰ γὰρ τίς ἡ κατηγορία αὕτη; τίς δὲ ἡ μετά-
βασις καὶ ποικιλία τοῦ πράγματος, ὡς νῦν εἰς ἕτερον πρόσωπον τὴν κατηγορίαν τοῦ
ἐγκλήματος τούτου μετάγειν; ὅπερ δηλονότι πρᾶγμα αὐτοῦ τοῦ φωτὸς ὡς εἰπεῖν ἐστὶ
B 185 4 τηλαυγέστερον, | ὅτι τῇ σῇ συνέσει ἐπιβουλεῦσαι ἐσπούδαζον. μετὰ δὴ ταῦτα τίς
ἂν ἐκείνοις τοῖς ἀνθρώποις τοῖς τοσαῦτα εἰς βλάβην ἀναπλασαμένοις ἀκολουθῆσαι ἐθελή-
D σειεν; ὅταν μάλιστα αὐτοὶ ἑαυτοὺς εἰς ὄλεθρον ἄγωσι καὶ συνορῶσιν ὅτι πεπλασμένων
καὶ ψευδῶν πραγμάτων εἰσὶ κατήγοροι; ὡς ἔφην τοίνυν, τίς ἂν ἐκείνοις ἐξακολουθήσειε
καὶ εἰς τὴν ὁδὸν τῆς ἀπωλείας πρηνὴς ἀπέλθοι; εἰς ἐκείνην δηλαδὴ εἰς ἣν ἐκεῖνοι μόνοι
5 τὴν ἐλπίδα τῆς σωτηρίας καὶ τῆς ἐπικουρίας ἔχειν οἴονται. εἰ γὰρ βούλοιντο ἐπὶ καθαρὰν
ἐλθεῖν συνείδησιν καὶ ὑπομνησθῆναι τῆς ἀρίστης γνώμης καὶ ἐπὶ τὴν ὑγιαίνουσαν ἐλθεῖν
διάνοιαν, ῥᾳδίως γνώσονται οὐδεμίαν αὐτοῖς ὑπάρχειν ἐπικουρίαν παρὰ τῆς προνοίας,
M 372 A ἐπειδήπερ τοιούτων εἰσὶ ζηλωταὶ καὶ ἐπὶ τῷ | οἰκείῳ ὀλέθρῳ πειράζονται. ταύτην δὴ
6 οὖν οὐ τραχύτητά τινα, ἀλλὰ ἀλήθειαν δικαίως ἂν εἴποιμι. τὸ τελευταῖον δὲ καὶ
τοῦτο προστίθημι, ὅτιπερ βουλόμεθα δημοσίᾳ παρὰ τῆς σῆς συνέσεως πολλάκις ἀνα-
γνωσθῆναι ταῦτα, ὡς ἂν ἐντεῦθεν εἰς τὴν ἁπάντων γνῶσιν ἔλθοι καὶ μάλιστα εἰς τὴν
ἐκείνων ἀφικέσθαι δυνηθείη, οἵτινες οὕτω πράττουσιν, οὕτως ἀναστρέφουσιν, ὡς ταῦτα

4 Der Brief (= Urk. 52) ist nur hier überliefert, Regest bei Sozom. II 23, 6. Datum: 332. Antwort auf den Brief des Athan. S. 144, 17 13 Damit ist natürlich Arsenius gemeint 16 ff. Es ist bemerkenswert, wie sehr es Athanasius gelungen ist, Konstantin zur Annahme der alexandrinischen Argumente zu bewegen, vgl. Z. 21 f. Konstantin kommt auf die früher verhandelte Klage wegen Ischyras zurück 33 ff. Diesen Schlag der staatlichen Stellen gegen die Melitianer hat Athanasius weidlich ausgenützt, wie aus Pap. Lond. 1914 (Urk. 61) und aus den Umständen von Urk. 33. 34 (III 67 ff.), die in das Jahr 333 fallen, zu entnehmen ist.

BKO RE

1 ταῦτα πάντα ∼ BE 4 a. Rd. νς̄ E 5 ταύτης ÷ τῆς E[c] | αὐτὸς] ἐγὼ B 8 ἐν > B*, nachgetr. B[c] 9 ὀρθὸν B 11 ἀποναρκήσασι B ἀπονεναρκήσασι O* ἀπονεναρκήκασι O[c] 16 καὶ[2] > B* (nachgetr. B[c]) RE 20 καὶ > B 21 ποικιλία BKO ποικιλία καὶ διαφορὰ RE 22 ἐστὶν ὡς εἰπεῖν ∼ B 23 ὅτι] ὅτε E 24 τοῖς > B 25 ἄγουσι RE

ἅπερ παρ' ἡμῶν ⟨δι'⟩ εὐθείας λέγεται λόγῳ, τῇ τῆς ἀληθείας εἰρῆσθαι πράξει. ἐπεὶ 7
τοίνυν ἐν τούτῳ τῷ πράγματι τηλικοῦτόν ἐστιν ἀτόπημα, γινωσκέτωσαν οὕτω με
κεκρικέναι καὶ ταύτης εἶναι τῆς προαιρέσεως· εἴ τι τοιοῦτον κινοῖεν, μηκέτι λοιπὸν κατὰ
τοὺς τῆς ἐκκλησίας ἀλλὰ κατὰ τοὺς δημοσίους νόμους αὐτόν με δι' ἐμαυτοῦ τῶν πραγμάτων ἀκροασόμενον καὶ λοιπὸν εὑρήσοντα αὐτοὺς ὅτι μὴ μόνον κατὰ τοῦ ἀνθρωπίνου
γένους λῃσταί τινες ὄντες, ἀλλὰ γὰρ καὶ κατ' αὐτῆς τῆς θείας διδασκαλίας φαίνονται.
ὁ θεός σε διαφυλάξει, ἀδελφὲ ἀγαπητέ.

Ὑπὲρ δὲ τοῦ καὶ πλέον δειχθῆναι τὴν πονηρίαν τῶν συκοφαντῶν, ἰδοὺ καὶ ἔγραψεν **69, 1**
Ἀρσένιος μετὰ τὸ εὑρεθῆναι κρυπτόμενον αὐτόν. ὡς γὰρ Ἰσχύρας ἔγραψεν ὁμολογῶν B
τὴν συκοφαντίαν, οὕτως Ἀρσένιος γράφων ἐλέγχει πλέον ἐκείνων τὴν κακοήθειαν.

Ἀθανασίῳ μακαρίῳ πάπᾳ Ἀρσένιος ἐπίσκοπος [τῶν ποτε ὑπὸ Μελίτιον] τῆς **2**
Ὑψηλιτῶν πόλεως ἅμα πρεσβυτέροις καὶ διακόνοις ἐν κυρίῳ πλεῖστα χαίρειν.

. . . . Καὶ ἡμεῖς ἀσπαζόμενοι τὴν εἰρήνην καὶ ἕνωσιν πρὸς τὴν καθολικὴν ἐκκλησίαν,
ἧς σὺ κατὰ χάριν θεοῦ προίστασαι, προῃρημένοι τε τῷ ἐκκλησιαστικῷ κανόνι κατὰ τὸν
παλαιὸν τύπον ὑποτάσσεσθαι, γράφομέν σοι, ἀγαπητὲ πάπα, ὁμολογοῦντες ἐν ὀνόματι
κυρίου τοῦ λοιποῦ μὴ κοινωνήσειν τοῖς ἔτι σχίζουσι καὶ μηδέπω εἰρηνεύουσι πρὸς τὴν C
καθολικὴν ἐκκλησίαν ἐπισκόποις τε καὶ πρεσβυτέροις καὶ διακόνοις μήτε συνθέσθαι αὐτοῖς | B 186
βουλομένοις τι ἐν συνόδῳ μήτε γράμματα εἰρηνικὰ ἀποστέλλειν μήτε δέξασθαι παρ' αὐτῶν
μηδ' αὖ δίχα γνώμης σου τοῦ τῆς μητροπόλεως ἐπισκόπου ὅρον τινὰ ἐκφέρειν περὶ ἐπισκόπων ἢ περὶ δόγματος ἑτέρου κοινοῦ ἐκκλησιαστικοῦ, ἀλλ' εἴκειν πᾶσι τοῖς προτετυπωμένοις κανόσι καθ' ὁμοιότητα τῶν ἐπισκόπων Ἀμμωνιανοῦ καὶ Τυράννου καὶ Πλουσιανοῦ
καὶ τῶν λοιπῶν ἐπισκόπων. πρὸς ταῦτα οὖν ἀξιοῦμεν τὴν σὴν χρηστότητα ἀντι- **3**

1 ff. Vgl. S. 144, 20 11 Der Brief (= Urk. 75) ist als ein Fragment nur hier überliefert. Arsenius nimmt mit keinem Worte auf die Vorfälle Bezug, er selbst ist auch kein Melitianer, denn Z. 11 sind die Worte τῶν ποτε ὑπὸ Μελίτιον sicher ein Zusatz des Athanasius, A. steht ebenso wie die Z. 22 genannten Bischöfe nicht in der Liste des Melitius c. 71; daher können die Worte des Athanasius Z. 9, die überhaupt jeder Interpretation offen sind, nicht zur Datierung dieses typischen Eirenikon verwendet werden. Im 19. Festbrief von 347 heißt es (vgl. oben S. 129 nr. 197): ἐν Ὑψελῇ δὲ Ἀρσένιος (sc. κατεστάθη) ὡς εἰρηνεύσας πρὸς τὴν ἐκκλησίαν . . . ἐν Αντινόου δὲ ἀντὶ Ἀμμωνιανοῦ καὶ Τυράννου Ἀρείων (Cureton p. [illegible] Z. 14. 16). T. ist schon als Bi. v. Antinou in Nicaea gewesen, dann ist Ammonianos ein Bischof, der aus unbekannten Gründen neben T. seine Funktionen ausgeübt hat. Auch ein Plusianus war als Bi. v. Lycopolis in Nicaea gewesen und hatte diesen Sitz bis 346 (vgl. S. 143, 7 Note; Pap. Lips. 43, 2). Da z. Z. von Nicaea in Lycopolis Melitios, in Antinou Lucius (vgl. c. 71, 6 nr. 2) melitianische Bischöfe waren, können Plusianus bzw. Tyrannus keine Melitianer gewesen sein, was ja auch aus der Liste c. 71 hervorgeht. Man wird auch Z. 15 ff. nicht unbedingt auf das melitianische Schisma beziehen müssen, vielmehr will A. damit jede Beziehung zu ihnen in Abrede stellen. Auch Ischyras war kein Melitianer, wenn diese auch seine Sache zu der ihren machten. Der melitianische Klerus ist zu gut bezeugt, so daß Schlüsse e silentio wie die vorgetragenen zulässig sind. A. und die anderen, alle Bischöfe des anteopolitischen Gaus, dissentierten aus nicht überlieferten Gründen. Das Datum dieses Briefes möchte ich nicht vor der Rückkehr des Athan. Nov. 337 ansetzen. Der Terminius ante ist durch die Synode von 338 (c. 8, 5; S. 94, 30) gegeben. Anders Schwartz NGG 1911, 375. Nach Sokr. II 32, 3 hat A. in Tyrus das Urteil gegen Athanasius unterschrieben. Ich sehe darin den Grund des Konfliktes, den Arsenius durch sein Schreiben beilegt. 14 κανών ist die Ordnung, welche die Pflichten und Rechte des Klerus, sowie die Aufnahme in ihn bestimmt, vgl. Schwartz, Pseudoapostolische Kirchenordnungen [Schriften d. Straßb. wiss. Ges. 6] S. 19[1]. παλαιὸς τύπος allgemeine Wendung, die praktisch nichts anderes besagt als »die Gesetze des alexandrinischen Bischofs« vgl. Nicaea can. 13 19 ὅρος = κανών 21 Zu den Namen s. oben

BKO RE

1 ⟨δι'⟩ Op. | ἐπειδὴ B 5 ἀκροασόμενον Comm. Montf. ἀκροασάμενον BKORE 7 διαφυλάξοι BKO
10 κακοήθειαν + ἐπιστολὴ Ἀρσενίου K 11 a. Rd. ο̅γ̅ B ν̅ς̅ R ν̅ζ̅ E 15 τύπον RE νόμον BKO

γράψαι μὲν ἡμῖν διὰ τάχους ὡσαύτως τε καὶ τοῖς συλλειτουργοῖς περὶ ἡμῶν ὅτι εἴημεν D ἤδη ἐπὶ τοῖς προειρημένοις ὅροις εἰρηνεύσαντες πρὸς τὴν καθολικὴν ἐκκλησίαν καὶ ἑνωθέντες τοῖς συλλειτουργοῖς ἐπὶ τῶν τόπων· πιστεύομεν δέ, ὡς αἱ εὐχαί σου ἐνεργήσουσιν εὐπρόσδεκτοι οὖσαι, ὥστε τὴν τοιαύτην εἰρήνην βεβαίαν καὶ ἀδιάλυτον εἶναι μέχρι τέλους κατὰ τὸ βούλημα τοῦ δεσπότου τῶν ἁπάντων θεοῦ διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου
4 ἡμῶν. τὸ ὑπὸ σὲ ἱερατεῖον ἡμεῖς καὶ οἱ σὺν ἡμῖν προσαγορεύομεν. ὅσον δὲ οὐδέπω θεοῦ
M 373 A ἐπιτρέποντος ἀπαντήσομεν | πρὸς τὴν σὴν χρηστότητα. Ἀρσένιος ἐρρῶσθαί σε εὔχομαι ἐν κυρίῳ πολλοῖς χρόνοις, μακαριώτατε πάπα.

70, 1 Μείζων δὲ καὶ φανερώτερος ἔλεγχος τῆς καθ' ἡμῶν συκοφαντίας ἡ μετάνοια Ἰωάννου, καὶ τούτου μάρτυς ὁ θεοφιλέστατος καὶ μακαρίας μνήμης βασιλεὺς Κωνσταντῖνος. εἰδὼς γάρ, ἅπερ Ἰωάννης κατ' αὐτοῦ κατηγόρησε, καὶ δεξάμενος γράμματα μεταγινώσκοντος αὐτοῦ ἔγραψε ταῦτα·

2 Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Ἰωάννῃ.

Πάνυ μοι καταθύμια γέγονε τὰ παρὰ τῆς σῆς φρονήσεως γράμματα. ἔγνων γὰρ ἐξ αὐτῶν, ἃ μάλιστα γνῶναι ἐπόθουν, πᾶσαν μὲν μικροψυχίαν ἀποτεθεῖσθαί σε, τῇ δὲ
B ἐκκλησίᾳ, ὡς προσῆκον ἦν, κεκοινωνηκέναι καὶ Ἀθανασίῳ τῷ αἰδεσιμωτάτῳ ἐπισκόπῳ ἐς τὰ μάλιστα εἰς ὁμόνοιαν ἐλθεῖν. εὖ ἴσθι τοίνυν, ὡς ἕνεκά γε τούτων πάνυ σε ἐπαινέσας ἔχω, ὅτι πᾶσαν ἀφεὶς ἀψιμαχίαν, ὃ τῷ θεῷ φίλον ἦν, πεποίηκας τῆς πρὸς τὴν ἐκκλησίαν ἑνώσεως ἀντιλαμβανόμενος. ἵνα τοίνυν καὶ ὧν ἐπιθυμεῖς τετυχηκέναι δοκοίης, ἐπιτρέψαι σοι δεῖν ᾠήθην ὀχήματος ἐπιβῆναι δημοσίου καὶ εἰς τὸ στρατόπεδον τῆς ἐμῆς ἡμερότητος σπουδάσαι. σὸν λοιπὸν ἔστω μηδὲν μελλῆσαι, ἀλλὰ τῆς ἐπιστολῆς σοι ταύτης ὀχήματος δημοσίου ἐξουσίαν χορηγούσης εὐθέως πρὸς ἡμᾶς ἀφικέσθαι, ἵνα καὶ τὴν ἐπιθυμίαν ἐμπλήσῃς τὴν σαυτοῦ καὶ θεασάμενος ἡμᾶς τῆς προσηκούσης ἀπολαύσῃς εὐφροσύνης. ὁ θεός σε διαφυλάξει, ἀδελφὲ ἀγαπητέ.

71, 1 Οὕτω μὲν οὖν τέλος ἔσχεν ἡ συσκευή, καὶ οἱ Μελιτιανοὶ καταισχυνθέντες ἀπεστρά-
C φησαν, οἱ δὲ περὶ Εὐσέβιον οὐδ' οὕτως ἠρέμησαν. ἔμελε γὰρ αὐτοῖς οὐ τῶν Μελιτιανῶν,
B 187 ἀλλὰ τῶν περὶ Ἄρειον καὶ ἐφοβοῦντο, μὴ παυσαμένων | ἐκείνων μηκέτι τοὺς ὑποκρινο-
2 μένους εὕρωσι, δι' ὧν τούτους εἰσαγαγεῖν δύνωνται. παροξύνουσι τοίνυν πάλιν

2 Welches sind die προειρημένοι ὅροι? vgl. den auffallenden Anfang des Schreibens S. 147, 14 . . . καὶ ἡμεῖς Die Kanones enthielten die Bestimmungen für die Herstellung der Gemeinschaft zwischen Athanasius und den genannten Bischöfen 13 Der Brief (= Urk. 54) ist nur hier überliefert. Das Eirenikon des Johannes an Athanasius (Z. 16) oder sein Brief an Konstantin (Z. 14) wären ein besseres Beweisstück gewesen. Wie kommt Athanasius in den Besitz dieses Briefes? ob auf dem Dienstwege? Datum: 332 21 ff. Vgl. die gleiche Anordnung an Arius i. J. 327 Urk. 29 (III 63) 25 Athanasius geht, ohne irgendwie die Ereignisse von 334, die Synode von Caesarea (Sozom. II 25, 1; Keph. zum 6. Festbrief von 334), zu berühren, unter Außerachtlassung jedes historischen Zusammenhanges sofort auf die Synode von Tyrus ein 27 Es handelt sich um Arius, der seit 333 in Ungnade gefallen war, s. Urk. 33. 34 (III 67 ff.)

BKO RE

3 αἱ > R 6 οὐδέπω] οὔπω B 7 ἀπαντήσωμεν R*E 11 καθ' ἑαυτοῦ E[c] | κατηγόρησε κατ' αὐτοῦ ~ K 12 αὐτοῦ > K 13 a. Rd. οδ B νζ R νη E 14 καταθύμιον E 15 ἐπόθουν] ἐπεθύμουν K 21 μελλῆσαι KRE[c] μελῆσαι BOE* 23 ἐμπλήσῃς BE ἐκπλήσῃς KOR 24 διαφυλάξοι BKO 25 als Überschrift zum Folgenden: διήγησις τῆς ἀπονοίας τῶν περὶ Εὐσέβιον E | a. Rd. νη R νθ E 26 ἔμελλε E 28 τούτους RE τούτω BKO τοῦτο Comm. Montf.

τοὺς Μελιτιανοὺς καὶ πείθουσι τὸν βασιλέα σύνοδον αὖθις ἐν Τύρῳ κελεῦσαι γενέσθαι.
καὶ κόμης Διονύσιος ἀποστέλλεται καὶ στρατιῶται δορυφόροι δίδονται τοῖς περὶ Εὐσέβιον.
καὶ ὁ μὲν Μακάριος δέσμιος διὰ στρατιωτῶν πέμπεται εἰς Τύρον, ἐμοὶ δὲ γράφει καὶ ἀνάγκην
ἐπιτίθησιν, ὥστε καὶ ἄκοντας ἡμᾶς ἀποστέλλεσθαι. τὴν μὲν οὖν πᾶσαν συσκευὴν 3
γνῶναι δυνατόν, ἐξ ὧν ἔγραψαν οἱ ἐπίσκοποι τῆς Αἰγύπτου· πῶς δὲ παρ' αὐτῶν ἐξ D
ἀρχῆς συνετέθη, ἀναγκαῖον ἂν εἴη λέγειν· καὶ γὰρ ἐντεῦθεν θεωρεῖν τὴν κακοήθειαν
καὶ τὴν πανουργίαν τὴν καθ' ἡμῶν γενομένην ἔξεστιν. ἐπίσκοποί εἰσιν ἐν Αἰγύπτῳ 4
καὶ Λιβύῃ καὶ Πενταπόλει ἐγγὺς ἑκατόν. οὐδεὶς τούτων ἡμᾶς ἠτιᾶτο, οὐ πρεσβύτερος
ἐμέμφετο, οὐ τῶν λαῶν τις κατελάλει, ἀλλ' οἱ Μελιτιανοὶ οἱ ἀπὸ Πέτρου ἐκβληθέντες καὶ
οἱ Ἀρειανοὶ ἦσαν οἱ τὴν ἐπιβουλὴν μερισάμενοι. καὶ οἱ μὲν τὸ κατηγορεῖν, οἱ δὲ τὸ
δικάζειν ἑαυτοῖς ἐξεδίκουν. ἡμεῖς μὲν οὖν παρῃτούμεθα τοὺς περὶ Εὐσέβιον ὡς ἐχθροὺς 5
διὰ τὴν αἵρεσιν ὄντας, ἔπειτα τὸν λεγόμενον κατήγορον μὴ εἶναι | πρεσβύτερον ὅλως 376 A
ἐδείκνυμεν οὕτως. ὅτε Μελίτιος ὑπεδέχθη, ὡς μήποτ' ὤφελε, γινώσκων αὐτοῦ τὴν
πανουργίαν ὁ μακαρίτης Ἀλέξανδρος ἀπήτησεν αὐτὸν βρέβιον, ὧν ἔλεγεν ἔχειν ἐπι-
σκόπων ἐν Αἰγύπτῳ καὶ τῶν ἐν αὐτῇ τῇ Ἀλεξανδρείᾳ πρεσβυτέρων καὶ διακόνων καὶ
εἰ ἔχει τινὰς ἐν τῇ χώρᾳ αὐτῆς. τοῦτο δὲ πεποίηκεν ὁ πάπας Ἀλέξανδρος, ἵνα μὴ
Μελίτιος λαβὼν τὴν τῆς ἐκκλησίας παρρησίαν πωλήσῃ πολλοὺς καὶ ψεύσηται καθ' ἡμέραν
ὑποβάλλων οὓς βούλεται. τῶν μὲν οὖν ἐν Αἰγύπτῳ πεποίηκε τὸ βρέβιον τοῦτο·

Βρέβιον δοθὲν παρὰ Μελιτίου Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ 6

1 ἐγὼ Μελίτιος ἐν Λυκῷ
2 Λούκιος ἐν Ἀντινόου
3 Φασιλεὺς ἐν Ἑρμουπόλει B
4 Ἀχιλλεὺς ἐν Κουσαῖς
5 Ἀμμώνιος ἐν Διοσπόλει

1 Was die Melitianer vor Tyrus in Ägypten zu leiden hatten, lehrt Pap. Lond. 1914 — Die Synode in Tyrus fand 335 statt, s. unten c. 76, 5 S. 156, 16 ff. 2 Der Comes Dionysius war Exconsular, nach Konstantins Berufungsschreiben für die Synode von Tyrus (= Urk. 58, Euseb VC IV 42, 3), wo Dionysius als kaiserlicher Legat ἀπὸ τῶν ὑπατικῶν genannt wird. Ob Cod. Theod. VIIII 34, 4 und VIII 18, 4 (proponiert 328 u. 329(?) in Tyrus und Heliopolis) damit kombiniert werden dürfen, ist ungewiß 3 Macarius, der Presbyter und Apokrisar des Athanasius am Hofe, war schon Anfang 335 in Konstantinopel verhaftet, s. Pap. Lond. 1914, 30 (= Urk. 59) 4 Vgl. Euseb VC IV 42, 4 (135, 1 ff.) und oben c. 10, 1 (S. 95, 26 ff.). Zu ἄκοντας vgl. die lebendige Schilderung in Pap. Lond. 1914, 38 ff. 5 In der Tat sind die folgenden Bemerkungen nur auf den Briefen der ägyptischen Bischöfe aufgebaut 8 ff. Damit sind die Kläger in Tyrus charakterisiert, Ketzer und Landfremde haben in Tyrus die Anklage erhoben und zu Gericht gesessen. Und daher wird von vornherein der für Athanasius ungünstige Bericht der Kommission als rechtlich nicht maßgebend hingestellt 11 ἐξεδίκουν = vindicabant. — Athanasius lehnte vor Eintritt in die Verhandlungen Euseb und seine Partei als Richter ab, da sie Ketzer seien, vgl. unten c. 77, Sozom. II 25, 18; die von Epiphan. haer. 68, 8, 2 ff. (III 148, 20 ff.) berichtete Szene zwischen dem ägypt. Bischof Potamon und Euseb v. Caesarea illustriert das am besten; s. auch c. 77, 2 S. 156, 27 12 κατήγορος = Ischyras 12 Vgl. oben c. 11, 7 S. 97, 5; c. 28, 6 S. 108, 21 13 ὡς μήποτ' ὤφελε d. i. in Nicäa, wo Alexander die Ausstoßung der Melitianer nicht erreichte 18 D. h. auf Grund der Bestimmungen der Synode von Nicäa s. Urk. 23, 7 (III 49, 4 ff.). 19 Die Liste (= Urk. 35) ist nur hier überliefert. Datum: 325/6. Durch die Liste ist keineswegs bewiesen, daß Ischyras nicht zu den Anhängern des M. gehörte. Als Unzufriedener schloß er sich ihnen später an 20 Namen: 1. Das letzte Zeugnis für M. 2. Lucius, noch in Serdica bei den Orientalen (CSEL 65, 77, 12) 4. Vgl. Sozom. II 25, 5: in Tyrus 335

BKO RE

4 ἐπιστέλλεσθαι B 8 ἑκτόν B 12 κατήγορον > E*, hinzugefügt E[c] | πρεσβύτερον μὴ εἶναι ∼ E 13 ὤφελον B 17 Μελέτιος E* 19 a. Rd. ξ E 22 Ἑρμουπόλι R 24 Διοσπόλι R

6 ⟨ . . . ⟩ ἐν Πτολεμαΐδι
7 Παχύμης ἐν Τεντύραις
8 ⟨ . . . ⟩ ἐν Μαξιμιανουπόλει
9 Θεόδωρος ἐν Κόπτῳ
[ἐν Θηβαΐδι]
10 Κάλης ἐν Ἑρμεθί
11 Κόλλουθος ἐν τῇ ἄνω Κυνῷ
12 Πελάγιος ἐν Ὀξυρύγχῳ
13 Πέτρος ἐν Ἡρακλέους
14 Θέων ἐν Νειλουπόλει
15 Ἰσαὰκ ἐν Λητοῦς
16 Ἡρακλείδης ἐν Νικίους
17 Ἰσαὰκ ἐν Κλεοπατρίδι
18 Μέλας ἐν Ἀρσενοίτῃ
19 ⟨ . . . ⟩ ἐν Ἡλίους
20 Αμὼς ἐν Λεόντων
B 188 21 Ἰσίων ἐν Ἀθριβί |
22 ⟨ . . . ⟩ ἐν Φαρβεθῷ
23 Ἀρποκρατίων ἐν Βουβάστῳ
24 Μωσῆς ἐν Φακουσαῖς
25 Καλλίνικος ἐν Πηλουσίῳ
26 Εὐδαίμων ἐν Τάνει
27 Ἐφραὶμ ἐν Θμουί
28 ⟨ . . . ⟩ ἐν Σαί
29 Ἑρμαίων ἐν Κυνῷ καὶ Βούσιρι
30 Σωτήριχος ἐν Σεβεννύτῳ
M 377 A 31 Πινινούθης ἐν Φθενεγύ |
32 Κρόνιος ἐν Μετῆλι
33 Ἀγαθάμμων ἐν τῇ Ἀλεξανδρέων χώρᾳ
34 ἐν Μέμφι Ἰωάννης (κελευσθεὶς παρὰ τοῦ βασιλέως εἶναι μετὰ τοῦ ἀρχιεπισκόπου)

Οἱ μὲν ἐν Αἰγύπτῳ οὗτοι, τῶν δὲ ἐν Ἀλεξανδρείᾳ εἶχε κληρικῶν·

---

6. 8. 19. 22. 28 fehlen die Bischofsnamen. Z. 5 ἐν Θηβαΐδι ist Randbemerkung zu nr. 1—6 9. Bis 346: 19. Festbrief von 347. 12. Bis 346: 19. Festbrief von 347 13. In der koptischen Liste von Nicäa nr. 13 14. Bis 346: 19. Festbrief von 347, in Tyrus 335: S. 159 nr. 28 15. S. oben c. 64 S. 143, 19; 335 in Alexandrien beim Überfall auf die Melitianer; Pap. Lond. 1914, 7; in Tyrus 335: Sozom. II 25, 5: in Serdika bei den Orientalen: CSEL 65, 77, 4; für ihn unterschreibt Eudaimon v. Tanis 16. S. c. 64 S. 143, 19 17. S. c. 64 S. 143, 19 21. S. c. 60 S. 140, 16 und Note, in Serdica bei den Orientalen: CSEL 65, 76, 20 25. S. c. 60 S. 140, 17 und Noten; in Tyrus 335: Sozom. II 25, 3, K. erklärt, er sei von Athanasius exkommuniziert, obwohl ihn Alexander zugelassen habe; in Serdica bei den Orientalen: CSEL 65, 76, 12 26. S. c. 60 140, 17 und Noten; in Serdica bei den Orientalen: CSEL 65, 76, 11; 77, 5 29. in Tyrus 335: Sozom. II 25, 5 32. in Tyrus 335: unten S. 159 nr. 41 als Anhänger des Athanasius? 33. s. oben S. 129 nr. 198 34. D. i. Johannes Archaph, der oft genannte Führer der Melitianer. Der Zusatz stammt von Athan. und bezieht sich auf c. 70

BKO RE

---

2 Παχύμις RE | Τετύραις BR* Τεντύραις R^c 3 Μαξιανουπόλει BRE 6 Ἑρμεθεί RE 7 Κάλουθος B 10 Νελουπόλει BKOR 14 Ἀρσινοίτῃ O 15 Ἰλιούς BKO 18 ἐν Φαρβεθῷ > BKO 19 Βουβάσῳ K 24 Σαί] Σουί KO* Σαί O^c 27 Πινινίθους E 28 Μετόλη B 30/31 ἐπισκόπου O* ἀρχιεπισκόπου O^c 32 μὲν + οὖν E

35 Ἀπολλώνιος πρεσβύτερος
36 Εἰρηναῖος πρεσβύτερος
37 Διόσκορος πρεσβύτερος
38 Τύραννος πρεσβύτερος

Διάκονοι

39 Τιμόθεος διάκονος
40 Ἀντίνοος διάκονος
41 Ἡφαιστίων διάκονος
καὶ 42 Μακάριος πρεσβύτερος τῆς Παρεμβολῆς

Τούτους Μελίτιος καὶ παρόντας παρέδωκεν Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ. τοῦ δὲ λεγο- 72, 1
μένου Ἰσχύρα οὔτ' ἐμνημόνευσεν οὔτε ὅλως ἐν τῷ Μαρεώτῃ ἐσχηκέναι ⟨πρεσβύτερον⟩
πώποτε ὡμολόγησε. καὶ ὅμως καὶ οἱ ἐχθροὶ οὐκ ἀφίσταντο καὶ ὁ μὴ πρεσβύτερος ὡς πρεσ- B
βύτερος ἐπλάττετο. κόμης γὰρ ἦν ὁ ἀναγκάζων καὶ στρατιῶται εἷλκον ἡμᾶς. ἀλλὰ καὶ 2
οὕτως ἡ χάρις τοῦ θεοῦ νενίκηκεν· οὔτε γὰρ Μακάριον ἤλεγξαν περὶ τοῦ ποτηρίου, ἀλλὰ
καὶ Ἀρσένιος, ὃν ἐθρύλησαν ἀνῃρῆσθαι παρ' ἡμῶν, εἱστήκει ζῶν καὶ δεικνύων τὴν ἐκείνων
συκοφαντίαν. μὴ δυνηθέντων τοίνυν ἐκείνων ἐλέγξαι τὸν Μακάριον οἱ περὶ Εὐσέβιον 3
ἐχαλέπαινον ὡς ἀπολέσαντες ὅπερ ἐθήρευον, καὶ πείθουσι τὸν κόμητα τὸν σὺν αὐτοῖς
Διονύσιον, ἵν' εἰς τὸν Μαρεώτην ἀποστείλῃ, μὴ ἄρα τι δυνηθῶσιν εὑρεῖν ἐκεῖ κατὰ τοῦ
πρεσβυτέρου, μᾶλλον δὲ ἵνα ἀπελθόντες καττύσωσιν ἀπόντων ἡμῶν, ὡς βούλονται. τοῦτο
γὰρ ἦν τὸ σπουδαζόμενον αὐτοῖς. ἀμέλει λεγόντων ἡμῶν 'περιττὴν μὲν εἶναι τὴν εἰς 3
τὸν Μαρεώτην ἀποδημίαν', ἃ γὰρ ἐκ πολλοῦ χρόνου μεμελετήκασι, μὴ προφασιζέσθωσαν C
ἐνδεῶς εἰρηκέναι μηδὲ ὑπερτιθέσθωσαν, ἃ γὰρ ἐνόμιζον ἔχειν εἰρήκασι καὶ λοιπὸν ἀπο-
ροῦντες προφασίζονται· ἢ εἰ χρεία καὶ τοῦ | Μαρεώτου, τοὺς γοῦν ὑπόπτους μὴ πέμπεσθαι. B 189
ὁ μὲν κόμης περὶ τῶν ὑπόπτων ἐπείθετο, ἐκεῖνοι δὲ πάντα μᾶλλον ἢ τοῦτο πεποιήκασιν. 4
οὓς γὰρ παρῃτούμεθα διὰ τὴν ἀρειανὴν αἵρεσιν, οὗτοι σπουδαίως ἀπῆλθον, Διόγνιος
Μάρις Θεόδωρος Μακεδόνιος Οὐρσάκιος καὶ Οὐάλης. πάλιν τε γράμματα πρὸς τὸν
ἔπαρχον τῆς Αἰγύπτου, καὶ στρατιωτικὴ δορυφορία, καὶ τό γε θαυμαστὸν καὶ πάσης ὑπερ-
οψίας γέμον, Μακάριον μὲν τὸν κατηγορούμενον πεποιήκασι διὰ στρατιωτῶν ἀπομεῖναι,
τὸν δὲ κατήγορον μεθ' ἑαυτῶν ἀπήγαγον. τίς οὖν λοιπὸν ἐκ τούτων οὐ θεωρεῖ τὴν 5
συσκευήν; τίς οὐ συνορᾷ λευκῶς τῶν περὶ Εὐσέβιον τὴν πονηρίαν; εἰ γὰρ κρίσεως ἦν ἐν D
τῷ Μαρεώτῃ χρεία, ἔδει καὶ τὸν κατηγορούμενον ἀποστέλλεσθαι, εἰ δὲ μὴ κρίσεως ἕνεκεν
ἀπήρχοντο, διὰ τί τὸν κατήγορον ἐπήγοντο; καὶ γὰρ ἤρκει ὅτι μὴ ἀπέδειξεν. ἀλλὰ
τοῦτο πεποιήκασιν, ἵν', ἐπειδὴ παρόντα τὸν πρεσβύτερον οὐκ ἤλεγξαν, τοῦτον ἀπόντα

10 ff. Athanasius wollte durch die Liste des Melitius nachweisen, daß Ischyras als Laie überhaupt nicht befugt sei, gegen ihn Klage zu erheben. Als die Synode bzw. der kaiserliche Kommissar I. doch zuließen, protestierte A. gegen die Synode, indem er ihr fernblieb. Um dies rechtliche Hindernis für die Tagung der Synode zu beseitigen, ließ der Comes A. mit Gewalt vorführen 14 Unverständliches Raisonnement. Denn um Macarius handelte es sich nicht; gerade wegen I. wurde A. verurteilt 15 Arsenius' Fall spielte nur in der Anklage (Sozom. II 25, 12) vielleicht als Beweis für die Neigung der Athanasianer zur Gewalttätigkeit, aber nicht in der Verhandlung eine Rolle. Verurteilt wurde A. nach Sozom. II 25, 19 auf Grund der Ergebnisse der Kommission. Daher wird im folgenden nur von dieser gehandelt 17 πείθουσι vgl. die Note zu S. 161, 10 25 Theognis v. Nicäa, Maris von Chalcedon, Theodor von Heraclea (Thrakien), Macedonius v. Mopsueste, Ursacius von Singidunum, Valens v. Mursa 26 Der Comes autorisierte die Kommission durch ein amtliches Schreiben an den ägyptischen Präfekten 30 f. Das Argument trug der Athanasius ergebene ägyptische Klerus anstatt seiner auf der Synode vor

BKO RE

7 Ἀντίνους BORE 11 ⟨πρεσβύτερον⟩ Op. 13 ἦν > B 18 τὸν] τὴν E 30 γὰρ + καὶ K
31 ἀποστελεσθαι B* ἀποστέλλεσθαι B[c]

M 380 A 6 συσκευάσωνται καὶ τυρεύσωσιν, ¹ ἅπερ αὐτοῖς ἐδόκει. καὶ γὰρ τοὺς πρεσβυτέρους τῆς
Ἀλεξανδρείας καὶ τῆς χώρας πάσης μεμψαμένους, ὅτι μόνοι παρεγένοντο, καὶ ἀξιοῦντας
κἂν αὐτοὺς παρεῖναι οἷς ἔπραττον (εἰδέναι γὰρ ἔλεγον καὶ τὸ πρᾶγμα καὶ τὰ κατὰ τὸν
λεγόμενον Ἰσχύραν) οὐκ ἐπέτρεψαν, ἀλλὰ τὸν μὲν ἔπαρχον τῆς Αἰγύπτου Φιλάγριον
παραβάτην καὶ στρατιώτας ἐθνικοὺς εἶχον μεθ' ἑαυτῶν ἐξετάζοντας ἃ μηδὲ κατηχου-
μένους ἔπρεπε θεωρεῖν, τοὺς δὲ κληρικοὺς οὐ συνεχώρησαν, ἵνα μὴ κἀκεῖ ὥσπερ ἐν τῇ
Τύρῳ τοὺς διελέγχοντας αὐτοὺς ἔχωσιν.

73, 1 Ἀλλ' οὐδὲ οὕτως λαθεῖν ἠδυνήθησαν. συνορῶντες γὰρ οἱ πρεσβύτεροι τῆς πόλεως
B καὶ τοῦ Μαρεώτου τὰς κακουργίας αὐτῶν ἔγραψαν καὶ διεμαρτύραντο ταῦτα·

Θεογνίῳ, Μάρι καὶ Μακεδονίῳ, Θεοδώρῳ καὶ Οὐρσακίῳ καὶ Οὐάλεντι τοῖς ἀπὸ
Τύρου ἐλθοῦσιν ἐπισκόποις παρὰ τῶν πρεσβυτέρων καὶ διακόνων τῆς καθολικῆς ἐκ-
κλησίας Ἀλεξανδρείας ὑπὸ τὸν αἰδεσιμώτατον ἐπίσκοπον Ἀθανάσιον.

2 Ἔπρεπεν ὑμᾶς ἐρχομένους καὶ ἄγοντας μεθ' ἑαυτῶν τὸν κατήγορον ἀγαγεῖν καὶ
Μακάριον τὸν πρεσβύτερον. αἱ γὰρ κρίσεις οὕτως συνίστανται κατὰ τὰς ἁγίας γραφάς,
ὥστε τὸν κατήγορον μετὰ τοῦ κατηγορουμένου ἑστάναι. ἐπειδὴ δὲ οὔτε Μακάριον ἠγά-
C γετε οὔτε ὁ αἰδεσιμώτατος ἡμῶν ἐπίσκοπος Ἀθανάσιος μεθ' ὑμῶν εἰσῆλθεν, ἠξιώσαμεν κἂν
B 190 αὐτοὶ παρεῖναι ἐν τῇ κρίσει, ἵνα παρόντων ἡμῶν ἀσφαλὴς ἡ ἐξέτασις ¹ γένηται καὶ πει-
3 σθῶμεν καὶ ἡμεῖς. ἐπειδὴ δὲ οὐ τοῦτο συνεχωρήσατε, ἀλλὰ μόνοι μετὰ τοῦ ἐπάρχου
τῆς Αἰγύπτου καὶ τοῦ κατηγόρου ἠθελήσατε πράττειν ἃ βούλεσθε, ὁμολογοῦμεν ὅτι
ὑποψίαν εἴδομεν ἐν τῷ πράγματι πονηράν, καὶ ἐθεωρήσαμεν ὅτι συσκευὴ καὶ ἐπιβουλὴ
μόνον ἐστὶν ἡ εἴσοδος ὑμῶν. διὰ τοῦτο ταύτην ὑμῖν ἐπιδίδομεν τὴν ἐπιστολὴν μαρτύριον
ἐσομένην εἰς ἀληθινὴν σύνοδον, ἵνα γνωσθῇ πᾶσιν ὅτι κατὰ μονομέρειαν, ἅπερ ἠθελή-
4 σατε, ἐπράξατε καὶ οὐδὲν ἕτερον ἢ συσκευὴν ἠθελήσατε συνθεῖναι καθ' ἡμῶν. τού-
D των δὲ τὰ ἴσα ἐπιδεδώκαμεν καὶ Παλλαδίῳ τῷ κουριώσῳ τοῦ Αὐγούστου, ἵνα μὴ κρυβῇ

4 Philagrius saß seit 334 in Alexandrien. παραβάτης ist ein Schimpfwort des A., bedeutet Renegat; ob es zutrifft, ist zu bezweifeln. Die Maßstäbe für solche Charakterisierungen entnimmt A. allein aus dem Verhalten eines Mannes zur alexandrinischen Partei, vgl. hist. Arian 9 (Migne 25, 705 A) 10 Brief (= Urk. 64) nur hier überliefert. — Für den zeitlichen Ansatz der folgenden Urkunden muß man beachten, daß die Synodalen am 17. 9. bereits in Jerusalem waren (s. S. 162, 25). Athanasius reiste am 17. Epiphi (= 11. Juli) zur See nach Tyrus (Keph. VIII zu 336). Die Synode tagte danach in der zweiten Hälfte des Juli. Also war die Kommission im August in Alexandrien. Da die Entfernung von Tyrus nach Alexandrien 541 römische Meilen beträgt, wird die Kommission, die ja den cursus publicus benutzte, immerhin 12—14 Tage für Hin- und Rückreise benötigt haben. Das Urteil muß etwa bis zum 10. 9. ergangen sein; vorher war Athanasius abgereist. Die Urkunden c. 73. 74 fallen also in den August; c. 76 auf den 8. Sept., daher wohl nach dem Entscheid der Synode. C. 77. 78. 80. 81 gehören zusammen und sind in die Zeit zu setzen, als die Kommission gerade nach Ägypten abgereist war, d. h. Anfang August. C. 79 stimmt in dem Zweck mit c. 76 überein, liegt also später, vielleicht sogar nach dem Urteil der Synode 25 τὰ ἴσα = exemplaria d. i. die Urkunde des formellen Einspruches des alexandrinischen Klerus bei den staatlichen Stellen, die für die tyrische Synode verantwortlich waren. Der oben stehende Brief ist nur eine Benachrichtigung über diesen formellen Protest, dessen Urkunde seitens des mareotischen Klerus in c. 76 vorliegt. Zu ἴσα vgl. Kübler, Zeitschr. d. Savignystiftung. Roman. Abt. 53 (1933) 97, Lefort in: Le Muséon 49 (1936) 57 ff. 25 Der curiosus war (vgl. seine volle Titulatur S. 155, 34, dazu Not. dign. or. XXVIII 48) Leiter des Officiums des Präfekten

BKO RE

4 ἐπέστρεψαν E 6 τῇ > B*R* hinzugefügt B^cR^c 10 a. Rd. νθ̄ R ξᾱ E 13 ἑαυτὸν R 16 ἐπίσκοπος ἡμῶν ∼ E 18 συνεχωρήσαμεν E 19 ἅπερ RE 22 σύνοδον] εἴσοδον E

παρ' ὑμῶν. ἃ γὰρ ἐπράξατε, τοιαῦτα λοιπὸν ἡμᾶς ὑποπτεύειν καὶ λογίζεσθαι ποιεῖ περὶ ὑμῶν.

1 Διονύσιος πρεσβύτερος ἐπιδέδωκα 5
2 Ἀλέξανδρος πρεσβύτερος
3 Νειλαρᾶς πρεσβύτερος
4 Λόγγος πρεσβύτερος
5 Ἀφθόνιος πρεσβύτερος
6 Ἀθανάσιος πρεσβύτερος
7 Ἀμύντιος πρεσβύτερος
8 Πιστὸς | πρεσβύτερος M 381 A
9 Πλουτίων πρεσβύτερος
10 Διόσκορος πρεσβύτερος
11 Ἀπολλώνιος πρεσβύτερος
12 Σαραπίων πρεσβύτερος
13 Ἀμμώνιος πρεσβύτερος
14 Γάιος πρεσβύτερος
15 Ῥῖνος πρεσβύτερος
16 Αἰθαλὴς πρεσβύτερος

Διάκονοι

17 Μαρκελλῖνος διάκονος
18 Ἀππιανὸς διάκονος
19 Θέων διάκονος
20 Τιμόθεος διάκονος
21 καὶ Τιμόθεος ἄλλος διάκονος.

Τὰ μὲν τῶν ἀπὸ τῆς πόλεως κληρικῶν γράμματά τε καὶ ὀνόματα ταῦτα, ἃ δὲ καὶ 74, 1
οἱ ἀπὸ τοῦ Μαρεώτου κληρικοὶ ἔγραψαν γινώσκοντες τὸν τρόπον τοῦ κατηγόρου καὶ ἐν τῇ περιοδείᾳ σὺν ἐμοὶ ὄντες ἔστι ταῦτα·

Τῇ ἁγίᾳ συνόδῳ τῶν μακαρίων ἐπισκόπων τῆς καθολικῆς ἐκκλησίας οἱ κατὰ B
Μαρεώτην πάντες πρεσβύτεροι καὶ διάκονοι ἐν κυρίῳ χαίρειν.

Εἰδότες τὸ γεγραμμένον, ὅτι »ἃ εἶδον οἱ ὀφθαλμοί σου λέγε«, καὶ ὅτι »μάρτυς ψευδὴς 2
οὐκ ἀτιμώρητος ἔσται«, ἃ εἴδομεν, μαρτυροῦμεν, μάλιστα ὅτι ἀναγκαίαν ἡμῶν ἐποίησεν εἶναι τὴν μαρτυρίαν ἡ γενομένη συσκευὴ κατὰ τοῦ ἐπισκόπου ἡμῶν Ἀθανασίου. θαυμάζομεν γὰρ πῶς ὅλως Ἰσχύρας κἂν εἰς μέτρον τῆς ἐκκλησίας ἐμετρήθη, περὶ οὗ πρῶτον διηγήσασθαι ἀναγκαῖον ἡγούμεθα. Ἰσχύρας οὐδέποτε λειτουργὸς τῆς ἐκκλησίας 3
γέγονεν, ἀλλ' ἑαυτὸν μὲν πρὸ τούτου ἐφήμισε Κολλούθου πρεσβύτερον, οὐκ ἔσχε δὲ τὸν πειθόμενον αὐτῷ εἰ μὴ μόνον τοὺς συγγενεῖς ἑαυτοῦ. οὔτε γὰρ ἐκκλησίαν ἔσχε ποτὲ οὔτε

3 ff. Die Namen: 1. schon etwa 318: oben S. 34 nr. 4. 2. S. 34 nr. 2. 3. S. 34 nr. 7 4. S. 34 nr. 11 5. etwa 338 s. S. 118, 8 Note. 6. Nicht der Sohn des Kapiton vgl. S. 118, 8 Note 9. etwa 338 s. S. 118, 9 10. etwa 318 S. 34 nr. 3 19. ein Theonas S. 34 nr. 36. Für die obenstehenden Presbyter gibt es auf S. 34 etwa vom Jahre 318 gleichnamige Diakone, die hier nicht aufgeführt werden, vgl. dazu den Index 27 Zu περιοδεία vgl. S. 154, 12 28 Brief (= Urk. 65) ist nur hier überliefert. Datum: August 335, vgl. S. 152, 10 Note 30 Prov. 25, 7 | Prov. 19, 6 33 ff. Vgl. S. 162, 5 ff.

BKO RE

5 Νειλαρᾶς R Νειλᾶς BKOE vgl. S. 34, 17 9 Ἀμβύτιος KRE 19 διάκονοι > BKO 20 Μακελλῖνος KORE 25 τῶν ἀπὸ BO ἀπὸ τῶν KRc ἀπὸ R*E | πόλεως + τῶν E 28 a. Rd. ξ̅β̅ E 31 εἴδομεν B οἴδαμεν KORE 33 ἐμετρήθη RE ἐπεκλήθη B ἐνεκλήθη KO 34 τῆς ἐκκλησίας λειτουργὸς ∼ E 36 αὐτοῦ KO

B 191 ὅλως | κληρικὸς ἐνομίσθη παρὰ τοῖς ὀλίγον διεστῶσιν ἀπὸ τῆς κώμης αὐτοῦ πλὴν μόνοις,
4 ὡς προείπομεν, τοῖς συγγενέσιν ἑαυτοῦ. ἀλλὰ καὶ ὅμως τοιαύτην ἑαυτῷ προση-
C γορίαν ἐπιφημίσας ἐπὶ τῆς συνόδου τῆς συγκροτηθείσης ἐν Ἀλεξανδρείᾳ ἐπὶ τῇ παρουσίᾳ
τοῦ πατρὸς ἡμῶν Ὁσίου καθῃρέθη καὶ λαικὸς συνήχθη καὶ οὕτως ἔμεινε τὸν ἑξῆς χρόνον
5 ἐκπεσὼν καὶ τῆς ψευδοῦς ὑπονοίας τοῦ πρεσβυτερίου. περὶ γὰρ τῶν ἠθῶν αὐτοῦ
περιττὸν ἡγούμεθα λέγειν δυναμένων πάντων εἰδέναι τὰ τοιαῦτα. ἐπειδὴ δὲ περὶ κλάσεως
ποτηρίου καὶ τραπέζης ἐσυκοφάντησεν ἡμῶν τὸν ἐπίσκοπον Ἀθανάσιον, καὶ περὶ τούτου
διηγήσασθαι ὑμῖν ἀναγκαῖον ἠπείχθημεν. φθάσαντες γὰρ εἴπομεν ἐκκλησίαν αὐτὸν μηδέ-
ποτε ἐσχηκέναι ἐν τῷ Μαρεώτῃ, ὡς δὲ ἐπὶ θεοῦ μάρτυρος οὐδὲ ποτήριον κέκλασται οὐδὲ
D τράπεζα ἀνετράπη παρὰ τοῦ ἐπισκόπου ἡμῶν οὐδὲ παρ' ἄλλου τινὸς τῶν συνόντων
6 αὐτῷ, ἀλλὰ πάντα ἐστὶ τὰ λεγόμενα συκοφαντία. καὶ ταῦτα λέγομεν οὐ μακρὰν
τοῦ ἐπισκόπου ἀπόντες, πάντες γὰρ σὺν αὐτῷ ἐσμεν, ὅταν περιοδεύῃ τὸν Μαρεώτην·
καὶ οὐδέποτε μόνος περιέρχεται, ἀλλὰ μετὰ πάντων ἡμῶν τῶν πρεσβυτέρων καὶ τῶν
διακόνων καὶ λαῶν ἱκανῶν. διὸ καὶ ὡς συμπαρόντες αὐτῷ ἐν πάσῃ περιοδείᾳ, ἣ πεποίηται
πρὸς ἡμᾶς, ταῦτα λέγομεν καὶ μαρτυροῦμεν ὅτι οὔτε ποτήριον κατέαγεν οὔτε τράπεζα
M 384 A 7 ἀνετράπη, | ἀλλὰ πάντα ψεύδεται, ὡς καὶ αὐτὸς διὰ τῆς ἑαυτοῦ χειρὸς μαρτυρεῖ. θε-
λήσαντα γὰρ αὐτὸν συναχθῆναι μετὰ τὸ ἀπελθεῖν αὐτὸν μετὰ Μελιτιανῶν καὶ τοιαῦτα
φημίσαι κατὰ τοῦ ἐπισκόπου ἡμῶν Ἀθανασίου οὐκ ἐδέξαντο αὐτόν, καίτοι γράψαντα
καὶ ἰδίᾳ χειρὶ ὁμολογήσαντα μηδὲν τούτων γεγενῆσθαι, ἀλλ' ὑποβεβλῆσθαι ὑπό τινων
ταῦτα εἰπεῖν.

75, 1 Διὸ καὶ ἐλθόντες οἱ περὶ Θεόγνιον καὶ Θεόδωρον καὶ Μάριν καὶ Μακεδόνιον καὶ
Οὐρσάκιον καὶ Οὐάλεντα εἰς τὸν Μαρεώτην οὐδὲν εὑρόντες ἀληθές, ἀλλὰ μέλλοντος τοῦ
πράγματος ἐλέγχεσθαι ὅτι συκοφαντίαν εἰργάσαντο κατὰ τοῦ ἐπισκόπου ἡμῶν Ἀθα-
B νασίου αὐτοὶ οἱ περὶ Θεόγνιον ἐχθροὶ τυγχάνοντες τοὺς συγγενεῖς αὐτοῦ καί τινας
2 Ἀρειομανίτας πεποιήκασιν εἰπεῖν, ἅπερ ἤθελον. οὐ γάρ τις τοῦ λαοῦ κατὰ τοῦ
ἐπισκόπου εἴρηκεν, ἀλλ' αὐτοὶ τῷ φόβῳ τοῦ ἐπάρχου τῆς Αἰγύπτου Φιλαγρίου καὶ
3 ταῖς ἀπειλαῖς καὶ τῇ προστασίᾳ τῶν Ἀρειομανιτῶν, ἅπερ ἠθέλησαν, πεποιήκασι. καὶ
B 192 γὰρ ἐλθόντας ἡμᾶς ἐλέγξαι τὴν συκοφαντίαν οὐκ | ἐπέτρεψαν, ἀλλὰ ἀπέρριπτον μὲν ἡμᾶς,
οὓς δὲ ἤθελον συσκευαζόμενοι προσεδέχοντο καὶ συνετίθεντο αὐτοῖς διὰ τὸν φόβον τοῦ
ἐπάρχου Φιλαγρίου, δι' ὃν οὔτε παρεῖναι ἡμᾶς ἐπέτρεψαν, ἵνα κἂν τοὺς ὑποβαλλομένους
4 ὑπ' αὐτῶν δυνηθῶμεν ἐλέγξαι, εἰ τῆς ἐκκλησίας εἰσὶν ἢ Ἀρειομανῖται. οἴδατε δέ,
ἀγαπητοὶ πατέρες, καὶ ὑμεῖς, ὡς διδάσκετε ἡμᾶς, ὅτι ἐχθρῶν οὐκ ἰσχύει μαρτυρία. καὶ
C ὅτι μὲν ἀληθεύομεν, μαρτυρεῖ μὲν καὶ ἡ χεὶρ Ἰσχύρα, μαρτυρεῖ δὲ καὶ τὰ πράγματα αὐτά,
ὅτι ἡμῶν μὲν μηδὲν συνειδότων τοιοῦτόν τι γεγενῆσθαι Φιλάγριον παρέλαβον μεθ' ἑαυτῶν,
5 ἵνα τῷ φόβῳ τοῦ ξίφους καὶ ταῖς ἀπειλαῖς ἃ βούλονται συσκευάσωνται. ταῦτα ὡς ἐπὶ
θεοῦ μαρτυροῦμεν, ταῦτα ὡς εἰδότες καὶ ἐσομένην κρίσιν παρὰ θεοῦ λέγομεν, θέλοντες
μὲν ἐλθεῖν πάντες πρὸς ὑμᾶς, ἀρκεσθέντες δὲ τοῖς ἐξ ἡμῶν, ἵνα τὰ γράμματα τὴν τῶν
μὴ παραγενομένων παρουσίαν ἀποπληρώσῃ.

---

3 Die Synode fand im Jahre 324/5 statt, vgl. Zeitschr. f. neut. Wiss. 33 (1934) 151   16 Vgl. c. 64
17 Trotz der Erklärung von c. 64 nahm Athanasius den Ischyras nicht in den Klerus auf, was zur Folge hatte, daß sich I. in Tyrus und nachher bis über die Synode von Serdica hinaus der Protektion der orientalischen Bischöfe erfreute

---

BKO RE

---

1 πλὴν — 2 ἑαυτοῦ > E   2 συγγενεῦσιν RE   5 πρεσβυτερείου E   8 ἠπήχθημεν R
9 κέκλασται] κέκαυσται E   12 ἀπόντος B   13 τῶν² > E*, nachgetr. E^c   16 αὐτοῦ RE
19 καὶ > E*, nachgetr. E^c   28 μὲν > K   31 δέ] γάρ B   34 μὲν > RE | συνειδόντων R*
συνειδότων R^c   35 βούλωνται B   36 θεοῦ¹] θεῷ E   37 πρὸς > E

1 Ἰγγένιος πρεσβύτερος ἐρρῶσθαι ὑμᾶς εὔχομαι ἐν κυρίῳ, ἀγαπητοὶ πατέρες 6 D

2 Θέων πρεσβύτερος

3 Ἀμμωνᾶς πρεσβύτερος

4 Ἡράκλειος πρεσβύτερος

5 Βόκκων πρεσβύτερος

6 Τρύφων πρεσβύτερος

7 Πέτρος πρεσβύτερος

8 Ἱέραξ πρεσβύτερος

9 Σαραπίων πρεσβύτερος

10 Μάρκος πρεσβύτερος

11 Πτολλαρίων πρεσβύτερος

12 Γάιος πρεσβύτερος

13 Διόσκορος πρεσβύτερος

14 Δημήτριος πρεσβύτερος

15 Θύρσος πρεσβύτερος

Διάκονοι

16 Πιστὸς διάκονος

17 Ἀπολλὼς διάκονος

18 Σερρᾶς διάκονος

19 Πιστὸς διάκονος

20 Πολύνικος διάκονος

21 Ἀμμώνιος διάκονος

22 Μαῦρος διάκονος

23 Ἥφαιστος διάκονος

24 Ἀπολλὼς διάκονος

25 Μετωπᾶς διάκονος

26 Ἀπολλὼς διάκονος

27 Σεραπᾶς διάκονος

28 Μελίφθογγος διάκονος

29 Λούκιος διάκονος

30 Γρηγορᾶς διάκονος | M 385 A

Οἱ αὐτοὶ πρὸς τὸν κουριῶσον καὶ Φιλάγριον τότε λεγόμενον ἔπαρχον Αἰγύπτου 76,1

Φλαβίῳ Φιλαγρίῳ καὶ Φλαβίῳ Παλλαδίῳ δουκιναρίῳ παλατίνῳ κουριώσῳ καὶ Φλαβίῳ Ἀντωνίνῳ βιάρχῳ κεντηναρίῳ τῶν κυρίων μου τῶν λαμπροτάτων ἐπάρχων τοῦ ἱεροῦ πραιτωρίου παρὰ τῶν πρεσβυτέρων καὶ διακόνων τοῦ Μαρεώτου, νομοῦ τῆς καθολικῆς ἐκκλησίας τῆς ὑπὸ τὸν αἰδεσιμώτατον ἐπίσκοπον Ἀθανάσιον· διὰ τῶν ἑξῆς ὑπογραφόντων τάδε μαρτυρούμενοι ἐπιδιδόαμεν·

1 ff. Die Namen: 1. etwa 318: S. 34 nr. 43 2. S. 34 nr. 47 3. oben S. 143 nr. 1 Δικέλλης; 318: S. 34 Nr. 50 4. S. 143 nr. 2 Φασκῶ 5. S. 143 nr. 3 Χενεβρί, 318: S. 35 nr. 55 13. S. 34 nr. 45 21. S. 144 nr. 10, 318: S. 34 nr. 70 22. S. 35 nr. 65 32 Der Brief (= Urk. 66) nur hier überliefert 34 f. Palladius s. S. 152, 25

BK (bis Z. 31) O RE (bis Z. 31)

11 Πτολαρίων KO Πολλαρίων B 18 Ἀπολλὼς — Πιστὸς διάκονος > KO 19 Σέρας RE 22 Ἀμμώνιος διάκονος + Μετωπᾶς διάκονος KO 27 Ἀπολλὼς διάκονος > KO 31 Γρηγόριος E 32 a. Rd. ξ̄ R 34 Φλαυίῳ[1.2] RO | Παλλαδίῳ — Φλαβίῳ > R | Φλαυίῳ O 38 μαρτυρόμενοι RO

2 Ἐπειδὴ Θεόγνιος καὶ Μάρις καὶ Μακεδόνιος καὶ Θεόδωρος καὶ Οὐρσάκιος καὶ
B 193 Οὐάλης ὡς ἀποσταλέντες ὑπὸ πάντων τῶν | ἐπισκόπων τῶν συνελθόντων ἐν τῇ Τύρῳ
B ἀπήντησαν ἐν τῇ ἡμετέρᾳ παροικίᾳ φάσκοντες ἐντολὰς εἰληφέναι, ὡς ζητῆσαί τινα ἐκ-
κλησιαστικὰ πράγματα, ἐν οἷς ἔλεγον καὶ περὶ ποτηρίου κυριακοῦ κεκλασμένου ὑπο-
βληθέντος αὐτοῖς ὑπὸ Ἰσχύρα, ὃν ἤγαγον μεθ' ἑαυτῶν, λέγοντος ἑαυτὸν εἶναι πρεσ-
3 βύτερον, ὃς οὐκ ἔστι πρεσβύτερος, — ὑπὸ γὰρ Κολλούθου τοῦ πρεσβυτέρου φαντασθέντος
ἐπισκοπὴν καὶ ὕστερον ὑπὸ κοινῆς συνόδου Ὁσίου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων κε-
λευσθέντος πρεσβυτέρου εἶναι, καθὸ καὶ πρότερον ἦν, κατεστάθη καὶ κατὰ ἀκολουθίαν
πάντες οἱ ὑπὸ Κολλούθου κατασταθέντες ἀνέδραμον εἰς τὸν αὐτὸν τόπον, εἰς ὃν καὶ πρό-
τερον ἦσαν, ὡς καὶ αὐτὸς Ἰσχύρας λαικὸς ὤφθη, ἥν τε λέγει ἔχειν ἐκκλησίαν, μηδὲ πώποτε
ἐκκλησίαν γεγενῆσθαι, ἀλλ' οἰκητικὸν οἰκημάτιον μικρὸν ὀρφανοῦ παιδίου Ἰσίωνος
4 τοὔνομα, — καὶ διά τοι τοῦτο τῇδε τῇ διαμαρτυρίᾳ ἐχρησάμεθα ἐπορκίζοντές σε κατὰ
C τοῦ παντοκράτορος θεοῦ καὶ κατὰ τῶν δεσποτῶν ἡμῶν Κωνσταντίνου τοῦ Αὐγούστου,
καὶ τῶν ἐπιφανεστάτων Καισάρων παίδων αὐτοῦ ταῦτα αὐτὰ εἰς γνῶσιν ἀνενεγκεῖν
τῇ εὐσεβείᾳ αὐτῶν. οὔτε γὰρ πρεσβύτερός ἐστι τῆς καθολικῆς ἐκκλησίας οὔτε ἐκκλησίαν
5 ἔχει οὔτε ποτὲ ποτήριον ἐκλάσθη, ἀλλὰ πάντα ψεύδεται καὶ πλάττεται. ὑπατείᾳ
Ἰουλίου Κωνσταντίου τοῦ λαμπροτάτου πατρικίου ἀδελφοῦ τοῦ εὐσεβεστάτου βασιλέως
Κωνσταντίνου τοῦ Αὐγούστου καὶ Ῥουφίνου Ἀλβίνου τῶν λαμπροτάτων, Θὼθ δεκάτῃ.

77,1 Οἱ μὲν οὖν πρεσβύτεροι ταῦτα, ἃ δὲ καὶ οἱ ἐπίσκοποι οἱ μεθ' ἡμῶν ἐλθόντες
D εἰς τὴν Τύρον συνορῶντες τὴν συσκευὴν καὶ τὴν ἐπιβουλὴν ἔγραψαν καὶ διεμαρτύ-
ραντο, ἔστι ταῦτα·

Τοῖς ἐν Τύρῳ συνελθοῦσιν ἐπισκόποις, κυρίοις τιμιωτάτοις, οἱ ἀπ' Αἰγύπτου
M 388A σὺν | Ἀθανασίῳ ἐλθόντες τῆς καθολικῆς ἐκκλησίας ἐν κυρίῳ χαίρειν.

2 Οὐκέτι νομίζομεν τὴν συσκευὴν ἄδηλον εἶναι τὴν παρὰ τῶν περὶ Εὐσέβιον καὶ
Θεόγνιον καὶ Μάριν καὶ Νάρκισσον καὶ Θεόδωρον καὶ Πατρόφιλον ἡμῖν γιγνομένην.
καὶ κατ' ἀρχὴν μὲν γὰρ παρῃτούμεθα πάντες διὰ τοῦ συλλειτουργοῦ ἡμῶν Ἀθανασίου
παρόντων αὐτῶν τὴν ἀκρόασιν γενέσθαι εἰδότες ὅτι καὶ ἑνὸς μόνου ἐχθροῦ παρουσία,
3 μήτιγε πολλῶν, ταράττειν καὶ βλάπτειν δύναται τὴν ἀκρόασιν. οἴδατε γὰρ καὶ
ὑμεῖς αὐτοὶ τὴν ἔχθραν αὐτῶν, ἣν οὐ πρὸς ἡμᾶς μόνον ἐσχήκασιν, ἀλλὰ καὶ πρὸς πάντας
τοὺς ὀρθοδόξους, ὅτι διὰ τὴν Ἀρείου μανίαν καὶ τὴν ἀσεβῆ διδασκαλίαν ἐκείνου κατὰ
B πάντων ἐπιφύονται καὶ πᾶσι συσκευάζονται. ἐπειδὴ δὲ θαρροῦντες ἡμεῖς τῇ ἀληθείᾳ
B 194 δεῖξαι τὴν συκοφαντίαν | τὴν κατὰ τῆς ἐκκλησίας ὑπὸ τῶν Μελιτιανῶν γινομένην ἠθε-
λήσαμεν, οὐκ οἴδαμεν πῶς οἱ περὶ Εὐσέβιον ταράττειν τὰ παρ' ἡμῶν λεγόμενα ἐπει-
ρῶντο καὶ ἐπὶ πολὺ ἐσπούδαζον τὰ παρ' ἡμῶν λεγόμενα ἐκβάλλεσθαι, τοῖς μὲν ἀκεραίως

18 Datum: 8. 9. 335 22 Der Brief (= Urk. 60) ist nur hier überliefert. Er wurde in Tyrus etwa Anfang August 335 geschrieben und leitet die Protestaktion des Athanasius ein. Im Beweise des Athanasius in dieser Schrift wie überhaupt sind die beiden folgenden Dokumente geradezu grundlegend. Denn damit hatte Athanasius die Rechtmäßigkeit der Synode bestritten, und hielt sich daher an ihre Beschlüsse nicht gebunden. Für ihn war die kaiserliche Synode von Tyrus ein Kaisergericht und kein Bischofsgericht. Die Auswahl der Urkunden ist von diesem Gedanken bestimmt

BO R

10 ἦν] τὴν R 12 μαρτυρίᾳ BO | ἐφορκίζοντες BO 22 a. Rd. ξα R | τοῖς] τῇ R
25 Θεόδωρον] Θεόφιλον BO 26 γὰρ > BO

δικάζουσιν ἀπειλοῦντες, τοὺς δὲ καὶ ὑβρίζοντες, μόνον ἵνα τὸ καθ' ἡμῶν σπουδαζόμενον
αὐτοῖς γένηται. καὶ ἴσως ἡ ἔνθεος ὑμῶν εὐλάβεια, κύριοι τιμιώτατοι, ἠγνόει τὴν 4
γενομένην παρ' αὐτῶν συσκευήν, ἀλλὰ νῦν νομίζομεν φανερὰν γεγενῆσθαι αὐτήν. ἰδοὺ
γὰρ φανερῶς αὐτοὶ τὴν συσκευὴν ἐνεδείξαντο. τοὺς γὰρ ἐξ αὐτῶν ὑποπτευομένους
ἀποστεῖλαι ἠθέλησαν εἰς τὸν Μαρεώτην, ἵνα ἀπόντων ἡμῶν καὶ ἐνταῦθα μενόντων τοὺς
μὲν λαοὺς ταράξωσιν, ἃ δὲ βούλονται διαπράξωνται. εἶδον γὰρ ὅτι οἱ 'Αρειο- 5
μανῖται καὶ Κολλουθιανοὶ καὶ Μελιτιανοὶ ἐχθροὶ τῆς καθολικῆς ἐκκλησίας εἰσί· διὰ τοῦτο C
ἐσπούδασαν ἀποστεῖλαι τούτους, ἵνα παρόντων ἐχθρῶν καττύσωσι καθ' ἡμῶν, ἃ βού-
λονται. καὶ γὰρ οἱ ἐνταῦθα Μελιτιανοὶ ἀπέστειλαν ἐξ ἑαυτῶν τινας καὶ πρὸ τεσσά-
ρων μὲν ἡμερῶν ὥσπερ εἰδότες τοῦτο τὸ σκέμμα γιγνόμενον ἔσεσθαι, καθ' ἑσπέραν δὲ
δύο βηριδαρίους πρὸς τὸ καὶ ἀπὸ τῆς Αἰγύπτου Μελιτιανοὺς συναγαγεῖν εἰς τὸν Μαρεώτην,
διὰ τὸ μὴ εἶναι ἐκεῖ μηδένα καθόλου, καὶ Κολλουθιανοὺς καὶ 'Αρειομανίτας ἀπὸ ἄλλων
τόπων καὶ καττῦσαι καθ' ἡμῶν αὐτοὺς λέγειν. οἴδατε γὰρ καὶ ὑμεῖς, ὅτι αὐτὸς 6
'Ισχύρας ὡμολόγησεν ἐφ' ὑμῶν οὐ πλέον ἑπτὰ συναγομένων ἔχειν. ἐπεὶ οὖν μετὰ D
τὸ αὐτοὺς κατασκευάσαι, ὅπερ βούλονται, καὶ ἀποστεῖλαι τοὺς ὑπόπτους ἠκούσαμεν
ὅτι καθ' ἕκαστον ὑμῶν περιερχόμενοι ἀπαιτοῦσιν ὑπογραφὴν πρὸς τὸ δοκεῖν τῇ πάντων
ὑμῶν σκέψει γεγενῆσθαι, τούτου ἕνεκεν γράψαι ὑμῖν ἠπείχθημεν καὶ ἐπιδοῦναι τόδε τὸ
μαρτύριον, μαρτυρόμενοι μὲν ὅτι συσκευαζόμεθα καὶ πάσχομεν ὑπ' αὐτῶν καὶ δι'
αὐτῶν ἐπιβουλήν, ἀξιοῦντες δὲ ὅπως ἐν νῷ λαβόντες τὸν | τοῦ θεοῦ φόβον καὶ κατα- M 389 A
γνόντες ὅτι χωρὶς ἡμῶν ἀπέστειλαν οὓς ἠθέλησαν, μὴ ὑπογράψητε, ἵνα μή, ἅπερ αὐτοὶ
καθ' ἑαυτοὺς καττύουσι, ταῦτα ὡς παρ' ὑμῶν γιγνόμενα λέγωσι. καὶ γὰρ πρέπει 7
τοὺς ἐν Χριστῷ ἀνθρώπους μὴ εἰς ἀνθρώπινα βλέπειν, ἀλλὰ τὴν ἀλήθειαν πάντων
προκρίνειν. καὶ μήτε ἀπειλὴν ᾗ χρῶνται πρὸς πάντας μήτε συσκευὴν φοβηθῆτε, ἀλλὰ
μᾶλλον τὸν θεόν. ἔδει γάρ, εἴπερ ἦν ὅλως ἀκόλουθον εἰς τὸν Μαρεώτην ἀποσταλῆναι, 8
καὶ ἡμᾶς συμπαρεῖναι, ἵνα τοὺς μὲν ἐχθροὺς τῆς ἐκκλησίας ἐλέγξωμεν, τοὺς δὲ ξένους
ἀποδείξωμεν, καὶ καθαρὰ τοῦ πράγματος ἡ ἔρευνα γένηται. οἴδατε γὰρ ὅτι οἱ 9
περὶ Εὐσέβιον ἐκάττυσαν ἐπιστολὴν ἐπιδοθῆναι ὡς ἀπὸ Κολλουθιανῶν καὶ Μελιτιανῶν
καὶ 'Αρειανῶν γραφεῖσαν καθ' ἡμῶν, καὶ δῆλον ὅτι αὐτοὶ οἱ ἐχθροὶ τῆς καθολικῆς ἐκκλησίας B
οὐδὲν ἀληθὲς περὶ ἡμῶν, ἀλλὰ πάντα καθ' ἡμῶν λέγουσιν. ὁ δὲ νόμος τοῦ θεοῦ οὔτε
ἐχθρὸν μάρτυρα οὔτε κριτὴν εἶναι βούλεται. λοιπὸν ὡς | ἐν ἡμέρᾳ κρίσεως λόγον 10 B 195
μέλλοντες διδόναι λαβόντες τὸ μαρτύριον τοῦτο καὶ γνόντες συσκευὴν τὴν καθ' ἡμῶν
γενομένην παρακληθέντες φυλάξασθε μηδέν τι καθ' ἡμῶν πρᾶξαι μηδὲ συνάρασθαι τῇ
τῶν περὶ Εὐσέβιον σκέψει. καὶ γὰρ πάλιν οἴδατε, ὡς προείπομεν, ὡς ἐχθροί εἰσιν ἡμῶν,
καὶ διὰ τί Εὐσέβιος ὁ τῆς Καισαρείας ἐχθρὸς γέγονεν ἀπὸ πέρυσιν. ἐρρῶσθαι ὑμᾶς
εὐχόμεθα, κύριοι ποθεινότατοι.

6 Mit den Kolluthianern sind Beschützer des von Kolluthos eingesetzten Ischyras gemeint 11 Die Veredarii sind kaiserliche Kuriere 21 ff. Das Folgende ist Zusatz zu dem förmlichen Protest in c. 78. Die Ausführungen richten sich nur an die Bischöfe 27 Dieser Brief ist die Anklageschrift, aus der Sozom. II 25, 3—6. 17 Mitteilungen macht

BO R

6 μὲν nach 158, 18 7 Κουλλουθιανοὶ B 9 Μελιτιανοὶ nach 158, 10 τῶν Μελιτιανῶν BOR | αὐτῶν B 10 καθ' Bright καὶ BOR 11 δύο Op. nach 158, 22 19 νῷ] ῷ R vgl. 158, 31 20 a. Rd. ἕως ὧδε ἡ μετ' αὐτὴν ἐπιστολὴ ἔχει ἀπαραλλάκτως ἐκτὸς τινῶν λέξεων εἶτα ἔχει τὰς ὑπογραφάς B

78,1 Φλαβίῳ Διονυσίῳ τῷ λαμπροτάτῳ κόμητι παρὰ τῶν ἐπισκόπων τῆς Αἰγύπτου
C καθολικῆς ἐκκλησίας τῶν ἐλθόντων εἰς Τύρον.
2 Οὐκέτι νομίζομεν τὴν συσκευὴν ἄδηλον εἶναι τὴν παρὰ τῶν περὶ Εὐσέβιον καὶ
Θεόγνιον καὶ Μάριν καὶ Νάρκισσον καὶ Θεόδωρον καὶ Πατρόφιλον ἡμῖν γιγνομένην.
κατ' ἀρχὴν μὲν γὰρ παρῃτούμεθα πάντες διὰ τοῦ συλλειτουργοῦ ἡμῶν Ἀθανασίου
παρόντων αὐτῶν τὴν ἀκρόασιν γενέσθαι εἰδότες ὅτι καὶ ἑνὸς μόνου ἐχθροῦ παρουσία,
3 μήτιγε πολλῶν, ταράττειν καὶ βλάπτειν δύναται τὴν ἀκρόασιν. φανερὰ γάρ ἐστιν
ἡ ἔχθρα αὐτῶν, ἣν οὐ πρὸς ἡμᾶς μόνον ἐσχήκασιν, ἀλλὰ καὶ πρὸς πάντας τοὺς ὀρθο-
δόξους, ὅτι κατὰ πάντα ἐπιφύονται καὶ πᾶσι συσκευάζονται. ἐπειδὴ δὲ θαρροῦντες
D ἡμεῖς τῇ ἀληθείᾳ δεῖξαι τὴν συκοφαντίαν τὴν κατὰ τῆς ἐκκλησίας ὑπὸ τῶν Μελιτιανῶν
γενομένην ἠθελήσαμεν, οὐκ οἴδαμεν πῶς αὐτοὶ οἱ περὶ Εὐσέβιον ταράττειν τὰ παρ'
ἡμῶν λεγόμενα ἐπειρῶντο καὶ ἐπὶ πολὺ ἐσπούδαζον τὰ παρ' ἡμῶν λεγόμενα ἐκβάλλεσθαι,
τοῖς μὲν ἀκεραίως δικάζουσιν ἀπειλοῦντες, τοὺς δὲ καὶ ὑβρίζοντες, μόνον ἵνα τὸ καθ'
4 ἡμῶν σπουδαζόμενον αὐτοῖς γένηται. καὶ ἴσως ἡ χρηστότης σου ἠγνόει τὴν καθ'
ἡμῶν γινομένην παρ' αὐτῶν συσκευήν, ἀλλὰ νῦν νομίζομεν φανερὰν αὐτὴν γεγενῆσθαι.
ἰδοὺ γὰρ φανερῶς αὐτοὶ τὴν συσκευὴν ἐνεδείξαντο. τοὺς γὰρ ἐξ ἑαυτῶν ὑποπτευομένους
ἀποστεῖλαι ἠθέλησαν εἰς τὸν Μαρεώτην, ἵνα ἀπόντων ἡμῶν καὶ ἐνταῦθα μενόντων τοὺς
M 392 A 5 μὲν λαοὺς | ταράξωσιν, ἃ δὲ βούλονται διαπράξωνται. εἰδότες γὰρ ὅτι Ἀρειομανῖται
καὶ Κολλουθιανοὶ καὶ Μελιτιανοὶ ἐχθροὶ τῆς ἐκκλησίας εἰσί, διὰ τοῦτο ἐσπούδασαν ἀπο-
στεῖλαι τούτους, ἵνα παρόντων ἐχθρῶν καττύσωσι καθ' ἡμῶν, ἃ βούλονται. καὶ γὰρ
ἤδη οἱ ἐνταῦθα Μελιτιανοὶ ἀπέστειλαν ἐξ αὐτῶν τινας καὶ πρὸ τεσσάρων μὲν ἡμερῶν
ὥσπερ εἰδότες τοῦτο τὸ σκέμμα γενόμενον ἔσεσθαι, καθ' ἑσπέραν δὲ δύο βηριδαρίους
πρὸς τὸ καὶ ἀπὸ τῆς Αἰγύπτου Μελιτιανοὺς συναγαγεῖν εἰς τὸν Μαρεώτην, διὰ τὸ μὴ
εἶναι ἐκεῖ μηδένα καθόλου, καὶ Κολλουθιανοὺς καὶ Ἀρειομανίτας ἀπ' ἄλλων τόπων καὶ
6 καττῦσαι καθ' ἡμῶν αὐτοὺς λέγειν. οἶδε δέ σου ἡ χρηστότης ὅτι αὐτὸς ⟨Ἰσχύρας⟩
B 196 ὡμολόγησεν ἐπὶ σοῦ μὴ πλέον ἑπτὰ συναγομένων ἔχειν. ἐπεὶ οὖν | μετὰ τὸ αὐτοὺς κατα-
B σκευάσαι, ὅπερ βούλονται, καὶ ἀποστεῖλαι τοὺς ὑπόπτους ἠκούσαμεν ὅτι καθ' ἕκαστον
τῶν ἐπισκόπων περιερχόμενοι ἀπαιτοῦσιν ὑπογραφὴν πρὸς τὸ δοκεῖν τῇ πάντων αὐτῶν
σκέψει γενέσθαι, τούτου ἕνεκεν ἀνενεγκεῖν ἐπὶ τὴν σὴν λαμπρότητα ἠπείχθημεν καὶ
ἐπιδοῦναι τόδε τὸ μαρτύριον, μαρτυρόμενοι μὲν ὅτι συσκευαζόμεθα καὶ πάσχομεν
ὑπ' αὐτῶν καὶ δι' αὐτῶν ἐπιβουλήν, ἀξιοῦντες δὲ ὅπως ἐν νῷ λαβὼν τὸν φόβον τοῦ
θεοῦ καὶ τὰς εὐσεβεῖς ἐντολὰς τοῦ θεοφιλεστάτου βασιλέως ὡς καταγνοὺς ὅτι χωρὶς
ἡμῶν οὓς ἠθέλησαν ἀπέστειλαν, μὴ ἀνάσχῃ αὐτῶν.

---

3 Der Brief (= Urk. 61) ist nur hier überliefert. C. 77. 78 illustrieren die oben S. 152, 25 Note belegte Praxis des alexandrinischen Klerus

---

B (bis Z. 4, dann ab Z. 26 ἐπεὶ) O R

1/2 τοῖς ἐν Τύρῳ συνελθοῦσιν ἐπισκόποις κυρίοις τιμιωτάτοις οἱ ἀπ' Αἰγύπτου σὺν Ἀθανασίῳ ἐλθόντες τῆς καθολικῆς ἐκκλησίας ἐν κυρίῳ χαίρειν BO; dieses falsche Präskript (vgl. S. 156, 22) stellte ein späterer Schreiber in B mit den Worten fest: ψευδὴς ἐπιγραφή u. a. Rd. πρὸς τὸν Ἀλέξανδρον (vgl. S. 160, 20) 1 Φλαϋίῳ R 4 Nach γιγνομένην bricht B ab: ἐγράφη ὀπίσω ἀπαραλλάκτως ἕως ὧδε: εἶτα dann Z. 26: ἐπεὶ . . . 5 διὰ Montf. nach 156, 26 δίχα RO 9 πάντα RO πάντας Montf. πάντων oben S. 156, 31 12 ἐπειρῶντο — λεγόμενα > R 14 σου nach Z. 25 ὑμῶν OR 18 εἰδότες] εἶδον 157, 6 20 παρόντων Montf. nach 157, 8 παρὰ τῶν OR 21 αὐτῶν O 22 καθ' Bright καὶ OR 25 ⟨Ἰσχύρας⟩ nach 157, 14 26 σου ∸ ὁ Ἰσχύρας O 27 ὑπόπτους B ὑπόπτας OR 28 τῇ > BO 31 νῷ R^{c} ω (!) R*

1 Ἀδαμάντιος ἐπίσκοπος ἐπιδέδωκα	2 Ἰσχύρας	7
3 Ἄμμων	4 Πέτρος	
5 Ἀμμωνιανὸς	6 Τύραννος	
7 Ταυρῖνος	8 Σαραπάμμων	
9 Αἰλουρίων	10 Ἁρποκρατίων	
11 Μωυσῆς	12 Ὀπτᾶτος	C
13 Ἀνουβίων	14 Σαπρίων	
15 Ἀπολλώνιος	16 Ἰσχυρίων	
17 Ἀρβαιθίων	18 Ποτάμων	
19 Παφνούτιος	20 Ἡρακλείδης	
21 Θεόδωρος	22 Ἀγαθάμμων	
23 Γάιος	24 Πιστός	
25 Ἀθάς	26 Νίκων	
27 Πελάγιος	28 Θέων	
29 Πανινούθιος	30 Νόννος	
31 Ἀρίστων	32 Θεόδωρος	
33 Εἰρηναῖος	34 Βλαστάμμων	
35 Φίλιππος	36 Ἀπολλώς	
37 Διόσκορος	38 Τιμόθεος Διοσπόλεως	
39 Μακάριος	40 Ἡρακλάμμων	
41 Κρόνιος	42 Μοῦις	
43 Ἰάκωβος	44 Ἀρίστων	
45 Ἀρτεμίδωρος	46 Φινεές	
47 Ψάις	48 Ἡρακλείδης	

Καὶ δεύτερον οἱ αὐτοί 79,1

Φλαυίῳ Διονυσίῳ τῷ λαμπροτάτῳ κόμητι οἱ ἐν Τύρῳ ἀπ' Αἰγύπτου ἐλθόντες ἐπίσκοποι τῆς καθολικῆς ἐκκλησίας.

Πολλὰς ὁρῶντες συσκευὰς καθ' ἡμῶν γινομένας καὶ ἐπιβουλὰς ἐκ συσκευῆς τῶν

1 ff. Die Namen beweisen, welche Schar von Trabanten Athanasius bei sich hatte, vgl. Sozom. II 25, 18 1. In Nicäa (Kopt. 4) Bi. v. Cynopolis (Aegyptus) 5. 346: S. 129 Nr. 192 6. In Nicäa Bi. v. Antinou, so bis 346: 19. Festbrief, vgl. S. 147, 11 Note 8. Vgl. S. 129 Nr. 177. 9. Vgl. S. 130 Nr. 228. 10. In Nicäa Bi. v. Alphocranon, 346: S. 129 Nr. 188 13. Bi. v. Chois bis 346: 19. Festbrief 14. Bi. v. Tentyra bis 337: Athan. ep. ad Serapionem (p. ܩܐ Cureton), Vita S. Pachomii 29 (Subs. hagiogr. 19 S. 19, 10; Namensform: Σαραπίων, Ἀπρίων) 17. In Nicäa Bi. v. Pharbethu 18. In Nicäa Bi. v. Heracleupolis Sethrois; nach Epiph. haer. 68, 8, 2 (III 148, 20) in Tyrus, Gegner Eusebs v. Caesarea; Bekenner: Athan. hist. Arian. 12 (Migne 25, 708 A), von Gregor zu Tode gemartert. Bekommt 346 Nachfolger (19. Festbrief) 20. Vgl. S. 128 Nr. 156 21. Bi. v. Coptos, vgl. S. 150 Nr. 9, ein früherer Melitianer, der bis 346 (19. Festbrief) im Amt war 22. Vgl. S. 129 Nr. 198 23. In Nicäa Bi. v. Panys (Kopt. 6) 24. Vgl. S. 130 Nr. 231 25. In Nicäa Bi. v. Schedia, 346: vgl. S. 129 Nr. 196 26. Bi. der südl. Garyathis bis 336; Athan. ep. ad Serap. 27. Vgl. S. 150 Nr. 12, ehemaliger Melitianer 28. Vgl. S. 150 Nr. 14, ehemaliger Melitianer 29. Vgl. S. 129 Nr. 202 30. Bi. v. Paralus bis 336, Athan. ep. ad Serap. 31. Ob der etwa 353 von Athan. ep. ad Drac. 7 (Migne 25, 532 A) genannte? 34. Vgl. S. 128 Nr. 160 35. In Nicäa Bi. v. Panyphis, 346: S. 129 Nr. 179 36. Vgl. S. 129 Nr. 191 37. Vgl. S. 128 Nr. 158 38. Vgl. S. 129 Nr. 168 40. Vgl. S. 130 Nr. 232 41. Ob der S. 150 Nr. 32 genannte Melitianer? 43. Bi. v. Clysma bis 346: 19. Festbrief 45. Bi. v. Panos, legt 346 sein Amt wegen seines Alters nieder: 19. Festbrief 47. Vgl. S. 130 Nr. 221 48. Vgl. S. 130 Nr. 214 26 Der Brief (= Urk. 67) ist nur hier überliefert. Zweck: Nach Eintreffen des Kommissionsberichtes förmlicher Protest gegen die Synode und Appellation an das Kaisergericht

BO R

1 ἐπιδέδωκα + ἵνα R 17 Βλαστάμων R* Βλαστάμμων R^c 19 Διοπόλεως B

D περὶ Εὐσέβιον καὶ Νάρκισσον καὶ Φλάκιλλον καὶ Θεόγνιον καὶ Μάριν καὶ Θεόδωρον
καὶ Πατρόφιλον, οὓς κατὰ τὴν ἀρχὴν θελήσαντες παραιτήσασθαι οὐκ ἐπετράπημεν,
ἀνάγκην ἔχομεν ἐπὶ τήνδε τὴν διαμαρτυρίαν ἐλθεῖν. καὶ γὰρ πολλὴν ὑπὲρ Μελιτιανῶν
ὁρῶμεν σπουδὴν γιγνομένην, κατὰ δὲ τῆς καθολικῆς ἐκκλησίας τῆς ἐν Αἰγύπτῳ δι' ἡμῶν
M 393 A ἐπιβουλήν. ὅθεν ἐπιδιδομέν σοι τήνδε τὴν ἐπιστολὴν ἀξιοῦντες ἐν νῷ σε λαβεῖν | τὸν θεὸν
2 τὸν παντοκράτορα τὸν τὴν βασιλείαν τοῦ εὐσεβεστάτου καὶ θεοφιλεστάτου βασιλέως
Κωνσταντίνου διαφυλάττοντα τηρῆσαι τὴν ἀκρόασιν τῶν καθ' ἡμᾶς πραγμάτων αὐτῷ
τῷ εὐσεβεστάτῳ βασιλεῖ. καὶ γὰρ εὔλογον ἀποσταλέντα σε παρὰ τῆς βασιλείας αὐτοῦ
3 καὶ ἡμῶν ἐπικαλεσαμένων τὴν εὐσέβειαν αὐτοῦ αὐτῷ τηρῆσαι τὸ πρᾶγμα. οὐκέτι γὰρ
φέρομεν συσκευαζόμενοι καὶ ἐπιβουλευόμενοι διὰ τῶν περὶ Εὐσέβιον τῶν προειρημένων.
B 197 καὶ διὰ τοῦτο τῷ εὐσεβεστάτῳ καὶ | θεοφιλεστάτῳ βασιλεῖ τηρηθῆναι τὸ πρᾶγμα ἀξιοῦ-
μεν, παρ' ᾧ δυνάμεθα καὶ τὰ δίκαια τῆς ἐκκλησίας καὶ τὰ ἑαυτῶν παραθέσθαι. πιστεύο-
4 μεν γὰρ ὅτι ἡ εὐσέβεια αὐτοῦ ἀκούσασα οὐ καταγνώσεται ἡμῶν. καὶ πάλιν οὖν ὁρκίζο-
μέν σε τὸν παντοκράτορα θεὸν καὶ τὸν εὐσεβέστατον βασιλέα ἀεὶ εἰς πολλὰς ἐτῶν
B περιόδους νικῶντα καὶ ὑγιαίνοντα μετὰ τῶν παίδων τῆς εὐσεβείας αὐτοῦ μηδὲν πλέον
πρᾶξαι μηδὲ ἐπιτρέψαι τι σεαυτῷ ἐν τῇ συνόδῳ κινῆσαι περὶ τῶν καθ' ἡμᾶς πραγ-
μάτων, ἀλλὰ τηρῆσαι τῇ εὐσεβείᾳ αὐτοῦ τὴν ἀκρόασιν. περὶ δὲ τῶν αὐτῶν καὶ τοῖς
κυρίοις μου ἐπισκόποις τοῖς ὀρθοδόξοις ἐδηλώσαμεν.

80,1 Ταῦτα δεξάμενος Ἀλέξανδρος ὁ ἐπίσκοπος τῆς Θεσσαλονίκης ἔγραψε Διονυσίῳ
τῷ κόμητι ταῦτα·

Τῷ δεσπότῃ μου Διονυσίῳ Ἀλέξανδρος ἐπίσκοπος.

2 Φανερὰν ὁρῶ κατὰ Ἀθανασίου συσκευὴν γενομένην. πάντας γὰρ οὓς παρῃτή-
C σατο, τούτους οὐκ οἶδα τί πεπονθότες ἀποστεῖλαι ἠθέλησαν μηδὲ σημάναντες ἡμῖν.
ἣν γὰρ δόξαν κατὰ τὸ αὐτὸ σκέψασθαι, τίνας δεήσει ἀποσταλῆναι. συμβούλευσον
οὖν μή τι προπετὲς γενέσθαι (ἐληλύθασι γὰρ πρός με τεθορυβημένοι λέγοντες 'ἤδη τὰ
θηρία ἐσφρῖχθαι, καὶ μέλλειν ἐξορμᾶν'. περιηχήθησαν γὰρ ὡς Ἰωάννου τινὰς ἀποστεί-
3 λαντος), μὴ προλαβόντες καττύσωσιν, ὡς ἂν ἐθέλοιεν. οἶδας γὰρ ὅτι καὶ Κολλουθιανοὶ
τῆς ἐκκλησίας ἐχθροὶ ὄντες καὶ Ἀρειανοὶ καὶ Μελιτιανοί, οὗτοι πάντες ἀλλήλοις σύμψηφοι
γενόμενοι, δύνανται μεγάλα κακὰ ἐργάσασθαι. σκέψαι οὖν τὸ συμφέρον, ἵνα μὴ ἀνα-

8 ff. Man strebt also einen Prozeß vor dem Kaiser an, vgl. S. 152, 22; 156, 12. Das hat dann Athanasius durch seine Reise an den Hof selbst versucht 16 Von dieser Appellation an eine neue Synode, d. h. an von Athanasius als rechtgläubig anerkannte Bischöfe (vgl. S. 152, 22), ist nichts erhalten, aber Ath. bezieht nach Z. 19 das Schreiben c. 80 auf diese Appellation 19 Alexander von Thessalonich spielt eine bemerkenswerte, nicht ganz aufklärbare Rolle (vgl. c. 66). Ob er Beziehungen zu Konstantin und zum Hofe hatte? Daß er in Tyrus anwesend war, ergibt sich daraus, daß ein brieflicher Verkehr zwischen Tyrus und Thessalonich in den wenigen Wochen nicht möglich war. Nach S. 99, 12 hatte A. wohl zu Euseb Beziehungen; jedenfalls gehörte er nicht zu den Klienten des Athanasius 21 Der Brief (= Urk. 62) ist nur hier überliefert; er lag dem Schreiben der alexandrinischen Synode von 338 bei, vgl. S. 99, 10. Datum: Anfang August 335 25 ἐληλύθασι d. s. die ägyptischen Bischöfe 26 Also der eigentliche Gegner des Athanasius ist Johannes Archaph. τινὰς ἀποστείλαντος: Johannes schickte die Melitianer, von denen S. 157, 9 ff. die Rede ist 26 Alexander schließt sich den Ausführungen der ägyptischen Bischöfe an, vgl. S. 157, 12 ff. Daher ist also der Brief A.s eine Folge des Schreibens in c. 77. Dem Comes wird also von dem ägyptischen Klerus und Alexander zugesetzt

BK (ab Z. 20) O RE (Z. 20—161, 4)

3 ἔσχομεν OR 6 βασιλέως > R 8 καὶ — αὐτοῦ > B 11 θεοφιλεστάτῳ B θεοσεβεστάτῳ OR 12 τὰ² RO > B 14 καὶ Op. οὕτως BOR vgl. S. 156, 13 19 τῆς > B*, nachgetr. B^c 21 a. Rd. ξβ̄ R ξγ̄ E 23 τούτους > B 24 τίνας + εἰ E^c 27 καττύσωσιν RE καττύουσιν B κατέχωσιν KO nicht übel

κύψῃ τι σκυθρωπὸν καὶ αἰτίᾳ ὑποβληθῶμεν ὡς οὐ κατὰ τὸ δίκαιον κρίναντες. κἀκεῖνοι
μάλιστα ὑφορῶνται, μὴ διοδεύοντες τὰς ἐκκλησίας, ὧν οἱ ἐπίσκοποί εἰσιν ἐνταῦθα, φόβον D
ἐμποιήσαντες ταράξωσι πᾶσαν τὴν Αἴγυπτον ὡς τοῖς Μελιτιανοῖς παραδόντες. ἐκ
τοῦ πλείστου γὰρ τοῦτο συνορῶ γινόμενον.

Πρὸς ταῦτα Διονύσιος ὁ κόμης ἔγραψε τοῖς περὶ Εὐσέβιον ταῦτα· 81, 1

...Ταῦτα ἦν ἃ νῦν διελεγόμην τοῖς κυρίοις μου τοῖς περὶ Φλάκιλλον, ὅτι Ἀθανάσιος
ἐπιστὰς ᾐτιάσατο· ʻοὓς παρῃτησάμηνʼ, λέγων, ʻτούτους ἀποστέλλεσθαιʼ καὶ βοῶν ὡς
ʻἀδικούμενος καὶ περιγραφόμενοςʼ, ταῦτα καὶ ὁ κύριός μου τῆς ψυχῆς Ἀλέξανδρος ἀπέ-
στειλε. καὶ | ἵνα γνῶτε ὅτι κατὰ λόγον ἔχει τὰ γραφέντα μοι παρὰ τῆς χρηστότητος M 396 A
αὐτοῦ, ὑπέταξα αὐτὰ ἀναγνωσθησόμενα | ὑμῖν. μέμνησθε δὲ καὶ τῶν ἄνωθεν παρ' 2 B 198
ἐμοῦ γραφέντων· ἐπέστειλα γὰρ ὑμῶν τῇ χρηστότητι, κύριοι, ὅτι χρὴ τοὺς ἀποστελλο-
μένους κοινῇ κρίσει καὶ δόγματι ἀποσταλῆναι. ὁρᾶτε τοίνυν, μὴ ἐγκλήματι ὑποπέσῃ
τὰ γινόμενα μηδὲ δικαίας μέμψεως ἀφορμὴν τοῖς βουλομένοις ἡμᾶς αἰτιάσασθαι δῶμεν.
ὥσπερ γὰρ βαρεῖσθαι τὸ μέρος τῶν κατηγόρων οὐ προσήκει, οὕτως οὐδὲ τὸ τῶν φευ-
γόντων. νομίζω δὲ οὐ μικρὰν εἶναι ἀφορμὴν καθ' ἡμῶν μέμψεως, ὅταν φαίνηται ὁ κύριός
μου Ἀλέξανδρος μὴ συναινῶν τοῖς πραττομένοις....

Τούτων οὕτω πραττομένων ἀνεχωρήσαμεν ἀπ' αὐτῶν ὡς »ἀπὸ συνόδου τῶν 82, 1
ἀθετούντων«· ἃ γὰρ ἐβούλοντο, ταῦτα καὶ ἔπραττον. ὅτι μὲν οὖν τὰ πραττόμενα κατὰ B
μονομέρειαν οὐδεμίαν ἔχει δύναμιν, οὐδείς ἐστιν, ὅστις ἀγνοεῖ τῶν πάντων ἀνθρώπων.
τοῦτο γὰρ καὶ ὁ θεῖος νόμος κελεύει, τοῦτο καὶ ὁ μακάριος ἀπόστολος πάσχων τοιαύτην 2
ἐπιβουλὴν καὶ κρινόμενος ἠξίου λέγων· »ἔδει τοὺς ἀπὸ τῆς Ἀσίας Ἰουδαίους ἐπὶ σοῦ
παρεῖναι καὶ κατηγορεῖν, εἴ τι ἔχοιεν«, ὅτε καὶ ὁ Φῆστος θελόντων τῶν Ἰουδαίων τοιαύτην
ἐπιβουλὴν ἐργάσασθαι, οἵαν νῦν καθ' ἡμῶν οὗτοι πεποιήκασιν, ἔλεγεν· »οὐκ ἔστιν ἔθος
Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι
τοὺς κατηγόρους τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος«. ἀλλ' οἱ περὶ 3
Εὐσέβιον καὶ τὸν νόμον παραποιεῖν ἐτόλμησαν καὶ πλέον τῶν ἀδικούντων ἀδικώτεροι
γεγόνασιν. οὐ γὰρ ἐξ ἀρχῆς κατὰ μόνας ἔπραξαν, ἀλλ' ὅτε παρόντων ἡμῶν ἠσθένησαν, C
τότε λοιπὸν ἐξελθόντες ὡς Ἰουδαῖοι συμβούλιον ἔλαβον κατὰ μόνας, ὅπως ἡμᾶς μὲν
ἀπολέσωσι, τὴν δὲ αἵρεσιν εἰσαγάγωσιν, ὡς ἐκεῖνοι τὸν Βαραββᾶν ᾐτήσαντο. τούτου
χάριν αὐτοὶ ταῦτα πάντα πεποιηκέναι δι' ἑαυτῶν ὡμολόγησαν.

2 ἐπίσκοποι d. s. die in c. 78, 7 5 Das Brieffragment (= Urk. 63) ist nur hier überliefert 7 ff. Kurzes Referat des Protestes des Athanasius, den Alexander unterstützte 10 Der Brief des Comes an die Synode wird nur hier erwähnt. Der Comes wünschte, daß die Kommission von der ganzen Synode beauftragt würde. Der Beamte war also unparteiischer als die Bischöfe. Er wußte, daß durch eine parteiische Ablehnung des Votums des Athanasius die Voraussetzung für einen Protest gegen das Verfahren der Synode gegeben war. Athanasius benutzte diese Gelegenheit. Der Comes weist auf die prozessualen Schwierigkeiten hin, die sich aus dem Schreiben des Alexander ergeben können, mahnt deshalb zur Besonnenheit 17 Athanasius verließ die Synode, wie es im Keph. zum 8. Festbrief heißt: ἐπεὶ δὲ φανερὰν ἀπέδειξαν τὴν κατ' αὐτοῦ συσκευήν, ἀνῆλθεν ἐντεῦθεν ἀποφυγὼν εἰς Κωνσταντινούπολιν πλῷ χρησάμενος (vgl. Sozom. II 25, 14), s. c. 86 17 Jer. 9, 2 21 Acta 24, 19 23 Acta 25, 16 28 Vgl. Mt. 26, 4 29 Vgl. Mt. 27, 20

BK O RE (Z. 17—29)

2 ἐφορῶνται K 3 παραδόντες Schw. παραδοθέντες BKORE 4 συνορῶσι B 5 a. Rd. ξγ R 9 ἔχῃ R 17 Vor c. 82 setzten BKE: διήγησις πῶς ἀπὸ Τύρου ἀπῆλθε πρὸς (εἰς B) τὸν βασιλέα ὁ πάπας (> K) Ἀθανάσιος | a. Rd. ξδ RE | πραττομένων BKO πραχθέντων RE 19 ὅστις KORE ὃς B 20 ἀπόστολος > E* Παῦλος eingetr. v. sp. Hd. E 23 νῦν καθ' ἡμῶν οὗτοι BKO οὗτοι νῦν καθ' ἡμῶν RE 29 Βαραβᾶν B

83, 1 Καὶ εἰ ἀρκεῖ ταῦτα πρὸς πᾶσαν ἀπολογίαν, ὅμως ὑπὲρ τοῦ καὶ πλέον τούτων
μὲν τὴν πονηρίαν δειχθῆναι, τῆς δὲ ἀληθείας τὴν ἐλευθερίαν, οὐδὲν ἐλύπει καὶ πάλιν
ὑπομνῆσαι καὶ δεῖξαι ὡς αὐτοὶ ἑαυτοῖς ἐναντία ἔπραξαν καὶ ὡς ἐν σκότῳ βουλευόμενοι
τοῖς ἑαυτῶν προσέκοπτον καὶ θέλοντες ἡμᾶς ἀνελεῖν ἑαυτοὺς ἔτρωσαν ὡς μαινόμενοι.
2 περὶ μυστηρίων γὰρ ἐρευνῶντες Ἰουδαίους ἀνέκρινον καὶ κατηχουμένους ἐξήταζον·
D 'ποῦ ἦτε, ὅτε Μακάριος ἦλθε καὶ ἀνέτρεψε τὴν τράπεζαν;' κἀκεῖνοι ἀπεκρίναντο ὅτι
'ἔνδον ὄντες ἐτυγχάνομεν'. οὐκοῦν οὐκ ἦν προσφορά, εἰ κατηχούμενοι ἔνδον ἦσαν.
M 397 A ἔπειτα γράψαντες πανταχοῦ ὡς 'ἑστῶτος τοῦ πρεσβυτέρου καὶ | ἐπιτελοῦντος εἰσελθὼν
B 199 Μακάριος ἀνέτρεψε πάντα', ἀνέκρινον οὓς ἠβούλοντο, ποῦ ἦν Ἰσχύρας, ὅτε Μακάριος |
ἐπέστη. κἀκεῖνοι πάλιν ἀπεκρίναντο ὅτι ἐν κελλίῳ νοσῶν κατακείμενος ἦν. οὐκοῦν
3 οὐχ εἱστήκει ὁ κατακείμενος οὐδὲ προσέφερεν ὁ ἐν κελλίῳ νοσῶν καὶ κατακείμενος. πρὸς
τούτοις λέγοντος τοῦ Ἰσχύρα κεκαῦσθαι βιβλία παρὰ Μακαρίου οἱ ὑποβληθέντες μάρτυρες
ἔλεγον μηδέν τι τοιοῦτον γεγενῆσθαι, ἀλλὰ ψεύδεσθαι τὸν Ἰσχύραν. καὶ τὸ θαυμαστόν,
γράψαντες πάλιν πανταχοῦ ἠφανίσθαι παρ' ἡμῶν τοὺς δυναμένους μαρτυρεῖν, τούτους
φαινομένους ἀνέκρινον καὶ οὐκ ᾐσχύνοντο βλέποντες ἑαυτοὺς συκοφάντας πανταχόθεν
δεικνυμένους καὶ ταῦτα κατὰ μόνας πράττοντας ὡς ἠβούλοντο. ἔνευον μὲν γὰρ τοῖς μάρ-
B τυσι, καὶ ὁ ἔπαρχος ἠπείλει, καὶ οἱ στρατιῶται ἔνυττον, ὁ δὲ κύριος τὴν ἀλήθειαν ἐξε-
4 κάλυπτε καὶ συκοφάντας αὐτοὺς ἐδείκνυε. διὰ τοῦτο καὶ τὰ ὑπομνήματα ἔκρυψαν,
καὶ αὐτοὶ μὲν ἔσχον αὐτά, παρήγγειλαν δὲ τοῖς γράψασιν ἀφανίσαι καὶ μηδενὶ τὸ σύν-
ολον ἐκδοῦναι. ἀλλ' ἐσφάλησαν καὶ ἐν τούτῳ· ὁ μὲν γὰρ γράψας αὐτὰ Ῥοῦφός ἐστιν
ὁ νῦν ἐν τῇ Αὐγουσταμνικῇ σπεκουλάτωρ καὶ δύναται μαρτυρῆσαι, οἱ δὲ περὶ Εὐσέβιον
εἰς Ῥώμην αὐτὰ διὰ τῶν ἰδίων ἀπέστειλαν, καὶ Ἰούλιος ὁ ἐπίσκοπος αὐτά μοι διεπέμψατο.
καὶ μαίνονται νῦν, ὅτι ἃ ἐκεῖνοι ἀποκρύπτειν ἐβούλοντο, ἡμεῖς ἔσχομεν καὶ ἀνέγνωμεν.

84, 1 Ταῦτα καὶ τὰ τοιαῦτα συνθέντες εὐθὺς καὶ τὴν αἰτίαν, δι' ἣν ταῦτα ἔπραξαν,
C ἐφανέρωσαν. ἀπερχόμενοι γὰρ ἀπήγαγον μεθ' ἑαυτῶν τοὺς Ἀρειανοὺς εἰς τὴν Ἱερου-
σαλήμ, κἀκεῖ τούτους εἰς κοινωνίαν ἐδέξαντο γράψαντες ἐπιστολὴν περὶ αὐτῶν, ἧς ἡ
ἀρχὴ καὶ τὸ μέρος ἐστὶ τοῦτο.

2 Ἡ ἁγία σύνοδος ἡ ἐν Ἱεροσολύμοις θεοῦ χάριτι συναχθεῖσα τῇ ἐκκλησίᾳ τοῦ
θεοῦ τῇ ἐν Ἀλεξανδρείᾳ καὶ τοῖς κατὰ πᾶσαν τὴν Αἴγυπτον καὶ Θηβαΐδα καὶ Λιβύην
καὶ Πεντάπολιν καὶ τοῖς κατὰ τὴν οἰκουμένην ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις
ἐν κυρίῳ χαίρειν.

3 Πᾶσι μὲν ἡμῖν τοῖς ἐπὶ τὸ αὐτὸ συνελθοῦσιν ἐξ ἐπαρχιῶν διαφόρων πρὸς τῇ μεγάλῃ
πανηγύρει, ἣν ἐπὶ τῇ ἀφιερώσει τοῦ σωτηρίου μαρτυρίου σπουδῇ τοῦ θεοφιλεστάτου

---

6 Das Folgende ist den Akten der Kommission entnommen, die Athanasius in Rom einsah, vgl. c. 37, 7 S. 116, 11 ff.; c. 44, 4 S. 121, 21 ff. Zum Inhalt vgl. Julius' Bericht c. 28, 4 S. 108, 14 ff. 9 = c. 28, 4 S. 108, 12 ff. 19 D. h. Athanasius bekam die Akten nicht zu Gesicht, da er nicht mehr in Tyrus war; und den alexandrinischen Klerikern wurde die Einsichtnahme verwehrt 20 Ῥοῦφος ὁ νῦν ἐν τῇ Αὐγουσταμνικῇ σπεκουλάτωρ: R. ist also etwa 357 unterer Gerichtsbeamter, nicht Scharfrichter, in der Provinz Augustamnica 22 Vgl. c. 28, 4 25 Die Synode trat auf Befehl Konstantins (Euseb VC IV 43) anläßlich der Einweihung der Auferstehungskirche in Jerusalem zusammen. Sie fand am 17. September (Chron. pasch. 531, 11) statt. Dort wurde Arius mit seinen Genossen wieder aufgenommen. Athanasius übergeht hier die Tatsache, daß Konstantin der Urheber dieses Schlages gegen ihn war. Das

---

BK (bis Z. 26 ἐδέξαντο) O RE (Z. 11—26)

---

1 εἰ + καὶ E 2 δειχθῆναι BKOE[c] δεχθῆναι RE* 4 προέκοπτον E* προσέκοπτον E[c] 10 ἀπέστη B* ἐπέστη B[c] 11 οὐδὲ] ὁ δὲ B 15 βλέπειν E | πανταχόθεν συκοφάντας ~ K 19 αὐτὰ] ταῦτα K 21 Αὐγουσταμνικῇ Op. denn praefecti augustales gibt es erst seit 382 Αὐγουσταλιανῇ BKOR Αἰγύπτῳ E, a. Rd.: γρ' Αὐγουσταλιανῇ E 23 ἀνέγνωμεν B ἔγνωμεν KORE 28 a. Rd. ξε R 33 τῇ RO de syn. > B

βασιλέως Κωνσταντίνου τῷ πάντων βασιλεῖ θεῷ καὶ τῷ Χριστῷ αὐτοῦ κατασκευασθέντος D
ἐπετελέσαμεν, πλείονα θυμηδίαν ἡ τοῦ θεοῦ χάρις πάρεσχεν, ἣν ἐποίησεν αὐτός τε ὁ
θεοφιλέστατος βασιλεὺς διὰ γραμμάτων οἰκείων τοῦθ', ὅπερ ἐχρῆν, παρορμήσας πάντα
μὲν ἐξορίσαι τῆς ἐκκλησίας τοῦ θεοῦ φθόνον καὶ πᾶσαν μακρὰν ἀπελάσαι βασκανίαν, | M 400 A
δι' ἧς τὰ τοῦ θεοῦ μέλη πάλαι πρότερον | διειστήκει, ἡπλωμένῃ δὲ καὶ εἰρηναίᾳ ψυχῇ B 200
δέξασθαι τοὺς περὶ Ἄρειον, οὓς πρός τινα καιρὸν ὁ μισόκαλος φθόνος ἔξω γενέσθαι τῆς
ἐκκλησίας εἰργάσατο. ἐμαρτύρει δὲ τοῖς ἀνδράσιν ὁ θεοφιλέστατος βασιλεὺς διὰ 4
τῆς ἐπιστολῆς πίστεως ὀρθοτομίαν, ἣν παρ' αὐτῶν πυθόμενος αὐτός τε δι' ἑαυτοῦ παρὰ
ζώσης φωνῆς αὐτῶν ἀκούσας ἀπεδέξατο ἡμῖν τε φανερὰν κατεστήσατο ὑποτάξας τοῖς
ἑαυτοῦ γράμμασιν ἔγγραφον τὴν τῶν ἀνδρῶν ὀρθοδοξίαν . . . . .

Τίς τούτων ἀκούων οὐ συνορᾷ τὴν συσκευήν; οὐ γὰρ ἔκρυψαν, ἃ ἔπραξαν, ἢ τάχα 85, 1
καὶ μὴ βουλόμενοι τὴν ἀλήθειαν ὡμολόγησαν. εἰ γὰρ ἐγὼ ἤμην ὁ κωλύων τοὺς περὶ
Ἄρειον εἰσελθεῖν, κἀμοῦ συσκευὴν παθόντος ἐδέχθησαν, τί ἕτερόν ἐστιν, ἢ ὅτι ταῦτα
δι' ἐκείνους γέγονε καὶ πάντα καθ' ἡμῶν ἔπραξαν καὶ πέπλασται ποτηρίου κλάσις καὶ B
Ἀρσενίου φόνος, ἵνα μόνον τὴν ἀσέβειαν εἰς τὴν ἐκκλησίαν εἰσαγάγωσι καὶ μὴ ὡς αἱρετικοὶ
καταγνωσθῶσι; τοῦτο γὰρ ἦν ὃ καὶ πρὸ τούτου γράφων ἐμοὶ βασιλεὺς ἠπείλησε. 2
καὶ οὐκ ᾐδέσθησαν τοιαῦτα γράφοντες καὶ λέγοντες τούτους ὀρθῶς φρονεῖν, οὓς πᾶσα
ἡ οἰκουμενικὴ σύνοδος ἀνεθεμάτισε· καὶ οὐκ ἐφοβήθησαν τὴν τηλικαύτην σύνοδον ἐν
γωνίᾳ λύοντες τὸ ὅσον ἐπ' αὐτοῖς, οἱ πάντα λέγοντες καὶ πράττοντες εὐχερῶς. καὶ 3
ὁ μισθὸς δὲ τῆς συκοφαντίας ἔτι πλέον αὐτῶν τὴν πονηρίαν καὶ τὴν ἀσεβῆ πρόθεσιν
δείκνυσιν. ὁ Μαρεώτης, καθὰ προεῖπον, χώρα τῆς Ἀλεξανδρείας ἐστὶ καὶ οὐδέποτε
ἐν τῇ χώρᾳ γέγονεν ἐπίσκοπος οὐδὲ χωρεπίσκοπος, ἀλλὰ τῷ τῆς Ἀλεξανδρείας ἐπισκόπῳ
αἱ ἐκκλησίαι πάσης τῆς χώρας ὑπόκεινται. ἕκαστος δὲ τῶν πρεσβυτέρων ἔχει τὰς ἰδίας C
κώμας μεγίστας καὶ ἀριθμῷ δέκα που καὶ πλέον. ἡ δὲ κώμη, ἔνθα οἰκεῖ ὁ Ἰσχύρας, 4
βραχυτάτη καὶ ὀλίγων ἀνθρώπων ἐστίν, οὕτως ὡς μηδὲ τὴν ἐκκλησίαν ἐκεῖ γεγενῆσθαι,
ἀλλ' ἐν τῇ πλησίον κώμῃ. καὶ ὅμως τὸν μηδὲ πρεσβύτερον ἐν τῇ τοιαύτῃ κώμῃ παρὰ
τὴν παλαιὰν παράδοσιν ἔδοξαν δῆθεν ὀνομάζειν ἐπίσκοπον, εἰδότες μὲν καὶ αὐτοὶ τὸ
ἄτοπον, ἀναγκαζόμενοι δὲ ὅμως διὰ τὴν τῆς συκοφαντίας ὑπόσχεσιν ὑπέμειναν καὶ
τοῦτο ἵνα μὴ ἀγνωμονηθεὶς ὁ παμπόνηρος ἐκεῖνος ἐξείπῃ τὴν ἀλήθειαν καὶ δείξῃ τὴν
πονηρίαν τῶν περὶ Εὐσέβιον. ἀμέλει οὔτε ἐκκλησίαν οὔτε λαοὺς πειθομένους ἔχει, 5
ἀλλὰ καὶ παρὰ πάντων ὡς κύων διώκεται. καὶ ὅμως πεποιήκασι καὶ βασιλέα γράψαι | M 401 A
τῷ καθολικῷ (πάντα γὰρ αὐτοῖς ἔξεστιν), | ἐκκλησίαν αὐτῷ γενέσθαι, ἵνα ταύτην ἔχων B 201
ἀξιόπιστος φαίνηται περὶ ποτηρίου καὶ τραπέζης λέγων. καὶ γὰρ εὐθὺς πεποιήκασιν 6
αὐτὸν ὀνομασθῆναι καὶ ἐπίσκοπον, ἐπειδὴ μὴ ἔχων ἐκκλησίαν μηδὲ πρεσβύτερος ὅλως
ὢν ἐδείκνυτο συκοφάντης καὶ πάντα πλαττόμενος. ἀμέλει μὴ ἔχων λαοὺς μηδὲ τοὺς

Exzerpt aus dem Synodalbrief soll nur beweisen: der Kampf gegen Athanasius hatte das Ziel, die Ketzer in die Kirche zurückzuführen, wie es auch jetzt 356/7 der Fall ist p. 162, 28 ff. Der Brief (= Urk. 70) ist de synodis 21 vollständig erhalten, der Text muß danach gebessert werden. Vgl. Noten de syn. 21 12 ff. Vgl. c. 59, 5 17 Vgl. c. 59, 5. 6. A. kommt genau auf das Thema zurück. Die Jerusalemer Synode ist ihm Beweis dafür, daß schon bei den c. 59 geschilderten Ereignissen Euseb seine Hand im Spiele hat 21 Vgl. c. 63, 2 S. 142, 26 ff. 24 Nach c. 75, 6 sind in der Mareotis 15 Presbyter, nach de decretis 35, 21 (S. 34, 31 ff.) 19 Presbyter 24 Der Name des Dorfes wird S. 164, 7 genannt 25 Vgl. c. 76, 3 S. 156, 11 29 Vgl. c. 64 34 I. wurde zum Bischof der Mareotis ernannt; als solcher begegnet er auf der orientalischen Synode von Serdika, Sokr. II 20, 5 (nach Sabinus) und Coll. antiar. Paris. A IV 3 (CSEL 65, 76, 4)

BO R

2 πάρεσχεν, ἣν ἐποίησεν de syn. ἐνεποίησεν BOR 4 ἐξορίσαι Op. ἐξορίσας BOR de syn. | ἀπελάσαι Op. ἀπελάσας BOR de syn. 5 πάλαι R de syn. > BO 9 αὐτῶν > BO 19 λύοντες O[c] λέγοντες O*

ἰδίους πειθομένους αὐτῷ ὥσπερ κενὸν τὸ ὄνομα οὕτως καὶ τὴν ἐπιστολὴν ἄπρακτον κατέχει ἔλεγχον τῆς παμπονήρου προαιρέσεως αὐτοῦ καὶ τῶν περὶ Εὐσέβιον ἐπιδεικνύμενος ταύτην.

7 Ἐπιστολὴ τοῦ καθολικοῦ

Φλαύιος Ἱμέριος ἐξάκτορι Μαρεώτου χαίρειν.

Ἰσχύρα τοῦ πρεσβυτέρου δεηθέντος τῆς εὐσεβείας τῶν δεσποτῶν ἡμῶν Σεβαστῶν καὶ Καισάρων ἐν τόπῳ Εἰρήνης Σεκονταρούρου ἀνοικοδομηθῆναι ἐκκλησίαν προσέταξεν ἡ θειότης αὐτῶν ᾗ τάχος τοῦτο πραχθῆναι. φρόντισον τοίνυν προστυχὼν καὶ τῷ ἀντιτύπῳ τοῦ θείου γράμματος, ὃ μετὰ τοῦ οἰκείου σεβάσματος προτέτακται καὶ τοῖς πραχθεῖσιν ἐπὶ τῆς ἐμῆς καθοσιώσεως ὑπομνήμασιν, ἐν τάχει τὴν σύνοψιν ποιησάμενος εἰς τὴν τάξιν ἀνενεγκεῖν, ἵνα τὰ θειωδῶς προσταχθέντα ἐπὶ πέρας ἀχθῆναι δυνηθῇ.

86,1 Ἐκεῖνοι μὲν οὖν οὕτως ἐτύρευον καὶ τὰς συσκευὰς ἔπλαττον, ἡμεῖς δὲ ἀνελθόντες
C ἐδείξαμεν βασιλεῖ τὰς ἀδικίας τῶν περὶ Εὐσέβιον, ἐπεὶ καὶ αὐτὸς ἦν ὁ τὴν σύνοδον γενέσθαι κελεύσας καὶ κόμης αὐτοῦ καθηγεῖτο ταύτης. ἐκεῖνος τοίνυν ἀκούσας καὶ κινηθεὶς ἔγραψε ταῦτα·

2 Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς τοῖς ἐν Τύρῳ συνελθοῦσιν ἐπισκόποις.

Ἐγὼ μὲν ἀγνοῶ, τίνα ἐστὶ τὰ ὑπὸ τῆς ὑμετέρας συνόδου μετὰ θορύβου καὶ χειμῶνος κριθέντα, δοκεῖ δέ πως ὑπό τινος ἀταξίας ταραχώδους ἡ ἀλήθεια διεστράφθαι, ὑμῶν δηλαδὴ διὰ τὴν πρὸς τοὺς πλησίον ἐρεσχελίαν, ἣν ἀήττητον εἶναι βούλεσθε, τὰ τῷ
3 θεῷ ἀρέσκοντα μὴ συνορώντων. ἀλλ' ἔσται τῆς θείας προνοίας ἔργον καὶ τὰ τῆς
D φιλονεικίας ταύτης κακὰ φανερῶς ἁλόντα διασκεδάσαι καὶ ἡμῖν διαρρήδην ἐπιδεῖξαι

4 Der Brief (= Urk. 83) ist nur hier überliefert. Datum: erst nach Konstantins Tode wegen Σεβαστῶν. Also wohl nicht vor 339, als Athanasius wieder vertrieben wurde. Offenbar hat dem I. Gregor die Kirche verschafft 12 Der folgende Bericht, der mit einer allen Tatsachen, besonders c. 86, 2 ff. nicht gerecht werdenden Interpretation den Brief Konstantins II. c. 87, 4—7 ausnutzt, will nunmehr ein Eingreifen Konstantins I. zugunsten des Athanasius unter Beweis stellen — Keph. zum 8. Festbrief von 336: (vgl. S. 161, 17 Note) ... ταύτῃ (sc. Konstantinopel) γὰρ ἐπιδημήσας τῇ β̄ Ἀθυρ (= 30. Oktober) μετ' ὀκτὼ ἡμέρας ἐνέτυχεν τῷ βασιλεῖ Κωνσταντίνῳ καὶ παρρησιασαμένου αὐτοῦ οἱ ἐχθροὶ αὐτοῦ διαφόροις διαβολαῖς ἐκίνησαν τὸν βασιλέα καὶ εὐθέως ἐξωρίσθη καὶ ἀπεδήμησεν τῇ ῑ Ἀθυρ (= 7. November) εἰς τὰς Γαλλίας πρὸς Κωνσταντῖνον Καίσαρα τὸν Αὐγούστου υἱόν. Athanasius versuchte die direkte Intervention des Kaisers zu erreichen. Doch dieser hatte sich durch die Jerusalemer Synode schon festgelegt. Die durch Keph. und den Brief c. 86, 2 ff. bezeugten Ereignisse in Konstantinopel hat Athanasius in dem folgenden Bericht nicht mitgeteilt; vgl. die Interpretation der Urkunden von Schwartz NGG 1911, 421 ff. Athanasius hat versucht, eine neue Synode zu erzwingen. Hier stellt er es so dar, als ob Konstantin den Brief c. 86, 2 ff. an die noch tagende tyrische Synode richtet. Das ist falsch; die Bischöfe waren längst in Jerusalem. Daher haben auch die Worte Z. 16: τοῖς ἐν Τύρῳ συνελθοῦσιν als Zusatz des Athanasius zu gelten. Der Brief ist an die in Konstantinopel zur Tricennalienfeier eingetroffenen Bischöfe gerichtet, vgl. S. 165, 36 Note. Die von Konstantin befohlene neue Synode ist nie zusammengetreten 16 ff. Der Brief (= Urk. 71, Noten s. Bd. III) ist nach Athanasius bei Sokr. I 34 überliefert, aus diesem haben ihn übernommen: Sozom. II 28, 2—12, Gelasius III 18, 1—13, der den Brief in seiner phantastischen Art erweitert, und Theodorus lector in Cod. Marc. gr. 344 f. 63 a

BK (ab Z. 12 ἡμεῖς) O R

1 κενὸν] καινὸν R 4 a. Rd. οε̄ B ξς̄' R 5 Φαύιος B | Ἡμέριος R | ἐξάκτωρ O ἐξάρκτωρ B 16 a. Rd. ξγ̄ R

εἴ τινα τῆς ἀληθείας αὐτόθι συνελθόντες ἐποιήσασθε φροντίδα καὶ εἰ τὰ κεκριμένα χωρίς
τινος χάριτος καὶ ἀπεχθείας ἐκρίνατε. τοιγαροῦν ἠπειγμένως πάντας ὑμᾶς πρὸς τὴν 4
ἐμὴν συνελθεῖν εὐσέβειαν βούλομαι, ἵνα τὴν τῶν πεπραγμένων ὑμῖν ἀκρίβειαν δι' ὑμῶν
αὐτῶν παραστήσητε. τίνος δὲ ἕνεκεν ταῦτα γράψαι πρὸς ὑμᾶς ἐδικαίωσα καὶ ὑμᾶς 5
πρὸς | ἐμαυτὸν διὰ τοῦ γράμματος καλῶ, ἐκ τῶν | ἑπομένων γνώσεσθε. ἐπιβαίνοντί 6 M 404 A B 202
μοι λοιπὸν τῆς ἐπωνύμου ἡμῶν καὶ πανευδαίμονος πατρίδος τῆς Κωνσταντινουπόλεως
(συνέβαινε δὲ τηνικαῦτα ἐφ' ἵππου ὀχεῖσθαι) ἐξαίφνης Ἀθανάσιος ὁ ἐπίσκοπος ἐν μέσῃ
τῇ λεωφόρῳ μετὰ ἑτέρων τινῶν, οὓς περὶ αὐτὸν εἶχεν, ἀπροσδόκητος οὕτως προσῆλθεν,
ὡς καὶ παρέχειν ἐκπλήξεως ἀφορμήν. μαρτυρεῖ μοι γὰρ ὁ πάντων ἔφορος θεὸς ὡς 7
οὐδὲ ἐπιγνῶναι αὐτὸν ὅστις ἦν, παρὰ τὴν πρώτην ὄψιν ἠδυνήθην, εἰ μὴ τῶν ἡμετέρων
τινές, καὶ ὅστις ἦν καὶ τὴν ἀδικίαν ἣν πέπονθε, διηγήσασθαι πυνθανομένοις, ὥσπερ
εἰκός, ἀπήγγειλαν ἡμῖν. ἐγὼ μὲν οὖν οὔτε διηλέχθην αὐτῷ κατ' ἐκεῖνο καιροῦ οὔτε 8
ὁμιλίας ἐκοινώνησα. ὡς δὲ ἐκεῖνος μὲν ἀκουσθῆναι ἠξίου, ἐγὼ δὲ παρῃτούμην καὶ μικροῦ
δεῖν ἀπελαύνεσθαι αὐτὸν ἐκέλευον, μετὰ πλείονος παρρησίας οὐδὲν ἕτερον ἑαυτῷ παρ' B
ἡμῶν ἢ τὴν ὑμετέραν ἄφιξιν ἠξίωσεν ὑπάρξαι, ἵνα ὑμῶν παρόντων ἃ πέπονθεν ἀναγκαίως
ἀποδύρασθαι δυνηθῇ. ὅπερ ἐπειδὴ εὔλογον εἶναί μοι καὶ τοῖς καιροῖς πρέπον κατ- 9
εφαίνετο, ἀσμένως ταῦτα γραφῆναι πρὸς ὑμᾶς προσέταξα, ἵνα πάντες, ὅσοι τὴν σύνοδον
τὴν ἐν Τύρῳ γενομένην ἀνεπληρώσατε, ἀνυπερθέτως εἰς τὸ στρατόπεδον τῆς ἐμῆς ἡμε-
ρότητος ἐπειχθῆτε τοῖς ἔργοις αὐτοῖς ἐπιδείξοντες τὸ τῆς ὑμετέρας κρίσεως καθαρόν τε
καὶ ἀδιάστροφον ἐπ' ἐμοῦ δηλαδή, ὃν τοῦ θεοῦ εἶναι γνήσιον θεράποντα οὐδ' ἂν ὑμεῖς
ἀρνηθείητε. τοιγαροῦν διὰ τῆς ἐμῆς πρὸς θεὸν λατρείας τὰ πανταχοῦ εἰρηνεύεται 10
καὶ τῶν βαρβάρων αὐτῶν τὸ τοῦ θεοῦ ὄνομα γνησίως εὐλογούντων, οἳ μέχρι νῦν τὴν C
ἀλήθειαν ἠγνόουν· δῆλον δὲ ὅτι ὁ τὴν ἀλήθειαν ἀγνοῶν οὐδὲ τὸν θεόν ἐπιγινώσκει.
πλὴν ὅμως, καθὰ προείρηται, καὶ οἱ βάρβαροι νῦν δι' ἐμὲ τὸν θεοῦ θεράποντα γνήσιον 11
ἐπέγνωσαν τὸν θεὸν καὶ εὐλαβεῖσθαι μεμάθηκαν, ὃν ὑπερασπίζειν μου πανταχοῦ καὶ
προνοεῖσθαι τοῖς ἔργοις αὐτοῖς ᾔσθοντο· ὅθεν μάλιστα καὶ ἴσασι τὸν θεόν, ὃν ἐκεῖνοι
μὲν διὰ τὸν πρὸς ἡμᾶς φόβον εὐλαβοῦνται, ἡμεῖς δὲ οἱ τὰ ἅγια μυστήρια τῆς εὐ-
μενείας αὐτοῦ δοκοῦντες προβάλλεσθαι (οὐ γὰρ ἂν εἴποιμι φυλάττειν), ἡμεῖς, φημί, οὐδὲν
πράττομεν ἢ τὰ πρὸς διχόνοιαν καὶ μῖσος συντείνοντα καὶ ἁπλῶς εἰπεῖν τὰ πρὸς ὄλεθρον
τοῦ ἀνθρωπίνου γένους ἔχοντα τὴν ἀναφοράν. ἀλλ' ἐπείχθητε, καθὰ προείρηται, πρὸς 12
ἡμᾶς, σπουδάσατε πάντες ᾗ τάχος πεπεισμένοι ὡς παντὶ σθένει κατορθῶσαι πειράσομαι, D
ὅπως ἐν τῷ νόμῳ θεοῦ ταῦτα ἐξαιρέτως ἀδιάπτωτα φυλάττηται, οἷς οὔτε ψόγος οὔτε
κακοδοξία | τις δυνήσεται προσπλακῆναι, διασκεδασθέντων δηλαδὴ καὶ συντριβέντων M 405 A
ἄρδην καὶ παντελῶς ἀφανισθέντων τῶν ἐχθρῶν τοῦ νόμου, οἵτινες ἐπὶ προσχήματι τοῦ
ἁγίου ὀνόματος ποικίλας καὶ διαφόρους βλασφημίας παρέχουσι.

Ταῦτα μαθόντες οἱ περὶ Εὐσέβιον καὶ | εἰδότες ἃ πεποιήκασι, τοὺς μὲν ἄλλους ἐπι- 87, 1 B 203
σκόπους ἐκώλυσαν ἀνελθεῖν, αὐτοὶ δὲ μόνοι Εὐσέβιος, Θεόγνιος, Πατρόφιλος, ὁ ἕτερος

36 Das ist unzutreffend, denn die genannten Bischöfe, sicher Euseb v. Cäsarea, sind zu den Tricennalien Konstantins nach Konstantinopel laut Eusebs ausdrücklichem Bericht (VC IV 46; S. 137, 1) gegangen. Sie sind am Hofe vor Ende Oktober gewesen. Daraus ist zu entnehmen daß neben dem offiziellen Termin der Consularia Constantinop., dem 25. Juli, noch gegen Ende des Jahres Feiern abgehalten worden sind 37 f. Euseb v. Nicomedien, Theognis v. Nicäa, Patrophilos v. Skythopolis, Euseb v. Cäsarea, Ursacius v. Singidunum, Valens v. Mursa

BKO RE (ab Z. 36)

3 ἐμὴν BR ἀληθῆ KO 8 εἶχεν K ἔχειν BOR 18 ἐπληρώσατε B* ἀνεπληρώσατε B^{c} 22 εὐλογούντων Schw. εὐλογούμενον BKOR 25 μου] με B 29 μῖσος KR^{c} Sokr. Soz. Th. Gel. μῦσος R*BO 36 a. Rd. ξη R ξε E | vor ταῦτα als Titel setzt E: διήγησις πῶς μόνοι οἱ περὶ Εὐσέβιον ἀπῆλθον πρὸς τὸν βασιλέα τοὺς ἄλλους κωλύσαντες ἐπισκόπους ἐλθεῖν

Εὐσέβιος καὶ Οὐρσάκιος καὶ Οὐάλης ἀνελθόντες οὐκέτι περὶ ποτηρίου καὶ Ἀρσενίου
ἔλεγον — παρρησίαν γὰρ οὐκ εἶχον — , ἄλλην δὲ πλάσαντες κατηγορίαν τὴν εἰς βασιλέα
φθάνουσαν εἰρήκασιν αὐτῷ τῷ βασιλεῖ, ὅτι 'ἠπείλησεν Ἀθανάσιος κωλύσειν τὸν σῖτον τὸν
2 εἰς τὴν πατρίδα σου πεμπόμενον ἀπὸ Ἀλεξανδρείας'. καὶ τοῦτο παρόντες μὲν Ἀδα-
μάντιος, Ἀνουβίων, Ἀγαθάμμων, Ἀρβεθίων, Πέτρος οἱ ἐπίσκοποι ἤκουσαν, ἔδειξε δὲ
καὶ ὁ θυμὸς τοῦ βασιλέως. ὁ γὰρ τοιαῦτα γράψας καὶ καταγινώσκων τῆς ἀδικίας αὐτῶν,
ὡς ἤκουσε τὴν τοιαύτην διαβολήν, εὐθὺς ἐπυρώθη καὶ ἀντὶ τῆς ἀκροάσεως εἰς τὰς Γαλλίας
3 ἡμᾶς ἀπέστειλεν. ἀλλὰ καὶ τοῦτο μᾶλλον αὐτῶν δείκνυσι τὴν πονηρίαν· ὁ γὰρ μακα-
B ρίτης Κωνσταντῖνος ὁ νεώτερος ἀποστέλλων ἡμᾶς εἰς τὴν πατρίδα καὶ μεμνημένος ὧν
ἔγραψεν ὁ πατὴρ αὐτοῦ, ἔγραψε καὶ αὐτὸς ταῦτα·

4 Κωνσταντῖνος Καῖσαρ τῷ λαῷ τῆς καθολικῆς ἐκκλησίας πόλεως Ἀλεξαν-
δρείας.

Οὐδὲ τὴν τῆς ὑμετέρας ἱερᾶς ἐννοίας ἀποπεφευγέναι γνῶσιν οἶμαι, διὰ τοῦτο Ἀθα-
νάσιον τὸν τοῦ προσκυνητοῦ νόμου ὑποφήτην πρὸς καιρὸν εἰς τὰς Γαλλίας ἀπεστάλθαι,
ἵν', ἐπειδὴ ἡ ἀγριότης τῶν αἱμοβόρων αὐτοῦ καὶ πολεμίων ἐχθρῶν εἰς κίνδυνον τῆς ἱερᾶς
C αὐτοῦ κεφαλῆς ἐπέμεινε, μὴ ἄρα διὰ τῆς τῶν φαύλων διαστροφῆς ἀνήκεστα ὑποστῇ.
5 πρὸς τὸ διαπαῖξαι τοίνυν ταύτην ἀφαιρεθεὶς τῶν φαρύγγων τῶν ἐπικειμένων αὐτῷ
ἀνδρῶν ὑπ' ἐμοὶ διάγειν κεκέλευσται, οὕτως ὡς ἐν ταύτῃ τῇ πόλει, ἐν ᾗ διέτριβε, πᾶσι
τοῖς ἀναγκαίοις ἐμπλεονάζειν, εἰ καὶ τὰ μάλιστα αὐτοῦ ἡ ἀοίδιμος ἀρετὴ ταῖς θείαις πεποι-
6 θυῖα βοηθείαις καὶ τὰ τῆς τραχυτέρας τύχης ἄχθη ἐξουθενεῖ. τοιγαροῦν εἰ καὶ τὰ
μάλιστα πρὸς τὴν προσφιλεστάτην ὑμῶν θεοσέβειαν ὁ δεσπότης ἡμῶν Κωνσταντῖνος ὁ
Σεβαστός, ὁ ἐμὸς πατήρ, τὸν αὐτὸν ἐπίσκοπον τῷ ἰδίῳ τόπῳ παρασχεῖν προῄρητο,
ὅμως ἐπειδὴ ἀνθρωπίνῳ κλήρῳ προληφθεὶς πρὸ τοῦ τὴν εὐχὴν πληρῶσαι ἀνεπαύσατο,
ἀκόλουθον ἡγησάμην τὴν προαίρεσιν τοῦ τῆς θείας μνήμης βασιλέως διαδεξάμενος πλη-
M 408 A 7 ρῶσαι. ὅστις ἐπειδὰν τῆς ὑμετέρας τύχοι προσόψεως, ὅσης αἰδοῦς | τετύχηκε, γνώ-
σεσθε. οὐ γὰρ θαυμαστόν, εἴ τι δ' ἂν ὑπὲρ αὐτοῦ πεποίηκα· καὶ γὰρ τὴν ἐμὴν ψυχὴν ἥ
τε τοῦ ὑμετέρου πόθου εἰκὼν καὶ τὸ τοῦ τηλικούτου ἀνδρὸς σχῆμα εἰς τοῦτο ἐκίνει καὶ
B 204 προέτρεπεν. ἡ θεία | πρόνοια ὑμᾶς διαφυλάξει, ἀγαπητοὶ ἀδελφοί.
ἐδόθη πρὸ δεκαπέντε καλανδῶν Ἰουλίων ἐν Τριβέροις.

---

2 Zu παρρησίαν: Denn die Arseniussache war durch die Synode erledigt, als sie in ihrem Urteil die Angelegenheit nicht mehr berührte 3 Zu dem Vorwurf, die Getreidelieferungen gehindert zu haben vgl. c. 9 S. 95, 10 ff. Daß Athan. dazu in der Lage war, lehrt die Geschichte Cyrills, s. Schwartz, Cyrill und der Mönch Victor, Sitz.-Ber. der Akad. d. Wiss. in Wien Bd. 208, 4 S. 28 4 Zu den Bischöfen vgl. S. 165, 8. Adamantius = S. 159 nr. 1; Anubion = S. 159 nr. 13; Agathammon = S. 159 nr. 22; Arbethion = S. 159 nr. 17; Petrus = S. 159 nr. 4 7 Epiph. haer. 68, 9, 5—6 (III 150, 2 ff.): χαλεπαίνοντος δὲ αὐτοῦ (sc. Konstantin) ὁ πάπας Ἀθανάσιος λόγον βαρὺν τῷ βασιλεῖ ἐπετείνετο ... ἐντεῦθεν συμβαίνει αὐτὸν ἐξορίᾳ ὑποπεσεῖν, ἀπό τε τῶν γραφέντων ἀπὸ τῆς συνόδου τῷ βασιλεῖ (ἀπόντος γὰρ αὐτοῦ καθαίρεσιν ποιοῦνται αὐτοῦ), καὶ ἐξ ὧν ὁ βασιλεὺς παροξυνθεὶς πρὸς αὐτὸν ἐλυπεῖτο 7 Γαλλίαι = Trier 8 ff. Eine auffallende Auffassung des wahren Sachverhalts, zu der der Brief des Konstantin II. einen scheinbaren Grund bietet 11 Der Brief (= Urk. 73, Noten s. Bd. III) ist außer an dieser Stelle noch von Athan. hist. Arian. 8 zitiert, wo ihn die Hss. auslassen. Ferner wird er überliefert nach Athan. von: Sokr. II 3, 1—4, nach diesem von Sozom. III 2, 3—6, von dem ihn Theodorus lector cod. Marc. gr. 344 f. 69^b übernimmt. Theodoret überliefert den Brief h. e. II 2, 1—4. Datum: 17. 6. 337 (s. Z. 29), vgl. dazu: Schwartz NGG 1911, 473

BKO RE

---

2 βασιλέαν R* βασιλέα R^c 5 Ἀδαμάντιος + καὶ B 7 εἰς τὰς Γαλλίας doppelt E*, getilgt E^c 11 a. Rd. ξθ̄ R ξς̄ E 14 Γαλλίας BKO* Γαλλίους O^cRE 16 κεφαλῆς αὐτοῦ ∼ E 18 ὡς > E 19 ἀοίδιμος + ἡ K 21 φιλεστάτην E 23 ἐπειδὴ > B 24 μνήμης] πλήρης O | ἀναδεξάμενος E 27 ὑμετέρου O^c ἡμετέρου O* | τοῦ^2 > E 29 διαφυλάξοι K διαφυλα'' BO

Ταύτης τῆς αἰτίας οὔσης δι' ἣν ἀπεστάλημεν εἰς τὰς Γαλλίας, τίς πάλιν οὐ συνορᾷ 88,1
τὴν μὲν τοῦ βασιλέως προαίρεσιν, τὴν δὲ τῶν περὶ τὸν Εὐσέβιον φονικὴν ψυχήν, καὶ ὅτι
τοῦτο πεποίηκε βασιλεύς, ἵνα μή τινα μείζονα συσκευὴν βουλεύσωνται; ἐπήκουσε γὰρ
ἁπλῶς. αὕτη τῶν περὶ Εὐσέβιον ἡ πρᾶξις, αὕτη τῆς καθ' ἡμῶν συσκευῆς ἡ μηχανή.
τίς ταῦτα συνορῶν οὐκ ἂν εἴποι μηδὲν κατὰ χάριν ὑπὲρ ἡμῶν γεγενῆσθαι, ἀλλ' ὅτι δι- 2
καίως καὶ ἀκολούθως τὸ τοσοῦτον πλῆθος τῶν ἐπισκόπων καὶ ἰδίᾳ καὶ κοινῇ τοιαῦτα μὲν
ὑπὲρ ἡμῶν ἔγραψε, τῆς δὲ συκοφαντίας τῶν ἐχθρῶν κατέγνωσαν; τίς τὰ τοιαῦτα 3
καὶ τοσαῦτα θεωρήσας οὐκ ἂν εἴποι ὅτι καὶ Οὐάλης καὶ Οὐρσάκιος εἰκότως κατέγνωσαν
ἑαυτῶν καὶ μεταγινώσκοντες τοιαῦτα καθ' ἑαυτῶν ἔγραψαν, μᾶλλον ἑλόμενοι πρὸς ὀλίγον B
αἰσχυνθῆναι ἢ αἰωνίως τὴν τῶν συκοφαντῶν ὑπομεῖναι τιμωρίαν;

Διὰ τοῦτο γὰρ δικαίως καὶ ἐκκλησιαστικῶς ποιοῦντες καὶ οἱ μακάριοι συλλειτουργοὶ 89,1
ἡμῶν, ἐπειδή τινες ἀμφίβολα τὰ καθ' ἡμᾶς ἔλεγον καὶ ἀκυροῦν ἐβιάζοντο τὰ ὑπὲρ ἡμῶν
κριθέντα, πάντα παθεῖν ὑπέμειναν νῦν καὶ ἐξορισθῆναι εἵλοντο ἢ λυομένας | ἰδεῖν τὰς τῶν M 409 A
τοσούτων ἐπισκόπων κρίσεις. εἰ μὲν οὖν πρὸς τοὺς βουλευσαμένους καθ' ἡμῶν καὶ 2
ἐθελήσαντας ἀνατρέψαι τὰ ὑπὲρ ἡμῶν ἄχρι λόγων ἦσαν ἐνστάντες οἱ ἀληθῶς ἐπίσκοποι
ἢ οἱ τυχόντες ἦσαν ἄνδρες ἀλλὰ μὴ ἐπισήμων πόλεων καὶ κεφαλαὶ τοσούτων ἐκκλησιῶν,
ἦν ἂν ὑποπτεύειν μὴ ἄρα κεχαρισμένα ποιοῦντες πάλιν ἐφιλονείκησαν καὶ νῦν αὐτοί·
ὅτε δὲ καὶ λογισμοῖς ἔπειθον καὶ ἐξορισμὸν ὑπέμειναν καὶ Λιβέριός ἐστιν ὁ τῆς Ῥώμης 3
ἐπίσκοπος· εἰ γὰρ καὶ εἰς τέλος οὐχ ὑπέμεινε τοῦ ἐξορισμοῦ τὴν θλῖψιν, ὅμως διετίαν | B 205
ἔμεινεν ἐν τῇ μετοικίᾳ γιγνώσκων τὴν καθ' ἡμῶν συσκευήν· καὶ ἐπειδὴ καὶ Ὅσιος ὁ μέγας
ἐστί, καὶ οἱ τῆς Ἰταλίας καὶ οἱ τῶν Γαλλίων καὶ ἄλλοι ἀπὸ Σπανίων καὶ ἀπ' Αἰγύπτου B
καὶ Λιβύης καὶ οἱ τῆς Πενταπόλεως πάντες· εἰ γὰρ καὶ πρὸς ὀλίγον φοβηθεὶς τὰς 4
ἀπειλὰς Κωνσταντίου ἔδοξεν ἐκείνοις μὴ ἀντιλέγειν, ἀλλ' ἡ πολλὴ βία καὶ τυραννικὴ ἐξουσία
Κωνσταντίου καὶ αἱ πλεῖσται ὕβρεις καὶ πληγαὶ δείκνυσιν, ὅτι μὴ καταγνοὺς ἡμῶν, ἀλλὰ
διὰ τὴν ἀσθένειαν τοῦ γήρως οὐ φέρων τὰς πληγὰς πρὸς καιρὸν εἶξεν αὐτοῖς, δίκαιόν ἐστι
πλέον πάντας ὡς πληροφορηθέντας μισεῖν καὶ ἀποστρέφεσθαι τὴν ἀδικίαν καὶ τὴν βίαν τὴν
καθ' ἡμῶν γενομένην διὰ τὸ μάλιστα δι' οὐδὲν ἕτερον ἢ διὰ τὴν ἀρειανὴν ἀσέβειαν ἡμᾶς
ταῦτα πεπονθέναι.

Εἴ τις τοίνυν βούλεται τά τε καθ' ἡμᾶς μαθεῖν καὶ τὴν τῶν περὶ Εὐσέβιον συκο- 90,1
C

---

5 = S. 138, 30 ff. Note, unten Z. 18   8 Vgl. c. 58. Hier der beste Beweis, daß der bisher fälschlich abgetrennte Teil II (c. 59 ff.) zu c. 58 gehört, s. S. 88, 1 ff.   12 Auf den Synoden von Arles 353 und Mailand 355   17 = S. 138, 30, oben Z. 5   19 f. Athanasius drückt sich nicht korrekt aus: Liberius war nicht zwei Jahre in der Verbannung (genauer hist. Arian 41, 3 S. 206, 11 und Theodoret h. e. II 17, 1), sondern war drei Jahre von Rom entfernt; Liber pontif. (S. 77, 4 Mommsen): et fecit in exilio annos III. Sozom. IV 15, 2 bezeugt, L. habe in Sirmium (das kann nur 358 gewesen sein) das Symbol unterschrieben. Allerdings hat L. 357 in Beröa, d. h. im Exil, das Sirmiense von 351 unterschrieben, CSEL 65, 169, 5. Athanasius war nach Ausweis der Kephalaia bis Anfang 358 noch in Alexandrien. Nach der Historia Athanasii Cod. Veron. LX f. 106b—107a wurde Georg am 2. 10. 358 aus der Stadt vertrieben. Am 24. 12. 358 nehmen erst die Georgianer wieder Besitz von den Kirchen. Dann hat Athan. erst zu 359 die Stadt verlassen; von da verzeichnen auch die Kephalaia nichts mehr. Da es schwer verständlich ist, wie sich Athanasius auf seinen Hin- und Herreisen im oberen Ägypten (vgl. Vita Pachomii 137 [Subs. hagiogr. 19 S. 86, 10 ff.]; ep. Ammonis 31; ebenda S. 117, 29 ff.) die vielen Urkunden verschaffen konnte, so nehme ich an, daß er diese Apologie 357/8 in der Stadt in seinem Versteck geschrieben hat   20 Zu Ossius vgl. de fuga 5 (S. 71, 7 ff.) und die Note dazu

---

BKO RE

---

1 αἰτίας] αἰτήσεως E   2 τῶν > RE | τὸν > B | φοινικὴν O   3 συσκευὴν KO[c] σκευὴν BO*RE   13 εἵλαντο R*E εἷλοντο R[c] | τῶν > BO   17 πάλιν ποιοῦντες ~ RE   24 πληγαὶ RE ἀπειλαὶ BKO | δεικνύουσιν E   27 ἀσέβειαν] αἵρεσιν E | ἡμᾶς K συνέστηκεν ἡμᾶς BORE

φαντίαν, ἐντυγχανέτω τοῖς γραφεῖσιν ὑπὲρ ἡμῶν καὶ μάρτυρας ἐχέτω οὐχ ἕνα ἢ δύο
2 ἢ τρεῖς, ἀλλὰ τοσοῦτον πλῆθος ἐπισκόπων. καὶ τούτων μάρτυρας πάλιν λαμβανέτω
τοὺς περὶ Λιβέριον καὶ Ὅσιον καὶ τοὺς σὺν αὐτοῖς, οἵτινες ὁρῶντες τὰ καθ' ἡμῶν γενόμενα
πάντα παθεῖν ὑπέμειναν ἢ προδοῦναι τὴν ἀλήθειαν καὶ τὴν ὑπὲρ ἡμῶν κρίσιν. τοῦτο δὲ
καλῶς καὶ ὁσίως βουλευόμενοι πεποιήκασιν· ἃ γὰρ οὗτοι πεπόνθασι, δείκνυσι μὲν τὴν
3 ἀνάγκην, ἣν καὶ οἱ ἄλλοι ἐπίσκοποι πεπόνθασιν. ἔστι δὲ ὑπομνήματα μὲν καὶ στηλο-
γραφία κατὰ τῆς ἀρειανῆς αἱρέσεως καὶ τῆς πονηρίας τῶν συκοφαντῶν, ὑπογραμμὸς δὲ
καὶ τύπος τοῖς μετὰ ταῦτα γιγνομένοις »ἀγωνίζεσθαι μὲν ὑπὲρ τῆς ἀληθείας μέχρι θανάτου«,
D ἀποστρέφεσθαι δὲ τὴν ἀρειανὴν αἵρεσιν χριστομάχον οὖσαν καὶ τοῦ ἀντιχρίστου πρόδρο-
μον, μὴ πιστεύειν δὲ τοῖς καθ' ἡμῶν ἐπιχειροῦσι λέγειν. ἀξιόπιστος γὰρ καὶ ἱκανὴ μαρτυρία
τῶν τοιούτων καὶ τοσούτων ἐπισκόπων ἡ ὑπὲρ ἡμῶν ἀπολογία καὶ ψῆφος.

---

1 Vgl. oben S. 87, 10   3f. Vgl. hist. Arian. 46, 2 S. 210, 4ff.   8 Sir. 4, 28   9 Vgl. hist. Arian. 46, 3 S. 210, 14f.

BKO RE

---

2 τοσούτω RE   3 γιγνόμενα RE   4 τοῦτο δὲ — 5 πεποιήκασιν > E   7 κατὰ ÷ τὴν E*, getilgt E[c]   8 γιγνομένοις B[c] γενομένοις B*

Ἐπιστολὴ ἐγκύκλιος τοῦ μακαρίου Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας

Τοῖς κατὰ τόπον συλλειτουργοῖς, κυρίοις ἀγαπητοῖς, Ἀθανάσιος ἐν κυρίῳ χαίρειν. 1,1
Ἃ μὲν πεπόνθαμεν δεινὰ καὶ ἀφόρητά ἐστι, καὶ οὐκ ἔστιν ἐπαξίως αὐτῶν μνημονεῦσαι· B 110 M 221 A
ἵνα δὲ ταχύτερον τὸ δεινὸν τῶν συμβεβηκότων γνωσθῆναι δυνηθῇ, καλὸν ἡγησάμην
ἱστορίας ἀπὸ τῶν γραφῶν μνημονεῦσαι. ἀνήρ ποτε Λευίτης | ἀδικηθεὶς εἰς τὴν 2 M 224 A
γυναῖκα καὶ τὴν ὑπερβολὴν τοῦ μύσους ἑωρακώς (Ἑβραία γὰρ ἦν ἡ γυνὴ καὶ ἐκ τῆς
Ἰούδα φυλῆς ἐτύγχανε) καὶ καταπλαγεὶς ἐπὶ τοῖς τολμηθεῖσιν εἰς αὐτὸν παρανομήμασιν,
ὡς ἡ θεία τῶν Κριτῶν διαγορεύει γραφή, διελὼν τὴν γυναῖκα ἀπέστειλε κατὰ πᾶσαν
φυλὴν τοῦ Ἰσραήλ, ἵνα μὴ εἰς αὐτὸν μόνον, ἀλλὰ καὶ εἰς πάντας κοινὸν τὸ τοιοῦτον
ἀδίκημα πιστευθῇ, καὶ ἵνα, ἐὰν μὲν συμπαθῶσιν, ἐκδικήσωσιν, ἐὰν δὲ παρίδωσιν, ὡς
αὐτοὶ λοιπὸν ἀδικήσαντες αἰσχυνθῶσι. καὶ οἱ μὲν ἀποσταλέντες τὸ γεγονὸς ἀπήγ- 3
γελον, οἱ δὲ ἀκούοντες καὶ ὁρῶντες ἔλεγον μηδέποτε τὰ τοιαῦτα γεγενῆσθαι, ἀφ' ἧς
ἡμέρας ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ | ἐξ Αἰγύπτου. πᾶσα γοῦν φυλὴ τοῦ Ἰσραὴλ κεκίνητο B 111
καὶ πάντες ὡς αὐτοὶ παθόντες κατὰ τῶν πλημμελησάντων συνῆλθον καὶ τέλος κατεπο- B
λεμήθησαν οἱ τὰ παράνομα δράσαντες καὶ ἀνάθεμα παρὰ πάντων γεγόνασιν. οὐ γὰρ
εἰς τὴν συγγένειαν οἱ συνελθόντες ἐσκόπουν, ἀλλ' εἰς τὸ πλημμεληθὲν ἀπέβλεπον. οἴ- 4
δατε δὲ τὴν ἱστορίαν, ἀδελφοί, καὶ τὰ ἐκ τῆς γραφῆς ἀκριβῶς περὶ ταύτης σημαινόμενα,
ἐπεξεργάσασθαι γὰρ πλείονα περὶ αὐτῆς οὐ βούλομαι πρὸς εἰδότας γράφων καὶ ἐπει-
γόμενος τὰ νῦν ἐκείνων πλείονα σημᾶναι τῇ ὑμετέρᾳ εὐλαβείᾳ. διὰ τοῦτο γὰρ καὶ τῆς
ἱστορίας ταύτης ἐμνήσθην, ἵνα τὰ τότε τοῖς νῦν γινομένοις συμβαλόντες καὶ γνόντες,
ὡς ταῦτα νενίκηκε τὴν ἐκείνων ὠμότητα, πλεῖον ὑμεῖς ἀγανακτήσητε ἢ οἱ κατὰ τῶν

Der Brief ist von Athanasius Mitte 339 (vgl. Note zu S. 172, 22) geschrieben, und bezweckt nach c. 7,3 ff. die Bischöfe der Gesamtkirche zu warnen, die Gemeinschaft mit Gregor von Alexandrien aufzunehmen, den Darstellungen Eusebs von Nikomedien und der von ihm geleiteten Synode in Antiochien über die Gründe und die Umstände der Vertreibung des Athanasius Glauben zu schenken. Athan. richtet sich in seinen Ausführungen nur gegen Euseb und seine Synode; er verzichtet darauf, unter Hinweis auf den Brief Konstantin II. die Rechtmäßigkeit seiner Rückkehr nach Alexandrien (Apol. secunda c. 87, 4) zu beweisen. Das hatte die alexandrinische Synode in ihrem Tomos von 338 (Apol. secunda c. 9, 1 S. 95, 2 ff.) bereits getan. Überhaupt ist der Brief des Athanasius mit dem Tomos zu vergleichen. In dem Brief liegt die älteste polemische Schrift des Athanasius vor. 3 ἃ πεπόνθαμεν d. i. die Vertreibung in der Fastenzeit 339 5 f. Jud. 19

RP NWLhBKAb^2FV (= x)

---

1 a. Rd. ō R ῑᾱ P θ̄ B η̄ K ς̄ V 1/2 τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς τοὺς ἀπανταχοῦ ὀρθοδόξους ὅτε ὁ (> hV) παρὰ τῶν Ἀρειανῶν (+ ὁ h) διωγμὸς ἐγένετο x 1 ἐπιστολὴ — 3 ἐπαξίως μνημονεῦσαι. ἥτις ἐπιστολὴ ἐγράφη ὄπισθεν εἰς δέκατον (ἔννατον B^c) κεφάλαιον τοῦ παρόντος βιβλίου B (f. 383 b; vgl. Untersuchungen S. 35 Nr. 50). Auch in Cod. O (vgl. Untersuchungen S. 70 Nr. 23) ist in dem Apologienkorpus nur noch der Titel erhalten — a. Rd. οὗτος ὁ λόγος ἀναγινώσκεται εἰς τὴν μνήμην τοῦ ἁγίου τὴν κατὰ τὴν δευτέραν τοῦ Μαΐου μηνός B A (jg. Hd.) ἀναγινώσκεται — ἁγίου μῆνα Μαΐω εἰς τὴν β̄ h 3 ἐστι B^c εἰσι B^* | ἔστιν^2] ἔσται Lh 4 γνωρισθῆναι B 6 ἦν > NB^*Lh 7 παρανομήσασιν B 9 τοιοῦτο WA 10 μὲν] μὴ B 11/12 ἀπήγγελλον NLhKV 12 ἀκούσαντες RP | τὰ > RPNLh | γεγενῆσθαι τοιαῦτα ~ P 13 γοῦν] γὰρ P οὖν b^2 | κεκίνητο x (ἐκεκίνητο Lh) κεκίνηται RP 14 πεπονθότες RP | πεπλημμεληκότων RP 16 πλημμεληθὲν BKAb^2FV τολμηθὲν RPNWLh | ἀπέβλεψαν RP 17 ἀκριβῶς > W | περὶ ταύτης ἀκριβῶς ~ R 18 εἰδότας x εἰδήμονας RP 19 τὰ > N | γὰρ τοῦτο ~ N 20 συμβαλόντες γινομένους ~ N | συμβάλλοντες WB 21 ταῦτα] αὐτὰ B | πλέονα RP πλέον F

5 τότε παρανομησάντων. καὶ γὰρ καὶ τὰ πικρὰ τῶν διωγμῶν τὰ γενόμενα καθ' ἡμῶν
C ὑπερβέβηκε, καὶ μικρὰ ἡ τοῦ Λευίτου συμφορὰ πρὸς τὰ νῦν κατὰ τῆς ἐκκλησίας τολμη-
θέντα· καὶ μᾶλλον ταῦτα οὔτε ἠκούσθη ποτὲ ἐν τῇ οἰκουμένῃ οὔτε τοιούτων τις πεπείραται
6 κακῶν. τότε μὲν γὰρ γυνὴ μία ἦν ἡ ἀδικηθεῖσα καὶ εἷς Λευίτης ὁ τὴν βίαν παθών,
νῦν δὲ ὅλη ἡ ἐκκλησία ἠδικήθη καὶ ἱερατεῖον ὑβρίσθη, καὶ τό γε μεῖζον, εὐσέβεια ὑπὸ
ἀσεβείας διώκεται. καὶ τότε μὲν μιᾶς γυναικὸς ἑκάστη φυλὴ μέρος ὁρῶσα κατεπλήττετο,
ἄρτι δὲ ὅλης ἐκκλησίας ὁρᾶτε μέλη διῃρημένα καὶ τοὺς μὲν πρὸς ὑμᾶς, τοὺς δὲ πρὸς
ἄλλους ἀποσταλέντας τὴν ὕβριν καὶ τὴν ἀδικίαν ἣν πεπόνθασιν ἀπαγγέλλοντας.
7 κινήθητε δὴ οὖν καὶ ὑμεῖς, παρακαλῶ, μὴ ὡς ἡμῶν μόνον, ἀλλὰ καὶ ὡς ὑμῶν ἀδικηθέντων
D καὶ ἕκαστος ὡς αὐτὸς παθὼν βοηθησάτω, ἵνα μὴ δι' ὀλίγου οἱ ἐκκλησιαστικοὶ κανόνες
καὶ ἡ τῆς ἐκκλησίας πίστις παραφθαρῇ. κινδυνεύει γὰρ ἀμφότερα, ἐὰν μὴ ταχέως ὁ θεὸς
M 225 A δι' ὑμῶν τὰ πλημμεληθέντα διορθώσηται καὶ ἐκδικίας ¹ ἡ ἐκκλησία τύχῃ. οὐ γὰρ
8 νῦν κανόνες καὶ τύποι ταῖς ἐκκλησίαις ἐδόθησαν, ἀλλ' ἐκ τῶν πατέρων ἡμῶν καλῶς καὶ
βεβαίως παρεδόθησαν. οὐδὲ νῦν ἡ πίστις ἤρξατο, ἀλλ' ἐκ τοῦ κυρίου διὰ τῶν μαθητῶν
εἰς ἡμᾶς διαβέβηκεν. ἵν' οὖν μὴ τὰ ἐξ ἀρχαίων μέχρις ἡμῶν τηρηθέντα ἐν ταῖς ἐκκλησίαις
ἐν ταῖς νῦν ἡμέραις παραπόληται καὶ τὰ πιστευθέντα ἡμῖν ζητηθῇ παρ' ἡμῶν, κινήθητε,
ἀδελφοί, ὡς »οἰκονόμοι μυστηρίων θεοῦ« τυγχάνοντες καὶ ταῦτα ὑφ' ἑτέρων ἁρπαζό-
9 μενα θεωροῦντες. τὰ μὲν οὖν πλείονα παρὰ τῶν γραμματηφόρων ἀκούσεσθε, συντόμως
δὲ κἀγὼ σημᾶναι ἠπείχθην, ἵνα τῷ ὄντι γνῶτε ὅτι οὐδέποτε τοιαῦτα γέγονε κατὰ
τῆς ἐκκλησίας ¹ ἀφ' ἧς ἡμέρας »ἀναληφθεὶς ὁ σωτὴρ ἐνετείλατο τοῖς μαθηταῖς λέγων·
B 112 πορευθέντες μαθητεύσατε ¹ πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς
B καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος«.
2,1 Τὰ μὲν οὖν καθ' ἡμῶν καὶ κατὰ τῆς ἐκκλησίας παρανομηθέντα οὕτως γέγονε.
συναγόντων ἡμῶν συνήθως ἐν εἰρήνῃ τῶν τε λαῶν εὐφραινομένων ἐπὶ ταῖς συνάξεσι
καὶ προκοπτόντων τῇ κατὰ θεὸν πολιτείᾳ τῶν τε συλλειτουργῶν τῶν κατ' Αἴγυπτον
καὶ Θηβαΐδα καὶ Λιβύην ἀγάπην καὶ εἰρήνην ἐχόντων πρὸς ἀλλήλους καὶ πρὸς ἡμᾶς,
ἐξαίφνης ὁ ἔπαρχος τῆς Αἰγύπτου γράμματα προτίθησι δημοσίᾳ διατάγματος ἔχοντα
2 τύπον, ὡς Γρηγορίου τινὸς ἐκ Καππαδοκίας εἰσερχομένου διαδόχου μου ἀπὸ τοῦ κομι-
C τάτου. καὶ ἡ μὲν τοιαύτη ἀκοὴ τοὺς πάντας ἐτάραξε· καινὸν γὰρ ἦν καὶ ἄρτι πρώτως

10 Die Kanones sind durch die Einsetzung des Gregorius verletzt 17 I. Cor. 4, 1 18 Die γραμματηφόροι sind alexandrinische Kleriker, die den Brief überbringen und ihn erläutern; ebenso wurde es 338 mit dem Tomos der alexandrinischen Synode gehalten vgl. S. 101, 32 20 ff. Act. 1, 2; Mt. 28, 19 24 ff. Vgl. Julius v. Rom S. 109, 8 ff. 27 Es handelt sich um ein Edikt des Kaisers Konstantius an den Präfekten Philagrius (Athan. hist. Arian. 10 S. 188, 20 ff.), durch das der von der Synode in Antiochien 338 gewählte Gregor an Stelle des von der Synode abgesetzten (s. Urk. 80) Athanasius als Bischof von Alexandrien angezeigt wurde. Nach de fuga 3, 5 (S. 70, 11) schrieb die Synode ebenfalls an Philagrius 28 Gregor war von der in Antiochien tagenden Synode gewählt. Da aber Konstantius in Antiochien sein Hoflager hatte, stellt es Athanasius so dar, als ob G. vom Kaiser geschickt sei

RP NWLhBKAb[2]FV (= x)

1 καί[2] > B 2 ὑπερβέβηκε RPNV ὑπερβέβληκε WLhBKAb[2] ὑπερέβαλε F 3 ταῦτα x τὰ τοιαῦτα RP | οὔτε[1. 2] x οὐδὲ[1. 2] RP | τις τοιούτων ∼ B | τις + ποτε RP 5 ἡ > Wb[2]FV | καί[1] + τὸ h Comm. Montf. 7 ὁρᾶτε Op. ὁρᾶται Hss. 8 ἀπαγγέλλοντας + ἔστιν ὁρᾶν V ἀπαγγέλλοντες h 9 παρακαλῶ + καὶ RP | μόνων RBAV 10 ὀλίγου x ὀλίγους RP 13 ἡμῖν R 14 κυρίου] θεοῦ RP 17 θεοῦ μυστηρίων ∼ F | ταῦτα RP τὰ x 18 γραμματοφόρων V 19 a. Rd. ὅτι ὁ (> N) παρὰ (> K) τῶν 'Αρειανῶν διωγμὸς ὑπερέβαλε (+ καὶ K) τὸν παρὰ (> K) τῶν 'Ελλήνων (τὸν ἑλληνικόν b[2]) N (doch zu 7—16 N) BKAb[2] | ἐπείχθην] ὑπήχθην K 23 κατὰ > F 24 συναγαγόντων R | συνάξεσι] πράξεσι F 25 συλλειτουργῶν τῶν B[c] συλλειτουργούντων B* 26 ἐχόντων + καὶ P 27 προστίθησι b[2] | δημόσια h 28 Γρηγορίου RP Γεωργίου x | ἐκ + τῆς RP | ἐρχομένου RP 29 ἐτάραττε RP

ἀκουσθὲν τὸ τοιοῦτον· οἱ δὲ λαοὶ καὶ μᾶλλον εἰς τὰς ἐκκλησίας συνήρχοντο, ὅτι μάλιστα
συνεώρων μήτε ἑαυτοὺς μήτε ἐπίσκοπον μήτε πρεσβύτερον μήτε ὅλως τινὰς μεμψα-
μένους ἡμᾶς ποτε. μόνους δὲ Ἀρειανοὺς ἑώρων σὺν αὐτῷ καὶ Ἀρειανὸν αὐτὸν ἐπεγί-
νωσκον ὑπὸ τῶν περὶ Εὐσέβιον τοῖς Ἀρειανοῖς ἀποσταλέντα. οἴδατε δέ, ἀδελφοί, 3
ἀεὶ τοὺς περὶ Εὐσέβιον προστάτας καὶ κοινωνοὺς τῆς ἀσεβοῦς αἱρέσεως τῶν Ἀρειο-
μανιτῶν γενομένους καὶ δι' αὐτῶν ἀεὶ ἡμῖν ἐπιβουλεύσαντας καὶ τῆς εἰς τὰς Γαλλίας
ἀποδημίας αἰτίους ἡμῖν γενομένους. διὰ ταῦτα γὰρ εἰκότως καὶ οἱ λαοὶ ἠγανάκτουν καὶ
κατεβόων μαρτυρόμενοι τοὺς ἄλλους δικαστὰς καὶ πᾶσαν τὴν πόλιν, ὅτι μηδεμιᾶς μέμψεως
ὑπὸ τῶν ἐκκλησιαστικῶν γενομένης, ἀλλὰ τῶν αἱρετικῶν Ἀρειανῶν μόνων αὐτὰ καθ' D
ἡμῶν παιξάντων καινοτομία τις καὶ παρανομία τοιαύτη κατὰ τῆς ἐκκλησίας γεγένηται.
εἰ γὰρ καὶ ὅλως ἦν τις καθ' ἡμῶν μέμψις κρατήσασα, | ἔδει μὴ Ἀρειανῶν μηδὲ τῶν τὰ M 228 A
Ἀρείου φρονούντων, κατὰ δὲ τοὺς ἐκκλησιαστικοὺς κανόνας καὶ κατὰ τὸ τοῦ Παύλου 4
ῥῆμα »συναχθέντων« τῶν λαῶν »καὶ τοῦ πνεύματος« τῶν καθισταμένων »σὺν τῇ
δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ« πάντα κανονικῶς ἐξετασθῆναί τε καὶ πραχ-
θῆναι παρόντων τῶν αἰτουμένων λαῶν καὶ κληρικῶν καὶ μὴ ἔξωθεν ὑπὸ Ἀρειανῶν
ὥσπερ ἐμπορευόμενον τὸ ὄνομα τοῦ ἐπισκόπου παρὰ τοὺς μὴ αἰτήσαντας μηδὲ βουλο-
μένους μηδὲ ὅλως γινώσκοντας τὸ γεγονὸς μετὰ προστασίας καὶ βίας τῶν ἔξωθεν δι-
καστῶν ἐπιρρῖψαι ἑαυτόν. τοῦτο δὲ τοὺς μὲν ἐκκλησιαστικοὺς κανόνας παραλύει, τὰ
δὲ ἔθνη βλασφημεῖν ἀναγκάζει καὶ ὑπονοεῖν, ὅτι μὴ κατὰ θεῖον θεσμόν, ἀλλ' ἐξ ἐμπορίας
καὶ προστασίας αἱ καταστάσεις γίνονται. | B 113 B
Ἡ μὲν οὖν κατάστασις ἡ θαυμαστὴ Γρηγορίου ὑπὸ Ἀρειανῶν γέγονε καὶ τοιαύτην 3,1
ἔσχε τὴν ἀρχήν. ἡ δὲ εἴσοδος αὐτοῦ εἰς τὴν Ἀλεξάνδρειαν οἷα παράνομα κατειργάσατο
καὶ ἡλίκων κακῶν αἰτία γέγονεν, ἔξεστιν ὑμῖν ἐκ τῶν γραφομένων καὶ παρὰ τῶν ἐπι-
δημούντων ἐπερωτῆσαι καὶ μαθεῖν. τῶν γὰρ λαῶν δυσανασχετούντων καὶ διὰ τοῦτο 2
ἐν ταῖς ἐκκλησίαις συναχθέντων ἐπὶ τῇ τοιαύτῃ καινοτομίᾳ, ἵνα μὴ ἡ τῶν Ἀρειανῶν
ἀσέβεια καταμιγῇ τῇ τῆς ἐκκλησίας πίστει, Φιλάγριος ὁ καὶ πάλαι τὴν ἐκκλησίαν καὶ
τὰς ταύτης παρθένους ἀδικήσας καὶ νῦν ἔπαρχος Αἰγύπτου τυγχάνων, παραβάτης
μὲν γενόμενος, πατριώτης δὲ ὢν τοῦ Γρηγορίου καὶ οὐ σεμνὸν ἔχων τὸν τρόπον, ἀλλὰ

---

4 Vgl. S. 96, 21   6 Vgl. S. 89, 11   7ff. Athan. mobilisierte nach der Publikation des Absetzungsediktes die Volksmassen   11ff. Vgl. Julius v. Rom S. 109, 16ff.   13 I. Cor. 5, 4   16ff. Vgl. Julius v. Rom S. 109, 11ff.   18 Athanasius war von der antiochenischen Synode Verletzung der Kanones vorgeworfen, ὅτι μὴ γνώμῃ κοινοῦ συνεδρίου τῶν ἐπισκόπων τὴν τάξιν τῆς ἱερωσύνης ἀνέλαβεν (Sokr. II 8, 6; Urk. 80). Ath. bezeichnet dagegen die Wahl des Gregor als unkanonisch. Vgl. Julius v. Rom S. 109, 22   23 Vgl. S. 109, 25   26 Philagrius war schon 335 während des Aufenthaltes der Kommission der Synode von Tyrus gegen die Anhänger des Athanasius vorgegangen; vgl. S. 152, 4f. Note, hist. Arian. 9, 3 S. 188, 16, und die Schilderung S. 98, 29ff. Er wurde wider das Herkommen zum zweiten Male Präfekt, vgl. Schwartz NGG 1911, 487[2]

RP NWLhBKAb²FV (= x)

---

2 μήτε πρεσβύτερον μήτε ἐπίσκοπον ~ N | τινὰ RP   3/4 ὑπεγίνωσκον b²   4 δὲ RPNWLh > BKAb²FV   5 ἀεὶ > V   6 ἡμῖν ἀεὶ ~ RPF | ἐπιβουλεύοντας FV | Γαλλίους R   7 ἡμῖν > RP | γεγενημένους RP   9 ἀλλὰ + καὶ B | μόνων RP > x   10 παιξάντων] πραξάντων N | τις nach τοιαύτη ~ RP   11 καὶ RP > x | Ἀρειανῶν PNW Ἀρειανὸν rel. | μηδὲ] μὴ δ' ἐκ V   12 δὲ > RP | καὶ + τὸ W   12/13 τὰ .. ῥήματα RP   12 τοῦ > NBKAb²FV | Παύλου] ἀποστόλου N   13 λαῶν + τε P | πνεύματος] πατρὸς V   16 ὡς παρεμπορευόμενον RP   17 γεγονὸς + ἀλλὰ RP   18 δὲ] μὲν RP | μὲν > RP   19 ἀναγκάζει βλασφημεῖν ~ RP | ἐξ ἐμπορίας] ἐμπορίας ἕνεκεν RP   21 Γρηγορίου RP Γεωργίου x | γέγονεν ὑπὸ Ἀρειανῶν ~ N   22 αὐτοῦ > N | αὐτοῦ + ἡ V | Ἀλεξάνδρειαν + αὐτοῦ N   23 ὑμῖν] ἡμῖν h > BKAFV | παρὰ + πάντων RP   24 ἐρωτῆσαι RP | γὰρ RP > x | τοῦτο + αὐτὸ RP   26 a. Rd. περὶ Φιλαγρίου τοῦ (> Lh) ἐπάρχου Αἰγύπτου NLhBA   28 μὲν x δὲ RP | πατριώτης x (außer V) συμπατριώτης RPV | τοῦ > BKAFV | Γρηγορίου RP Γεωργίου x

C καὶ προστάτας ἔχων τοὺς περὶ Εὐσέβιον καὶ διὰ τοῦτο σπουδάζων κατὰ τῆς ἐκκλη-
σίας πείθει τοὺς ἐθνικοὺς δήμους τούς τε Ἰουδαίους καὶ τοὺς ἀτάκτους ἐπαγγελίαις, ἃς
καὶ ὕστερον ἐπεδίδου, καὶ παροξύνει καὶ ἀθρόως αὐτοὺς μετὰ ξιφῶν καὶ ῥοπάλων ἀφίησι
3 κατὰ τῶν λαῶν εἰς τὰς ἐκκλησίας. καὶ τί γέγονεν ἐκ τούτων οὐκέτι λοιπὸν ἁπλῶς
εἰπεῖν· οὔτε γὰρ ἀξίως σημᾶναι δυνατὸν οὔτε χωρὶς δακρύων καὶ θρήνων μνημονεύσειεν
ἄν τις κἂν τῶν ὀλίγων. ποῖα γὰρ παρὰ τοῖς ἀρχαίοις τετραγῴδηται τοιαῦτα; ἢ τί
τοιοῦτον ἐν διωγμῷ καὶ πολέμῳ γέγονέ ποτε; ἡ μὲν ἐκκλησία καὶ τὸ ἅγιον βαπτιστήριον
πυρπολεῖται, εὐθέως δὲ οἰμωγαὶ καὶ ὀλολυγαὶ καὶ θρῆνος ἦν κατὰ τὴν πόλιν, ἀγανακ-
D τούντων καὶ τῶν πολιτῶν ἐπὶ τοῖς γιγνομένοις καὶ καταβοώντων τοῦ ἡγεμόνος καὶ τὴν
4 βίαν μαρτυρομένων. παρθένοι γὰρ ἅγιαι καὶ ἀμίαντοι ἐγυμνοῦντο | καὶ ἔπασχον
M 229 A ἃ μὴ θέμις, μὴ ἀνεχόμεναι δὲ ἐκινδύνευον· μονάζοντες κατεπατοῦντο καὶ ἀπέθνησκον, καὶ
5 οἱ μὲν ἐδισκεύοντο, οἱ δὲ ξίφεσι καὶ ῥοπάλοις ἀνῃροῦντο, ἄλλοι δὲ ἐτραυματίζοντο. ἐπὶ
δὲ τῆς ἁγίας τραπέζης ἡλίκη ἀσέβεια καὶ παρανομία γέγονεν. ὄρνεα καὶ στροβίλους ἐθυ-
σίαζον εὐφημοῦντες μὲν ἑαυτῶν τὰ εἴδωλα, δυσφημοῦντες δὲ ἐν αὐταῖς ταῖς ἐκκλησίαις τὸν
κύριον καὶ σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος. τὰς θείας τῶν
γραφῶν βίβλους, ἃς εὕρισκον ἐν τῇ ἐκκλησίᾳ, κατέκαιον. εἰς δὲ τὸ ἅγιον βαπτιστήριον,
φεῦ τῆς τόλμης, οἱ κυριοκτόνοι Ἰουδαῖοι καὶ οἱ ἄθεοι ἐθνικοὶ ἀφυλάκτως εἰσερχόμενοι τοι-
B αῦτα αἰσχρὰ διεπράττοντο καὶ ἐλάλουν γυμνοῦντες ἑαυτούς, ὡς αἰσχύνεσθαι καὶ λέγειν
6 αὐτά. καί τινες ἀσεβεῖς ἄνδρες τὰ πικρὰ τῶν διωγμῶν μιμούμενοι παρθένων καὶ
B 114 ἐγκρατῶν | κρατοῦντες εἷλκον καὶ διασύροντες ἐβιάζοντο βλασφημεῖν καὶ ἀρνεῖσθαι τὸν
κύριον καὶ μὴ ἀρνουμένας κατέκοπτον καὶ κατεπάτουν.
4, 1 Καὶ πρὸς τούτοις ἡ θαυμαστὴ καὶ λαμπρὰ εἴσοδος Γρηγορίου τοῦ Ἀρειανοῦ ἡδο-
μένη τοῖς τοιούτοις κακοῖς, ὥσπερ ἔπαθλον καὶ μισθὸν τῆς τοιαύτης παρανόμου νίκης

---

2 ἐθνικοὶ δῆμοι vgl. Note zu Z. 7 3 Vgl. hist. Arian. 10, 2 S. 188, 23 7 f. Die orientalische Synode von Serdika beschuldigte Athanasius, die Kirche in Brand gesetzt zu haben; Hilarius Coll. antiar. Paris. A IV 1, 8, 3; CSEL 65, 55, 5: Constituto iam in eius loco ex iudicio concilii sancto et integro sacerdote (d. i. Gregor) ut barbarus hostis, ut pestis sacrilega adductis gentilium populis (vgl. Z. 2 ἐθνικοὶ δῆμοι = Circusparteien) dei templum incendit, altare comminuit et clam exul de ciuitate occulteque profugit (dazu vgl. unten Z. 22 ff. Note). Julius v. Rom schreibt oben S. 109, 26: ἡ ἐκκλησία ἐμπρησμὸν ὑπέμεινε. Sokr. II 11, 6 berichtet: ὁ δὲ Ἀλεξανδρέων λαὸς οὐκ ἐνεγκόντες τὸ γεγονὸς τὴν καλουμένην Διονυσίου ἐκκλησίαν ἐνέπρησαν. Die Kirche des Dionysios, des Bischofs des 3. Jhdts., war die zweite Kirche der Stadt. Die des Theonas war die größere (Athan. apol. ad Const. 15, 3; S. 287, 17) und offenbar mit dem Wohnsitz des Patriarchen verbunden (vgl. S. 173, 22). Danach ist also nicht Philagrius allein die Schuld für die schweren Unruhen und den Brand der Kirche zuzumessen, wie es Athan. will, sondern ebenso den von Athan. geleiteten Gilden und kirchlichen Volksmassen 10 Vgl. die Schilderung bei Julius v. Rom S. 109, 26 ff. 13 ff. Die Schilderungen der Unruhen des Pöbels, Athan. nennt sie Verfolgungen der Kirche, sind bei Athan. ganz stereotyp bis in die wörtlichen Formulierungen hinein. Vgl. Apol. sec. 15 S. 98, 30 ff. De fuga 6. 7 u. Parall. 22 ff. Kephalaion zum 11. Festbrief 339: ἐν τούτῳ τῷ ἔτει πολλῶν ταραχῶν γενομένων τῇ κβ̄ Φαμενωθ (= 18. März 339) νυκτὸς ἐξεδιώχθη καὶ τῇ ἐπιούσῃ ἔφυγεν ἐκ τῆς Θεωνᾶ ἐκκλησίας πολλοὺς βαπτίσας· ἐφ' ᾧ μετὰ τέσσαρας ἡμέρας Γρηγόριος ὁ Καππαδόκης εἰσῆλθεν ὡς ἐπίσκοπος εἰς τὴν πόλιν

RP NWLhBKAb²FV (= x)

---

2 πείθει x πειθομένους ἔχων RP | δήμους > P | ἐπὶ ἐπαγγελίαις NWLh 3 ἐπεδίδου] ἀπεδίδου N ἀποδέδωκε RP | καὶ² > RPN 4 οὐκέτι] οὐκέστι V | ἁπλῶς x ἔστιν RP 5 ἐπαξίως RP 6 κἂν RP καὶ x 7 καὶ²] παρὰ B 9 τοῦ ἡγεμόνος RP > x | καὶ³ > b 10 γὰρ + αἱ RP 11 ἀνεχόμεναι RP ἀνασχόμεναι x 12 ἐδισκεύοντο RPLh ἐδημεύοντο x (außer Lh) | δὲ² RP > x | ἐτραυματίζοντο RP ἐτραυματίζοντο (+ καὶ F) ἐτύπτοντο x (Glosse zu ἐτραυμ.) 13 τῆς > P 14 αὐτῶν BKAb²FV 15 Ἰησοῦν + τὸν WLhKAV 18 αἰσχρὰ x αἰσχρῶς RP | ἑαυτοὺς] αὐτοὺς KAb²V 19 ἀσεβεῖς] εὐσεβεῖς B*AV 19/20 παρθένους καὶ ἐγκρατεῖς W 20 κρατοῦντες x (außer N) κρατοῦντας τὰς χεῖρας RPN 21 κύριον x Χριστὸν RP 22 Γρηγορίου RP Γεωργίου x 22/23 ἡδομένη] ἡ ἡδομένη R (Seitenwechsel!) ἡ δεδομένη B

παρέχουσα τοῖς ἐθνικοῖς καὶ τοῖς Ἰουδαίοις καὶ τοῖς τὰ τοιαῦτα καθ' ἡμῶν ἐργασαμένοις
εἰς πρέδαν δέδωκε τὴν ἐκκλησίαν. καὶ τῆς τοιαύτης παρανομίας καὶ ἀταξίας συγχωρη- C
θείσης τὰ πολέμων λοιπὸν χείρονα καὶ λῃστῶν ὠμότερα ἐγίνετο. οἱ μὲν γὰρ τὰ ἀπαν- 2
τῶντα διήρπαζον, οἱ δὲ τὰς ἀποκειμένας τινῶν παραθήκας διῃροῦντο, τὸν οἶνον πολὺν
ὄντα ἢ ἔπινον ἢ ἐξεκένουν ἢ ἀπέφερον, τὸ ἀποκείμενον ἔλαιον ἥρπαζον, τὰς θύρας καὶ τοὺς
καγκέλλους ὡς σκύβαλα ἕκαστος ἐβάσταζε, τὰς λυχνίας παραυτὰ ἐν τῷ Τυχαίῳ ἀπετίθεντο,
τοὺς κηρίωνας τῆς ἐκκλησίας τοῖς εἰδώλοις ἀνῆπτον, καὶ ὅλως ἁρπαγὴ καὶ θάνατος
ἦν ἐν τῇ ἐκκλησίᾳ. καὶ οὐκ ᾐδοῦντο οἱ δυσσεβεῖς Ἀρειανοὶ τούτων γινομένων, ἀλλ' ἔτι 3
χείρονα καὶ ὠμότερα προσετίθουν· πρεσβύτεροι γὰρ καὶ λαικοὶ ἐξέσθησαν, παρθένοι ἀπο-
μαφορτιζόμεναι ˡ ἀπήγοντο εἰς τὸ βῆμα τοῦ ἡγεμόνος καὶ εἰς τὴν φυλακὴν ἐβάλλοντο, M 232 A
ἄλλοι δὲ ἐδημεύθησαν, ἐμαστίχθησαν, οἱ ἄρτοι τῶν λειτουργῶν καὶ τῶν παρθένων ἐκω-
λύθησαν. ταῦτα δὲ ἐγίνετο ἐν αὐτῇ τῇ ἁγίᾳ τεσσαρακοστῇ περὶ τὸ πάσχα, ὅτε οἱ μὲν
ἀδελφοὶ ἐνήστευον, ὁ δὲ θαυμαστὸς Γρηγόριος τὸν Καιάφα τρόπον ἀναλαβὼν μετὰ Πιλάτου
τοῦ ἡγεμόνος κατὰ τῶν εἰς Χριστὸν εὐσεβούντων ἐνεπαροίνει. ἐν παρασκευῇ γοῦν 4
εἰσερχόμενος εἰς μίαν τῶν ἐκκλησιῶν μετὰ τοῦ ἡγεμόνος καὶ τῶν ἐθνικῶν δήμων ὡς ἀπο-
στρεφομένους εἶδε τοὺς λαοὺς τὴν βιαίαν εἴσοδον αὐτοῦ, ἐποίησε τὸν ὠμότατον ἡγεμόνα
ἐν μιᾷ ὥρᾳ τριάκοντα καὶ τέσσαρας παρθένους καὶ ὑπάνδρους καὶ εὐγενεῖς ἄνδρας μαστίξαι
δημοσίᾳ καὶ εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν, ἐν οἷς μίαν παρθένον φιλολογοῦσαν καὶ τὸ ψαλ- 5
τήριον ἔτι κατέχουσαν ἐν ταῖς χερσὶ μαστιχθῆναι πεποίηκε δημοσίᾳ· καὶ τὸ μὲν βιβλίον B
ὑπὸ τῶν δημίων διηρπάσθη, αὐτὴ δὲ ἡ παρθένος εἰς τὴν φυλακὴν καθείρχθη. 5,1
ˡ Τούτων γενομένων οὐχ ἡσύχαζον οὐδὲ εἰς τὰ ἑξῆς, ἀλλ' ἐβουλεύοντο καὶ ἐν τῇ B 115
ἄλλῃ ἐκκλησίᾳ, ἔνθα μάλιστα ἐγὼ ἐν ταῖς ἡμέραις ἐκείναις ᾤκουν, τὰ αὐτὰ τοῖς προτέροις
ποιῆσαι. ἐσπούδαζον δὲ τὴν μανίαν ἑαυτῶν καὶ εἰς αὐτὴν τὴν ἐκκλησίαν ἐπεκτεῖναι,
ἵνα με θηρεύσαντες ἀνέλωσιν. ὃ καὶ ἔπαθον ἄν, εἰ μὴ ἡ τοῦ θεοῦ χάρις ἐβοήθησεν, ἵνα 2
μόλις ἐκφύγω καί ὑπαγορεῦσαι κἂν τὰ ὀλίγα δυνηθῶ. ἐγὼ γὰρ θεωρῶν αὐτοὺς ἔσχατα
λυσσῶντας καὶ λογισάμενος, ἵνα μήτε ἡ ἐκκλησία βλαβῇ καὶ αἱ ἐν αὐτῇ παρθένοι πάθωσι C

2 Die Kirchen werden dem neuen Bischof meist von den Beamten übergeben (vgl. S. 174, 5 Note). Später, 356/7, werden regelrechte Kämpfe dabei ausgefochten, vgl. hist. Athan. 4. 5 Cod. Veron. LX f. $106^{a/b}$. Die hier c. 4 geschilderten Tumulte fanden bei der Räumung und Übergabe der Kirche des Theonas und des Palastes des Bischofs statt. Abergläubischer Abscheu vor dem exkommunizierten Patriarchen und Plünderungssucht der Massen haben zu den Ausschreitungen geführt 6 Τυχαῖον vgl. Ps. Kallisth. 31, 4 (S. 29, 7 Kroll); Theophylact VIII 13, 10; Cod. Theod. XIV 27, 1; vgl; Libanius VIII 529 Förster 11 Vgl. hist. Arian. 13, 3 (S. 189, 25) 12 ff. Die Vertreibung des Athanasius fand an einem Sonntag 4 Wochen vor Ostern (15. April 339) statt 14 ff. Nach dem Kephalaion (s. zu S. 172, 22) zog Gregor am 23. März d. i. an einem Freitag, in Alexandrien ein. Über Unruhen am Karfreitag finde ich hier nichts berichtet, anders Schwartz NGG 1911, 488^2 22 Gemeint ist die Theonaskirche, nicht eine dritte. Ath. spricht nun von der Verfolgung gegen ihn selbst

RP NWLhBKAb^2FV (= x)

1 τὰ > RP 3 ἀπαντῶντα x ἀπάντων RP 4 ἀποθήκας N 5 ἢ ἐξεκένουν ἢ ἔπινον ∼ BKAb^2FV | ἀπέφερον x ἀπεφέροντο RP | τοὺς] τὰς W 6 καγκέλλους + τῶν ἐκκλησιῶν RP | σκύβαλα x σκῦλα RP | ἐβάσταζε x ἐλάμβανεν R ἐλάμβανον P | παραυτὰ PKAF παρ' αὐτὰ rel. | Τυχαίῳ P Τυχέῳ R τειχίῳ Kb^2 τοιχίῳ NWLhBAFV | ἀπέθεντο RP ἀπετίθεσαν B 7 κηρίωνας x (außer N) κηριόλους RPN | ἀνῆπτον x ἧπτον RP 8 δυσσεβεῖς x ἀσεβεῖς RP | τούτων x οὐδὲν τῶν RP | γενομένων K 9 ἐξέστησαν h 9/10 ἀπομαφοριζόμεναι x, nur hier belegt, von μαφόρτιον od. μαφόριον = Schleier, vgl. Palladius hist. Laus. 59 (S. 153, 18 Butler), u. P. M. Meyer: Griech. Texte aus Ägypten S. 95 10 ἀπήγαγον b^2 | καὶ x αἱ δὲ RP | τὴν x > RP 11 δὲ RP > x | λειτουργίων b^2 12 ἐγένετο h | περὶ] παρὰ b^2 | τὸ > N 13 Γρηγόριος RP Γεώργιος x 15 εἰσερχόμενος RPNWB εἰσερχόμενον LhKAb^2FV 16 βιαίαν x μιαρὰν RP 17 εὐγενεῖς + καὶ b^2 19 ταῖς RP > x 20 διηρπάσθη] ἡρπάσθη N διεσπάσθη WB | αὐτὴ x αὕτη RP | δὲ RPV τε x 21 τούτων + δὲ W | ἡσύχαζεν B 22 ἐγὼ > F 24 με] μὴ B | θηρεύσαντες] θηρεύσωσι καὶ Lh | θεοῦ RP Χριστοῦ x 25 μόλις ἐκφύγω καὶ RP μόνον ἐκφυγὼν x (außer V) μόνον V | τὰ x > RP | τὰ ἔσχατα N 26 a. Rd.: περὶ τοῦ πῶς συνεγράφησαν οὗτοι οἱ λόγοι BAb^2 | καὶ RP > x καὶ^1] μήτε F | αἱ > WB*

καὶ θάνατοι πάλιν γένωνται καὶ δεύτερον οἱ λαοὶ ὑβρισθῶσιν, ὑπέκλεψα ἐμαυτὸν τῶν
λαῶν μνησθεὶς τοῦ σωτῆρος λέγοντος· »ἐὰν ὑμᾶς διώκωσιν εἰς τήνδε τὴν πόλιν, φεύγετε εἰς
3 τὴν ἑτέραν«. ᾔδειν γὰρ αὐτούς, ἀφ' ὧν ἔπραξαν εἰς τὴν ἑτέραν ἐκκλησίαν κακῶν, μηδὲν
τῶν δεινῶν καὶ κατὰ τῆς ἄλλης παραιτουμένους· ὅπου γε οὐδὲ αὐτὴν τὴν κυριακὴν τῆς
ἁγίας ἑορτῆς ᾐδέσθησαν, ἀλλὰ καὶ ἐν αὐτῇ τοὺς τῆς ἐκκλησίας ἀνθρώπους εἰς φυλακὴν
καθεῖρξαν· ὅτε ὁ μὲν κύριος τοὺς πάντας ἐκ τῶν τοῦ θανάτου δεσμῶν ἠλευθέρωσεν, ὁ δὲ
Γρηγόριος καὶ οἱ σὺν αὐτῷ ὥσπερ ἀντιμαχόμενοι τῷ σωτῆρι καὶ θαρροῦντες τῇ τοῦ ἡγε-
μόνος προστασίᾳ τὴν ἐλευθέριον ἡμέραν τοῖς τοῦ Χριστοῦ δούλοις πένθος πεποιήκασιν.
4 | οἱ μὲν γὰρ Ἕλληνες ηὐφραίνοντο δυσωπούμενοι τὴν ἡμέραν, ὁ δὲ Γρηγόριος ἴσως ἐντολὰς
M 233 A πληρῶν τῶν περὶ Εὐσέβιον πενθεῖν ἠνάγκαζε τότε τοὺς Χριστιανοὺς τῇ κακώσει τῶν
δεσμῶν. διὰ ταύτης τοίνυν τῆς βίας ὁ ἡγεμὼν ἥρπασε τὰς ἐκκλησίας καὶ ἁρπάσας Γρη-
γορίῳ καὶ τοῖς Ἀρειομανίταις παρέδωκε. καὶ οἱ μὲν ἐκκήρυκτοι παρ' ἡμῶν διὰ τὴν ἀσέ-
βειαν γενόμενοι ἐγκαυχῶνται τῇ ἁρπαγῇ τῶν ἐκκλησιῶν, ὁ δὲ τοῦ θεοῦ λαὸς καὶ οἱ κληρικοὶ
τῆς καθολικῆς ἐκκλησίας βιάζονται ἢ κοινωνεῖν τῇ ἀσεβείᾳ τῶν αἱρετικῶν Ἀρειανῶν ἢ
5 μὴ εἰσέρχεσθαι εἰς τὰς ἐκκλησίας. καὶ γὰρ καὶ τοῖς ναυκλήροις καὶ τοῖς ἄλλοις τοῖς τὴν
θάλατταν πλέουσιν οὐκ ὀλίγην βίαν καὶ ἀνάγκην ἐπέθηκεν ὁ Γρηγόριος διὰ τοῦ ἡγεμόνος
B βασανίζων καὶ μαστίζων, ἄλλους δὲ καὶ δεσμεύων καὶ εἰς τὸ δεσμωτήριον ἐμβάλλων, ἵνα
μηδὲ ἀντιλέγωσι τῇ παρανομίᾳ αὐτοῦ, ἀλλὰ καὶ γράμματα παρ' αὐτοῦ λαμβάνωσι.
6 καὶ ἵνα μὴ ἄχρι τούτων ἀρκεσθῇ, ἀλλὰ καὶ τοῦ αἵματος ἡμῶν ἐμφορηθῇ, πεποίηκε τὸν
ὠμότατον καὶ συνεργὸν αὐτοῦ ἡγεμόνα ψήφισμα ὡς ἐκ προσώπου τοῦ λαοῦ κατ' ἐμοῦ
γράψαι τῷ εὐσεβεστάτῳ βασιλεῖ Κωνσταντίῳ ἐπίφθονα ῥήματα περιέχον, ἀφ' οὗ μὴ μόνον
ἐστὶ φυγεῖν, ἀλλὰ καὶ μυρίους θανάτους προσδοκᾶν. καὶ ὁ μὲν τὸ ψήφισμα γράψας ἐστὶ
παραβάτης ἐκ Χριστιανῶν καὶ εἴδωλα ἀναισχύντως προσκυνῶν, οἱ δὲ ὑπογράψαντές εἰσιν
7 ἐθνικοὶ καὶ νεωκόροι τῶν εἰδώλων καὶ σὺν αὐτοῖς Ἀρειανοί. καὶ ἵνα μὴ πολὺς ἐν τῷ
B 116 C γράφειν γίγνωμαι, διωγμός | ἐστιν ἐνταῦθα καὶ διωγμὸς οἷος οὐδέποτε γέγονε κατὰ τῆς
ἐκκλησίας. ὅλως μὲν γὰρ ἐν τῷ πρὸ τούτου διωγμῷ κἂν φεύγων τις προσηύχετο καὶ
κρυπτόμενος ἐβαπτίζετο, ἄρτι δὲ ἡ πολλὴ ὠμότης καὶ τὴν βαβυλωνίαν ἀθεότητα ἐνίκη-
8 σεν. ὡς γὰρ οἱ τότε κατὰ τοῦ Δανιήλ, οὕτω καὶ ὁ θαυμαστὸς Γρηγόριος νῦν τοὺς ἐν

2 Mt. 10, 23; vgl. de fuga 11, 4 (S. 76, 9) 3 Gemeint ist der Brand der Dionysioskirche S. 172, 7 5 Danach kam es am Ostertag zu erneuten Unruhen, auf die sich Athanasius' Nachrichten über Tumulte in der Quirinuskirche beziehen werden, hist. Arian. 10, 1 (S. 188, 24). Da das Kephalaion (s. oben zu S. 172, 22) von Taufen berichtet, die Athan. kurz vor seiner Flucht vorgenommen hat, möchte ich annehmen, daß A. diese nicht nur am 18. März, sondern auch in der Osternacht vollzogen hat; was dann für Gregor wieder Ursache zum Eingreifen war. Athan. befand sich offenbar noch immer in der Stadt und leitete den Widerstand gegen Gregor und die Beamten, so daß diese zu den schärfsten Mitteln gegen die erregten Massen zu greifen genötigt waren, vgl. Z. 15ff., anders Schwartz NGG 1911, 489[1] 15ff. Die Schiffergilden standen Athan. zur Verfügung. Weil er ihrer sicher war, konnte er mit der Drohung Eindruck machen, er werde die Getreidetransporte nach Konstantinopel sperren, vgl. apol. sec. 87, 1 S. 166, 3 Note. 28 Vgl. Dan. 6, 11ff., vgl. apol. ad Const. 17, 8 (S. 288, 35)

RP NWLhBKAb[2]FV (= x)

1 θάνατοι πάλιν x πάλιν θάνατοι RP | καὶ[2] x καὶ ἐν αὐτῇ RP 1/2 τῶν λαῶν] τοῦ λαοῦ V 2 διώκωσιν x διώξωσιν RP | ἐκ τῆσδε τῆς πόλεως F 5 ἁγίας x > RP 7 Γρηγόριος RP Γεώργιος x 8 πεποιήκασιν RP πεποίηνται x 9 Γρηγόριος RP Γεώργιος x 10 τότε x > RP 11 διὰ ταύτης τοίνυν τῆς βίας RP διὰ ταύτας τοίνυν τὰς βίας x 11/12 Γρηγορίῳ RP Γεωργίῳ x 12 παραδέδωκε NWLh 13 ἐγκαυχῶνται x καυχῶνται RP 15 καὶ[2] > P | τοῖς > Lh | ἄλλοις x λαοῖς RP 16 ὁ Γρηγόριος RP Γεώργιος x 17 καὶ μαστίζων RP > x | ἄλλως b[2] | δὲ καὶ RP > x 18 μηδὲ RP μήτε x 20 ἡγεμόνα καὶ συνεργὸν αὐτοῦ ~ N 21 Κωνσταντίῳ x Κωνσταντίνῳ RP | περιέχων R*N 23 καὶ RP > x | προσκυνῶν] προσδοκῶν P | εἰσιν RP > x 25 γίγνωμαι P γίγνομαι R γένωμαι x 26 κἂν x καὶ RP 27 Βαβυλωνίων RN | ἐνίκησεν RP μεμίμηται x 28 τοῦ > b[2] | Γρηγόριος νῦν RP Γεώργιος x

ταῖς οἰκίαις προσευχομένους διαβάλλει τῷ ἡγεμόνι καὶ τοὺς λειτουργοὺς μετὰ πάσης
ὕβρεως παρατηρεῖται, ὡς ἐκ τῆς τοιαύτης βίας πολλοὺς μὲν ἀβαπτίστους κινδυνεύειν,
πολλοὺς δὲ χωρὶς τῶν ἐπισκεπτομένων νοσεῖν καὶ ὀδύρεσθαι πικροτέραν τῆς νόσου τὴν
τοιαύτην συμφορὰν ἡγουμένους. τῶν γὰρ λειτουργῶν τῆς ἐκκλησίας διωκομένων οἱ λαοὶ
καταγινώσκοντες τῆς ἀσεβείας τῶν αἱρετικῶν Ἀρειανῶν αἱροῦνται μᾶλλον οὕτω νοσεῖν
καὶ κινδυνεύειν ἢ χεῖρα τῶν Ἀρειανῶν ἐλθεῖν ἐπὶ τὴν κεφαλὴν αὐτῶν. D

Ἀρειανὸς οὖν ἐστιν ὁ Γρηγόριος καὶ τοῖς Ἀρειανοῖς ἀποσταλείς· οὐ γάρ τις αὐτὸν 6, 1
ᾔτηται πλὴν μόνων αὐτῶν· καὶ διὰ τοῦτο ὡς μισθωτὸς καὶ ǀ ἀλλότριος δεινὰ καὶ πικρὰ M 236 A
τοῖς τῆς καθολικῆς ἐκκλησίας λαοῖς ὡς οὐκ οὖσιν ἰδίοις διὰ τοῦ ἡγεμόνος κατεργάζεται.
ἐπειδὴ γὰρ Πιστόν, ὅνπερ πρότερον οἱ περὶ Εὐσέβιον τοῖς Ἀρειανοῖς κατέστησαν, μετὰ 2
τὸ γράψαι ἡμᾶς περὶ αὐτοῦ πάντες ὑμεῖς οἱ τῆς καθολικῆς ἐκκλησίας ἐπίσκοποι διὰ τὴν
ἀσέβειαν εἰκότως αὐτὸν ἀνεθεματίσατε καὶ ἀπεκηρύξατε, τούτου ἕνεκα Γρηγόριον νῦν
⟨οἱ περὶ⟩ τὸν αὐτὸν τοῖς Ἀρειανοῖς ἀπέστειλαν. εἶτα, ἵνα μὴ καὶ δεύτερον αἰσχύνην ὀφλή-
σωσι γραφόντων ἡμῶν πάλιν κατ' αὐτῶν, διὰ τοῦτο τῇ ἔξωθεν βίᾳ καθ' ἡμῶν ἐχρήσαντο,
ἵνα τῶν ἐκκλησιῶν περικρατήσαντες δόξωσιν ἐκφεύγειν τὴν τῶν Ἀρειανῶν ὑπόνοιαν.
ἀλλ' ἐσφάλησαν καὶ ἐν τούτῳ· οὐδεὶς γὰρ τῶν τῆς ἐκκλησίας ἀνθρώπων ἐστὶ μετ' αὐτῶν, 3
εἰ μὴ μόνοι οἱ αἱρετικοὶ καὶ οἱ δι' αἰτίας ἐκβληθέντες καὶ ὅσοι διὰ τὴν ἀνάγκην τοῦ ἡγεμόνος B
ὑποκρίνονται. τοῦτο δὲ τῶν περὶ Εὐσέβιόν ἐστι τὸ δραματούργημα· ταῦτα οἱ περὶ
Εὐσέβιον ἔκπαλαι μὲν ἐμελέτων καὶ συνετίθουν, νῦν δὲ καὶ ἴσχυσαν πρᾶξαι διὰ τὰς δια-
βολάς, ἃς διέβαλλον ἡμᾶς βασιλεῖ. ἀμέλει οὐδὲ οὕτως ἡσυχάζουσιν, ἀλλὰ καὶ οὕτως ἡμᾶς
ἀποκτεῖναι ζητοῦσι καὶ τοῖς γνωρίμοις ἡμῶν φοβεροὺς ἑαυτοὺς δεικνύουσιν, ὡς πάντας φυ-
γαδεύεσθαι καὶ θάνατον παρ' αὐτῶν προσδοκᾶν. ἀλλ' οὐ διὰ ταῦτα καὶ ὑμᾶς αὐτῶν 4
τὴν παρανομίαν καταπτῆξαι χρή, ἀλλὰ μᾶλλον καὶ ἐκδικῆσαι καὶ ἀγανακτῆσαι κατὰ

8 Vgl. Joh. 10, 5. 12 8f. Vgl. Joh. 10, 3 10 Zu Pistos vgl. S. 101, 12 Note 11ff. Gemeint ist das Schreiben der alexandrinischen Synode von 338, Apol. secunda 19, 2 S. 101, 12. Eine nochmalige ausdrückliche Exkommunikation nahm die Synode nicht vor, da Pistos längst ausgestoßen war. Julius v. Rom sagt oben S. 105, 11, er habe von den Presbytern des Athanasius, die 338 das Synodalschreiben überbrachten, erfahren, daß Pistos von Alexander schon exkommuniziert worden sei. Die antiochenische Synode entschloß sich, Gregor zu entsenden, da Pistos Athanasius zu ersetzen ungeeignet war und durch seine Vergangenheit das Vorgehen des Euseb belastete 19/20 Die διαβολαί sind solche, wie die oben S. 100, 25 genannten. In der Tat konnten Euseb und die Synode Athan. nur mit Hilfe des Konstantius vertreiben. Hier spricht Athan. nicht von einer Aktion des Kaisers, jedoch hist. Arian. 9, 2 (S. 188, 11) bezeichnet er klar K. als Urheber seiner Vertreibung

RP NWLhBKAb^2FV (= x)

2 τοιαύτης x τοσαύτης RP 2 πολλοὺς — 4 ἡγουμένους x κωλύων τε τοὺς νοσοῦντας ἐπισκέπεσθαι καὶ ἀπὸ τούτου ἀβαπτίστους τελευτᾶν αὐτοὺς καὶ πικροτέραν τῆς νόσου καὶ τοῦ θανάτου τὴν τοιαύτην συμφορὰν ἡγουμένους RP 5 οὕτω x > RP 6 ἢ χεῖρα — αὐτῶν x ἢ τῶν ἀσεβῶν ἐπὶ τῆς κεφαλῆς ἑαυτῶν ἐπιτιθέναι RP 7 Γρηγόριος RP Γεώργιος x 8 ᾔτηται x (a. Rd. γρ' N) ᾐτήσατο RP ᾔτει N | καὶ^2 x καὶ ὡς RP 9 ὡς > R^c | οὖσιν + αὐτοῦ RP | ἰδίοις οὖσιν ∼ BKAbFV | διὰ + τὸ b^2 10 Πιστὸν RPN Γρηγόριον WLhBKAb^2FV | ὅνπερ BKAb^2FV ὃν WLh αὐτὸν RPN | οἱ περὶ — κατέστησαν x τοῖς Ἀρειανοῖς κατέστησαν οἱ περὶ Εὐσέβιον RP 11 ὑμεῖς] ἡμεῖς P | ἐκκλησίας ἐπίσκοποι RP ἐπίσκοποι ἐπίστασθε ὡς x (außer N) ἐκκλησίας ἐπίσκοποι ἐπίστασθε ὡς N | διὰ x διά γε RP 12 ἕνεκα RP ἕνεκεν x | Γρηγόριον RP Γεώργιον x (außer b^2) Γεώργιος b^2 | νῦν > B*F 13 οἱ περὶ τὸν αὐτὸν Schw. τὸν αὐτὸν RP > x | τοῖς RP τοῖς αὐτοῖς x | δευτέραν RPK | ὀφλήσουσι R 14 τῇ > K | ἐχρήσατο B 15 ἐκφεύγειν x ἐκφυγεῖν RP 16 οὐδεὶς — αὐτῶν RP > x 19 συνετίθουν x συνετίθεσαν RP 20 a. Rd. ὅτι οὐδὲν ἰσχύουσι οἱ αἱρετικοὶ (οἱ αἱρ. ἰσχ. ∼ N) εἰ μὴ διὰ συκοφαντίας καὶ διαβολῶν (διαβολῆς b^2) NLhBAb^2 | διέβαλον NWLhBK 21 ἀποκτεῖναι ζητοῦσι x ζητοῦσι ἀποκτεῖναι RP | ὡς x (außer N) ὥστε RPN 22 θάνατον RP θανάτους x | προσδοκᾶν παρ' αὐτῶν ∼ N | ὑμᾶς x ἡμᾶς RP 23 παρανομίαν x πανουργίαν RP | μᾶλλον καὶ x (außer N) καὶ μᾶλλον RP μᾶλλον N

τῶν οὕτως καινοτομηθέντων καθ' ἡμῶν. εἰ γὰρ πάσχοντος μέλους ἑνὸς »συμπάσχει πάντα ' B 117 τὰ μέλη« καὶ κατὰ τὸν μακάριον ἀπόστολον »κλαίειν μετὰ κλαιόντων« δεῖ, πασχούσης τῆς C τηλικαύτης ἐκκλησίας ἕκαστος ὡς αὐτὸς πάσχων ἐκδικείτω τὸ πρᾶγμα. κοινὸς γάρ ἐστιν ὁ σωτὴρ ὁ ὑπ' αὐτῶν βλασφημούμενος, καὶ πάντων εἰσὶν οἱ κανόνες οἱ ὑπ' αὐτῶν
5 παραλυόμενοι. ἆρα γάρ εἰ, καθεζομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ καὶ συναγομένων τῶν λαῶν χωρίς τινος μέμψεως, εἴ τις ἐξαίφνης διὰ προστάγματος διάδοχος ἐληλύθει καθ' ἑνὸς ὑμῶν καὶ τοιαῦτα ἐγεγόνει καθ' ὑμῶν, οὐκ ἂν ἠγανακτήσατε; οὐκ ἂν ἠξιώσατε ἐκδικηθῆναι; διὰ τοῦτο ἀγανακτῆσαι ὑμᾶς δίκαιόν ἐστιν, ἵνα μὴ τούτων σιωπωμένων κατ' ὀλίγον καὶ εἰς ἑκάστην ἐκκλησίαν τὸ τοιοῦτον κακὸν διαβῇ καὶ λοιπὸν ἐμπόριον καὶ D ἀγοραῖον τὸ καθ' ἡμᾶς διδασκαλεῖον γένηται.

7,1 Τὰ μὲν οὖν κατὰ τοὺς Ἀρειομανίτας οἴδατε, ἀγαπητοί· πολλάκις γὰρ αὐτῶν τὴν M 237 A ἀσέβειαν ἰδίᾳ ' καὶ κοινῇ πάντες ἀπεκηρύξατε· οἴδατε δὲ καὶ τοὺς περὶ Εὐσέβιον, ὡς προεῖπον, τῆς αὐτῆς ἐκείνοις ὄντας αἱρέσεως, δι' ἣν καὶ πάλαι ἡμῖν ἐπεβούλευσαν. τὰ δὲ νῦν δι' αὐτοὺς καὶ ὑπ' αὐτῶν γενόμενα πικρότερα πολέμων ἐδήλωσα ὑμῖν, ἵνα κατὰ τὴν ἐξ ἀρχῆς ἱστορίαν μισοπόνηρον ζῆλον ἀναλαβόντες ἐξάρητε τοὺς τὰ τοιαῦτα πονηρὰ ἐργα-
2 σαμένους κατὰ τῆς ἐκκλησίας. εἰ γὰρ καὶ πέρυσιν οἱ κατὰ Ῥώμην ἀδελφοὶ μήπω τούτων γενομένων, ἀλλ' ἕνεκα τῶν πρώτων σύνοδον ἔγραψαν γενέσθαι, ἵνα κἀκεῖνα ἐκδικηθῇ, ἥνπερ εὐλαβούμενοι οἱ περὶ Εὐσέβιον προύλαβον διαταράξαι τὴν ἐκκλησίαν καὶ ἠθέλησαν ἡμᾶς ἀνελεῖν, ἵνα λοιπὸν ἐπ' ἀδείας πράττωσιν ἃ βούλονται καὶ μὴ ἔχωσι τὸν ἐλέγχοντα, B πόσῳ μᾶλλον ἐπὶ τοῖς τηλικούτοις παρανομήμασιν ἀγανακτῆσαι πάντες ὀφείλετε καὶ
3 καταψηφίσασθαι αὐτῶν, ὅσῳ καὶ ταῦτα τοῖς προτέροις προσέθηκαν; παρακαλῶ, μὴ παρίδητε τὰ τηλικαῦτα μηδὲ ἐπιτρέψητε τὴν περιβόητον Ἀλεξανδρέων ἐκκλησίαν ὑπὸ αἱρετικῶν καταπατηθῆναι. διὰ ταῦτα γὰρ εἰκότως καὶ οἱ λαοὶ καὶ οἱ λειτουργοὶ καθ' ἑαυτούς εἰσι, διὰ μὲν τὰς τοῦ ἐπάρχου βίας σιωπῶντες, τὴν δὲ ἀσέβειαν τῶν Ἀρειομανιτῶν
4 ἐκτρεπόμενοι. ἐὰν τοίνυν γράφῃ πρὸς ὑμᾶς Γρηγόριος ἢ ἄλλος τις περὶ αὐτοῦ, μὴ δέξησθε, ἀδελφοί, τὰ γράμματα αὐτοῦ, ἀλλὰ σχίσατε καὶ δυσωπήσατε τοὺς κομίζοντας ὡς ἀσεβεῖς καὶ πονηρίας ὄντας διακόνους. ἐὰν δὲ καὶ τύπον εἰρηνικὸν τολμήσῃ γράφειν, μηδὲ ταῦτα δέχεσθε· τῷ γὰρ φόβῳ τοῦ ἡγεμόνος οἱ δεχόμενοι κομίζουσι διὰ τὰς πολλὰς
5 αὐτοῦ βίας. ἐπειδὴ δὲ εἰκὸς καὶ τοὺς περὶ Εὐσέβιον γράφειν ὑμῖν περὶ αὐτοῦ, διὰ τοῦτο C προυπομνῆσαι ὑμᾶς ἐσπούδασα, ἵνα καὶ ἐν τούτῳ τὸ ἀπροσωπόληπτον τοῦ θεοῦ μιμη-

---

1 I. Cor. 12, 26 2 Rm. 12, 15 16 Nach Verhandlungen in Rom zwischen Julius und den Gesandten Eusebs und Athanasius' Mitte 338 erließ Julius ein Schreiben nach Antiochien und Alexandrien, in dem er zu einer Synode aufforderte, vgl. Apol. sec. 22 (S. 103, 31 ff. Note), hist. Arian. 9, 1 (S. 188, 6) 18 Euseb hat den Vorschlag des Julius als nicht verbindlich betrachtet. Die antiochenische Synode war nach der kanonischen Absetzung des Athan. in Tyrus rechtlich in der Lage, auf Antrag einen neuen Bischof für Alexandrien zu bestellen. Athan. und Julius betrachteten das Vorgehen als ein Präjudiz der kommenden Synode, vgl. S. 109, 7 Note 25 ff. Aus diesen Sätzen ist der Zweck des Briefes zu ersehen.

RP NWLhBKAb^2FV (= x)

---

1 καθ' ἡμῶν RP > x | ἑνὸς μέλους ∼ N | ἑνὸς] τινὸς BKAb^2 2 καὶ x > RP | δεῖ x δεινὰ RP | τῆς RPNWLhB > KAb^2FV 4 πάντων x πάντων ἡμῶν R (ὑμῶν R) P | οἱ^1 RP > x 5 ὑμῶν] ἡμῶν B | εἰ > R^c 6 διάδοχος > V 7 γέγονει Ab^2 γέγονε NWLh | ἂν^2 x > RP 9 καὶ^1 > B | κακὸν RPNWLh > BKAb^2FV | διαβῇ x διαδοθῇ RP | ἐμπορεῖον P 11 ἀγαπητοί x ἀδελφοί RP | αὐτῶν τὴν RPNWLh τὴν αὐτῶν BKAb^2FV 12 ἰδίᾳ καὶ κοινῇ πάντες x καὶ ἕκαστος ἰδίᾳ τε καὶ κοινῇ RP 13 αὐτῶν ἐκείνης ὄντως b^2 | πάλαι x πάλιν RP 14 αὐτοὺς] αὐτὸν N | γινόμενα B | πολέμων x πολέμων καὶ διὰ τοῦτο RP 15 ζῆλος W*LhB*Ab^2 16 πέρυσιν x > RP | μήπω] μὴ F 20 παρανομήσασιν R | πάντες RP > x 24 βίας x βασάνους RP | τὴν δὲ NWLh διὰ δὲ τὴν RPBKAb^2FV 25 Γρηγόριος RP Γεώργιος x 26 δυσωπήσατε] ἐκδιώξατε N ἀποπέμψατε V 27 ἀσεβεῖς x ἀσεβείας RP | εἰρηνικῶν RB^{c}AV^c | τολμήσει R 28 δέχησθε B

σάμενοι ἐκδιώξητε τοὺς παρ' αὐτῶν, ὅτι ἐν τοιούτῳ καιρῷ διωγμοὺς καὶ φθορὰς παρθένων
καὶ θανάτους καὶ ἁρπαγὰς τῶν ἐν ταῖς ἐκκλησίαις, | καὶ πυρκαιὰν καὶ βλασφημίας ἐν ταῖς B 118
ἐκκλησίαις ἕνεκεν τῶν 'Αρειομανιτῶν κατεσκεύασαν ὑπὸ ἐθνικῶν καὶ 'Ιουδαίων γενέσθαι.
οὐκ ἂν δὲ ὁ ἀσεβὴς καὶ μεμηνὼς Γρηγόριος ἀρνήσηται ἑαυτὸν εἶναι 'Αρειανὸν ἔχων ἔλεγχον 6
τὸν ὑπογράφοντα αὐτοῦ τὰ γράμματα. 'Αμμὼν γὰρ οὗτος ὁ ὑπογράφων ἔκπαλαι μὲν ὑπὸ
τοῦ μακαρίτου 'Αλεξάνδρου τοῦ πρὸ ἐμοῦ ἐπισκόπου ἐπὶ πολλοῖς κακοῖς καὶ ἐπὶ ἀσεβείᾳ
ἐξεβλήθη τῆς ἐκκλησίας. πάντων οὖν ἕνεκεν καὶ ἀντιγράψαι ἡμῖν θελήσατε καὶ κατα- 7
γνῶναι τῶν ἀσεβῶν, ἵνα καὶ νῦν οἱ μὲν λειτουργοὶ οἱ ἐνταῦθα καὶ οἱ λαοὶ τὴν ὀρθοδοξίαν D
καὶ μισοπονηρίαν ὑμῶν ὁρῶντες εὐφραίνωνται τῇ εἰς θεὸν ὁμοψύχῳ ὑμῶν πίστει, οἱ δὲ
τοιαῦτα κατὰ τῆς ἐκκλησίας παρανομήσαντες | μεταπαιδευθέντες ἐκ τῶν ὑμῶν γραμμάτων M 240 A
κἂν ὀψέ ποτε μεταγνῶναι δυνηθῶσι. προσείπατε τὴν παρ' ὑμῖν ἀδελφότητα. οἱ σὺν 8
ἐμοὶ πάντες ἀδελφοὶ προσαγορεύουσιν ὑμᾶς. ἐρρωμένους καὶ μνημονεύοντας ἡμῶν ὁ
κύριος ὑμᾶς διαφυλάξειεν, κύριοι ἀληθῶς ποθεινότατοι.

---

5 Ammon findet sich nicht in der Liste der unter Alexander exkommunizierten Anhänger des Arius (vgl. oben S. 31, 27f.; 32, 16f.); hingegen ist der nach Rom gesandte Legat des Gregor, Karpones, ein alter Arianer, vgl. S. 105, 6

RP NWLhBKAb^{2}FV (= x)

---

2 καὶ πυρκαιὰν — 3 ἐκκλησίαις > N (a. Rd. von jg. Hd.: καὶ πυρκαιὰν καὶ βλασφημίας N vgl. B) | βλασφημίαν K 2/3 ἐν ταῖς ἐκκλησίαις > B 3 τῶν RP > x | γίνεσθαι B 4 Γρηγόριος RP Γεώργιος x | ἀρνήσεται A | 'Αρειανῶν b^2 5 ὁ RPN > x (außer N) 6 κακοῖς RPN > WLhBKAb^{2}F ἄλλοις V | ἀσεβείας KAb^2 7 ἡμῖν] ὑμῖν V 8 οἱ^2 > b^2 | λαοὶ x ἄλλοι RP 9 καὶ x καὶ τὴν RP | εἰς θεὸν > N | θεὸν RP Χριστὸν x (außer N) | ὑμῶν^2] ἡμῶν BL 11 μεταγνῶναι δυνηθῶσι x δυνηθῶσι μεταγνῶναι RP 12 ἐμοὶ x ἡμῖν RP 13 ὑμᾶς RP > x | διαφυλάξει R διαφυλάξοι P φυλάξειεν B | Subskription: ἐγκύκλιος ἐπιστολὴ τοῦ μακαρίου 'Αθανασίου κατὰ πᾶσαν πόλιν R, in O ist nur diese Subskription erhalten

Ἀθανάσιος Σεραπίωνι ἀδελφῷ καὶ συλλειτουργῷ ἐν κυρίῳ χαίρειν.

1, 1 Ἐνέτυχον τοῖς παρὰ τῆς σῆς εὐλαβείας γραφεῖσιν, ἐν οἷς προέτρεπες ἡμᾶς τά τε
B 340 M 685 A καθ' ἡμᾶς καὶ νῦν γενόμενα δηλῶσαί σοι καὶ περὶ τῆς ἀσεβεστάτης αἱρέσεως τῶν Ἀρειανῶν,
2 δι' ἣν καὶ ταῦτα πεπόνθαμεν, καὶ ὁποῖον ἔσχε τὸ τέλος τοῦ βίου Ἄρειος. τριῶν τοίνυν
ὄντων τῶν ἐπιταγμάτων τὰ μὲν δύο προθύμως ἐποίησα καὶ ἀπέστειλα τῇ σῇ θεοσεβείᾳ
ἅπερ ἔγραψα τοῖς μοναχοῖς· ἐκ γὰρ τούτων τά τε καθ' ἡμᾶς καὶ τὰ κατὰ τὴν αἵρεσιν
δύνασαι μαθεῖν· τὸ δὲ ἕτερον, φημὶ δὴ περὶ τοῦ θανάτου, πολλὰ μὲν ἐλογισάμην εὐλα-
βούμενος, μὴ ὡς ἐπεμβαίνοντά μέ τις τῷ θανάτῳ τοῦ ἀνθρώπου λογίσηται, ὅμως δέ,
B ἐπειδὴ διαλέξεως γενομένης παρ' ὑμῖν περὶ τῆς αἱρέσεως εἰς τοῦτο τὸ τέλος ἔληξεν ἡ
ζήτησις, εἰ κοινωνήσας τῇ ἐκκλησίᾳ Ἄρειος ἐτελεύτησε, διὰ τοῦτο ὡς διαλυομένης τῆς
ζητήσεως ἐκ τοῦ περὶ τοῦ θανάτου διηγήματος ἀναγκαίως δηλῶσαι ἐσπούδασα ἴσον ἡγού-
3 μενος τὸ σημᾶναι τοῦτο καὶ τὸ παῦσαι λοιπὸν τοὺς φιλονεικοῦντας. ἡγοῦμαι γὰρ
ὅτι γνωσθέντος τοῦ περὶ τοῦ θανάτου θαύματος μηκέτι μηδὲ αὐτοὺς τοὺς πρότερον ζητή-
σαντας τολμᾶν ἀμφιβάλλειν, ὡς θεοστυγής ἐστιν ἡ ἀρειανὴ αἵρεσις.

2, 1 Ἐγὼ μὲν οὐ παρήμην ἐν Κωνσταντινουπόλει, ὅτε ἐτελεύτησεν ἐκεῖνος, Μακάριος δὲ

---

1 Der Brief ist nach hist. Arian. verfaßt (vgl. Z. 5 Note) und von Athan. etwa 358 niedergeschrieben worden (vgl. unten S. 216, 13 Note). Der Adressat kann nur Serapion v. Thmuis sein, an den Ath. auch ein Begleitschreiben zum 9. Osterfestbrief aus Trier Ende 336 schrieb (p. ‏ܘܗ‏ Cureton; Schwartz ZNW 34 [1935] 131). Seit der Zeit begegnet S. immer wieder als Vertrauensmann des Ath., hist. Athan. 3 (f. 106ᵃ), hist. Arian. 7, 5 (S. 187, 4), ep. ad Drac. 7, 2 (S. 306, 15), danach gehört S. zu den Mönchsbischöfen (vgl. Euagriu Pont. Gnostikos c. 149 S. 553 Frankenberg), vgl. die epp. ad Serap. I—IV   4 ff. Es handelt sich um drei Schriften: 1. eine Geschichte der Verfolgungen des Athan. i. J. 356. 357 (Z. 2: τά τε καθ' ἡμᾶς καὶ νῦν γενόμενα), 2. eine theol.-apolog. Streitschrift gegen die arianische Ketzerei (Z. 3. 6; S. 180, 13; 181, 6), 3. um die vorliegende Schrift über den Tod des Arius. Nr. 1. ist die sog. hist. Arianorum S. 183; zu nr. 2 vgl. S. 181, 1 Note   9 Die Erörterung über Arius' Tod war durch die wachsende Einflußnahme der Gegner des Athan. und ihre Polemik gegen athanasianische Lehre hervorgerufen. Man stellte Arius als Märtyrer für die bessere und rechte Lehre hin. Vgl. ep. Serap. II 1 (Migne 26, 608 C)   15 ff. Umstände und Datum des Todes des Arius sind kaum zu ermitteln, da nach dem Schreiben der Jerusalemer Synode von 335 (Athan. de syn. 21 S. 248, 1 Note) Arius keineswegs mehr am Leben zu sein braucht, wie schon Rufin X 12 (977, 21) kombinierte (ebenso Schwartz NGG 1911, 421). Alexander muß schon 330 nicht mehr Bischof von Byzanz gewesen sein, vgl. S. 186, 11 Note. Also irrt Athan., wenn er Arius' Tod unter Alexander ansetzt (so auch ep. ad epic. Aeg. et Lib. 18. 19; Migne 25, 581 A ff.). Rufins X 13. 14 und Sokr. I 37. 38 (mit einigen Zusätzen im Bericht) Chronologie (Tod ca. 335/6) wird durch die Pauls widerlegt. Wegen Urk. 34 (III 74, 30 ff. Berufung des Arius an den Hof i. J. 333) und Urk. 59 (Pap. Lond. 1914; Verhaftung des Macarius 335 in Konstantinopel) ist zu erwägen, ob Arius nicht etwa 334 starb. Der Konstantinopler Kalender (Kleine Texte 1 S. 13) verzeichnet am 6. Juli: ἐν Ἀλεξανδρείᾳ Ἄρειος ὁ πρεσβύτερος. Nach Athan. berichten: Epiph. haer. 69, 10 (III 160, 7), Marc. et Faust. liber prec. 5 ff. (CSEL 35, 7 ff.).

BKPO REV   15—180, 2 = Theodoret h. e. I 14, 3—10 (56, 10—58, 12): ἐν τοῖς πρὸς Ἀπίωνα γράμμασιν (= Thdt.)

---

1 a. Rd. ο̅ς̅ B ⟨ξ̅ς̅⟩ K ι̅β̅ P ο̅α̅ R ι̅η̅ E* ι̅θ̅ Eᶜ ι̅θ̅ V ¦ Ἀθανάσιος + ἐπίσκοπος V | καὶ συλλειτουργῷ > EV   4 τοῦ βίου τὸ τέλος ∼ K   7 δὴ + τὸ V   11 δηλῶσαι + σοι V   15 ἐν + τῇ Thdt. | τετελεύτηκεν Thdt.

ὁ πρεσβύτερος παρῆν, κἀκείνου λέγοντος ἤκουσα. ἐκέκλητο μὲν παρὰ Κωνσταντίνου τοῦ
βασιλέως Ἄρειος ἐκ σπουδῆς τῶν περὶ Εὐσέβιον. εἰσελθόντα δὲ τὸν Ἄρειον ἀνέκρινε ὁ C
βασιλεύς, εἰ τὴν πίστιν τῆς καθολικῆς ἐκκλησίας ἔχει· αὐτός τε ὤμοσε πιστεύειν | ὀρθῶς καὶ M 688 A
ἔγγραφον ἐπιδέδωκε πίστεως κρύψας μὲν ἐφ' οἷς ἐξεβλήθη τῆς ἐκκλησίας παρὰ Ἀλεξάνδρου
τοῦ ἐπισκόπου, | ὑποκρινόμενος δὲ τὰς ἀπὸ τῶν γραφῶν λέξεις. ὀμόσαντα τοίνυν 2
αὐτὸν μὴ πεφρονηκέναι ἐφ' οἷς ἐξέβαλεν Ἀλέξανδρος αὐτόν, ἀπέλυσεν εἰρηκώς· 'εἰ ὀρθή B 341
σού ἐστιν ἡ πίστις, καλῶς ὤμοσας· εἰ δὲ ἀσεβής ἐστιν ἡ πίστις σου, καὶ ὤμοσας, ὁ θεὸς
ἐκ τοῦ ὅρκου κρίναι τὸ κατὰ σέ.' οὕτω δὴ οὖν αὐτὸν ἐξελθόντα παρὰ τοῦ βασιλέως
ἠθέλησαν εἰσαγαγεῖν εἰς τὴν ἐκκλησίαν οἱ περὶ Εὐσέβιον τῇ συνήθει ἑαυτῶν βίᾳ. ἀλλ' ὁ 3
τῆς Κωνσταντινουπόλεως ἐπίσκοπος, ὁ μακαρίτης Ἀλέξανδρος, ἀντέλεγε φάσκων· μὴ
δεῖν εἰς κοινωνίαν δεχθῆναι τὸν τῆς αἱρέσεως εὑρετήν. καὶ λοιπὸν οἱ περὶ Εὐσέβιον ἠπείλη-
σαν ὅτι 'ὥσπερ μὴ θελόντων ὑμῶν ἐποιήσαμεν αὐτὸν κληθῆναι παρὰ βασιλέως, οὕτως B
αὔριον, κἂν μὴ κατὰ γνώμην σοι τυγχάνῃ, συναχθήσεται Ἄρειος μεθ' ἡμῶν ἐν τῇ ἐκκλησίᾳ
ταύτῃ.' σάββατον δὲ ἦν, ὅτε ταῦτα ἔλεγον.
Ὁ τοίνυν ἐπίσκοπος Ἀλέξανδρος ἀκούσας ταῦτα καὶ πάνυ λυπηθεὶς εἰσελθὼν εἰς 3, 1
τὴν ἐκκλησίαν τάς τε χεῖρας ἐκτείνας πρὸς τὸν θεὸν ἀπωδύρετο καὶ ῥίψας ἑαυτὸν ἐπὶ πρό-
σωπον ἐν τῷ ἱερατείῳ, κείμενος ἐπὶ τοῦ ἐδάφους ηὔχετο. παρῆν δὲ καὶ Μακάριος εὐχόμενος
σὺν αὐτῷ καὶ ἀκούσας τῆς φωνῆς αὐτοῦ. παρεκάλει δὲ δύο ταῦτα λέγων· 'εἰ Ἄρειος 2
αὔριον συνάγεται, ἀπόλυσον ἐμὲ τὸν δοῦλόν σου καὶ μὴ συναπολέσῃς εὐσεβῆ μετὰ ἀσεβοῦς,
εἰ δὲ φείδῃ τῆς ἐκκλησίας σου (οἶδα δὲ ὅτι φείδῃ) ἔπιδε ἐπὶ τὰ ῥήματα τῶν περὶ Εὐσέβιον
καὶ μὴ δῷς εἰς ἀφανισμὸν καὶ ὄνειδος τὴν κληρονομίαν σου, καὶ ἆρον Ἄρειον, ἵνα μὴ εἰσελ- C
θόντος αὐτοῦ εἰς τὴν ἐκκλησίαν δόξῃ καὶ ἡ αἵρεσις συνεισέρχεσθαι αὐτῷ καὶ λοιπὸν ἡ ἀσέ-
βεια ὡς εὐσέβεια νομισθῇ.' ταῦτα εὐξάμενος ὁ ἐπίσκοπος ἀνεχώρησε πάνυ φροντίζων. 3
καὶ γέγονέ τι θαυμαστὸν καὶ παράδοξον· τῶν γὰρ περὶ Εὐσέβιον ἀπειλησάντων ὁ μὲν
ἐπίσκοπος ηὔξατο, ὁ δὲ Ἄρειος ἐθάρρει τοῖς περὶ Εὐσέβιον πολλά τε φλυαρῶν εἰσῆλθεν
εἰς θάκας ὡς διὰ χρείαν τῆς γαστρὸς καὶ ἐξαίφνης κατὰ τὸ γεγραμμένον »πρηνὴς γενόμενος
ἐλάκησε μέσος« καὶ πεσὼν εὐθὺς ἀπέψυξεν ἀμφοτέρων τε τῆς τε κοινωνίας καὶ τοῦ ζῆν
ἐστερήθη.
Τὸ μὲν οὖν τέλος τοῦ Ἀρείου τοιοῦτον γέγονε· καὶ οἱ περὶ Εὐσέβιον μεγάλως αἰσχυν- 4, 1
θέντες ἔθαψαν τὸν συνωμότην ἑαυτῶν, ὁ δὲ μακαρίτης Ἀλέξανδρος χαιρούσης τῆς ἐκ- D
κλησίας τὴν σύναξιν ἐπετέλεσεν ἐν εὐσεβείᾳ καὶ ὀρθοδοξίᾳ σὺν πᾶσι τοῖς ἀδελφοῖς εὐχόμενος
καὶ δοξάζων μεγάλως τὸν θεὸν οὐχ ὡς ἐπιχαίρων τῷ θανάτῳ, μὴ γένοιτο (»πᾶσι« γὰρ
»ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν«) ἀλλ' ὅτι τοῦτο ὑπὲρ τὰς ἀνθρώπων κρίσεις
ἐδείχθη. | αὐτὸς γὰρ ὁ κύριος δικάσας ταῖς ἀπειλαῖς τῶν περὶ Εὐσέβιον καὶ τῇ εὐχῇ 2
Ἀλεξάνδρου κατέκρινε τὴν ἀρειανὴν αἵρεσιν δείξας | αὐτὴν ἀνάξιον οὖσαν τῆς ἐκ- M 689 A B 342

19 Vgl. Gen. 18, 23 21 Vgl. Joel 2, 17 26 Acta 1, 18. Die Todesart des Arius ist der des Verräters Jesu nachgebildet, vgl. S. 33, 34 32 Hebr. 9, 27

BKPO REV Thdt.

1 ὁ EV Thdt. > BKPOR 3 ἔχοι Thdt. (AnsDL) | καὶ αὐτὸς V | τε > EV + οὖν Thdt. 4 παρὰ] ὑπὸ Thdt. 6 αὐτὸν Ἀλέξανδρος ~ Thdt. 8 ὅρκου] οὐρανοῦ Thdt. | κρίνει E | τὸ KPORE τὰ BV Thdt. | παρὰ > V 9 εἰσαγαγεῖν ἠθέλησαν ~ KO | ἀγαγεῖν EV | αὐτῶν Thdt. 12 βασιλέως B Thdt. βασιλέα KPOREV 14 ἔλεγεν Thdt. (AnsL) 16 τε > Thdt. | ἐκτείνας] ἄρας Thdt. 17 καὶ + ὁ KEV Thdt. (n) 18 ἀκούων Thdt. ἀκουσᾶς V 18/19 Ἄρειος + αὔριος B | αὔριον Ἄρειος ~ EV 19 ἐμὲ > KO 21 Ἄριον Rc (!) αὔριον R* 23 νομισθῇ ὡς εὐσέβεια ~ Thdt. 24 καὶ > Thdt. (ALv) | θαυμαστὸν] θαῦμα Thdt. 25 προσηύξατο Thdt. | τε] δὲ EV 26 θάκας] καθέδρας Thdt. | χρεία R 27 ἐλάκισε BPOV Thdt. (ns) | τε² > Thdt. | ζῆν BKPO Thdt. ζῆν εὐθὺς REV 28 ἀπεστερήθη Thdt. 30 συνωμότην] ὁμόφρονα Thdt. 31 ἐν Thdt. σὺν BKPO (ἐπετέλε*σὺν O) REV | σὺν Thdt. > BKPOREV 35 ἀναξίαν Thdt.

κλησιαστικῆς κοινωνίας καὶ πᾶσι φανερώσας ὅτι, κἂν παρὰ βασιλέως καὶ πάντων ἀν-
θρώπων ἔχῃ τὴν προστασίαν, ἀλλὰ παρ' αὐτῆς τῆς ἐκκλησίας κατεκρίθη. δέδεικται οὖν
3 οὐ θεοφιλὲς ἀλλ' ἀσεβὲς τὸ χριστομάχον ἐργαστήριον τῶν 'Αρειομανιτῶν. καὶ πολλοὶ
τῶν πρότερον ἀπατηθέντων μετέθεντο. οὐ γὰρ ἄλλος ἀλλ' αὐτὸς ὁ βλασφημούμενος
παρ' αὐτῶν κύριος κατέκρινε τὴν κατ' αὐτοῦ συστᾶσαν αἵρεσιν καὶ πάλιν ἔδειξεν ὅτι,
κἂν νῦν ὁ βασιλεὺς Κωνστάντιος βιάζηται τοὺς ἐπισκόπους ὑπὲρ αὐτῆς, ἀλλ' ἀκοινώνητός
B ἐστι τῆς ἐκκλησίας καὶ τῶν οὐρανῶν ἀλλοτρία. οὐκοῦν καὶ ἡ παρ' ὑμῖν λοιπὸν πεπαύσθω
ζήτησις· αὕτη γὰρ ἦν ἡ γενομένη συνθήκη· καὶ μηδεὶς προστιθέσθω τῇ αἱρέσει, ἀλλὰ καὶ
οἱ ἀπατηθέντες μεταγινωσκέτωσαν. ἣν γὰρ ὁ κύριος κατέκρινε, τίς ἀποδέξεται; καὶ ἣν
ἀκοινώνητον αὐτὸς πεποίηκε, πῶς ὁ προσλαμβανόμενος οὐ μεγάλως ἀσεβεῖ καὶ φανερῶς
ἐστι χριστομάχος;
5,1 'Ικανὸν μὲν οὖν καὶ τοῦτο δυσωπῆσαι τοὺς ἐριστικούς, ἀνάγνωθι δὲ ὅμως τοῖς τότε
ζητήσασι καὶ τὰ κατὰ τῆς αἱρέσεως δι' ὀλίγων γραφέντα πρὸς τοὺς μοναχούς, ἵνα καὶ
ἐξ αὐτῶν ἔτι μᾶλλον καταγινώσκωσι τῆς ἀσεβείας καὶ τῆς πονηρίας τῶν 'Αρειομανιτῶν.
μηδενὶ μέντοι θελήσῃς ἐκδοῦναι τούτων ἀντίγραφον μηδὲ σαυτῷ μεταγράψαι, καὶ γὰρ καὶ
C τοῖς μοναχοῖς τοῦτο δεδήλωκα. ἀλλ' ὡς γνήσιος, εἰ μέν τι λείπει τοῖς γραφεῖσι, πρόσθες,
2 εὐθὺς δὲ πρὸς ἡμᾶς ἀντίπεμψον. καὶ γὰρ καὶ ἐκ τῆς ἐπιστολῆς, ἧς ἔγραψα τοῖς ἀδελφοῖς,
δύνασαι μαθεῖν, ὃ πέπονθα γράφων, καὶ γνῶναι, ὅτι καὶ διὰ τοῦτο οὐκ ἔστιν ἀσφαλὲς
ἐκδίδοσθαι γράμματα ἰδιώτου καὶ μάλιστα περὶ τῶν ἀνωτάτω καὶ κορυφαιοτάτων δογ-
μάτων, μήποτε τὸ δι' ἀσθένειαν ἢ τὸ ἀδιατράνωτον τῆς γλώττης ἐνδεῶς εἰρημένον βλά-
βην τοῖς ἀναγινώσκουσιν ἐμποιήσῃ. οἱ γὰρ πολλοὶ οὐ τὴν πίστιν οὐδὲ τὸν σκοπὸν τοῦ
γράψαντος σκοποῦσιν, ἀλλ' ἢ διὰ φθόνον ἢ δι' ἔριν ἧς προελήφθησαν κατὰ διάνοιαν
δόξης, ὡς ἂν θέλωσιν αὐτοί, δέχονται καὶ μεταποιοῦσι τὰ γραφέντα κατὰ τὴν ἰδίαν
ἡδονήν. δῴη δὲ ὁ κύριος παρὰ πᾶσι καὶ μάλιστα οἷς ἀναγινώσκεις ταῦτα κρατεῖν τήν τε
D ἀλήθειαν καὶ τὴν ὑγιαίνουσαν εἰς τὸν κύριον ἡμῶν 'Ιησοῦν Χριστὸν πίστιν. ἀμήν.

1 Versteckte Polemik gegen Konstantius. Die Ermahnung, die angeknüpft wird, hat den aktuellen Zweck, vor Georg und seinen Anhängern zu warnen, vgl. Z. 8   13 τὰ κατὰ τῆς αἱρέσεως: vgl. S. 181, 6 Note   15 Vgl. S. 182, 20ff.   17 Welchen Brief? mit der hist. Arian. kaum identisch, da in ihr über die Umstände, in denen Athan. sich befindet, nicht gehandelt wird; vgl. S. 181, 8

BKPO REV

2 τὴν + μαρτυρίαν καὶ τὴν Thdt. | ἐκκλησίας] ἀληθείας Thdt.   6 ὑπὲρ] περὶ B   7 τῇ ἐκκλησίᾳ V | πεπαύσθω + ἡ K   10 προσλαβόμενος B | φανερὸς REV[c]   12 δὲ ὅμως] οὖν B   14 ἔτι] ἐπὶ V   16 μέν τι] μέντοι R   18 ὅτι V, gute Konjektur ἔτι. καὶ διὰ τοῦτο BKPORE   19 ἀνωτάτων R   23 ἂν θέλωσιν V ἐὰν θελήσωσιν BKPORE

Τοῦ αὐτοῦ

Τοῖς ἁπανταχοῦ κατὰ τόπον τὸν μονήρη βίον ἀσκοῦσι καὶ ἐν πίστει θεοῦ ἱδρυ- B 343 M 692 A
μένοις ἡγιασμένοις τε ἐν Χριστῷ καὶ λέγουσιν »ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολου-
θήσαμέν σοι« ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς ἐν κυρίῳ πλεῖστα χαίρειν.
Τῇ μὲν ὑμετέρᾳ διαθέσει πεισθεὶς καὶ πολλάκις παρ' ὑμῶν προτραπεὶς ἔγραψα 1, 1
δι' ὀλίγων περὶ ὧν πεπόνθαμεν ἡμεῖς τε καὶ ἡ ἐκκλησία καὶ ὡς δύναμίς μοι διελέγχων τὴν
μυσαρὰν αἵρεσιν τῶν Ἀρειομανιτῶν καὶ δεικνύς, ὅσον ἐστὶν ἀλλοτρία τῆς ἀληθείας αὕτη.
ὃ δὲ πέπονθα γράφων, ἀναγκαῖον ἡγησάμην δηλῶσαι τῇ εὐσεβείᾳ ὑμῶν, ἵνα καὶ ἐκ τούτου
μάθητε, πῶς ἀληθῶς εἴρηκεν ὁ μακάριος ἀπόστολος »ὦ βάθος πλούτου καὶ σοφίας καὶ
γνώσεως θεοῦ«, καὶ συγγνῶτε κἀμοὶ ἀνθρώπῳ ἀσθενεῖ τὴν φύσιν ὄντι. ὅσον γὰρ ἐβου- 2
λόμην γράφειν καὶ νοεῖν ἐβιαζόμην ἐμαυτὸν περὶ τῆς θεότητος τοῦ λόγου, τοσοῦτον ἡ γνῶ- B
σις ἐξανεχώρει μακρὰν ἀπ' ἐμοῦ καὶ ἐγίνωσκον ἐμαυτὸν τοσοῦτον ἀπολιμπανόμενον, ὅσον
ἐδόκουν καταλαμβάνειν. καὶ γὰρ οὐδὲ ὃ ἐδόκουν νοεῖν ἠδυνάμην γράφειν, ἀλλὰ καὶ ὃ
ἔγραφον ἔλαττον ἐγίνετο τῆς ἐν τῇ διανοίᾳ γενομένης κἂν βραχείας τῆς ἀληθείας σκιᾶς.
Ὁρῶν τοίνυν ὡς ἐν τῷ Ἐκκλησιαστῇ γέγραπται ὅτι »εἶπα· σοφισθήσομαι, καὶ αὕτη 2, 1
ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν καὶ βαθὺ βάθος· τίς εὑρήσει αὐτό;« καὶ τὸ ἐν τοῖς
Ψαλμοῖς· »ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν«,
καὶ ὁ Σολομών φησι· »δόξα θεοῦ κρύπτει λόγον«, πολλάκις ἐβουλευσάμην ἐπισχεῖν καὶ C
παύσασθαι τοῦ | γράφειν· ναὶ πιστεύσατε. ἵνα δὲ μὴ δόξω μηδὲ ὑμᾶς λυπεῖν μήτε ἐκείνους M 693 A
τοὺς παρ' ὑμῖν ζητήσαντας καὶ φιλονεικήσαντας ἐπιτρίβειν εἰς τὴν ἀσέβειαν ἐκ τοῦ σιωπᾶν, 2
ἐβιασάμην ἐμαυτὸν ὀλίγα γράψαι, καὶ ταῦτα ἀπέστειλα τῇ ὑμετέρᾳ θεοσεβείᾳ. εἰ γὰρ
καί, ὡς ἔστιν ἡ τῆς ἀληθείας κατάληψις, μακράν ἐστι νῦν ἀφ' ἡμῶν διὰ τὴν τῆς σαρκὸς
ἀσθένειαν, ἀλλὰ δυνατόν, ὡς εἶπεν αὐτὸς ὁ Ἐκκλησιαστής, »γνῶναι τῶν ἀσεβῶν τὴν ἀφρο-

---

1 Zum Präskript vgl. ep. ad monachos (Migne 26, 1185). Der Brief begleitet einen theol. Traktat, also nicht die in den Hss. folgende hist. Arian. Der theol. Traktat ist wohl nicht eine der sog. Arianerreden, sondern am besten paßt wegen S. 180, 12 f. und in Rücksicht auf den Zusammenhang mit Serapion entweder ep. ad Serap. I oder ep. II. III, die ja eine Einheit sind. Zu S. 180, 13 δι' ὀλίγων γραφέντα vgl. ep. I ad Serap. 1 (Migne 26, 532 B) u. ep. II 33 (Migne 26, 605 C); danach befindet sich Athan. in der Wüste, was zu ep. ad Serap. de morte und ep. ad monachos paßt 2 Mt. 19, 27 6 Damit sind wohl zwei Schriften bezeichnet wie S. 178, 3 ff. Dann bezieht sich die Darstellung der Leiden auf hist. Arian., die Widerlegung der arianischen Ketzerei auf die dem Brief beiliegende Schrift, die auch Serapion zuging S. 180, 12 f. 9 Rm. 11, 33 15 Eccl. 7, 24. 25 17 Ps. 138, 6 18 Prov. 25, 2 20 Man diskutiert unter den Mönchen über die Lehre, d. h. manche neigen zur Lehre der Gegner des Athan., vgl. ep. ad monachos (Migne 26, 1188 A/B) 21 Die Angabe des Inhalts paßt nicht zur hist. Arian. 23 Eccl. 7, 26. 27

BKPO REFV

---

1 a. Rd. οζ B ξε K ιγ P οβ R ιθ E* κ E^c κ V 3 τε > K | Χριστῷ] κυρίῳ K 6 καὶ — διελέγχων] διελέγχων ὡς δύναμις V 9 πῶς] ὡς F | ἀπόστολος] Παῦλος F 12 ἐξανεχώρει a. Rd. γρ' E, im Text: ἀνεχώρησε E ὑπανεχώρει F 14 γινομένης F 16 ἀπ' ἐμοῦ ἐμακρύνθη ~ KO 18 καὶ[1] + ὡς EFV | κρύπτειϋ R 21 ὑμετέρᾳ REFV ὑμῶν BKPO 22 νῦν > B

3 σύνην καὶ εὑρόντα ταύτην εἰπεῖν πικροτέραν ὑπὲρ θάνατον εἶναι«. τούτου γοῦν
χάριν ὡς τοῦτο γινώσκων καὶ δυνάμενος εὑρεῖν ἔγραψα εἰδὼς ὡς τοῖς πιστοῖς ἡ τῆς ἀσε-
B 344 βείας κατάγνωσις αὐτάρκης πρὸς εὐσέβειάν | ἐστι γνῶσις. καὶ γὰρ εἰ μὴ δυνατὸν κατα-
B λαβέσθαι τί ἐστι θεός, ἀλλὰ δυνατὸν εἰπεῖν, τί οὐκ ἔστιν. οἴδαμεν δὲ ὅτι οὐχ ὡς ἄνθρωπός
4 ἐστι καὶ ὅτι οὐδὲν τῶν γενητῶν θέμις ἐπινοεῖν ἐν αὐτῷ. οὕτω δὴ καὶ περὶ τοῦ υἱοῦ τοῦ
θεοῦ, εἰ καὶ πολὺ τοῦ καταλαβεῖν μακρὰν ἐσμεν τῇ φύσει, ἀλλὰ δυνατὸν καὶ εὔκολον κατα-
γνῶναι τῶν προφερομένων παρὰ τῶν αἱρετικῶν καὶ εἰπεῖν, ὅτι οὐκ ἔστι ταῦτα υἱὸς ὁ τοῦ
θεοῦ οὐδὲ θέμις περὶ τῆς θεότητος αὐτοῦ τοιαῦτα κἂν ἐννοεῖν οἷα λέγουσιν ἐκεῖνοι, μήτιγε
καὶ φθέγγεσθαι διὰ χειλέων.

3, 1 Οὕτω τοίνυν, ὅσον ἠδυνήθην, ἐγὼ μὲν ἔγραψα, ὑμεῖς δέ, ἀγαπητοί, δέξασθε ταῦτα
μὴ ὡς τελείαν ἔχοντα τὴν ἑρμηνείαν περὶ τῆς τοῦ λόγου θεότητος, ἀλλ' ὡς μόνον ἐλέγ-
χοντα μὲν τὴν ἀσέβειαν τῶν χριστομάχων, ἔχοντα δὲ καὶ διδόντα τοῖς βουλομένοις ἀφορ-
C μὴν εἰς εὐσέβειαν τῆς ὑγιαινούσης ἐν Χριστῷ πίστεως. εἰ δέ τι παραλέλειπται (πάντα δὲ
νομίζω παραλελεῖφθαι), συγγινώσκετε μετὰ συνειδήσεως καθαρᾶς καὶ μόνον ἀποδέξασθε
2 τὸ τολμηρὸν τῆς εἰς εὐσέβειαν προθέσεως. εἰς γὰρ τελείαν κατάγνωσιν τῆς αἱρέσεως
τῶν 'Αρειανῶν αὐτάρκης ἡ περὶ τοῦ θανάτου 'Αρείου γενομένη παρὰ τοῦ κυρίου κρίσις,
ἣν ἤδη φθάσαντες καὶ παρ' ἑτέρων ἔγνωτε. »ἃ γὰρ ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς δια-
σκεδάσει«; καὶ ὃν ὁ κύριος κατέκρινε, τίς ὁ δικαιῶν; τίς γὰρ ἐκ τοῦ τοιούτου γενομένου
σημείου οὐ γινώσκει λοιπὸν ὅτι θεομίσητός ἐστιν ἡ αἵρεσις, κἂν ἀνθρώπους ἔχῃ προστά-
3 τας; ἐντυχόντες μέντοι εὔχεσθε μὲν καὶ ἀλλήλους εἰς τοῦτο προτρέπεσθε ποιεῖν ὑπὲρ
ἡμῶν, εὐθὺς δὲ ἀντιπέμψατε ταῦτα πρὸς ἡμᾶς. καὶ μηδενὶ τὸ σύνολον ἀντίγραφον ἔκδοτε
D μηδὲ ἑαυτοῖς μεταγράψητε, ἀλλ' ἀρκέσθητε ὡς δόκιμοι τραπεζῖται τῇ ἐντεύξει, κἂν πολ-
λάκις ἐντυχεῖν θελήσητε. οὐ γὰρ ἀσφαλὲς τοῖς μετὰ ταῦτα τὰ παρ' ἡμῶν τῶν ψελλιζόν-
4 των καὶ ἰδιωτῶν ἐστὶ γράμματα. ἀσπάσασθε ἀλλήλους ἐν ἀγάπῃ καὶ πάντας τοὺς
ἐρχομένους πρὸς ὑμᾶς ἐν εὐσεβείᾳ καὶ πίστει . »εἰ γάρ τις«, ὡς εἶπεν ὁ ἀπόστολος, »οὐ φιλεῖ
τὸν κύριον, ἤτω ἀνάθεμα. ἡ χάρις τοῦ κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ μεθ' ὑμῶν. ἀμήν.«

---

4 Vgl. de syn. 42, 1 (S. 268, 1) 17 παρ' ἑτέρων: von Serapion? — Jes. 14, 27 19/20 Gemeint ist Konstantius, vgl. S. 180, 1 21 Vgl. S. 180, 15 f. 22 Vgl. de sent. Dionysii 9, 4 (S. 52, 19 Note) 25 I. Cor. 16, 22—23

BKPO REFV

3/4 καταλαβεῖν V 7 προσφερομένων KPOF | ὁ υἱὸς ∼ V 9 διὰ ∸ τῶν F 11 ἑρμηνείαν + τὴν K 12 μὲν > B 15 εἰς] πρὸς B 16 παρὰ τοῦ κυρίου γενομένη ∼ V 18 κύριος REFV θεὸς BKPO | τοῦ > EV 20 εἰς ausradiert R 21 ἔκδοτε + καὶ KO 22 μετεγράψητε V 23 τὰ > R*EF 24 ἔσται V 25 ὑμᾶς] ἡμᾶς EV

Τοῦ αὐτοῦ πρὸς ἁπανταχοῦ μοναχοὺς περὶ τῶν γεγενημένων παρὰ τῶν Ἀρειανῶν ἐπὶ Κωνσταντίου.

. . . αὐτοὶ δὲ ὧν ταῦτα ἐμηχανήσαντο χάριν, οὐκ εἰς μακρὰν ἐπλήρωσαν. ἅμα 1, 1
γὰρ ἐπεβούλευσαν καὶ εὐθὺς τοὺς περὶ Ἄρειον εἰς κοινωνίαν ἐδέξαντο. καὶ τὰς μὲν τοσαύτας B 345
κατ' αὐτῶν κρίσεις παρεωράκασι, βασιλικὴν δὲ πάλιν ἐξουσίαν ὑπὲρ αὐτῶν προεφασίσαντο· M 696 A
γράφοντές τε οὐκ ᾐσχύνθησαν εἰπεῖν ὅτι ''Ἀθανασίου παθόντος ὁ μὲν φθόνος πέπαυται,
τοὺς δὲ περὶ Ἄρειον λοιπὸν δεξώμεθα', προστιθέντες πρὸς φόβον τῶν ἀκουόντων ὅτι 'τοῦ-
το γὰρ βασιλεὺς προσέταξεν'. εἶτα οὐκ ᾐσχύνθησαν προσθεῖναι, ὅτι καὶ ὀρθῶς φρονοῦ- 2
σιν οἱ ἄνθρωποι, μὴ φοβηθέντες τὸ γεγραμμένον· »οὐαὶ οἱ λέγοντες τὸ πικρὸν γλυκύ, οἱ
τιθέντες τὸ σκότος φῶς«. πάντα γὰρ ὑπὲρ τῆς αἱρέσεως ὑπομένειν εἰσὶν ἕτοιμοι. ἆρ' οὖν
οὐχὶ καὶ ἐκ τούτου πᾶσιν ἄντικρυς δείκνυται, ὡς οὐκ ἐκκλησιαστικῇ κρίσει, ἀλλ' ἐκ βασιλέως B
ἀπειλῆς διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν καὶ τότε πεπόνθαμεν καὶ νῦν διωκόμεθα; καὶ γὰρ καὶ
ἑτέροις οὕτως ἐπεβούλευσαν ἐπισκόποις πλασάμενοι καὶ κατ' ἐκείνων πάλιν προφάσεις,
ὧν οἱ μὲν ἐν τοῖς ἐξορισμοῖς ἐκοιμήθησαν ἔχοντες τὸ καύχημα τῆς εἰς Χριστὸν ὁμολογίας,
οἱ δὲ ἔτι καὶ νῦν ὑπερόριοι τυγχάνουσιν, ἀνδριζόμενοι μᾶλλον κατὰ τῆς αἱρέσεως ἐκείνων
καὶ λέγοντες· »οὐδὲν ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ«.

Ἔξεστι δὲ καὶ ἐκ τούτου πάλιν αὐτὴν καταμαθεῖν καὶ μᾶλλον αὐτῆς καταγνῶναι. 2, 1
ὁ μὲν γὰρ φίλος καὶ συνασεβῶν ἐκείνοις, κἂν ἐν ἄλλοις πλημμελήμασι καὶ μυρίοις ἐγκλήμασιν
ὑπεύθυνος τυγχάνῃ, κἂν ἔχῃ τοὺς ἐλέγχους καὶ τὰς ἀποδείξεις λευκοτάτας, οὗτος δόκιμος C
παρ' αὐτοῖς καὶ βασιλέως εὐθὺς γίνεται φίλος ἔχων τὴν σύστασιν ἐκ τῆς ἀσεβείας, χρημα-
τισθείς τε πλεῖστα λαμβάνει καὶ παρρησίαν ποιεῖν, ἃ βούλεται, παρὰ τοῖς δικασταῖς.
ὁ δὲ τὴν ἀσέβειαν ἐκείνων ἐλέγχων καὶ τὰ Χριστοῦ γνησίως πρεσβεύων, οὗτος, κἂν καθα- 2

Der Anfang der Schrift über die Synode von Tyrus (vgl. S. 184, 14 ff.) fehlt; ebenso vermißt man 2 Urkunden S. 192, 2; 211, 5. Nach der Überlieferung des Titels (s. unten) scheint die Schrift noch vollständig in die Sammlungen des 5. Jahrhunderts gelangt zu sein. In dem Archetyp der Hss. des Apologienkorpus hat der nicht allzu umfangreiche Anfang bereits gefehlt. Da man mit Recht in S. 178, 3 und 181, 6 einen Hinweis auf eine Schrift über die Geschichte der Verfolgung des Athanasius und seiner Kirche sah, beließ man bei der Zusammenstellung des Korpus die Schrift in dem Zusammenhang mit den Briefen an Serapion und an die Mönche, mit denen sie den Sammlern ohnehin bekannt wurde. Die dogmatische Schrift wurde aus der Reihe der »historischen« Schriften genommen und zu den anderen theologisch-apologetischen gestellt; man darf sie in ep. I ad Serapionem oder ep. II. III wiedererkennen. — Die Schrift ist 358 verfaßt, vgl. S. 206, 11; 210, 16; 216, 13 und gehört zu den beiden vorhergehenden Briefen. Der Sammler hat nach S. 197, 24 (Cod. E) u. S. 228, 26 treffend dem Buche den Titel πρὸς ἁπανταχοῦ μοναχοὺς περὶ τῶν γεγενημένων παρὰ τῶν Ἀρειανῶν ἐπὶ Κωνσταντίου gegeben. Ihn setze ich als Überschrift 4 Gemeint ist das Schreiben aus Jerusalem 335, wo Arius formell auf Veranlassung Konstantins rehabilitiert wurde, vgl. Athan. de syn. 21 (S. 248, 1 ff.) 7 Vgl. de syn. 21 (S. 248, 11 ff.) 9/10 Jes. 5, 20 12 Hier spricht Athan. klar aus, daß Konstantin 335 gegen ihn vorging und seine Gegner unterstützte, anders apolog. secunda 87, 2 S. 166, 6 16 Rm. 8, 35 21 Vgl. apol. ad Const. 28, 2 S. 295, 16 f.

BKPO REF

Titel nach S. 197, 24 (Cod. E) u. S. 228, 26 Op. 5 αὐτῶν[2] E 10 οὖν > EF 11 οὐχὶ καὶ] οὐκ B 12 διωκόμεθα Op. διώκετε BKPORE διωκο//// F, Raum für 3—4 Buchstaben 13 προφάσεις πάλιν ~ F 17 πάλιν REF πάλιν καὶ BKPO | καταμαθεῖν αὐτὴν ~ F 19 ἔχῃ BKO ἔχοι PREF 20 εὐθὺς > E | ἐκ > K

ρὸς ἐν πᾶσιν ὑπάρχῃ, κἂν μηδὲν ἑαυτῷ συγγινώσκῃ, κἂν μὴ κατήγορον ἔχῃ, ἀλλ' ἐκείνων
προφάσεις πλασαμένων εὐθὺς ἁρπάζεται καὶ κρίσει βασιλέως αὐτὸς μὲν ὑπερόριος γίνεται
3 ὡς ὑπεύθυνος, οἷς ἂν ἐκεῖνοι θελήσωσιν, ἢ ὡς βασιλέα ὑβρίσας ὡς ὁ Ναβουθέ. ὁ δὲ πρεσ-
D βεύων τὰ τῆς αἱρέσεως ἐκείνων ζητεῖται καὶ εὐθὺς ἀποστέλλεται εἰς τὴν ἐκκλησίαν ἐκείνου
4 καὶ λοιπὸν δημεύσεις καὶ ὕβρεις καὶ πάντα τὰ δεινὰ κατὰ τῶν μὴ δεχομένων ἐκεῖνον. καὶ
M 697 A τὸ παραδοξότατον, ὃν μὲν οἱ λαοὶ βούλονται καὶ γινώσκουσιν ἀνεπίληπτον, ' τοῦτον
B 346 ἀφαιρεῖται καὶ ἐξορίζει ' βασιλεύς, ὃν δὲ μήτε βούλονται μήτε γινώσκουσι, τοῦτον μακρόθεν
μετὰ στρατιωτῶν ἀποστέλλει καὶ γραμμάτων ἑαυτοῦ. καὶ λοιπὸν ἀνάγκη πολλὴ μισεῖν
μὲν ὃν ἀγαπῶσι τὸν κατηχήσαντα καὶ πατέρα γενόμενον ἐν θεοσεβείᾳ, ἀγαπᾶν δὲ ὃν
οὐ βούλονται καὶ πιστεύειν ἑαυτῶν τὰ τέκνα, οὗ τὸν βίον καὶ τὴν ἀναστροφὴν καὶ τίς
ἐστιν οὐ γινώσκουσιν, ἢ δηλονότι τιμωρίαν ὑπομένειν, ἢν μὴ πείθωνται βασιλεῖ.
3, 1 Ταῦτα καὶ νῦν δρῶσι καὶ πάλαι πεποιήκασιν οἱ δυσσεβεῖς κατὰ τῶν ὀρθοδόξων
γνώρισμα τῆς ἑαυτῶν κακοηθείας καὶ ἀσεβείας πανταχοῦ παρὰ πᾶσι παρασχόντες.
2 ἔστω γάρ, 'Αθανάσιον ᾐτιάσαντο· τί καὶ οἱ ἄλλοι πεποιήκασιν ἐπίσκοποι; ποίας ἄρα
B προφάσεις εἶχον ἢ ποῖος ἄρα κἀκεῖ νεκρὸς 'Αρσένιος εὑρέθη; ποῖος παρ' αὐτοῖς Μακάριος
πρεσβύτερος καὶ ποτήριον πέπλασται; ποῖος Μελιτιανὸς ὑπεκρίνετο; ἀλλ' ὡς ἔοικεν ἐξ
ἐκείνων καὶ τὰ κατὰ 'Αθανάσιον δείκνυται ψευδῆ. καὶ ἐξ ὧν δὲ 'Αθανασίῳ ἐπεχείρησαν,
3 δῆλα καὶ τὰ κατ' ἐκείνων ἐστὶ πεπλασμένα. μέγα τι θηρίον ἐξῆλθεν ἐπὶ γῆς ἡ αἵρεσις
αὕτη. οὐ γὰρ μόνον τοῖς ῥήμασιν ὡς τοῖς ὀδοῦσι βλάπτει τοὺς ἀκεραίους, ἀλλὰ καὶ τὴν
ἔξωθεν ἐξουσίαν ἐμισθώσατο πρὸς ἐπιβουλήν. καὶ τὸ παράδοξον, ὅτι, καθὰ προεῖπον,
οὐδεὶς ἐξ ἐκείνων κατηγορεῖται, ἂν δὲ κατηγορηθῇ, οὐ κρίνεται ἢ δόξας ἀκούεσθαι δικαι-
οῦται κατὰ τῶν ἐλεγχόντων, καὶ μᾶλλον ὁ ἐλέγχων ἐπιβουλεύεται ἢ ὁ ὑπεύθυνος ὅλως
4 ἐντρέπεται. πάντες γοῦν οἱ παρ' αὐτοῖς μεστοὶ ῥύπου τυγχάνουσι καὶ οἱ παρ' αὐ-
C τοῖς κατάσκοποι, οὐ γὰρ ἐπίσκοποι, μᾶλλόν εἰσι πάντων ῥυπαρώτεροι. καὶ εἴ τις
παρ' αὐτοῖς ἐπίσκοπος θέλει γενέσθαι, οὐκ ἀκούει· »δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον
εἶναι«, ἀλλὰ μόνον· 'φρόνει κατὰ Χριστοῦ καὶ μὴ φρόντιζε περὶ τρόπων, ἀρκεῖ γὰρ
5 ἐκεῖνό σοι πρὸς σύστασιν καὶ πρὸς βασιλέως φιλίαν'. ταῦτα μὲν περὶ τῶν τὰ 'Αρείου
φρονούντων, οἱ δὲ τῆς ἀληθείας ζηλωταί, κἂν ἅγιοι καὶ καθαροὶ φαίνωνται, καθὰ προ-
εῖπον, ἀλλ' ὑπεύθυνοι γίνονται, ὅταν οὗτοι θέλωσι καὶ ὡς ἂν αὐτοῖς δοκῇ πρόφασιν πλα-
σαμένοις. καὶ τοῦτο ἔξεστι, καθὰ προεῖπον, ἐκ τῶν παρ' αὐτῶν πραχθέντων συνιδεῖν.
4, 1 Εὐστάθιός τις ἦν ἐπίσκοπος τῆς 'Αντιοχείας, ἀνὴρ ὁμολογητὴς καὶ τὴν πίστιν εὐ-
D

3 Vgl. III. Reg. 20 6 Vgl. S. 109, 11 ff. Gemeint ist hier Gregor, die Situation aber die gleiche wie zur Zeit der Niederschrift 14 Gemeint sind die Vertreibungen der abendländischen Bischöfe von 353 an, gegen die aber nicht Gründe wie die Klagepunkte gegen Athanasius aus den Jahren 332—335 vorlagen 23/24 Vgl. Gal. 2, 4 25 I. Tim. 3, 2 31 E. war seit 325 Bischof von Antiochien, 326 wurde er bereits abgesetzt. Aus welchen Gründen ist nicht eindeutig überliefert. Der älteste Zeuge, Georg v. Laodicea bei Sokr. I 24, 2 (vgl. Sokr. I 23, 8), behauptet, Kyros von Beröa habe ihn wegen »Sabellianismus«, also wegen seiner auch sonst bekannten antiorigenistischen Haltung verklagt. Sicher wurde E. als Gegner der Origenisten, d. h. vor allem Eusebs v. Cäsarea, in Syrien vertrieben. Theodoret h. e. I 21, 5 ff. (wohl nach Theodor v. Mopsuestia) und Philost. II 7 wissen von einer Klage auf Unzucht. 326—328 blieb E. in Antiochien und behielt eine im Schisma verharrende Gemeinde (s. S. 185, 4). Erst dann wurde er, vielleicht wegen der Beschuldigung, die Kaiserinmutter Helena beleidigt zu haben, die damals in Palästina und Syrien Reliquien sammelte, von Konstantin nach Traianopolis in Thrakien (so Hieron. de viris ill. 85) verbannt, wo er starb. Vgl. de fuga 2, 3 (S. 70, 1)

BKPO REF

1 ὑπάρχῃ] τυγχάνῃ B 3 Ναβουθαί PF 4 ἐκκλησίαν + ἑαυτοῦ O, aber getilgt 5 καὶ ὕβρεις > F 6 ὅτι ὃν F 7 ὁ βασιλεύς F 10 οὐ > B | τὰ > E | ἀνατροφὴν P 16 πέπλασται BPREF κέκλασται KO | ὑπεκρίνατο EF 18 ἐπὶ + τῆς K | 24 πάντων > F 27 ταῦτα BKPO τοιαῦτα REF | τὰ + τοῦ B 30 πραχθέντων > E

σεβής. οὗτος ἐπειδὴ πολὺς ἦν ζηλῶν ὑπὲρ τῆς ἀληθείας τήν τε ἀρειανὴν αἵρεσιν ἐμίσει
καὶ τοὺς φρονοῦντας τὰ ἐκείνης οὐκ ἐδέχετο, διαβάλλεται Κωνσταντίνῳ ¹ τῷ βασιλεῖ M 700 A
πρόφασίς τε ἐπινοεῖται ὡς τῇ μητρὶ αὐτοῦ ποιήσας ὕβριν. καὶ εὐθὺς ἐξόριστος αὐτός τε
γίνεται καὶ πολὺς σὺν αὐτῷ πρεσβυτέρων καὶ διακόνων ἀριθμός. ¹ καὶ λοιπὸν οὓς οὐκ B 347
ἐδέχετο διὰ τὴν ἀσέβειαν εἰς κλῆρον, τούτους μετὰ τὸ ἐξορισθῆναι τὸν ἐπίσκοπον οὐ μόνον 2
εἰσήγαγον εἰς τὴν ἐκκλησίαν, ἀλλὰ καὶ τοὺς πλείστους ἐπισκόπους κατέστησαν, ἵν' ἔχωσι
συνωμότας ἑαυτῶν εἰς τὴν ἀσέβειαν. ἐκ τούτων ἐστὶ Λεόντιος ὁ ἀπόκοπος ὁ νῦν ἐν Ἀντιοχείᾳ καὶ ὁ πρὸ αὐτοῦ Στέφανος Γεώργιός τε ὁ ἐν Λαοδικείᾳ καὶ ὁ γενόμενος ἐν Τριπόλει Θεοδόσιος Εὐδόξιός τε ὁ ἐν Γερμανικείᾳ καὶ Εὐστάθιος ὁ νῦν ἐν Σεβαστείᾳ.

Ἆρ' οὖν μέχρι τούτων ἔστησαν; οὐχί· καὶ γὰρ καὶ Εὐτρόπιος ὁ ἐν Ἀδριανουπόλει 5, 1
γενόμενος ἐπίσκοπος, ἀνὴρ ἀγαθὸς καὶ ἐν πᾶσι τέλειος, ἐπειδὴ πολλάκις τὸν Εὐσέβιον B
ἤλεγξε τοῖς τε διοδεύουσι συνεβούλευε μὴ πείθεσθαι τοῖς ἀσεβέσιν Εὐσεβίου ῥήμασι, τὰ
αὐτὰ τῷ Εὐσταθίῳ πάσχει καὶ τῆς πόλεως καὶ τῆς ἐκκλησίας ἐκβάλλεται. Βασιλίνα γὰρ
ἦν ἡ πάνυ κατ' αὐτοῦ σπουδάζουσα. Εὐφρατίων γὰρ ὁ ἐν Βαλανέαις καὶ Κυμάτιος ὁ 2
ἐν Παλτῷ καὶ Καρτέριος [ἕτερος] ὁ ἐν Ἀνταράδῳ καὶ ὁ ἐν Γάζῃ Ἀσκληπᾶς καὶ Κῦρος ὁ ἐν Βεροίᾳ τῆς Συρίας καὶ Διόδωρος ὁ ἐν Ἀσίᾳ καὶ Δομνίων ὁ ἐν Σιρμίῳ καὶ Ἑλλανικὸς ὁ ἐν Τριπόλει, μόνον ἐγνώσθησαν μισοῦντες τὴν αἵρεσιν, καὶ τοὺς μὲν μετὰ προφάσεως, τοὺς δὲ χωρὶς ταύτης βασιλικοῖς γράμμασι μεταστήσαντες τῆς τε πόλεως ἐκβαλόντες ἑτέρους
ἀντ' αὐτῶν, οὓς ἐγίνωσκον ἀσεβοῦντας, εἰς τὰς ἐκείνων ἐκκλησίας κατέστησαν. C

---

5 Die Nachricht, die folgenden Bischöfe hätten verlangt, in Antiochien dem Klerus anzugehören, ist völlig undurchsichtig. Die genannten sind die bedeutendsten Gegner des Athanasius nach Serdika. Sie spielten gerade 357 und 358 eine bedeutende Rolle. Deshalb werden sie hier genannt. Vgl. de fuga S. 68 Note   7 Zu Leontius vgl. unten S. 193, 27 und de fuga 26, 3 (S. 85, 27 Note). Er wurde 343/4 Bischof   8 Stephanus muß zwischen der Kirchweihsynode von 341, wo noch Flacill den antiochenischen Stuhl vertrat (s. oben S. 102, 13), und Serdika 342, als ihn die Abendländer als Ketzer absetzten (s. oben S. 123, 8), Bischof von Antiochien geworden sein. Vgl. unten S. 193, 27. — Georg v. Laodicea: vgl. oben S. 86, 4 Note; er wurde vor 335 Bischof   9 Theodosius v. Tripolis: sein Vorgänger war gewiß der unten Z. 16 erwähnte Hellanikos — Eudoxios v. Germanikeia begegnet als Bischof auf der Synode von Antiochien 341 (Sozom. III 5, 10) — Eustathios v. Sebasteia: wann er Bischof von S. wurde, ist nicht festzustellen. Die Quellen deuten auf etwa 350 hin, vgl. dazu Loofs, E. v. S. 1898 S. 84ff., da die weitläufige Frage hier nicht erörtert werden kann. Z. Zt. der Abfassung der hist. Arian. war er noch im Amt   10 Eutropius nur hier erwähnt (vgl. de fuga 3, 3 S. 70, 3). Er muß vor 330 vertrieben sein, da Basilina, die Mutter des späteren Kaisers Julian (Amm. XXV, 3, 23), 331, kurz nach der Geburt ihres Sohnes (Julian. ep. 111 S. 172, 7 Bidez-Cumont), starb (Julian Misopogon 352 B; Libanius or. 37, 3). B. war mit Euseb v. Nikomedien verwandt (Amm. XXII 9, 4)   14 Euphration, vgl. de fuga 3, 3 S. 70, 2, ebenso wie die folgenden vor 330 abgesetzt — Kymatius, vgl. de fuga 3, 3 S. 70, 3, wird von den Orientalen in Serdika (CSEL 65, 66, 26) als Freund des Ossius neben Eustathius genannt   15 Karterios (so!) wird genannt de fuga 3, 3 S. 70, 3 — Asklepas wurde in Antiochien 326 verurteilt, so die Orientalen in Serdika (CSEL 65, 56, 19) und die Okzidentalen oben S. 122, 3ff. A. gehörte zu den ältesten und entschlossenen Parteigängern des alexandr. Bischofs, vgl. Epiph. haer. 69, 4, 2 (III 155, 29); daher waren die Orientalen seine heftigsten Gegner (CSEL 65, 61, 23ff.) vgl. de fuga 3, 3 S. 70, 6 — Kyros wurde wegen »Sabellianismus« abgesetzt, um 326—328, Sokr. I 24, 2—3, vgl. de fuga 3, 3 S. 70, 6   16 Diodor v. Tenedos (s. oben S. 125 nr. 31) nahm an der abendländischen Synode von Serdika teil, und scheint nach S. 192, 18 erst nach dieser verbannt worden zu sein — Domnion nur hier, sein Nachfolger war wohl Photin — Hellanikos, nur hier erwähnt, nahm an den Synoden in Antiochien und Nicäa 325 teil. Wurde wohl gleichfalls 326—328 abgesetzt

---

BKPO REF

---

1 ἀληθείας] εὐσεβείας F   2 Κωνσταντίνῳ R*EF Κωνσταντίῳ BKPOR^c 3 πρόφασιν BKO   13 Εὐσταθίῳ] Εὐσεβίῳ F   14 Βαλανέαις Op. Καλαναῖς Hss.   15 Καρτέριος [ἕτερος] Op. vgl. de fuga 3, 3 S. 70, 3 Κυμάτιος ἕτερος Hss. | Ἀνταράδῳ Op. Ταράδῳ Hss.   16 Βερροίᾳ KO | ὁ ἐν Σ. Δομνίων ∼ P   18 τε > K | ἐκβαλλόντες E

6,1 Καὶ περὶ Μαρκέλλου τοῦ τῆς Γαλατίας ἐπισκόπου περιττὸν ἴσως ἐστὶ λέγειν, πάντες
γὰρ ἔγνωσαν, ὡς πρότερον ἐγκαλούμενοι παρ' αὐτοῦ οἱ περὶ Εὐσέβιον ἀσεβείας ἀντενεκά-
2 λεσαν αὐτῷ καὶ αὐτοὶ καὶ πεποιήκασιν ἐξορισθῆναι τὸν γέροντα. καὶ αὐτὸς μὲν ἀνελ-
M 701 A θὼν εἰς τὴν Ῥώμην ἀπελογήσατο καὶ ἀπαιτούμενος παρ' αὐτῶν δέδωκεν ἔγγραφον τὴν |
ἑαυτοῦ πίστιν, ἣν καὶ ἡ κατὰ Σαρδικὴν σύνοδος ἀπεδέξατο, οἱ δὲ περὶ Εὐσέβιον οὔτε
ἀπελογήσαντο οὔτε ἐλεγχόμενοι ἐξ ὧν ἔγραψαν ἀσεβεῖς, ἐνετράπησαν, ἀλλὰ καὶ μᾶλλον
ἐθρασύνοντο κατὰ πάντων· εἶχον γὰρ τὴν πρὸς βασιλέα παρὰ τῶν γυναικῶν σύστασιν
καὶ πᾶσιν ἦσαν φοβεροί.
7,1 Περὶ δὲ Παύλου τοῦ τῆς Κωνσταντινουπόλεως ἐπισκόπου νομίζω μηδένα ἀγνοεῖν.
ὅσῳ γὰρ ἐπιφανὴς ἡ πόλις, τοσούτῳ καὶ τὸ γενόμενον οὐ κέκρυπται. καὶ κατὰ τούτου
B 348 τοίνυν πρόφασις ἐπλάσθη. | καὶ γὰρ ὁ κατηγορήσας αὐτοῦ Μακεδόνιος ὁ νῦν ἐπίσκοπος
ἀντ' αὐτοῦ γενόμενος παρόντων ἡμῶν κατὰ τὴν κατηγορίαν κεκοινώνηκεν αὐτῷ καὶ πρεσ-
2 βύτερος ἦν ὑπ' αὐτὸν τὸν Παῦλον. καὶ ὅμως ἐπειδὴ Εὐσέβιος ἐπωφθαλμία θέλων ἁρπάσαι
B τὴν ἐπισκοπὴν τῆς πόλεως (οὕτω γὰρ καὶ ἀπὸ Βηρυτοῦ εἰς τὴν Νικομήδειαν μετῆλθεν),
ἔμεινεν ἡ πρόφασις κατὰ Παύλου, καὶ οὐκ ἠμέλησαν τῆς ἐπιβουλῆς, ἀλλ' ἔμειναν διαβάλ-
3 λοντες. καὶ τὸ μὲν πρῶτον εἰς τὸν Πόντον ἐξωρίσθη ὑπὸ Κωνσταντίνου, τὸ δὲ δεύτερον
παρὰ Κωνσταντίου, δεθεὶς ἁλύσεσι σιδηραῖς, εἰς Σίγγαρα τῆς Μεσοποταμίας ἐξωρίσθη,
εἶτα ἐκεῖθεν εἰς τὴν Ἔμισαν μετηνέχθη, καὶ τὸ τέταρτον εἰς Κούκουσον τῆς Καππαδοκίας
περὶ τὰ ἔρημα τοῦ Ταύρου, ἔνθα καί, ὡς οἱ συνόντες ἀπήγγειλαν, ἀποπνιγεὶς παρ'
4 αὐτῶν ἐτελεύτησε. τοῦτο μέντοι δράσαντες οὐκ ᾐσχύνθησαν οὐδὲ μετὰ θάνατον οἱ
μηδὲν ἀληθεύοντες πλάσασθαι πάλιν πρόφασιν ὡς ἀπὸ νόσου τελευτήσαντος αὐτοῦ,
5 καίτοι τοῦτο γινωσκόντων πάντων τῶν κατοικούντων τὸν τόπον ἐκεῖνον. καὶ γὰρ

---

1 Marcell v. Ankyra: vgl. oben S. 110, 19 Note, wurde vor 335 in Konstantinopel abgesetzt (s. Urk. 57) 4 Vgl. Urk. 89 5 Vgl. S. 123, 1 7 Wer die Frauen am Hofe gewesen sind, und was hier Athan. im einzelnen meint, entzieht sich unserer Kenntnis. Später taucht die Nachricht auf, Konstantia, die Schwester Konstantins, habe Arius protegiert, s. Schwartz NGG 1911, 372[1] 11 Paul, wohl der erste Bischof von Konstantinopel, muß bereits das erste Mal Winter 331 abgesetzt worden sein, da Athan. dabei zugegen war (vgl. S. 140, 15 Note). Nicht nur Macedonius stand gegen P., auch Athan. hat gewiß nicht seine Partei genommen, wie ich aus dem Schreiben der Orientalischen Synode von Serdika (Urk. 104 c. 13, CSEL 65, 57, 20) entnehmen möchte. Dogmatische Konflikte haben nicht zu Ps. Absetzung geführt. Konstantin verbannte ihn nach dem Pontus (Z. 16). Doch muß er bald wieder zurückgerufen sein, da er in Tyrus 335 das Urteil gegen Athan. unterschrieb (CSEL 65, 57, 20). 13 Euseb wurde 338 Bischof von Konstantinopel (s. S. 93, 5); P. wurde durch eine Synode abgesetzt (Sokr. II 7) und nach seiner Heimat Thessalonich verbannt (Sokr. II 16, 6); von dort begab er sich unter dem Vorwand, Korinth zu besuchen, nach dem Abendland, wo ihn Maximin v. Trier schützte (CSEL 65, 67, 2) 14 Vgl. S. 93, 2 und Urk. 4[b] (III 7, 5f.) 16ff. Athan. erzählt hier nicht die Geschichte des P., die übrigens nichts mit den Kämpfen des Athan. zu tun hat, sondern in die Geschichte der anhaltenden Konflikte um die Rechte des neuerrichteten Bistums Konstantinopel gehört. Athan. liegt nur an dem gewaltsamen Ende des P., dadurch ist er der Urheber des »Martyriums« des Paulus geworden (vgl. hist. Athanasii 2). P. wurde das zweite Mal von Konstantius verbannt, nachdem der Kaiser persönlich im Winter 342 den Aufstand in Konstantinopel niedergeschlagen hatte 18 Die hist. Athanasii 2 berichtet, daß P. wohl um 346 die Rückkehr gestattet wurde. 349 bemühten sich Theodor v. Heraclea, Narziß v. Neronias und Georg v. Laodicea, also die Führer der orientalischen Bischöfe, um die Gemeinschaft mit P. Nach 351 gelang es ihnen, mit Unterstützung des propositus sacri cubiculi Euseb P. wegen angeblicher Konspiration mit Magnentius zu stürzen

---

BKPO REF

---

3 καὶ αὐτοὶ αὐτῷ ~ F | καὶ[2] ausrad. R 5 ἑαυτοῦ] ἑαυτῶν B 7 τῶν > B 10 κρύπτεται E 13 ἐποφθαλμία E ἐπ' ὀφθαλμία F 16 ὑπὸ BKPO παρὰ REF 17 Μεσοποταμίας E 18 Ἔμεσαν KF 20 οὐδὲ] καὶ B

καὶ Φιλάγριος, βικάριος ὢν τότε τῶν τόπων ἐκείνων καὶ πάντα τὰ ἐκείνων ὑποκρι- C
νόμενος, ὡς ἂν αὐτοὶ θέλωσιν, ὅμως ἐπὶ τούτῳ θαυμάζων καὶ λυπηθεὶς ἴσως, ὅτι μὴ
αὐτὸς ἀλλ' ἕτερος εἰργάσατο τὸ κακόν, ἀπήγγειλε πολλοῖς τε ἄλλοις καὶ γνωρίμοις
ἡμῶν καὶ τῷ ἐπισκόπῳ Σαραπίωνι, ὡς Παῦλος ἀποκλεισθεὶς παρ' ἐκείνων εἰς τόπον
τινὰ βραχύτατον καὶ σκοτεινὸν ἀφείθη λιμῷ διαφθαρῆναι, εἶτα μεθ' ἡμέρας ἕξ, ὡς εἰσ-
ελθόντες εὗρον αὐτὸν ἔτι πνέοντα, λοιπὸν ἐπελθόντες ἀπέπνιξαν τὸν ἄνθρωπον. καὶ
οὕτω τέλος ἔσχε τοῦ βίου τούτου. τοῦ δὲ τοιούτου θανάτου διάκονον ἔλεγον γεγε- 6
νῆσθαι Φίλιππον τὸν γενόμενον ἔπαρχον. ἀλλ' οὐδὲ τοῦτο παρεῖδεν ἡ θεία δίκη· οὐδὲ
γὰρ παρῆλθεν | ἐνιαυτός, καὶ μετὰ πολλῆς ἀτιμίας καθῃρέθη τῆς ἀρχῆς ὁ Φίλιππος, οὕτως M 704 A
ὡς ἰδιώτην γενόμενον ὑφ' ὧν οὐκ ἤθελε καταπαίζεσθαι. πάνυ γοῦν καὶ αὐτὸς λυπούμενος
καὶ κατὰ τὸν Κάιν »στένων καὶ τρέμων« καὶ καθ' ἡμέραν προσδοκῶν τὸν ἀναιροῦντα
ἔξω τῆς ἑαυτοῦ πατρίδος καὶ αὐτὸς καὶ τῶν ἰδίων ὥσπερ ἐκπλαγείς, ἐπεὶ μὴ οὕτως ἤθελεν,
ἀπέθανε. πλὴν ὅτι καὶ κατὰ νεκρῶν οὐ φείδονται, καθ' ὧν καὶ ζώντων ἐπλάσαντο 7
προφάσεις· οὕτω γὰρ ἑαυτοὺς πρὸς πάντας φοβεροὺς ἐπιδεικνύειν ἐσπούδασαν, καὶ
ζῶντας μὲν ἐξορίζουσιν, ἀποθανόντας δὲ οὐκ ἐλεοῦσιν. ἀλλὰ καὶ τότε μόνοι παρὰ πάντας
τοὺς ἀνθρώπους μισοῦσι τοὺς ἀπελθόντας καὶ τοῖς οἰκείοις αὐτῶν ἐπιβουλεύουσιν οἱ
τῷ ὄντι ἀπάνθρωποι καὶ μισόκαλοι καὶ πλέον ἐχθρῶν τὸν | τρόπον ἄγριον ἔχοντες διὰ B 349
τὴν ἑαυτῶν ἀσέβειαν οἱ μὴ ἐξ ἀληθείας, ἀλλ' ἐκ πεπλασμένων προφάσεων ἡμῖν τε καὶ B
τοῖς ἑτέροις πᾶσιν ἐπιβουλεύειν σπουδάσαντες.

Ταῦτα συνορῶντες οἱ τρεῖς ἀδελφοὶ Κωνσταντῖνος Κωνστάντιος καὶ Κώνστας 8,1
ἐποίησαν πάντας μετὰ θάνατον τοῦ πατρὸς ἐπανελθεῖν εἰς τὴν πατρίδα καὶ τὴν ἐκκλησίαν
γράψαντες περὶ μὲν τῶν ἄλλων ἰδίᾳ τῇ ἑκάστου ἐκκλησίᾳ, περὶ δὲ Ἀθανασίου ταῦτα,
ἃ πάλιν τὴν μὲν τοῦ πράγματος βίαν δείκνυσι, τὴν δὲ τῶν περὶ Εὐσέβιον ἀνδροφόνον
προαίρεσιν ἐλέγχει.

Ἀντίγραφον

Κωνσταντῖνος Καῖσαρ τῷ λαῷ τῆς καθολικῆς ἐκκλησίας πόλεως τῶν Ἀλεξανδρέων. 2
Οὐδὲ τὴν τῆς ὑμετέρας ἱερᾶς ἐννοίας διαπεφευγέναι γνῶσιν οἶμαι, διὰ τοῦτο Ἀθα-
νάσιον τὸν τοῦ προσκυνητοῦ νόμου ὑποφήτην . . . C

(Ἐγράφη ὀπίσω εἰς τὸν οε' λόγον ἀπαραλλάκτως.)

1 Philagrius, vicarius dioeceseos Ponti (Libanius trat zu ihm, als er dieses Amt bekleidete, in Beziehung or. I 66—72), ist der bekannte frühere praefectus Aegypti (vgl. ep. enc. 3, 2 S. 171, 26); Athan. gibt nur unwillig zu, daß Ph. für Paul eingetreten ist, obwohl Ph. als ausgemachter Feind der athanasianischen Orthodoxie doch gegen P. hätte vorgehen müssen. Überhaupt erscheint Ph. bei Gregor v. Nazianz or. 21, 28 (I 404 ed. Maur.) in einem anderen, viel günstigeren Lichte als bei Athan. Die Gründe von O. Seeck, Briefe des Libanius TU N. F. 15, 1. 2. S. 235f. gegen die Identität des Ph. hier mit dem praefectus Aegypti überzeugen nicht 4 Sarapion, doch wohl der Bischof von Thmuis, vgl. oben S. 178, 1 8 Philippus ist als praefectus praetorio Orientis in der Zeit von 346—349 nachweisbar (Cod. Theod. XI 22, 1 : 346. gegen Seeck, Regesten S. 41, 27, der Athan. nicht berücksichtigt; mit Cod. Theod. VIII 7, 2 [vgl. Seeck a. a. S. 38, 29] kann ich nichts anfangen; die Zeugnisse für Ph. bei Seeck, Briefe des Libanius TU N. F. 15, 1. 2. S. 237ff.), 348 ist er Konsul, 351 betätigt er sich vor der Schlacht bei Mursa als Unterhändler des Konstantius bei Magnentius (Zosim. II 46, 2—49, 2). 351/2 ist Paul in Kukussos gestorben (vgl. de fuga 3, 5 S. 70, 12ff.). Spätestens 353 fiel Ph. in Ungnade 11 Gen. 4, 12 20 Vgl. Philost. II 18 22 Vgl. Athan. apol. sec. 87, 3 (S. 166, 9) 26 Der Brief ist auch überliefert: apol. sec. 87, 4—7 (= Urk. 73); vgl. S. 166, 11 Note

BKPO RE (bis Z. 24 ἐλέγχει) F (bis Z. 24. ἐλέγχει)

2 αὐτοὶ R° αὐτοῦ R* 4 Σεραπίωνι P 13 ζώντων] ζώων B 17 ἐχθρῶν R° ἐχθροῦ R* 22 περὶ¹ übergeschr. E | μὲν περὶ ~ P 25 ἀντίγραφον > R 27—29 > R 27 ἐννοίας ἱερᾶς K 29 οε B ξγ K ιδ P ξθ O

Τὰ μὲν οὖν γραφέντα ταῦτα, τῆς δὲ συσκευῆς αὐτῶν τίς ἕτερος ἀξιόπιστος τούτου
μάρτυς ἂν γένοιτο; ταῦτα γὰρ εἰδὼς οὕτως καὶ αὐτὸς ἔγραψεν.
9,1 Οἱ μέντοι περὶ Εὐσέβιον βλέποντες ἐλαττουμένην αὐτῶν τὴν αἵρεσιν γράφουσιν
εἰς Ῥώμην, γράφουσι δὲ καὶ τοῖς βασιλεῦσι Κωνσταντίνῳ καὶ Κώνσταντι κατὰ Ἀθα-
νασίου. ὡς δὲ καὶ οἱ παρὰ Ἀθανασίου ἀποσταλέντες διήλεγξαν τὰ παρ' ἐκείνων γραφέντα,
παρὰ μὲν τῶν βασιλέων ἐνετράπησαν, ὁ δὲ ἐπίσκοπος Ῥώμης Ἰούλιος ἔγραψε χρῆναι
γενέσθαι σύνοδον, ἔνθα ἂν ἐθελήσωμεν, ἵνα ἃ μὲν κατηγοροῦσι δείξωσι, περὶ δὲ ὧν κατη-
D γοροῦνται καὶ αὐτοὶ θαρροῦντες ἀπολογήσωνται. τοῦτο γὰρ καὶ οἱ παρ' αὐτῶν ἀπο-
2 σταλέντες πρεσβύτεροι βλέποντες ἑαυτοὺς ἐλεγχομένους ἠξίωσαν γενέσθαι. τούτων
τοίνυν γενομένων ὁρῶντες ἑαυτοὺς οἱ πρὸς πάντα τυγχάνοντες ὕποπτοι μὴ περιγινο-
μένους ἐν ἐκκλησιαστικῇ κρίσει προσέρχονται μόνῳ Κωνσταντίῳ καὶ λοιπὸν ἀποδύρονται
ὡς πρὸς τὸν τῆς αἱρέσεως προστάτην 'φεῖσαι' λέγοντες 'τῆς αἱρέσεως· ὁρᾷς πάντας
ἀποστάντας ἀφ' ἡμῶν· ὀλίγοι λοιπὸν ὑπελείφθημεν. ἄρξαι διώκειν, ἐπεὶ καὶ παρὰ
M 705 A τῶν ὀλίγων ἀφιέμεθα | καὶ μένομεν ἔρημοι. οὓς γὰρ ἐβιασάμεθα τούτων ἐξορισθέντων,
3 τούτους ἐπανελθόντες ἔπεισαν πάλιν φρονεῖν καθ' ἡμῶν. γράψον οὖν κατὰ πάντων
καὶ πέμψον Φιλάγριον δεύτερον ἔπαρχον τῆς Αἰγύπτου, αὐτὸς γὰρ ἐπιτηδείως δύναται
διώκειν ἤδη μὲν τῇ πείρᾳ δείξας, μάλιστα δὲ καὶ παραβάτης ὤν. πέμψον δὲ καὶ Γρη-
γόριον ἐπίσκοπον εἰς Ἀλεξάνδρειαν, καὶ οὗτος γὰρ δύναται συστῆσαι τὴν ἡμετέραν
αἵρεσιν'.
10,1 | Γράφει τοίνυν τότε Κωνστάντιος, πάντας δὲ διώκει καὶ πέμπει Φιλάγριον ἔπαρχον
B 350 καὶ Ἀρσάκιόν τινα εὐνοῦχον, πέμπει δὲ καὶ Γρηγόριον μετὰ στρατιωτικῆς ἐξουσίας.
B καὶ τοιαῦτα γέγονεν, οἷα καὶ τὸ πρότερον. συναγαγόντες γὰρ πλῆθος βουκόλων καὶ
ποιμένων ἄλλων τε ἀγοραίων καὶ ἀσελγῶν νεωτέρων μετὰ ξιφῶν καὶ ῥοπάλων ἐπῆλθον
2 ἀθρόως τῇ ἐκκλησίᾳ τῇ καλουμένῃ Κυρίνου. καὶ τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ κατεπά-
τησαν, ἄλλους τε πληγαῖς κατακόψαντες εἰς δεσμωτήριον ἐνέβαλον καὶ ἐξώριζον, πολλάς
τε γυναῖκας κατασύροντες εἷλκον εἰς τὸ δικαστήριον δημοσίᾳ καὶ τῶν τριχῶν ἕλκοντες
ὕβριζον, ἄλλους ἐδήμευον, ἄλλων ἄρτους ἀφῃροῦντο δι' οὐδὲν ἕτερον, ἢ ἵνα τοῖς Ἀρειανοῖς
προσθῶνται καὶ Γρηγόριον δέξωνται τὸν ἀπὸ βασιλέως ἀποσταλέντα.
11,1 Ἀθανάσιος μὲν οὖν καὶ πρὶν γενέσθαι ταῦτα καὶ μόνον ἀκούσας ἔπλευσεν εἰς τὴν
Ῥώμην εἰδώς τε τὸν θυμὸν τῶν αἱρετικῶν, καὶ ἵνα, ὡς ἤρεσεν, ἡ σύνοδος γένηται· ὁ δὲ
C Ἰούλιος γράφει καὶ πέμπει πρεσβυτέρους, Ἐλπίδιον καὶ Φιλόξενον, ὁρίσας καὶ προ-
2 θεσμίαν, ἵνα ἢ ἔλθωσιν ἢ γινώσκοιεν ἑαυτοὺς ὑπόπτους εἶναι κατὰ πάντα. ἀλλ' οἱ
περὶ Εὐσέβιον ὡς μόνον ἤκουσαν ἐκκλησιαστικὴν ἔσεσθαι κρίσιν, ἐν ᾗ κόμης οὐ παρα-
γίγνεται, οὐ στρατιῶται πρὸ τῶν θυρῶν, οὐ βασιλικῷ προστάγματι τὰ τῆς συνόδου
τελειοῦται (ἐν τούτοις γὰρ ἀεὶ κατὰ τῶν ἐπισκόπων ἴσχυσαν καὶ ἄνευ τούτων οὐδ' ὅλως
λαλῆσαι θαρροῦσιν), οὕτω κατέπτηξαν, ὡς τοὺς μὲν πρεσβυτέρους κατασχεῖν καὶ μετὰ
τὴν προθεσμίαν, πλάσασθαι δὲ πρόφασιν ἀπρεπῆ ὅτι 'μὴ δυνάμεθα νῦν ἐλθεῖν διὰ τοὺς
3 παρὰ Περσῶν γιγνομένους πολέμους'. τοῦτο δὲ οὐκ ἦν ἀληθές, ἀλλὰ φόβος τοῦ

---

3 Vgl. Urk. 76, vgl. S. 102, 1 Note 4 Vgl. Urk. 75 5 Vgl. apol. sec. 22, 3 (S. 104, 2) 6 ep. enc. 7, 2 (S. 176, 16) 16 Philagrius war ungewöhnlicherweise zweimal praefectus Aegypti, was auch Gregor Naz. or. 21, 28 (I 404 A ed. Maur.) bemerkt 20ff. Vgl. ep. enc. 2, 1—2 (S. 170, 23ff.) 21 Arsacius nur hier 24 Vgl. S. 174, 5 Note 30 Vgl. S. 102, 2 Note; S. 103, 31 Note 31 Vgl. Urk. 84 — Vgl. oben S. 102, 3f. 32 Apol. sec. 27, 3 (S. 106, 7ff.) 35 Vgl. Apol. sec. 8, 3 (S. 94, 11ff.) 36 Vgl. S. 106, 12 37 Vgl. Apol. sec. 27, 4 (S. 106, 16)

BKPO R

---

13 ἀπελείφθημεν B 20 τότε > P 22 τὸ > B 24 ἀθρόως > B 29 καὶ[1] > R 30 θυμὸν] θεσμὸν K 31/32 προθεσμίαν] προθυμίαν B 33 ὡς R[c] οὐ R*? | ἔσεσθαι] γενέσθαι P 36 λαλῆσαι] θαρρῆσαι P

συνειδότος. τί γὰρ κοινὸν πόλεμος πρὸς ἐπισκόπους; ἢ διατί μὴ δυνάμενοι διὰ τοὺς D
Πέρσας εἰς Ῥώμην ἐλθεῖν καίτοι μακρὰν ἀπέχουσαν καὶ πέραν θαλάττης οὖσαν τοὺς
τῆς ἀνατολῆς τόπους καὶ τοὺς ἐγγὺς ἐκείνων περιήρχοντο ὡς λέοντες ζητοῦντες, τίς αὐτοῖς
ἐναντιοῦται, ἵνα διαβάλλοντες ἐξορίσωσιν;
Ἀμέλει τοὺς πρεσβυτέρους ἀπολύσαντες ἐπὶ τῇ ἀπιθάνῳ ταύτῃ προφάσει συνε- 12, 1
λάλουν ἀλλήλοις· 'ἐπεὶ μὴ δυνάμεθα ἐκκλησιαστικῇ κρίσει κρατεῖν, τὴν συνήθη τόλμαν
ἐπιδειξώμεθα'. γράφουσι τοίνυν Φιλαγρίῳ | καὶ ποιοῦσιν αὐτὸν μετὰ Γρηγορίου κατ' M 708 A
ὀλίγον ἐξελθεῖν εἰς τὴν Αἴγυπτον καὶ λοιπὸν ἐπίσκοποι μαστίζονται καὶ ἐδεσμοῦντο
πικρῶς. Σαραπάμμωνα γοῦν ἐπίσκοπον ὁμολογητὴν ἐξορίζουσι, Ποτάμωνα δὲ 2
ἐπίσκοπον ὁμολογητὴν ἀπολέσαντα καὶ αὐτὸν τὸν ὀφθαλμὸν ἐν τῷ διωγμῷ οὕτω
κατέκοψαν ταῖς καταυχενίοις πληγαῖς, | ὡς μὴ πρότερον παύσασθαι, πρὶν ἂν νομισθῆναι B 351
τὸν ἄνθρωπον νεκρόν. οὕτω γοῦν ἐρρίφη καὶ μόγις μετὰ ὥρας θεραπευόμενος καὶ διαρρι-
πιζόμενος ἀνέπνευσε τοῦ θεοῦ δεδωκότος τὸ ζῆν. ἀλλὰ μετὰ χρόνον ὀλίγον ἐκ τοῦ πόνου
τῶν πληγῶν ἀπέθανεν ἔχων ἐν Χριστῷ τὸ καύχημα δευτέρου μαρτυρίου. πόσοι τε 3
ἄλλοι μονάζοντες ἐμαστίζοντο καθεζομένου Γρηγορίου μετὰ Βαλακίου τοῦ λεγομένου B
δουκός, πόσοι ἐπίσκοποι ἐκόπτοντο, πόσαι παρθένοι ἐτύπτοντο.
Εἶτα ὁ ἄθλιος Γρηγόριος μετὰ ταῦτα παρεκάλει πάντας κοινωνεῖν αὐτῷ· καίτοι 13, 1
εἰ κοινωνίαν ἠξίους παρ' αὐτῶν ἔχειν, οὐκ ἦσαν ἄξιοι πληγῶν, εἰ δὲ ὡς φαύλους ἔκοπτες,
τί ὡς ἁγίους παρεκάλεις; ἀλλ' οὐδὲν ἦν αὐτῷ προκείμενον ἢ τὰ τῶν ἀποστειλάντων
πληρῶσαι καὶ τὴν αἵρεσιν συστῆσαι. διὰ τοῦτο καὶ ἀνδροφόνος γέγονε καὶ δήμιος καὶ
ὑβριστὴς καὶ δόλιος καὶ βέβηλος καὶ τὸ ὅλον χριστομάχος ὁ ἀνόητος. τὴν γοῦν τοῦ 2
ἐπισκόπου θείαν οὕτως ἐδίωξεν, ὡς μηδὲ ἀποθανοῦσαν ἀφεῖναι ταφῆναι. καὶ τοῦτ' ἂν
ἐγεγόνει καὶ ἄταφος ἐρρίφη, εἰ μὴ οἱ ὑποδεξάμενοι αὐτὴν ὡς ἴδιον νεκρὸν ἐξήνεγκαν·
οὕτω καὶ ἐν τούτοις εἶχεν ἀνόσιον τὸν τρόπον. καὶ γὰρ καὶ χηρῶν καὶ ἄλλων ἀνεξόδων 3
λαβόντων ἐλεημοσύνην ἐκέλευε τὰ δεδομένα διαρπάζεσθαι καὶ τὰ ἀγγεῖα, ἐν οἷς ἔφερον C
τὸ ἔλαιον καὶ τὸν οἶνον, κατεάσσασθαι, ἵνα μὴ μόνον λαβὼν ἀσεβήσῃ, ἀλλὰ καὶ ἔργοις
ἀτιμάζῃ τὸν κύριον ἀκουσόμενος ὅσον οὐδέπω παρ' αὐτοῦ· »ἐφ' ὅσον ἠτίμασας τούτους,
ἐμὲ ἠτίμασας«.
Πολλά τε ἕτερα ἐποίει, ἃ καὶ λόγου φράσιν ὑπεραίρει καὶ ἀκούσας τις ἄπιστα 14, 1
νομίσειε. ταῦτα δὲ διὰ τοῦθ' οὕτως ἔπραττεν, ἐπεὶ μήτε ἐκκλησιαστικῷ κανόνι τὴν κατά-
στασιν εἶχε μήτε ἀποστολικῇ παραδόσει κληθεὶς ἦν ἐπίσκοπος· ἀλλ' ἐκ παλατίου μετὰ
στρατιωτικῆς ἐξουσίας καὶ φαντασίας ἀπέσταλτο ὥσπερ ἀρχὴν κοσμικὴν ἐγκεχειρισμένος.
διὰ τοῦτο καὶ ἀρχόντων μᾶλλον ηὔχετο φίλος εἶναι ἢ ἐπισκόπων καὶ μοναζόντων. εἴ 2 D
ποτε οὖν καὶ ὁ πατὴρ Ἀντώνιος ἐκ τοῦ ὄρους ἔγραφεν, ὥσπερ βδέλυγμα ἁμαρτωλῷ
θεοσέβεια οὕτως ἐβδελύσσετο τὰ τοῦ ἁγίου γράμματα. εἴ ποτε δὲ βασιλεὺς ἢ στρα- 3
τηλάτης ἢ ἄλλος δικαστὴς ἐπέστελλεν, οὕτω περιχαρὴς ἐγίγνετο ὡς οἱ ἐν ταῖς Παροιμίαις,
καθὼς σχετλιάζων ἔλεγεν ὁ λόγος· »ὦ οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας, οἱ | εὐφραι- M 709 A
νόμενοι ἐπὶ κακοῖς καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῶν«. ἀμέλει τοὺς μὲν ταῦτα 4

---

3 Vgl. I. Petr. 5, 8 5ff. Die Entlassung der römischen Presbyter aus Antiochien hat Januar 341 stattgefunden; was Athan. im folgenden schildert, spielte sich 339 ab 7/8 Vgl. ep. enc. 3 (S. 171, 24ff.) 9 Sarapammon vgl. S. 129 Nr. 177 — Potamon vgl. S. 159 Nr. 18 15 Balacius vgl. S. 190, 1 17 Vgl. Apol. sec. 33, 2 (S. 111, 20ff.) und die von Schwartz NGG 1911, $503^{1, 2, 3}$ angezogenen Stellen aus den Festbriefen 16 Vgl. ep. enc. 7, 4ff. (S. 176, 25ff.) 22 Die Tante des Athan. wird nur hier erwähnt 24 Vgl. ep. enc. 4, 3 (S. 173, 11) 27 Vgl. Mt. 25, 45 37 Prov. 2, 13. 14

BKPO R

---

11 κατέκοψαν Comm. Montf. κατέκοψε Hss. 16 πόσαι παρθένοι ἐτύπτοντο R > BKPO 17 παρακαλεῖ B 18 ἠξίος P 22 ἐδίωξεν] ἐδίδαξεν P 24 γὰρ B korrigiert, ob χηρῶν? | καὶ χηρῶν > B 26 κατεάσσεσθαι BK 35/6 στρατηλάτης O^c στρατιώτης O* 37 καθ' ὧν K | ἐγκαταλίποντες R*

B 352 κομίζοντας ἐτίμα χρήμασιν, Ἀντωνίου ¹ δέ ποτε γράψαντος πεποίηκε τὸν δοῦκα Βαλάκιον
καταπτῦσαι τῆς ἐπιστολῆς καὶ ταύτην ἀπορρίψαι. ἀλλ' οὐ παρεῖδεν ἡ θεία δίκη, μετ'
οὐ πολὺ γὰρ τὸν λεγόμενον δοῦκα ἐπικαθήμενον ἵππῳ καὶ ἀπερχόμενον εἰς τὴν πρώτην
μονὴν ἐπιστραφεὶς ὁ ἵππος καὶ δακὼν εἰς τὸν μηρὸν κατέβαλε καὶ τριῶν ἡμερῶν ἀπέθανεν.
15, 1 Ἐκεῖνοι μὲν οὖν οὕτως ἔπραττον κατὰ πάντων, ἐν δὲ τῇ Ῥώμῃ συνελθόντες ἐπίσκοποί
που πεντήκοντα τοὺς μὲν περὶ Εὐσέβιον ὡς ὑπόπτους καὶ φοβηθέντας ἐλθεῖν οὐκ ἀπε-
B δέξαντο, ἀλλὰ καὶ τὰ γραφέντα παρ' αὐτῶν ἠκύρωσαν, ἡμᾶς δὲ ἀπεδέξαντο καὶ τὴν
2 πρὸς ἡμᾶς κοινωνίαν ἠγάπησαν. ἕως δὲ ταῦτα ἐγίγνετο, ἦλθεν εἰς γνῶσιν τοῦ
βασιλέως Κώνσταντος ἥ τε ἐν Ῥώμῃ γενομένη σύνοδος καὶ τὰ ἐν τῇ Ἀλεξανδρείᾳ καὶ
πάσῃ τῇ ἀνατολῇ κατὰ τῶν ἐκκλησιῶν γεγενημένα, καὶ γράφει τῷ ἀδελφῷ Κωνσταντίῳ
καὶ λοιπὸν ἀμφοτέροις ἀρέσκει σύνοδον γενέσθαι καὶ διαγνωσθῆναι τὰ πράγματα, ἵν'
οἱ μὲν ἀδικηθέντες μηκέτι πάσχωσιν, οἱ δὲ ἀδικοῦντες μηκέτι τοιαῦτα τολμᾶν δύνωνται.
3 συνέρχονται τοίνυν ἀπό τε τῆς ἀνατολῆς καὶ τῆς δύσεως ἐν τῇ Σερδῶν πόλει πλέον
ἢ ἔλαττον ρο' τὸν ἀριθμὸν ἐπίσκοποι. καὶ οἱ μὲν ἀπὸ τῆς δύσεως μόνοι ἦσαν ἐπίσκοποι
ἔχοντες πατέρα τὸν Ὅσιον, οἱ δὲ ἀπὸ τῆς ἀνατολῆς ἐπήγοντο μεθ' ἑαυτῶν παιδαγωγοὺς
C καὶ συνηγόρους Μουσουνιανὸν κόμητα καὶ Ἡσύχιον τὸν καστρήσιον, δι' οὓς καὶ προ-
θύμως ἦλθον νομίζοντες μετ' ἐξουσίας αὐτῶν πάλιν πάντα πράττεσθαι. οὕτω γὰρ ἀεὶ
διὰ τούτων φοβεροὺς ἑαυτοὺς ἐδείκνυον οἷς ἐβούλοντο καὶ ἐπεβούλευον οἷς ἂν αὐτοῖς
4 ἐδόκει. ὡς δὲ ἀπαντήσαντες ἑωράκασιν ἐκκλησιαστικὴν δίκην μόνην γενομένην, ὡς
ἑωράκασι τοὺς ἀφ' ἑκάστης ἐκκλησίας καὶ πόλεως κατηγόρους καὶ τοὺς κατ' αὐτῶν
ἐλέγχους, ὡς ἑωράκασιν Ἄρειον καὶ Ἀστέριον, τιμίους ἐπισκόπους, ἀνελθόντας μὲν
σὺν αὐτοῖς, ἀποπηδήσαντας δὲ ἀπ' αὐτῶν καὶ ἐλθόντας μεθ' ἡμῶν διηγουμένους τε
τὴν πανουργίαν ἐκείνων, ὡς ὕποπτοι εἶεν ἐν τοῖς πράγμασι καὶ φοβοῦνται κρίσιν γενέσθαι,
D μὴ ἐλεγχθῶσι παρ' ἡμῶν μὲν συκοφάνται, παρὰ δὲ τῶν ἐπλάσαντο κατηγόρων, ὡς
αὐτοὶ πάντα ὑποβαλόντες καὶ τὰ τοιαῦτα μηχανησάμενοι. ταῦτα συνορῶντες, καίτοι
μετὰ σπουδῆς ἐλθόντες, νομίσαντες μηδὲ ἡμᾶς ἀπαντᾶν ὡς φοβουμένους, ὡς ἑωράκασι
M 712 A 5 καὶ τὴν ἡμῶν προθυμίαν, ἀποκλείουσιν ἑαυτοὺς ἐν τῷ παλατίῳ· ἐκεῖ γὰρ ᾤκουν. | καὶ
λοιπὸν ἀλλήλοις συνελάλουν· 'ἤλθομεν ἐπ' ἄλλοις καὶ ἄλλα βλέπομεν· ἀπηντήσαμεν
B 353 μετὰ κομήτων καὶ χωρὶς κομήτων ἡ κρίσις γίνεται· κατακρινόμεθα | πάντως. οἴδατε

1 Die Geschichte von dem Strafgericht über den sonst nicht bezeugten Dux Balacius hat Athan. Vita Antonii 86 (Migne 26, 964) in den Einzelheiten ausführlicher erzählt. Danach hat sie sich unter dem praefectus Aegypti Nestorius zugetragen, d. h. aber 345 vor dem 26. Juni, dem Todestag Gregors 3 Nach vita Ant. 69 ist die 1. Station Chaireu 5 Vgl. apol. sec. 20, 3 (S. 102, 7) 8 Vgl. apol. sec. 36, 1 (S. 114, 1 Note); apol. ad Const. 4, 3 (S. 282, 3); unten S. 207, 27 13 Die Darstellung der Synode von Serdika ist hinsichtlich der Tatsachen leider sehr dürftig (vgl. S. 113, 26ff. Note); über den Hergang vgl. Bd. III Urk. 94ff. 14 Zur Zahl vgl. S. 123, 29 Note 15 Vgl. zu den beiden Beamten S. 114, 8 Note 17 Keph. zum 15. Festbrief: ἐν τούτῳ (= 342) ἐγένετο ἡ σύνοδος ἡ ἐν Σερδικῇ. καὶ καταλαβόντες οἱ Ἀρειανοὶ εἰς Φιλιππόπολιν ἀπέστρεψαν· ὁ γὰρ Φιλάγριος αὐτοῖς τοῦτο συνεβούλευσεν ἐκεῖ. Vgl. Sokr. II 20, 9. Philagrius, der ehemalige Praefectus Aegypti, hat vom Gebiet des Konstantius, aus Philippopel, die Orientalen beraten. Nach Ablehnung ihrer Forderungen durch die Abendländer (vgl. Schreiben d. orient. Synode c. 15ff.; CSEL 65, 58, 14ff.) hielten sie ihre Sitzungen in Philippopel ab. Athan. hat in allen seinen Schriften nichts davon berichtet 21 Vgl. apol. sec. 46, 3 (S. 122, 24) u. unten S. 192, 12 29ff. Vgl. apol. sec. 37, 7 (S. 116, 11ff.); 44, 2—4 (S. 121, 13ff.)

BKPO R

12 δύνανται R 13 Σερδῶν BR Σαρδῶν KPO 14 τὸν + τὸν R 16 καστρίσιον BKO καυστρίσιον P 17 αὐτῶν πάλιν ~ B^c 18 ἂν B ἐὰν KPOR 19 γενομένην BR γινομένην KO γιγνομένην P | γενομένην + χωρὶς κόμιτος καὶ στρατιωτῶν R 21/22 σὺνελθόντας (ἀν above σὺν) μὲν σὺν αὐτοῖς P 22 ἀποδημήσαντας B 24 τῶν] ὧν KO 25 ὑποβάλλοντες B 29 κατακρινάμεθα R*

πάντες τὰ προστάγματα· ἔχουσιν οἱ περὶ Ἀθανάσιον τὰ ἐν τῷ Μαρεώτῃ ὑπομνήματα,
ἐξ ὧν αὐτὸς μὲν καθαρίζεται, ἡμεῖς δὲ καταισχυνόμεθα. τί δὴ οὖν μέλλομεν; τί βραδύ-
νομεν; πλασώμεθα προφάσεις καὶ ἀπέλθωμεν, μὴ μένοντες κατακριθῶμεν. βέλτιον φεύ-
γοντας ἐρυθριᾶν ἢ ἐλεγχθέντας συκοφάντας κατακρίνεσθαι. ἐὰν φύγωμεν, δυνάμεθά
πως κἂν τῆς αἱρέσεως προΐστασθαι· ἐὰν δὲ καὶ φεύγοντας ἡμᾶς κατακρίνωσιν, ἀλλ'
ἔχομεν βασιλέα προστάτην τὸν μὴ ἀφιέντα ἡμᾶς ὑπὸ τῶν λαῶν ἐκβάλλεσθαι ἀπὸ τῶν
ἐκκλησιῶν'.

Τοιαῦτα μὲν οὖν ἐκεῖνοι διελογίζοντο· Ὅσιος δὲ καὶ οἱ ἄλλοι πάντες ἐπίσκοποι 16, 1
πυκνότερον αὐτοῖς ἐσήμαινον τὴν προθυμίαν τῶν περὶ Ἀθανάσιον καὶ ὡς 'ἕτοιμοι πρὸς B
ἀπολογίαν εἰσὶν ἐπαγγελλόμενοι διελέγχειν ὑμᾶς συκοφάντας', ἔλεγόν τε 'εἰ φοβεῖσθε
τὴν κρίσιν, τί ἀπηντᾶτε; ἔδει γὰρ ἢ μὴ ἐλθεῖν ἢ ἐλθόντας μὴ φεύγειν'. ἐκεῖνοι ταῦτα 2
ἀκούοντες καὶ μᾶλλον καταπλήξαντες ἀπρεπεστέρᾳ τῆς ἐν Ἀντιοχείᾳ προφάσεως ἄλλῃ
προφάσει χρησάμενοι, ὡς βασιλέως αὐτοῖς ἐπινίκια κατὰ Περσῶν γράψαντος, ἐπεχείρησαν
φεύγειν. καὶ ταύτην τὴν πρόφασιν οὐκ αἰδεσθέντες ἔπεμψαν δι' Εὐσταθίου πρεσβυτέρου
τῆς κατὰ Σαρδικὴν ἐκκλησίας. ἀλλ' οὐδὲ οὕτως αὐτοῖς ἡ φυγὴ καταθυμίως ἀπέβη· 3
εὐθὺς γὰρ ἡ ἁγία σύνοδος, ἧς προήγορος ἦν ὁ μέγας Ὅσιος, ἔγραψεν αὐτοῖς φανερῶς· C
'ἢ ἀπαντήσατε ἀπολογησόμενοι πρὸς τὰς ἐπιφερομένας καθ' ὑμῶν κατηγορίας καὶ
ἃς εἰργάσασθε συκοφαντίας, ἢ γινώσκετε ὅτι ὑμᾶς μὲν ὡς ὑπευθύνους ἡ σύνοδος κατα-
κρίνει, τοὺς δὲ περὶ Ἀθανάσιον ἐλευθέρους καὶ καθαροὺς ἀπὸ πάσης αἰτίας ἀποφαίνεται'.
ἐκεῖνοι τοίνυν ὑπὸ φόβου τοῦ συνειδότος ἠλαύνοντο μᾶλλον ἢ τοῖς γράμμασιν ἐπείθοντο·
καὶ γὰρ τοὺς ἀδικηθέντας παρ' αὐτῶν ὁρῶντες οὐδὲ πρὸς τοὺς λέγοντας ἐπεστρέφοντο,
ἀλλ' ὀξύτερον ἔφευγον.

Ἐκείνων μὲν οὖν οὕτως αἰσχρῶς καὶ ἀπρεπῶς γέγονεν ἡ φυγή, ἡ δὲ ἁγία σύνοδος 17, 1
ἡ ἀπὸ λε' καὶ πλέον ἐπαρχιῶν συναχθεῖσα ἐπιγνοῦσα τὴν τῶν Ἀρειανῶν κακοήθειαν D
ἐδέξατο τοὺς περὶ Ἀθανάσιον εἰς ἀπολογίαν περὶ ὧν πεπόνθασι κἀκεῖνοι κατηγόρησαν,
καὶ οὕτως ἀπολογησαμένους, ἅπερ ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν, ἀπεδέξατο καὶ ὑπερ- 2
εθαύμασεν, ὥστε αὐτούς τε καὶ τὴν κοινωνίαν αὐτῶν ἀγαπῆσαι καὶ γράψαι πανταχοῦ
γράψαι τε καὶ εἰς τὴν ἑκάστου παροικίαν καὶ μάλιστα εἰς Ἀλεξάνδρειαν καὶ τὴν Αἴγυπτον
καὶ εἰς τὰς Λιβύας, Ἀθανάσιον μὲν καὶ τοὺς σὺν αὐτῷ καθαροὺς καὶ πάσης μέμψεως
ἐκτὸς εἶναι, τοὺς δὲ κατ' αὐτῶν γενομένους συκοφάντας κακούργους καὶ πάντα μᾶλλον M 713 A
ἢ Χριστιανοὺς τυγχάνειν. ἀπέλυσαν γοῦν αὐτοὺς μετ' εἰρήνης, | καθεῖλον δὲ 3
Στέφανον καὶ Μηνόφαντον, Ἀκάκιον | καὶ Γεώργιον τὸν ἐν Λαοδικείᾳ, Οὐρσάκιον καὶ B 354
Οὐάλεντα καὶ Θεόδωρον καὶ Νάρκισσον. Γρηγόριον γὰρ τὸν ἀπὸ βασιλέως εἰς Ἀλεξάν-
δρειαν ἀποσταλέντα οὕτως ἀπεκήρυξαν ὡς μηδὲ ὅλως ἐπίσκοπον γενόμενον μηδὲ ὀφείλοντα
Χριστιανὸν ὀνομάζεσθαι. ἠκύρωσαν γοῦν καὶ ἃς ἔδοξε καταστάσεις ποιεῖσθαι προσ-
τάξαντες μηδὲ αὐτὰς ὅλως ἐν ἐκκλησίαις ὀνομάζεσθαι διὰ τὸ καινὸν τῆς παρανομίας.

8 ff. Vgl. unten S. 207, 28; apol. sec. 42, 7 (S. 120, 4 ff.) 11 Vgl. apol. sec. 36, 3 (S. 114, 14) 12 Vgl. oben S. 188, 37 13 Der Sieg über die Perser scheint der über eine Stadt in Adiabene zu sein, Philostorgius ed. Bidez S. 213, 1 14 Der Presbyter E. nur hier; es ist interessant, zu erfahren, daß ein Kleriker des Protogenes, gegen den die Orientalen besonders heftig Klage führen (vgl. CSEL 65, 58, 8; 66, 1), auf Seiten der Gegner seines Bischofs steht 24 Zu der Zahl der Provinzen vgl. apol. sec. 1, 2 (S. 87, 17); 37, 1 (S. 115, 13); vgl. unten S. 198, 7 ff. 25 Vgl. die Synodalschreiben Urk. 98 ff. 28 = apol. sec. 37 (S. 115 ff.) 32 ff. Vgl. apol. sec. 47, 2—3 (S. 123, 5 ff.)

BKPO R

2 αἰσχυνόμεθα (κατ über der Zeile) B 4 κατακρίνεσθαι BKPO καταισχύνεσθαι R 5 ἐὰν B ἂν KPOR 8 οὖν R > BKPO 15 ἐπέβη B 16 ὁ μέγας Ὅσιος ἦν ~ K 28 εἰς² + τὴν K 29 σὺν > B 33 Νάρκισον P 34 γενόμενον + καὶ B 35 γοῦν] γὰρ B

18, 1 Οὕτω μὲν οὖν Ἀθανάσιος καὶ οἱ σὺν αὐτῷ ἀπελύθησαν μετ' εἰρήνης, τά τε γράμματα
ἐν τῷ τέλει γέγραπται διὰ τὸ μῆκος τῆς ἐπιστολῆς, καὶ ἡ σύνοδος διαλέλυται, οἱ δὲ καθ-
αιρεθέντες δέον καὶ οὕτως ἠρεμεῖν, οἱ δὲ καὶ μετὰ τὴν οὕτως αἰσχρὰν φυγὴν κατελθόντες
2 τοιαῦτα ἔδρασαν, ὡς ἐκ τούτων μικρὰς αὐτῶν τὰς προτέρας δειχθῆναι πράξεις. ἐπειδὴ
B γὰρ οὐκ ἠθέλησαν αὐτοῖς οἱ ἐν Ἀδριανουπόλει κοινωνῆσαι ὡς φυγοῦσιν ἀπὸ τῆς συνόδου
καὶ ὑπευθύνοις γενομένοις, ἀνήνεγκαν βασιλεῖ Κωνσταντίῳ καὶ πεποιήκασιν ἀπὸ τῆς
ἐκεῖ καλουμένης Φάβρικος δέκα λαικῶν ἀποτμηθῆναι τὰς κεφαλὰς ὑπουργοῦντος αὐτοῖς
καὶ εἰς τοῦτο Φιλαγρίου πάλιν ἐκεῖ κόμητος γενομένου. καὶ τούτων τὰ μνήματα πρὸ
τῆς πόλεώς ἐστιν, ἅπερ παρερχόμενοι καὶ ἡμεῖς ἑωράκαμεν. εἶτα ὥσπερ κατορθώσαντες,
ὅτι διὰ τοῦτ' ἔφυγον, ἵνα μὴ ἐλεγχθῶσι συκοφάνται, ἅπερ ἐβούλοντο, ταῦτα καὶ βασιλεὺς
3 ἐκέλευε. πεποιήκασι γοῦν καὶ ἀπὸ τῆς Ἀλεξανδρείας εἰς τὴν Ἀρμενίαν ἐξορισθῆναι
C πρεσβυτέρους δύο καὶ διακόνους τρεῖς. καὶ Ἄρειον μὲν καὶ Ἀστέριον, τὸν μὲν ἀπὸ Πέτρων
τῆς Παλαιστίνης, τὸν δὲ ἀπὸ τῆς Ἀραβίας, ἐπισκόπους τοὺς ἀποπηδήσαντας ἀπ' αὐτῶν
οὐ μόνον ἐξώρισαν εἰς τὴν ἄνω Λιβύην, ἀλλὰ καὶ ὕβρεων μετασχεῖν αὐτοὺς πεποιήκασι,
19, 1 Λούκιον δὲ τὸν τῆς Ἀδριανουπόλεως ἐπίσκοπον, ἐπειδὴ ἔβλεπον πολλῇ τῇ κατ' αὐτῶν
παρρησίᾳ χρώμενον καὶ ἐλέγχοντα αὐτῶν τὴν ἀσέβειαν, πεποιήκασι πάλιν, ὥσπερ καὶ
πρότερον, ἁλύσεσι σιδηραῖς δεθῆναι τὸν τράχηλον καὶ τὰς χεῖρας καὶ οὕτως ἐξώρισαν·
2 ἔνθα καὶ ἐτελεύτησεν, ὡς ἐκεῖνοι γινώσκουσι. καὶ Διόδωρον μὲν ἐπίσκοπον ἐκτο-
M 716 A πίζουσιν, Ὀλύμπιον δὲ τὸν ἀπὸ Αἴνων καὶ Θεόδουλον | τὸν ἀπὸ τῆς Τραιανουπόλεως,
ἀμφοτέρους ἀπὸ τῆς Θρᾴκης ἐπισκόπους, ἀγαθοὺς καὶ ὀρθοδόξους ἄνδρας, ἐπειδὴ ἑωράκασι
μισοῦντας τὴν αἵρεσιν, διέβαλον, τὸ πρῶτον μὲν οἱ περὶ Εὐσέβιον καὶ ἔγραψε βασιλεὺς |
B 355 Κωνστάντιος, τὸ δεύτερον δὲ ὑπέμνησαν οὗτοι. ἦν δὲ τὰ γραφέντα μὴ μόνον ἐκβάλλεσθαι
τῶν πόλεων καὶ τῶν ἐκκλησιῶν αὐτούς, ἀλλὰ καὶ κεφαλικὴν διδόναι δίκην, εἴ που εὑρεθεῖεν
3 οὗτοι. τοῦτο δὲ εἰ καὶ θαυμαστόν, ἀλλ' οὐκ ἀλλότριον τῆς προαιρέσεως αὐτῶν,
ὡς γὰρ μαθόντες τὸ τοιοῦτον ἀπὸ τῶν περὶ Εὐσέβιον καὶ ὥσπερ κληρονόμοι τῆς ἀσεβείας
καὶ τῆς προαιρέσεως αὐτῶν τυγχάνοντες ἠθέλησαν ὡς οἱ πατέρες αὐτῶν ἐν τῇ Θρᾴκῃ,
οὕτω καὶ οὗτοι ἐν τῇ Ἀλεξανδρείᾳ φοβεροὺς ἑαυτοὺς δεῖξαι, καὶ ποιοῦσι γραφῆναι,
B ὥστε τοὺς λιμένας καὶ τὰς εἰσόδους τῶν πόλεων τηρεῖσθαι, μήπως διὰ τὴν ἀπὸ τῆς
4 συνόδου συγχώρησιν ἐπανέλθωσιν εἰς τὰς ἐκκλησίας. ποιοῦσι δὲ γραφῆναι καὶ τοῖς
ἐν Ἀλεξανδρείᾳ δικασταῖς περὶ Ἀθανασίου καὶ πρεσβυτέρων τινῶν ἐξ ὀνόματος, ἵνα,
εἴτε ἐπίσκοπος εἴτε τις ἐξ ἐκείνων εὑρεθείη τῆς πόλεως ἢ τῶν ὅρων αὐτῆς ἐπιβάς, ἐξῇ
τῷ δικαστῇ τῶν εὑρισκομένων τὰς κεφαλὰς ἀποτέμνειν. οὕτως ἡ Ἰουδαικὴ νέα αἵρεσις
οὐ μόνον ἀρνεῖται τὸν κύριον, ἀλλὰ καὶ φονεύειν μεμάθηκεν.

---

1 f. Das Schreiben der Synode von Serdika (= apol. sec. 42 ff.) ist am Ende der Schrift verloren gegangen 7 In Adrianopel befand sich nach Not. dign. or. XI 32 eine Fabrica scutaria et armorum 8 Philagrius, der oben S. 188, 16 u. 190, 17 Note erwähnte, ἐκεῖ κόμης = uicarius praefecti praetorio? 9 Athan. wird 346 auf seiner Reise nach Antiochien dort vorbeigekommen sein, vgl. unten S. 194, 14 Note 11 Die Verbannung wird nur hier erwähnt, vgl. S. 194, 3 12 f. Vgl. apolog. sec. 48, 2 (S. 126 nr. 54. 61) und oben S. 190, 21 15 Lucius hatte an der Synode in Serdika teilgenommen (oben S. 126 nr. 59 , das geht auch aus den Anschuldigungen der Orientalen in Serdika gegen L. hervor, CSEL 65, 55, 21); danach wurde er abgesetzt, vgl. de fuga 3, 3 (S. 70, 3) 18 Diodor vgl. S. 185, 16 19 Olympius war in Serdika (Can. Serdic. XIII, Urk. 95 cod. Veron. LX f. 104^b nr. 51), er wurde durch den Proconsul Donatus (sonst unbekannt) abgesetzt, de fuga 3, 5 (S. 70, 11) — Theodul, s. oben S. 120, 22 Note, das Todesurteil gegen ihn war noch nach Serdika in Kraft 28 ff. Vgl. die Aufhebung von Edikten und Strafen gegen Athanasius und seine Anhänger, apol. sec. 54, 3 (S. 135, 7); 56, 2 (S. 136, 14)

BKPO R

---

2 τῷ τέλει] εἰρήνῃ B 13 Ἀρραβίας O | ἀπ'] ἐξ KO 16 καὶ ἐλέγχοντα] κατελέγχοντα B 23 δοῦναι P | εἴ που] εἴπερ P 25 nach γὰρ etwa 3 Buchst. rad. R

Οὐδὲ οὕτω δὲ ἠρέμουν, ἀλλ' ὥσπερ ὁ πατὴρ τῆς αἱρέσεως αὐτῶν »περιέρχεται 20, 1
ὡς λέων ζητῶν τίνα καταπίῃ«, οὕτως οὗτοι δημοσίου δρόμου τὴν ἐξουσίαν λαβόντες
καὶ περιερχόμενοι, ὃν ἂν ηὕρισκον ὀνειδίζοντα τούτοις τὴν φυγὴν καὶ μισοῦντα τὴν
ἀρειανὴν αἵρεσιν, τούτους ἐμάστιζον, ἐδέσμευον, ἐποίουν ἐξορίζεσθαι τῆς ἰδίας πατρίδος, C
φοβερούς τε ἑαυτοὺς οὕτως ἐποίουν, ὡς πολλοὺς μὲν ὑποκριτὰς ποιῆσαι, πολλοὺς δὲ
εἰς ἐρημίας φεύγειν ἢ τούτοις βούλεσθαι κἂν ὅλως συντυγχάνειν. τοιαῦτα ἦν αὐτῶν 2
μετὰ τὴν φυγὴν τῆς μανίας τὰ τολμήματα. καὶ γὰρ καὶ δρῶσιν ἄλλο τι καινόν, ὅπερ
τῆς μὲν αἱρέσεως αὐτῶν ἐστι κατάλληλον, οὔπω δὲ πρότερον ἠκούσθη, ἀλλ' οὐδὲ τάχα
γενήσεταί ποτε οὐδὲ παρὰ τοῖς ἀσελγεστέροις τῶν Ἑλλήνων, μήτιγε Χριστιανοῖς. τῆς
γὰρ ἁγίας συνόδου πρεσβευτὰς ἀποστειλάσης ἐπισκόπους, Βικέντιον μὲν τὸν ἀπὸ
Καπύης (ἔστι δὲ αὕτη μητρόπολις τῆς Καμπανίας), Εὐφράτην δὲ τὸν ἀπὸ Ἀγριππίνης
(ἔστι δὲ καὶ αὕτη μητρόπολις τῆς ἄνω Γαλλίας), ἵνα, ὡς ἡ σύνοδος ἔκρινε, συγχωρήσῃ D
βασιλεὺς εἰς τὰς ἐκκλησίας τοὺς ἐπισκόπους ἐπανελθεῖν, ἐπειδὴ καὶ αὐτὸς ἐξέβαλε, γρά-
ψαντός τε καὶ τοῦ εὐσεβεστάτου Κώνσταντος τῷ ἀδελφῷ ἑαυτοῦ καὶ συστήσαντος τοὺς
ἐπισκόπους. οἱ θαυμαστοὶ καὶ πρὸς πάντα τολμηροί, ὡς ἑωράκασιν αὐτοὺς ἐπὶ τῆς 3
Ἀντιοχείας, βουλεύονται μὲν κοινῇ, ' μόνος δὲ Στέφανος ἀναδέχεται τὸ δρᾶμα ὡς ἐπι- M 717 A
τηδείως ἔχων περὶ τὰ τοιαῦτα. μισθοῦνται τοίνυν πόρνην δημοσίαν ἐν αὐταῖς ταῖς
ἡμέραις τοῦ ἁγιωτάτου πάσχα καὶ γυμνώσαντες ταύτην ἐπαφιᾶσι νυκτὸς Εὐφράτῃ τῷ
ἐπισκόπῳ. καὶ ἡ μὲν πόρνη τὸ πρῶτον νομίσασα νεώτερον εἶναι τὸν καλέσαντα ' 4
προθύμως ἠκολούθει, ὡς δὲ ῥιφεῖσα παρ' ἐκείνων εἶδε κοιμώμενον τὸν ἄνθρωπον καὶ μὴ B 356
εἰδότα τὸ γιγνόμενον, εἶτα ὡς κατενόησε καὶ εἶδε πρεσβύτου πρόσωπον καὶ ἐπισκόπου
κατάστασιν, εὐθὺς ἀναβοήσασα τὴν βίαν ἐβόα. ἐκεῖνοί τε ἠξίουν σιωπᾶν καὶ κατα-
ψεύδεσθαι τοῦ ἐπισκόπου. ἡμέρας τοίνυν γενομένης διατεθρύλητο τὸ πρᾶγμα καὶ 5
πᾶσα ἡ πόλις συνέτρεχεν, οἵ τε ἀπὸ τοῦ παλατίου ἐκινοῦντο θαυμάζοντες τὸ θρυλού- B
μενον καὶ ἀξιοῦντες μὴ σιωπηθῆναι τοῦτο. γέγονε τοίνυν κρίσις, καὶ ὁ μὲν ἑταιροτρόφος
ἤλεγξε τοὺς ἐλθόντας ἐπὶ τὴν πόρνην, ἐκεῖνοι δὲ τὸν Στέφανον· ἦσαν γὰρ αὐτοῦ κληρικοί.
ὁ μὲν οὖν Στέφανος καθαιρεῖται, καὶ γίγνεται ἀντ' αὐτοῦ Λεόντιος ὁ ἀπόκοπος, ἵνα μόνον
μὴ λείπῃ τῇ ἀρειανῇ αἱρέσει προστάτης.

---

1 I. Petr. 5, 8 10 Die Gesandtschaft ging zu Ostern 343 (Z. 18) nach Antiochien ab. Vincentius v. Capua nahm an der Synode von Serdika (S. 124 nr. 15) teil. Euphrates v. Köln fehlt in den Listen der Synode, wohl wegen der damnatio memoriae (Synode von Köln 346, Labbe II 615 C). Thdt. h. e. II 8, 54—10, 3 hat eine von Athan. unabhängige Überlieferung. Danach führte die Gesandtschaft der Strategos (?) Salianus (ob Salvianus?) 12 f. Entspricht dem Inhalt von Urk. 96 (CSEL 65, 183, 17 ff. u. Par.) 14 Der Brief des Konstans an Konstantius ist nicht erhalten; Athan. apol. ad Const. 6, 4 (S. 283, 12) erwähnt ihn kurz; die Briefe bei Sokr. II 22, 5 (er fehlt in der besseren Sokr.-Überlieferung), bei Philost. III 12 (der comes rerum privatarum Eustathius, der für Konstans die Verhandlungen bei Konstantinus führte, ist auch für 345 durch Cod. Theod. X 10, 7 bezeugt. Sieht man von der unwahrscheinlichen Formulierung des Briefes ab, so hat Philost. noch am besten den Sachverhalt angegeben), ebenso das Referat über den Inhalt bei Thdt. h. e. II 8, 55 (118, 17 ff.) sind Fiktionen auf Grund von Rufin h. e. X 20 (986, 10 ff.); vgl. Schwartz ZNW 34 (1935) 139[4], und apol. ad Const. 2, 1 (S. 280, 5 ff. Note) 16 Stephanus ist Bischof von Antiochien, vgl. oben S. 185, 8 Note 27 Stephanus wurde wohl 343 abgesetzt; er tauchte unter Julian wieder auf, Joh. Chrysost. de S. Babyla 22 (II 575 A Montf.). — Über Leontius vgl. de fuga 26, 3 (S. 85, 27), er war von Geburt ein Phrygier (Thdt. h. e. II 10, 2), gehörte zu den Schülern Lucians (Philost. II 3; S. 14, 8), war Presbyter in Antiochien (Philost. III 15; S. 46, 10). Athan. Darstellung des L. entspricht nicht den sonstigen Berichten über ihn. Während seines Episkopates ist wenigstens eine teilweise Beruhigung der antioch. Verhältnisse erreicht. Bei dem arian. Historiogr. (Philost. S. 215, 1 Bidez) heißt L. μακάριος; übrigens ist das Charakterbild an der

---

BKPO R

---

6 τυγχάνειν B 7 καί² > R^c 9 μήτιγε + παρὰ R 11 γριππίνης B 25 ὁ] ἡ B

21,1 Ὁ δὲ βασιλεὺς Κωνστάντιος ὀλίγον τι κατανυγεὶς εἰς ἑαυτὸν ἦλθε λογισάμενός τε ἐξ ὧν ἔδρασαν τῷ Εὐφράτῃ ὅτι καὶ τὰ κατὰ τῶν ἄλλων ἐπιχειρήματα τοιαῦτά ἐστι, τοὺς μὲν ἐξορισθέντας ἀπὸ τῆς Ἀλεξανδρείας εἰς τὴν Ἀρμενίαν πρεσβυτέρους καὶ διακόνους εὐθὺς ἀπολυθῆναι κελεύει, γράφει δὲ εἰς Ἀλεξάνδρειαν φανερῶς μηκέτι διώκεσθαι
2 τοὺς μετὰ Ἀθανασίου κληρικούς τε καὶ λαικούς. εἶτα μετὰ μῆνάς που δέκα τελευτή-
C σαντος Γρηγορίου μεταπέμπεται καὶ Ἀθανάσιον μετὰ πάσης τιμῆς, οὐχ ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ καὶ τρίτον γράψας αὐτῷ μὲν φιλικά, δι' ὧν θαρρεῖν καὶ ἐλθεῖν προέτρεπε. πέμπει τε πρεσβύτερον καὶ διάκονον, ἵν' ἔτι μᾶλλον θαρρῶν ἐπανέλθοι. ἐνόμιζε γὰρ
3 διὰ τὸν φόβον τῶν πρότερον γενομένων ὀλιγωρεῖν με περὶ τὴν ἐπάνοδον. γράφει δὲ καὶ τῷ ἀδελφῷ ἑαυτοῦ Κώνσταντι, ἵνα καὶ αὐτὸς ἐπανελθεῖν με προτρέψηται. διεβεβαιοῦτο γὰρ ἐνιαυτὸν ὅλον ἐκδέχεσθαι τὸν Ἀθανάσιον καὶ οὐκ ἄν ποτε ἐπιτρέψαι μὴ γενέσθαι τινὰ καινοτομίαν ἢ καὶ κατάστασιν φυλάττων Ἀθανασίῳ τῷ ἐπισκόπῳ τὰς ἐκκλησίας.

22,1 Οὕτω δὴ οὖν γράψαντος αὐτοῦ καὶ προτρεψαμένου διὰ πολλῶν (καὶ γὰρ καὶ
D τοὺς κόμητας αὐτοῦ πεποίηκε γράψαι, Πολέμιον, Δατιανόν, Βαρδίωνα, Θάλασσον, Ταῦρον καὶ Φλωρέντιον, οἷς καὶ μᾶλλον πιστεύειν ἦν), τὸ δὲ ὅλον δεδωκὼς τῷ θεῷ τῷ καὶ εἰς τοῦτο κατανύξαντι τὸν Κωνστάντιον ἦλθεν Ἀθανάσιος μετὰ τῶν σὺν αὐτῷ πρὸς αὐτόν, γνησίως τε αὐτὸν ἑώρακε καὶ ἀπέλυσεν εἰσελθεῖν εἰς τὴν πατρίδα καὶ τὰς

---

angegebenen Stelle sicher zutreffender als Athan. Polemik. L. scheint nach den Vorwürfen seiner Gegner und dem Ruhm bei seinen Anhängern ein Asket gewesen zu sein; vgl. unten S. 198, 2—3 1 Die Verhandlungen zogen sich lange hin. 344 oder erst 345 fand eine Synode in Antiochien statt, auf der man sich gegen das Abendland scharf abgrenzte, vgl. de synod. 26 (S. 251, 17) und vor allem Schwartz ZNW 34 (1935) 142 ff. 3 ff. Es handelt sich um die S. 192, 11 erwähnten Kleriker. Da Gregor am 26. Juni 345 starb, fand also die Rückberufung im September 344 statt. Das Edikt ist dann nicht = unten c. 23, 1 6 Nach dem Juni 345 kamen die Verhandlungen langsam in Gang, nachdem Ath. Marcell desavouiert hatte, CSEL 65, 146, 8 ff., Sulp. Severus II 37. Danach war erst für Athan. der Rückweg frei. 7 Die drei Briefe apol. sec. 51 (S. 132), über die Daten s. apol. sec. 52, 1 (S. 133, 15. 16 Note) 8 Der Diakon hieß Achitas, apol. sec. 51, 8 (S. 133, 11). Der Presbyter wurde von Edessa entsandt (S. 133, 6), wo Konstantius 345 sich aufhielt (gegen Seecks Regesten, auf den gerade für diese Jahre kein Verlaß ist); am 12. 5 345 ist K. in Nisibis. Von diesem Feldzug schrieb er gegen Herbst d. J. den Brief 10 Von einem Brief an Konstans spricht Konstantius in dem ersten Schreiben an Athan. apol. sec. 51, 4 (S. 132, 21 ff.). Aus den Worten ἵνα καὶ αὐτὸς etc. scheint hervorzugehen, K. habe seinen Bruder gedrängt, Athan. zur Rückkehr zu bewegen; aus Konstantius' eignen Worten ist aber zu entnehmen, daß er verlangte, Konstans solle Athan. nach dem Orient entlassen; denn allein unter der Bedingung, daß Athan. seine Beziehungen zum Hofe im Abendland und zu den Bischöfen abbreche, war es Konstantius möglich, Athan. wieder einzusetzen (etwas anders Schwartz ZNW 34 [1935] 140). Den Alexandrinern schrieb Konstantius 356, er habe Ath. nur aus Freundschaft zu seinem Bruder die Rückkehr gestattet, unten S. 211, 19 ff. 14 Die Verhandlungen über die Rückkehr dauerten lange; Athan. reiste von Aquileja nach Trier zu Konstans (apol. ad. Const. 4, 5; S. 282, 8f.), dann nach Rom (apol. sec. 52, 1; S. 133, 14), von dort ging er nach Antiochien (apol. sec. 54, 1; S. 134, 31) 15 Die Beamten haben mit Athan. verhandelt. — Polemius, nur hier, wahrscheinlich der Konsul vom J. 338. — Datianus, ein angesehener Beamter, dessen Lebenslauf Seeck, Briefe des Libanius S. 113 ff. beschrieben hat. — Bardion, sonst unbekannt; ob mit dem Athan. Petit. Arian. 4, 5 S. 336, 20 zu 363 erwähnten Eunuchen und praepos. sacri cubiculi identisch? — Thallasius (so!) verhandelte mit Athan. in Pettau (apol. ad Const. 3; S. 280, 25); er war ein sehr einflußreicher Beamter s. Seeck a. a. O. 289 — Taurus, praefectus praetorio Italiae 355/6, als hoher Beamter vielfach bezeugt vgl. Cod. Theodos. prosopographia bei Godefroy. — Florentius, praefectus praetorio Galliarum 357—60, Konsul 361, Seeck a. a. O. S. 156.

BKPO R

---

2 καὶ > B | τῶν > B 4 δὲ Op. τε Hss. 5 λαικούς BKPO λαούς R 10/11 διεβεβαιοῦντο O
11 μὴ R* μι KPO με B Rasur R^c 12 καὶ nachgetr. B 16 Φλορέντιον R

ἐκκλησίας γράψας καὶ τοῖς κατὰ τόπον δικασταῖς, ἐπειδὴ πρότερον προστάξας ἦν φυ-
λάττεσθαι τὰς διόδους, ἵνα ἀκώλυτον ἔχωσι τὴν πάροδον. εἶτα τοῦ ἐπισκόπου 2
ἀποδυρομένου περὶ ὧν πέπονθε καὶ περὶ τῶν κατ' αὐτοῦ γραφέντων παρ' αὐτοῦ παρα- M 720 A
τιθεμένου τε, μὴ πάλιν μετὰ τὴν ἀποδημίαν διαβολαὶ γένωνται παρὰ τῶν ἐχθρῶν, καὶ
λέγοντος· 'κάλει τούτους, εἰ βούλει, (ἔξεστι γὰρ ἑστάναι τούτους δι' ἡμᾶς) καὶ διε- B 357
λέγχομεν αὐτούς', τοῦτο μὲν οὐ πεποίηκε, πάντα δέ, ὅσα πρότερον ἐκ διαβολῆς ἦν
γραφέντα κατ' αὐτοῦ, ἀναιρεθῆναι ταῦτα καὶ ἀπαλειφῆναι κελεύει διαβεβαιωσάμενος·
'μηκέτι τοῦ λοιποῦ διαβολῶν ἀνέχεσθαι, ἀλλ' εἶναι βεβαίαν καὶ ἀμετάβλητον τὴν προαί-
ρεσιν'. καὶ τοῦτο οὐχ ἁπλῶς ἔλεγεν, ἀλλ' ὅρκοις ἐπεσφράγιζε τοὺς λόγους τὸν θεὸν 3
ἐπὶ τούτοις καλῶν μάρτυρα. πολλοῖς γοῦν καὶ ἑτέροις λόγοις προτρεψάμενος αὐτὸν
καὶ θαρρεῖν παρακελευσάμενος γράφει πρὸς τοὺς ἐπισκόπους καὶ τοὺς δικαστὰς ταῦτα·

Νικητὴς Κωνστάντιος Μέγιστος Σεβαστὸς ἐπισκόποις καὶ κληρικοῖς τῆς καθολικῆς 23, 1
ἐκκλησίας. B

Οὐκ ἀπελείφθη τῆς τοῦ θεοῦ χάριτος ὁ αἰδεσιμώτατος . . . .

('Εγράφη ὀπίσω εἰς τὸν ξε' λόγον καὶ ἔστιν ἐξ ὁλοκλήρου ὁμοία ταύτης.)

Ἑτέρα ἐπιστολή 3

Κωνσταντίου πρὸς τὸν τῆς 'Αλεξανδρείας λαόν.

Σκοπὸν ποιούμενοι τὴν ὑμετέραν ἐν ἅπασιν εὐνομίαν . . .

('Εγράφη καὶ αὕτη ὁμοίως εἰς τὸν αὐτὸν ξε' λόγον καὶ διὰ τὸ μηδὲν παραλάσσειν κατελείφθησαν νῦν ἄγραφοι.)

Ἑτέρα ἐπιστολή

Νικητὴς Κωνστάντιος Αὔγουστος Νεστορίῳ ἐπάρχῳ Αἰγύπτου.

Φανερόν ἐστι πρὸ τούτου πρόσταξιν ἡμετέραν γεγενῆσθαι, ὥστε κατὰ τῆς ὑπο- C
λήψεως 'Αθανασίου τοῦ αἰδεσιμωτάτου ἐπισκόπου γράμματά τινα εὑρίσκεσθαι, ταῦτά
τε συνέστηκεν ἐν τῇ τάξει τῆς σῆς καθοσιώσεως εἶναι. βουλόμεθα τοιγαροῦν, ἵνα ἡ
δεδοκιμασμένη ἡμῖν νηφαλιότης σου πάσας τὰς ἐπιστολὰς ὅσας ἂν περὶ τοῦ ὀνόματος
τοῦ προειρημένου γενομένας ἐν τῇ ὑπὸ σὲ τάξει ἀκολούθως τῇ ἡμετέρᾳ ταύτῃ κελεύσει
εἰς τὸ ἡμέτερον κομητάτον ἀποστείλῃ.

---

2 Vgl. oben S. 192, 28; apol. sec. 55, 6 (S. 136, 1) 5ff. Vgl. unten Ossius S. 208, 1ff. In Rufins' Bericht h. e. X 20 (986, 18ff.; Sokr. II 23, 33ff. Sozom. III 20, 4ff. Thdt. h. e. II 12, 1—3 schreiben R. aus) über Verhandlungen betreffs Zulassung einer arianischen Gemeinde in Alexandrien und Athan. Gegenforderung auf gleiches Recht für die Eustathianer kann etwas Richtiges stecken 7 Die Vernichtung der Anklageschriften befiehlt K. apolog. sec. 56, 2 (S. 136, 15) 8 Diese Stelle las Lucifer de s. Athan. I 29 (CSEL 14, 116, 10) — Das ist im Hinblick auf c. 30 und 51, 3 (S. 212, 23) gesagt 12 Brief auch apol. sec. 54, 2—5 (S. 135) 17 Brief auch apol. sec. 55 (S. 135) 21 Der Brief ist nur hier überliefert. Er enthält eine Abänderung des Ediktes apol. sec. 56, 2 (S. 136, 15), wo die Vernichtung der Akten befohlen wurde. Nunmehr sollen sie an den Hof geschickt werden, — um bei geeigneter Gelegenheit der kaiserlichen Zentrale zur Verfügung zu stehen; 5 Jahre später wurden sie benutzt. Vgl. unten c. 51, 4 (S. 212, 25)

BKPO R

---

6 ἦν] ἦσαν B 7 διαβεβαιωσάμενος R βεβαιωσάμενος BKPO 12 a. Rd. ιε̅ P | Κωνσταντῖνος B 15 ὀπίσω > KP | τὸν > R* | ξε̅ B νς̅ K μζ̅ POR 17 Κώνσταντος B | πρὸς — λαόν] τῷ τῆς 'Αλεξανδρείας λαῷ K 19 τὸν αὐτὸν > R* | αὐτὸν > PO | ξε̅ B μζ̅ POR > K 19/20 καὶ διὰ — ἄγραφοι] καὶ διὰ τὸ εἶναι ἴση ἔμεινεν ἄγραφος P (vgl. oben S. 135, 19 Note) > K 22 Αἰγύπτου > K

24, 1 Ἃ δὲ καὶ μετὰ θάνατον τοῦ μακαρίου Κώνσταντος ἔγραψεν, ἔστι ταῦτα, Ῥωμαιστὶ
μὲν γραφέντα, ἑρμηνευθέντα δὲ Ἑλληνιστί·

B 358 ¦ Νικητὴς Κωνστάντιος Αὔγουστος Ἀθανασίῳ.
2
M 721 A Εὐχὴν ἀεί μοι ταύτην γεγενῆσθαι, ὥστε πάντα ¦ καταθυμίως ἀποβαίνειν τῷ ποτέ
μου ἀδελφῷ Κώνσταντι, οὐδὲ τὴν σὴν σύνεσιν ἔλαθεν· ἐν ὅσῃ τε λύπῃ διετέθην μαθὼν
τοῦτον ἀνῃρῆσθαι παρά τινων ἀνοσιωτάτων, στοχάζεσθαι πάλιν δύναται ἡ σὴ φρόνησις.
3 ἐπεὶ οὖν τινές εἰσιν οἱ ἐν τῷ παρόντι καιρῷ, τῷ οὕτω πενθικῷ, πειρώμενοί σε ἐκφοβεῖν,
διὰ τοῦτο ταῦτα πρὸς τὴν σὴν στερρότητα δοθῆναι τὰ γράμματα ἐδικαίωσα προτρε-
πόμενός σε, ἵνα, ὡς πρέπει ἐπίσκοπον, τοὺς λαοὺς τὰ ὀφειλόμενα τῇ θείᾳ θρησκείᾳ δι-
δάσκῃς καὶ μετ' αὐτῶν συνήθως εὐχαῖς σχολάζῃς καὶ μὴ ματαίοις θρύλοις, εἴτινες ἂν
4 γένοιντο, πιστεύσῃς. ἡμῖν γὰρ τοῦτο ἐν τῇ ψυχῇ πέπηγεν, ὥστε σε ἀκολούθως
B τῇ ἡμετέρᾳ προαιρέσει διαπαντὸς ἐν τῷ τόπῳ σου θέλειν ἐπίσκοπον εἶναι. ἡ θεία πρό-
νοια πολλοῖς ἔτεσί σε διατηροίη, γονεῦ προσφιλέστατε.

25, 1 Τούτων οὕτω πραχθέντων οὕτω τε συνταξαμένων καὶ τῆς ὁδοῦ λοιπὸν ἐπιβάντων
οἱ μὲν φίλοι φίλον ὁρῶντες ἔχαιρον, τῶν δὲ ἄλλων οἱ μὲν ἐδυσωποῦντο βλέποντες αὐτόν,
οἱ δὲ καὶ παρρησίαν οὐκ ἔχοντες ἐκρύπτοντο, οἱ δὲ καὶ μετεγίνωσκον ἐφ' οἷς ἔγραψαν
2 κατὰ τοῦ ἐπισκόπου. πάντες γοῦν οἱ ἀπὸ Παλαιστίνης ἐπίσκοποι χωρὶς δύο που
ἢ τριῶν καὶ αὐτῶν ὑπόπτων τυγχανόντων οὕτω τὸν Ἀθανάσιον ὑπεδέξαντο καὶ
τὴν πρὸς αὐτὸν ἠσπάσαντο κοινωνίαν, ὡς καὶ γράψαι καὶ ἀπολογήσασθαι, ὅτι, ἃ
3 πρότερον ἔγραψαν, οὐ κατὰ προαίρεσιν, ἀλλὰ βιαζόμενοι πεποιήκασι. περὶ γὰρ
C τῶν ἐν Αἰγύπτῳ καὶ ταῖς Λιβύαις ἐπισκόπων καὶ τῶν ἐν αὐταῖς καὶ τῶν ἐν Ἀλεξανδρείᾳ
λαῶν περιττόν ἐστι καὶ λέγειν, πάντων συντρεχόντων καὶ ἀνεκλάλητον ἐχόντων τὴν
χαράν, οὐχ ὅτι μόνον τοὺς ἰδίους παρ' ἐλπίδα ζῶντας ἀπελάμβανον, ἀλλ' ὅτι καὶ τῶν
αἱρετικῶν ὡς τυράννων καὶ λυττώντων κυνῶν ἀπηλλάττοντο. μεγάλη γοῦν ἦν εὐφρο-
4 σύνη τῶν λαῶν ἐν ταῖς συνάξεσι παροξυνόντων ἀλλήλους εἰς ἀρετήν. πόσαι τῶν
ἀγάμων πρότερον οὖσαι πρὸς γάμον ἕτοιμοι ἔμειναν παρθένοι τῷ Χριστῷ· πόσοι νεώ-
τεροι βλέποντες ἑτέρους τὸν μονήρη βίον ἠγάπησαν· πόσοι πατέρες προέτρεπον τέκνα·
πόσοι δὲ καὶ παρὰ τέκνων ἠξιώθησαν, μὴ ἐμποδίζεσθαι τῆς ἐν Χριστῷ ἀσκήσεως· πόσαι
γυναῖκες ἔπεισαν ἄνδρας, πόσαι δὲ καὶ παρὰ ἀνδρῶν ἐπείσθησαν »σχολάζειν τῇ προσ-
D ευχῇ«, ὡς εἶπεν ὁ ἀπόστολος· πόσαι χῆραι, πόσοι δὲ καὶ ὀρφανοὶ τὸ πρότερον πεινῶντες
B 359 καὶ γυμνοὶ τυγχάνοντες ἐκ πολλῆς τῆς τῶν λαῶν προθυμίας οὔτε ¦ λοιπὸν ἐπείνων,
5 ἀλλὰ καὶ ἐνδεδυμένοι προήρχοντο. καὶ ὅλως τοσαύτη ἦν ἅμιλλα περὶ ἀρετήν, ὡς

3 Der Brief ist ein von Athan. oft angeführtes Beweisstück für den Wechsel der Gesinnung des Konstantius. Er ist 350 geschrieben, gehört also hier nicht in den Zusammenhang. Hier hat Athan. eine andere Übersetzung gegeben als apol. ad Const. 23 (S. 291), wo die Noten zu vergleichen sind 14 Über die Reise des Athan. durch Syrien und Palästina vgl. Sokr. II 24, 7. 8; Philost. III 12 (43, 15ff.), damals trat er mit Apollinaris in Laodicea in Beziehungen, Sozom. VI 25, 7 17ff. Die Synode in Jerusalem apol. sec. 57 (S. 136, 21 Note) 20ff. Athan. zog am 21. Okt. 346 in Alexandrien ein. Keph. zum 18. Festbr.: . . . κατηξιώθη καὶ θαυμαστῆς ἀπαντήσεως, πρὸ ρ̅ μιλίων τῇ κ̅δ̅ Φαωφι ἐντυγχανόντων αὐτῷ τοῦ λαοῦ καὶ πάντων τῶν ἐν τέλει. Gregor v. Naz. or. 21, 27 (I 403 C) beweist das Ansehen des Athan. durch die Schilderung dieses Einzuges 22 Auch die Mönche aus den Pachomiusklöstern reisten nach Alexandrien, um Athanasius zu begrüßen. Der große Antonius sandte ihm eine Botschaft, Vita Pachomii prima 77 (Subsidia hagiogr. 19 S. 77, 16ff.)

BKPO R

10 σχολάζεις R | εἴτινες] οἵτινες B 19 ἃ R^c τὰ R^* 24 ἦν] ἡ K > R 30 πόσαι + δὲ P

ἑκάστην οἰκίαν καὶ οἶκον ἑκάστου νομίζειν ἐκκλησίαν εἶναι διὰ τὴν τῶν ἐνοικούντων
φιλοκαλίαν τε καὶ τὴν ׀ πρὸς τὸν θεὸν εὐχήν. εἰρήνη τε ἦν ἐν ταῖς ἐκκλησίαις βαθεῖα M 724 A
καὶ θαυμαστὴ γραφόντων τῶν πανταχόθεν ἐπισκόπων καὶ δεχομένων παρὰ Ἀθανασίου
τὰ συνήθη τῆς εἰρήνης γράμματα.

Καὶ γὰρ καὶ Οὐρσάκιος καὶ Οὐάλης ὥσπερ ὑπὸ τοῦ συνειδότος μαστιζόμενοι μετ- 26, 1
έγνωσαν καὶ γράφουσι μὲν αὐτῷ τῷ ἐπισκόπῳ φιλικὴν καὶ εἰρηνικὴν ἐπιστολήν, καίτοι
μὴ λαβόντες παρ' αὐτοῦ γράμματα. ἀνελθόντες δὲ καὶ εἰς τὴν Ῥώμην μετενόουν ὁμολο-
γοῦντες ὅτι πάντα, ὅσαπερ πεποιήκασι καὶ εἰρήκασι κατ' αὐτοῦ, ταῦτα εἶναι πάντα
ψευδῆ καὶ μόνον συκοφαντίαν. οὐχ ἁπλῶς δὲ τοῦτο οὐδ' αὐτοὶ πεποιήκασιν, ἀλλὰ 2
γὰρ καὶ ἀναθεματίσαντες τὴν ἀρειανὴν αἵρεσιν ἔγγραφον τὴν μετάνοιαν αὐτῶν δεδώκασι
γράψαντες Ἰουλίῳ τῷ ἐπισκόπῳ, Ῥωμαιστὶ μέν, μεταβληθέντα δὲ Ἑλληνιστί, ταῦτα· B
τὸ γὰρ ἀντίγραφον ἀπεστάλη ἡμῖν παρὰ Παύλου ἐπισκόπου Τριβέρων Ῥωμαιστί.

Ἑρμηνεία ἀπὸ Ῥωμαικοῦ 3

Κυρίῳ μου μακαριωτάτῳ πάπᾳ Ἰουλίῳ Οὐρσάκιος καὶ Οὐάλης.
Ἐπειδὴ συνέστηκεν ἡμᾶς πρὸ τούτου πολλά τε καὶ δεινά...
(Ἐγράφη ὀπίσω εἰς τὸν ξη' λόγον καὶ ἔστι κατὰ πάντα ὁμοία καὶ ἴση.)

Ἑρμηνεία ἀπὸ Ῥωμαικοῦ 4

Κυρίῳ μου ἀδελφῷ Ἀθανασίῳ ἐπισκόπῳ Οὐρσάκιος καὶ Οὐάλης ἐπίσκοποι.
Ἀφορμὴ ἡμῖν ἐδόθη διὰ τοῦ ἀδελφοῦ καὶ συμπρεσβυτέρου...
(Ἐγράφη ὀπίσω εἰς τὸν αὐτὸν ξη' λόγον καὶ ἔστιν ὁμοία καὶ ἴση ἐξ ὁλοκλήρου.)

Ταῦτα γράψαντες ὑπέγραψαν καὶ τοῖς εἰρηνικοῖς παρερχομένων πρεσβυτέρων 5 C
Ἀθανασίου Πέτρου τε καὶ Εἰρηναίου καὶ Ἀμμωνίου λαικοῦ, καίτοι μηδὲ δι' αὐτῶν γρά-
ψαντος αὐτοῖς.

Τίς τοίνυν οὐκ ἐθαύμαζε βλέπων ταῦτα καὶ τὴν τοσαύτην τῶν ἐκκλησιῶν εἰρήνην; 27, 1
τίς οὐκ ἔχαιρεν ὁρῶν τῶν τοσούτων ἐπισκόπων τὴν ὁμόνοιαν; τίς οὐκ ἐδόξαζε τὸν
κύριον θεωρῶν τῶν λαῶν τὴν ἐν ταῖς συνάξεσιν εὐφροσύνην; πόσοι τῶν ἐχθρῶν μετ-
ενόουν· πόσοι τῶν πρότερον διαβαλλόντων ἀπελογοῦντο· πόσοι πρότερον μισοῦντες
αὐτὸν ὕστερον ׀ ἠγάπησαν· πόσοι τῶν γραψάντων κατ' αὐτοῦ παλινῳδίαν ᾖσαν. B 360
πολλοὶ καὶ τῶν μὴ προαιρέσει, ἀλλ' ἀνάγκῃ μετὰ τῶν Ἀρειανῶν ὄντες ἐρχόμενοι νυκτὸς 2
ἀπελογοῦντο, καὶ τὴν μὲν αἵρεσιν ἀνεθεμάτιζον, ἠξίουν δὲ συγγνώμην ἔχειν, ὅτι διὰ τὰς D
σκευὰς καὶ τὰς διαβολὰς τὰς παρ' αὐτῶν γιγνομένας τοῖς μὲν σώμασιν ἐκεῖ φαίνονται,
τῇ δὲ καρδίᾳ μετὰ Ἀθανασίου συνάγονται καὶ ἀεὶ μετ' αὐτοῦ τυγχάνουσι· ναὶ πιστεύσατε.

---

5 ff. Vgl. apol. sec. 58 (S. 137, 21 Note) 12 Paulus d. i. Paulinus vgl. S. 137, 24 Note 13 Brief = apol. sec. 58, 2—4 (S. 138) 17 Brief = apol. sec. 58, 5 (S. 138) 22 Die Überbringer nur hier erwähnt

---

BKPO RE (ab Z. 24 E)

---

7 λαβόντες + τὰ B 8 ὅτι B > KPOR | ὅσαπερ KPOR ὅσα B 10 καὶ R > BKPO 12 Τιβέρων P 13 > K 14 μου > R^c 16 ὀπίσω > P | ξη̅ B νη̅ K ν̄ POR | κατὰ πάντα > K | καὶ ἴση > P | ἴση + ἐξ ὁλοκλήρου K vgl. Z. 20 17 > K 20 ὀπίσω] καὶ αὕτη K > P | τὸν > R* | αὐτὸν BK > POR | ξη̅ B να̅ POR > K | καὶ ἔστιν — ὁλοκλήρου > K 24 Überschrift: Ἀθανασίου ἀρχιεπισκόπου πρὸς τοὺς ἁπανταχοῦ μονάχους περὶ τῶν γεγενημένων παρὰ τῶν Ἀρειανῶν ἐπὶ Κωνσταντίου E, a. Rd. ξ̄ E (vgl. Untersuchungen S. 65) 29 ὄντες] ὄντων KP

28, 1 Ἀλλὰ ταῦτα ἀκούοντες καὶ βλέποντες οἱ | κληρονόμοι τῆς γνώμης καὶ τῆς ἀσεβείας
M 725 A τῶν περὶ Εὐσέβιον, Λεόντιος ὁ ἀπόκοπος, ὃν οὐδὲ ὡς λαικὸν κοινωνεῖν ἐχρῆν, διότι
ἑαυτὸν ἀπέκοψεν ὑπὲρ τοῦ μετ' ἐξουσίας λοιπὸν κοιμᾶσθαι μετὰ Εὐστολίου τινός, γυναικὸς
μὲν δι' αὐτόν, λεγομένης δὲ παρθένου, Γεώργιός τε καὶ Ἀκάκιος καὶ Θεόδωρος καὶ Νάρ-
2 κισσος, οἵτινες καὶ ἐν τῇ συνόδῳ καθῃρέθησαν, μεγάλως ᾐσχύνοντο. εἶτα βλέποντες
τὴν πρὸς Ἀθανάσιον τῶν ἐπισκόπων συμφωνίαν τε καὶ εἰρήνην, πλείους δὲ ἦσαν υ',
ἀπό τε τῆς μεγάλης Ῥώμης καὶ τῆς Ἰταλίας πάσης Καλαβρίας τε καὶ Ἀπουλίας καὶ
Καμπανίας Βριττίας τε καὶ Σικελίας Σερδινίας τε καὶ Κορσικῆς καὶ πάσης τῆς Ἀφρικῆς
τούς τε ἀπὸ Γαλλίων καὶ Βριττανίας καὶ Σπανίων μετὰ τοῦ μεγάλου καὶ ὁμολογητοῦ
B Ὁσίου, ἔπειτα τοὺς ἀπὸ τῶν Παννονίων καὶ Νωρικοῦ καὶ Σισκίας Δαλματίας τε καὶ
Δαρδανίας Δακίας τε καὶ Μυσίας Μακεδονίας Θεσσαλίας καὶ πάσης τῆς Ἀχαίας καὶ
Κρήτης Κύπρου τε καὶ Λυκίας καὶ πλείστους τῆς Παλαιστίνης τε καὶ Ἰσαυρίας Αἰγύπτου
3 καὶ Θηβαίδος καὶ πάσης Λιβύης καὶ Πενταπόλεως· ταῦτα βλέποντες ἐκεῖνοι φθόνῳ
καὶ φόβῳ συνεσχέθησαν, φθόνῳ μὲν διὰ τὴν τοσούτων κοινωνίαν, φόβῳ δὲ μὴ οἱ παρ'
αὐτῶν ἀπατηθέντες προστεθῶσι τῇ τῶν τοσούτων ὁμοψυχίᾳ καὶ λοιπὸν ἡ αἵρεσις αὐτῶν
παραδειγματισθεῖσα θριαμβευθῇ καὶ στηλιτευθῇ πανταχοῦ.

29, 1 Πρῶτον μὲν τοὺς περὶ Οὐρσάκιον καὶ Οὐάλεντα ὡς τοὺς κύνας μεταπείθουσι μετα-
C βαλέσθαι καὶ εἰς τὸν ἴδιον ἐμετὸν ἐπιστρέψαι καὶ ὡς τοὺς χοίρους εἰς τὸν πρότερον βόρ-
βορον τῆς ἀσεβείας πάλιν κυλισθῆναι πρόφασίν τε τῆς μετανοίας πλάσασθαι, ὡς διὰ
φόβον τοῦ θεοσεβεστάτου Κώνσταντος εἶεν τοῦτο πεποιηκότες, καίτοι, εἰ καὶ φόβος
2 ἦν, ἀλλ' οὐκ ἐχρῆν, εἴπερ ἐθάρρουν οἷς ἔπραξαν, προδότας τούτων γίγνεσθαι. ὅτε
δὲ οὐδὲ φόβος, ἀλλ' ἐψεύδοντο, πῶς οὐκ ἄξιοι πάσης καταγνώσεώς εἰσιν; οὔτε γὰρ
στρατιώτου παρόντος, οὐ παλατινῶν ἢ νοταρίων ἀποσταλέντων, ὁποῖα νῦν αὐτοὶ
ποιοῦσιν, ἀλλ' οὐδὲ βασιλέως παρόντος οὐδὲ ὅλως κληθέντες παρά τινος ἔγραψαν, ἀλλ'
αὐτοὶ θέλοντες ἀνῆλθον εἰς τὴν Ῥώμην καὶ ἐν τῇ ἐκκλησίᾳ, ἔνθα φόβος μὲν ἔξωθεν οὐκ
B 361 ἦν, μόνος δὲ ὁ τοῦ θεοῦ φόβος ἐστὶ καὶ ἐλευθέραν ἕκαστος | ἔχει τὴν προαίρεσιν δι' ἑαυτῶν
D μετενόησαν καὶ ἔγραψαν. καὶ ὅμως Ἀρειανοὶ δεύτερον γενόμενοι τοιαύτην πάλιν ἀπρεπῆ
πρόφασιν ἐπινοήσαντες οὐκ ἐρυθριῶσιν.

---

2 Vgl. Can. Nic. 1 3 Eustolium war gewiß eine Syneisakte 6 Zur Zahl der Unterschriften vgl. apol. sec. 50, 4 (S. 132, 4ff. 7) und ebenda 48, 1 (S. 123, 29 Note) 7 Vgl. oben S. 87, 16ff. Note 17ff. Der Konflikt zwischen Konstantius und Athanasius beginnt von neuem nach der Schlacht von Mursa (28. 9. 351). Während der Schlacht hatte Valens, der Bischof v. Mursa, das Vertrauen des Kaisers so völlig gewonnen (Sulp. Sev. chron. II 38, 5), daß Valens und Ursacius fernerhin die ersten Berater des K. sind. Zur politischen Geschichte vgl. das apol. ad Const. 2ff. Angemerkte. Wann Valens und Ursacius ihre Erklärungen von 347 (s. c. 26) widerrufen haben, ist ebenso unbekannt wie die Umstände dieser von Athan. immer (vgl. apol. sec. 1, 3; S. 88, 1; apol. ad Const. 1, 2; S. 279, 10) als bedeutungsvoll bezeichneten Wendung. Diese Stelle ist das einzige Zeugnis, vgl. Ossius unten S. 208, 5ff. Ob der Widerruf auf der Synode zu Sirmium 351 erfolgte (wegen der S. 199, 21 Note bezeichneten Ereignisse)? Die Gründe für das Vorgehen gegen Athan. waren politisch diejenigen, die aus apol. ad Const. hervorgehen, kirchlich das im Orient noch gültige Absetzungsurteil von Tyrus. Dessen Anklagepunkte werden durch den Widerruf des Valens und Ursacius, den Mitgliedern der Synodalkommission, wieder zur Erörterung gestellt (so Konstantius 355 in Mailand, Thdt. h. e. II 16, 7). Daher wehrt sich Athan. in der apol. sec. und hier gegen diese allerdings im Hinblick auf den jetzt ausbrechenden politischen Konflikt belanglosen alten Anklagen 18f. Vgl. II. Petr. 2, 22 20 Daß Konstans (hinter ihm steht Athanasius) einen Druck auf die beiden Bischöfe ausgeübt hat, ist wahrscheinlich. Jedenfalls gehört das in den Bereich der politischen Anklagen gegen Ath.

BKPO RE

---

2 ἐχρῆν κοινωνεῖν ∼ K 4/5 Νάρκισσος P 5/6 βλέποντες — ἐπισκόπων > K 10 Σισκίας Comm. Montf. Σίσκας Hss. 11 Δαρδανίας Montf. Σαρδανίας Hss. Comm. vgl. oben Z. 8 | τῆς > BKPO 14 τὴν + τῶν BKPOE[c] 17/18 μεταβάλλεσθαι RE

Ἔπειτα κοινῇ προσελθόντες παρεκάλουν τὸν βασιλέα Κωνστάντιον λέγοντες· 30, 1
'καὶ τὸ πρῶτον ἀξιοῦντες οὐκ ἐπιστεύθημεν· ἐλέγομεν γάρ, ὅτε μετεπέμπου τὸν Ἀθα-
νάσιον, ὅτι τοῦτον προσκαλούμενος τὴν ἡμετέραν αἵρεσιν ἐκβάλλεις. οὗτος γὰρ ἐξ ἀρχῆς
κατ' αὐτῆς γέγονε καὶ οὐ παύεται ταύτην [1] οὗτος ἀναθεματίζων. αὐτὸς μὲν οὖν ἤδη 2
πεπλήρωκε τὰ πανταχοῦ γράφων καθ' ἡμῶν, καὶ οἱ μὲν πλεῖστοι τὴν μετ' αὐτοῦ κοι- M 728 A
νωνίαν ἔχουσι, τῶν δὲ καὶ δοξάντων μεθ' ἡμῶν εἶναι οἱ μὲν προσετέθησαν αὐτῷ, οἱ δὲ
μέλλουσιν· ἡμεῖς δὲ ἐμείναμεν μόνοι. καὶ φόβος μὴ καὶ ἡ αἵρεσις γνωσθῇ καὶ λοιπὸν
ἡμεῖς καὶ σὺ χρηματίσωμεν αἱρετικοί. κἂν τοῦτο γένηται, σκόπει μὴ μετὰ Μανιχαίων
λογισθῶμεν. ἄρξαι πάλιν οὖν διώκειν καὶ πρόστα τῆς αἱρέσεως· καὶ γὰρ καὶ αὕτη σὲ
βασιλέα ἔχει.' τοιαῦτα μὲν οὖν ἦν τούτων τὰ τῆς πανουργίας ῥήματα. καὶ αὐτὸς 3
δὲ διερχόμενος, ὅτε πρὸς Μαγνέντιον ἔσπευδε, καὶ βλέπων τὴν πρὸς Ἀθανάσιον τῶν
ἐπισκόπων κοινωνίαν, ὡς ὑπὸ πυρὸς ἀναφθεὶς μετεβάλλετο τὴν γνώμην καὶ οὔτε τῶν
ὅρκων ἐμνημόνευσεν, ἀλλὰ καὶ ὧν ἔγραψεν ἐπελάθετο καὶ τῶν πρὸς τὸν ἀδελφὸν καθη- B
κόντων ἀγνώμων γέγονε. καὶ γὰρ καὶ αὐτῷ γράφων καὶ Ἀθανάσιον ἑωρακὼς ὅρκους
δέδωκε, μὴ ἄλλως ποιήσειν, ἢ ὡς ἂν ὁ λαὸς βούληται καὶ τῷ ἐπισκόπῳ καταθυμίως
τυγχάνοι. ἀλλ' ἡ πρὸς τὴν ἀσέβειαν σπουδὴ πάντων ἀθρόως αὐτὸν ἐπιλαθέσθαι 4
πεποίηκεν. οὐ δεῖ δὲ θαυμάζειν, εἰ μετὰ τοσαῦτα γράμματα καὶ τοσούτους ὅρκους ἠλλοιώθη
Κωνστάντιος, ὅπουγε καὶ ὁ τῆς Αἰγύπτου τότε τύραννος Φαραὼ πολλάκις ἐπαγγελ-
λόμενος καὶ διὰ τοῦτο λαμβάνων τῶν βασάνων ἄνεσιν μετετίθετο, ἕως εἰς τέλος ἀπώλετο
σὺν αὐτοῖς τοῖς ὁμονοήσασιν αὐτῷ.

Τούτους μὲν οὖν κατὰ πόλιν πρῶτον ἐβιάζετο μετατίθεσθαι, γενόμενος δὲ ἐν τῇ 31, 1
Ἀρελατῷ καὶ τῇ Μεδιολάνῳ λοιπόν, ὡς οἱ αἱρετικοὶ συνεβούλευσαν καὶ ὑπέθεντο, οὕτως C
αὐτὸς ἔπραττε, μᾶλλον δὲ οὕτως καὶ αὐτοὶ διεπράττοντο καὶ ἐνήλλοντο κατὰ πάντων

---

1 Die folgende Darstellung kann kaum zum Verständnis des Vorgehens des Konstantius anleiten 11 Konstantius reiste in der zweiten Hälfte des Jahres 350 von Syrien nach dem Balkan, um die militärischen Aktionen gegen M. einzuleiten. Vor oder während dieser Zeit wird K. von den Beziehungen, die M. und Athan. knüpften (vgl. apol. ad Const. 6ff.), erfahren haben. Also hat sich sein Ärger über Ath. nicht nur an der »friedlichen Gemeinschaft« der Bischöfe mit Ath. entzündet 13 Vgl. oben S. 195, 9 14 Athan. beruft sich auf den als Abkommen mit Konstans aufgefaßten Brief des Konstantius vgl. oben S. 194, 10 Note. Aus dieser Bemerkung aber geht klar hervor, daß Ath. bedenkenlos Konstans gegen Konstantius ausspielt, so wie es Ath. auch vorgeworfen wurde, apol. ad Const. 2 15 Vgl. den Brief des Konstantius oben S. 196, 3 21 Athan. baut die Darstellung der Verfolgungen in den Jahren 355—357 so auf, daß er in c. 31—46 die Vorgänge im Abendland schildert. Nachdem Konstantius diesen Reichsteil politisch und kirchlich beherrschte — und das ist 355 erreicht — konnte er Athan. mit Erfolg angreifen, der bisher durch seine Verbindung mit dem Abendland sich im Orient behauptete. Konstantius' politisch-militärischen Erfolge und die durch sie wiederhergestellte Einheit des Imperiums waren solange ungesichert, als Athan. noch unbeschränkter Herr von Alexandrien war. — Zum Verständnis der Darstellung des Ath. sind folgende Daten wichtig, von denen Ath. nichts mitteilt: Julius v. Rom starb am 12. 4. 352. Kurz vorher hatten die orientalischen Bischöfe an ihn das Verlangen gerichtet, Athan. fallen zu lassen (Liberius CSEL 65, 155, 8ff.). Liberius (seit 22. 5. 352) hatte in Verfolg dieser Aufforderung Legaten nach Alexandrien entsandt, die Athan. vor eine römische Synode zitierten (CSEL 65, 155, 11ff.). Athan. lehnt ab, zu erscheinen, durch eine ägyptische Synode läßt er eine Widerlegung schreiben (Liberius CSEL 65, 90, 17). Daraufhin läßt Liberius von der Verfolgung des Prozesses ab. Athan. schickt am 19. 5. 353 eine Gesandtschaft an Konstantius nach Mailand (hist. Athan. 3f. 106[a]). Am 23. 5. 353 bringt der palatinus Montanus Ath. eine Ladung an den Hof (a. a. O.), er muß unverrichteter Sache abziehen (vgl. apol. ad Const. 19, 4; S. 289, 34 Note). Nach dem Tode des Magnentius (10. 8. in Lyon) feiert Konstantius am 10. 10. seine

---

BKPO R

---

8 χρηματίσομεν KO 9 πρόστα] πρόστηθι E^c 12 μετεβάλετο KR^c 16 τυγχάνῃ K 18 ὅπου E 19 τῶν βασάνων > E 20 αὐτοῖς] τοῖς E^c | τοῖς > E 22 Ἀρεολατῷ P | οἱ K^c

2 ἔχοντες τὴν ἐξουσίαν. καὶ εὐθὺς ὧδε μὲν ἐντολαὶ καὶ γράμματα πρὸς τὸν ἔπαρχον,
ἵνα τέως ὁ σῖτος ἀφαιρεθῇ παρὰ Ἀθανασίου καὶ δοθῇ τοῖς τὰ Ἀρείου φρονοῦσι, καὶ
ἵνα ἐξῇ ὑβρίζειν τοῖς βουλομένοις τοὺς μετ' αὐτοῦ συναγομένους. ἀπειλή τε ἦν τοῖς
δικασταῖς, εἰ μὴ συνάγοιντο μετὰ τῶν Ἀρειανῶν. ἦν δὲ ταῦτα προοίμια τῶν μετὰ
3 ταῦτα γενομένων διὰ τοῦ δουκὸς Συριανοῦ. εἰς δὲ τὰ ἔξω μέρη προστάγματα πάλιν,
καὶ νοτάριοι κατὰ πόλιν καὶ παλατινοὶ φέροντες ἀπειλὰς ἀπεστέλλοντο πρός τε τοὺς
B 362 ἐπισκόπους καὶ τοὺς δικαστάς, ¦ ἵν' οἱ μὲν δικασταὶ ἐπείγωσιν, οἱ δὲ ἐπίσκοποι ἢ ἵνα
D κατὰ Ἀθανασίου γράφωσι κοινωνίαν ἔχοντες πρὸς τοὺς Ἀρειανοὺς ἢ τιμωρίαν αὐτοὶ
μὲν ὑπομένωσιν ἐξοριστίας, οἱ δὲ τούτοις συνερχόμενοι λαοὶ δεσμὰ καὶ ὕβρεις καὶ πληγὰς
4 κατ' αὐτῶν καὶ ἀφαίρεσιν τῶν ἰδίων ὑπαρχόντων ἔσεσθαι γινώσκοιεν. οὐκ ἠμελεῖτο
δὲ τὸ πρόσταγμα· καὶ γὰρ εἶχον οἱ ἀποσταλέντες μεθ' ἑαυτῶν κληρικοὺς Οὐρσακίου καὶ
Οὐάλεντος, ἵνα καὶ παροξύνωσι καὶ ἀμελοῦντας τοὺς δικαστὰς κατενέγκωσι τῷ βασιλεῖ.
καὶ τὰς μὲν αἱρέσεις ὡς μικροτέρας ἑαυτῶν ἀδελφὰς συνεχώρουν βλασφημεῖν εἰς τὸν κύριον,
μόνοις δὲ τοῖς Χριστιανοῖς ἐπεβούλευον οὐ φέροντες ἀκούειν περὶ Χριστοῦ λόγων εὐσεβῶν.
M 729 A πόσοι τοιγαροῦν ¦ ἐπίσκοποι κατὰ τὸ γεγραμμένον »ἐπὶ ἡγεμόνας καὶ βασιλέας ἤχθησαν«
5 καὶ παρὰ δικαστῶν ἤκουσαν· 'ἢ ὑπογράψατε ἢ τῶν ἐκκλησιῶν ἀναχωρεῖτε, καθαιρεθῆναι
γὰρ ὑμᾶς βασιλεὺς προσέταξε'. πόσοι διεσείσθησαν παρ' αὐτῶν κατὰ πόλιν, ἵνα μὴ
6 ὡς φίλους τῶν ἐπισκόπων αὐτοὺς καταμέμψωνται. καὶ γὰρ καὶ πολιτευταῖς ἐγράφετο,
καὶ ἦν ἀπειλή, ζημία χρημάτων, εἰ μὴ ἀναγκάζοι ἕκαστος τὸν τῆς ἰδίας πόλεως ἐπίσκοπον
ὑπογράφειν. καὶ ὅλως πᾶς τόπος καὶ πᾶσα πόλις ἐπεπλήρωτο φόβου καὶ ταραχῆς
τῶν μὲν ἐπισκόπων ἑλκομένων, τῶν δὲ δικαστῶν ὁρώντων τοὺς ὀδυρμοὺς καὶ στεναγμοὺς
τῶν λαῶν.

32,1 Ταῦτα μὲν παρὰ τῶν ἀποσταλέντων παλατινῶν ἐπράττετο, οἱ δὲ θαυμαστοὶ
B θαρροῦντες αἷς ἔχουσι προστασίαις σπουδὴν τίθενται· καὶ οὕτω τῶν ἐπισκόπων τοὺς
μὲν πρὸς βασιλέα καλοῦσι, τοὺς δὲ πάλιν διὰ γραμμάτων μεθοδεύουσι πλάττοντες κατ'
αὐτῶν προφάσεις, ἵν' οἱ μὲν παρόντα Κωνστάντιον καταπτήξωσιν, οἱ δὲ τοὺς ἀποσταλέντας καὶ τὰς ἀπειλὰς τῆς ἐκ προφάσεως συκοφαντίας φοβηθέντες μεταθῶνται τῆς
2 ἑαυτῶν ὀρθῆς καὶ εὐσεβοῦς μνήμης. οὕτω γοῦν ἐβιάσατο βασιλεὺς τὸ τοσοῦτον τῶν
ἐπισκόπων πλῆθος, τὰ μὲν ἀπειλῶν, τὰ δὲ ἐπαγγελλόμενος, εἰπεῖν· 'οὐκέτι κοινωνοῦμεν
Ἀθανασίῳ'. οἱ γὰρ ἐρχόμενοι πρὸς αὐτὸν οὐ πρότερον ἔβλεπον αὐτὸν οὐδ' ὅλως ἄνεσιν

Tricennalien in Arles (Amm. XIV 5, 1), wo er auch im Winter sich aufhält. In dieser Zeit hat dort eine Synode getagt (Sulp. Sev. II 39, 2; Liberius CSEL 65, 90, 25; 92, 9ff.). Paulin v. Trier weigerte sich im Gegensatz zu anderen und dem Legaten des Papstes, Vincentius v. Capua (vgl. zu apol. ad Const. 27 S. 294, 24), das Urteil gegen Ath. zu unterschreiben und wurde daher abgesetzt (s. unten S. 294, 24). Die Synode in Mailand fand 355 statt, s. S. 201, 35 Note 1 Konstantin hatte dem Bischof v. Alexandrien Annonae zur Verteilung gewährt (apol. sec. 18, 2 (S. 100, 27ff.). Das wurde schon früher als Mittel des politischen Kampfes ausgenutzt (a. a. O.); wer das Brot verteilte, hatte die Massen. Die Ath. feindlichen δῆμοι (Parteien, von einer theologischen Partei der Arianer zu sprechen ist abwegig) müssen eine nicht ganz zu unterschätzende Macht dargestellt haben, wenngleich Ath. die Mittel, die Massen zu leiten, besser beherrschte als seine Gegner 3f. Die hier genannten kaiserl. Verfügungen lassen sich nicht genau (vielleicht schon 352) in den Ablauf des Konfliktes einordnen. Die δικασταί (Z. 4) sind die Statthalter der ägypt. Provinzen 5 S. unten S. 228, 35ff. 7 δικασταί hier die praesides provinciarum im Okzident 8 Offenbar wurden die Absetzungsbeschlüsse von Arles u. Mailand den Bischöfen vorgelegt 15 Mt. 10, 18. — Vgl. jedoch den Brief des Konstantius Cod. Theod. XVI 2, 12 vom 23. 9. 355, in dem verfügt wird, Bischöfe seien nicht vor die weltlichen Gerichte zu ziehen, vgl. den wichtigen Kommentar dazu von Godefroy

---

BKPO RE

---

4 Ἀρειανῶν] αἱρετικῶν B 23 παλατιανῶν K | θαυμαστοὶ RE > BKPO 30 αὐτὸν KPORE αὐτοὺς B ¦ ἔβλεπον BK ἔβλεπεν PORE | αὐτὸν B αὐτοὺς KPORE | ἄνεσιν ὅλως ~ E

ἔχειν τινὰ ἢ προϊέναι τῆς ἰδίας οἰκήσεως ἐπετρέποντο, πρὶν ἂν ὑπογράψωσιν ἢ ἀνα-
νεύοντες ἐξορισθῶσιν. ἐποίει δὲ τοῦτο διὰ τὸ συνορᾶν ἀπὸ πάντων μισεῖσθαι τὴν 3
αἵρεσιν, διὸ μάλιστα καὶ ἠνάγκασε τοὺς τοσούτους τοῖς ὀλίγοις συναριθμηθῆναι. καὶ
ἐσπούδασεν ὄχλον ὀνομάτων συναγαγεῖν, πρὸς φθόνον μὲν κατὰ τοῦ ἐπισκόπου, φαν- C
τασίας δὲ χάριν τῆς ἀρειανῆς ἀσεβείας, ἧς αὐτὸς προΐσταται οἰόμενος ὅτι ὡς τοὺς
ἀνθρώπους οὕτω καὶ τὴν ἀλήθειαν μεταστρέψαι δυνήσεται, οὐκ εἰδὼς οὐδὲ ἀναγνούς
ὅτι οὐδὲ Σαδδουκαῖοι καὶ Ἡρωδιανοὶ προσλαβόμενοι τοὺς Φαρισαίους ἴσχυσαν ἐπι-
κρύψαι τὴν ἀλήθειαν. μᾶλλον γὰρ καὶ οὕτως αὕτη μὲν καθημέραν λαμπρὰ δείκνυται, 4
οὗτοι δὲ καὶ κράξαντες· »οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα«, καὶ ἔχοντες τὴν Πιλάτου
κρίσιν οὐδὲν ἧττόν εἰσιν ἔρημοι καὶ πάσης | αἰσχύνης, προσδοκῶντες ὅσον οὐδέπω μένειν B 363
καὶ αὐτοὶ κατὰ 'τὸν πέρδικα' γυμνοί, ὅταν ἴδωσι καὶ τὸν προστάτην ἑαυτῶν ἀπο-
θνήσκοντα.

Εἰ δὲ καὶ ἀπρεπὲς τὸ ὅλως ἐπὶ τούτοις φοβηθέντας τινὰς τῶν ἐπισκόπων μετα- 33, 1
θέσθαι, ἀλλὰ μᾶλλον ἀπρεπέστερον καὶ οὐ θαρρούντων οἷς πεπιστεύκασι τὸ βιάζεσθαι D
καὶ ἀναγκάζειν τοὺς μὴ βουλομένους. οὕτως ὁ μὲν διάβολος ἐπεὶ μηδὲν ἀληθὲς | ἔχει 2
»ἐν πελέκει καὶ λαξευτηρίῳ« ἐπιβαίνων κατεάσσει τὰς θύρας τῶν μὴ δεχομένων αὐτόν, M 732 A
ὁ δὲ σωτὴρ οὕτως ἐστὶ πρᾷος, ὡς διδάσκειν μὲν »εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν« καὶ »ὁ
θέλων εἶναί μου μαθητής«, ἐρχόμενον δὲ πρὸς ἕκαστον μὴ βιάζεσθαι, ἀλλὰ μᾶλλον κρούειν
τε καὶ λέγειν· »ἄνοιξόν μοι, ἀδελφή μου νύμφη«, καὶ ἀνοιγόντων μὲν εἰσέρχεται, ὀκνούν-
των δὲ καὶ μὴ θελόντων ἐκείνων ἀναχωρεῖ. οὐ γὰρ ξίφεσιν ἢ βέλεσιν οὐδὲ διὰ στρατιω- 3
τῶν ἡ ἀλήθεια καταγγέλλεται, ἀλλὰ πειθοῖ καὶ συμβουλίᾳ. ποία οὖν πειθώ, ἔνθα βασι-
λέως φόβος; ἢ ποία συμβουλία, ἐν ᾗ ὁ ἀντιλέγων τὸ τέλος ἐξορισμὸν ἔχει καὶ θάνατον;
καὶ ὁ μὲν Δαυὶδ καίτοι βασιλεὺς ὢν καὶ τὸν ἐχθρὸν ὑπὸ χεῖρας ἔχων θέλοντάς τε τοὺς 4
στρατιώτας ἀποκτεῖναι τὸν ἐχθρὸν οὐ τῇ ἐξουσίᾳ κεκώλυκεν, ἀλλ', ὡς ἡ γραφή φησιν, B
ἔπεισε Δαυὶδ τοὺς ἄνδρας αὐτοῦ ἐν λόγοις καὶ οὐκ ἔδωκεν αὐτοῖς ἀναστάντας θανατῶσαι
τὸν Σαούλ. αὐτὸς δὲ τὸν λόγον οὐκ ἔχων μετ' ἐξουσίας πάντας βιάζεται, ἵνα δειχθῇ 5
πᾶσιν ὅτι ἡ φρόνησις αὐτῶν οὐκ ἔστι κατὰ θεόν, ἀλλ' ἀνθρωπίνη, καὶ ὅτι οἱ τὰ Ἀρείου
φρονοῦντες 'οὐκ ἔχουσιν ἀληθῶς βασιλέα εἰ μὴ Καίσαρα'. δι' αὐτοῦ γὰρ πάντα μὲν 6
ὅσαπερ βούλονται καὶ πράττουσιν οἱ χριστομάχοι, δόξαντες δὲ δι' αὐτοῦ πολλοῖς
ἐπιβουλεύειν ἠγνόησαν πολλοὺς ποιήσαντες ὁμολογητὰς γενέσθαι, ἐξ ὧν εἰσιν οἱ νῦν
λαμπρᾷ χρησάμενοι τῇ ὁμολογίᾳ ἄνδρες εὐλαβεῖς καὶ ἐπίσκοποι ἀγαθοί, Παυλῖνος ὁ
ἀπὸ Τριβέρων τῆς μητροπόλεως τῶν Γαλλίων ἐπίσκοπος καὶ Λουκίφερ ὁ ἀπὸ μητρο-
πόλεως τῆς Σερδινίας ἐπίσκοπος Εὐσέβιός τε ὁ ἀπὸ Βερκέλλων τῆς Ἰταλίας καὶ Διονύσιος C
ὁ ἀπὸ Μεδιολάνων, ἔστι δὲ καὶ αὕτη μητρόπολις τῆς Ἰταλίας. τούτους γὰρ βασιλεὺς 7
καλέσας ἐκέλευσε κατὰ Ἀθανασίου μὲν ὑπογράφειν, τοῖς δὲ αἱρετικοῖς κοινωνεῖν. εἶτα

7 Vgl. Mt. 22, 15. 16. 23 9 Joh. 19, 15 11 Vgl. Jer. 17, 11 16 Ps. 73, 6 17 Mt. 16, 24, vgl. Lc. 14, 27 19 Cant. 5, 2 25 Vgl. I. Reg. 26, 9 28 S. oben Z. 9 31 ff. Zu den Namen vgl. de fuga 4, 2 (S. 71, 1 ff. Noten) 35 Es handelt sich um die Synode in Mailand, deren Datum 355 durch Sulp. Sev. II 39, 8 (CSEL 1, 93, 10) bestimmt ist. 300 Abendländer, nur wenige aus dem Orient, waren anwesend (Sokr. II 36, 1). Zu den Einzelheiten der Verhandlungen vgl. Hilarius sog.

BKPO RE

1 ἂν BKPO ἂν ἢ RE 2 τοῦτο > P 5 προΐσταται RE προΐστατο BKPO 6 μεταστρέψαι B μετατρέψαι KPORE 9 καὶ κράξαντες] κεκράξαντες RE 10 πάσης αἴσχυνης PE πάσης αἰσχύνης πάσης BR πάσης αἰσχύνης πάντως KO μετὰ πάσης αἰσχύνης Montf. 15 ἀναγκάζεσθαι P 16 λαυξετηρίῳ R | μή > B 17 διδάσκει BE 18 μου εἶναι ∼ K 22 ἐν ᾗ] ἔνθα K 29 ὅσαπερ RE ὅσα BKPO 32 Τιβέρων P | ἀπό: + τῆς E 33 Σερδηνίας KPO | Βερκέλλων RE Μαρκέλλων BKPO

ἐκείνων θαυμαζόντων τὸ καινὸν ἐπιτήδευμα τοῦτο καὶ λεγόντων, μὴ εἶναι τοῦτον ἐκ-
κλησιαστικὸν κανόνα, εὐθὺς ἐκεῖνος· ‘ἀλλ’ ὅπερ ἐγὼ βούλομαι, τοῦτο κανών’, ἔλεγε·
‘νομιζέσθω· οὕτω γάρ μου λέγοντος ἀνέχονται οἱ τῆς Συρίας λεγόμενοι ἐπίσκοποι.
ἢ τοίνυν πείσθητε ἢ καὶ ὑμεῖς ὑπερόριοι γενήσεσθε’.

34, 1 Ταῦτα ἀκούσαντες οἱ ἐπίσκοποι πάνυ γε θαυμάσαντες καὶ τὰς χεῖρας ἀνατείναντες
D πρὸς τὸν θεὸν πολλῇ τῇ κατ’ αὐτοῦ παρρησίᾳ μετὰ λόγων ἐχρήσαντο διδάσκοντες, μὴ
B 364 εἶναι τὴν βασιλείαν αὐτοῦ, ἀλλὰ τοῦ δεδωκότος ¦ θεοῦ, ὃν καὶ φοβεῖσθαι αὐτὸν ἠξίουν,
μὴ ἐξαίφνης αὐτὴν ἀφέληται· ἠπείλουν τε τὴν ἡμέραν τῆς κρίσεως καὶ συνεβούλευον
αὐτῷ, μὴ διαφθείρειν τὰ ἐκκλησιαστικὰ μηδὲ ἐγκαταμίσγειν τὴν ῥωμαϊκὴν ἀρχὴν τῇ
τῆς ἐκκλησίας διαταγῇ μηδὲ τὴν ἀρειανὴν αἵρεσιν εἰσάγειν εἰς τὴν ἐκκλησίαν τοῦ θεοῦ.
2 ἀλλ’ οὔτε ἤκουεν ἐκεῖνος οὔτε τι πλέον αὐτοὺς λέγειν ¦ ἐπέτρεπεν, ἀλλὰ καὶ μᾶλλον ἠπείλει
M 733 A καὶ ξίφος ἐγύμνου κατ’ αὐτῶν καὶ ἀπάγεσθαι δέ τινας ἐξ αὐτῶν ἐκέλευσε· καὶ πάλιν
3 ὡς ὁ Φαραὼ μετεγίνωσκεν. ἐκτινάξαντες τοίνυν οἱ ἅγιοι τὸν κονιορτὸν καὶ πρὸς
τὸν θεὸν ἀναβλέψαντες οὔτε ἀπειλὴν βασιλέως ἐφοβήθησαν οὔτε ξίφους γυμνουμένου
προδεδώκασιν, ἀλλὰ καὶ τὸν ἐξορισμὸν ὡς λειτούργημα διακονίας ἐσχήκασι. διερχόμενοι
γὰρ κατὰ τόπον καὶ κατὰ πόλιν, καίπερ ἐν δεσμοῖς ὄντες, εὐηγγελίζοντο τὴν μὲν εὐσεβῆ
πίστιν κηρύττοντες, τὴν δὲ ἀρειανὴν αἵρεσιν ἀναθεματίζοντες καὶ τὴν μετάνοιαν Οὐρ-
4 σακίου καὶ Οὐάλεντος στηλιτεύοντες. ἐγίγνετο δὲ τοῦτο πρὸς ἐναντίου τοῖς ἐπι-
βουλεύουσιν. ὅσῳ γὰρ πολὺ τὸ διάστημα τῆς ἐξοριστίας, τοσούτῳ μεῖζον τὸ κατ’
αὐτῶν μῖσος ηὔξανε, καὶ κήρυγμα ἦν κατὰ τῆς ἀσεβείας αὐτῶν ἡ τούτων ἀποδημία.
B τίς γὰρ βλέπων τούτους διερχομένους οὐκ αὐτοὺς μὲν ὡς ὁμολογητὰς ὑπερεθαύμαζεν,
ἐκείνους δὲ οὐκ ἀπεστρέφετο καὶ ἐβδελύττετο οὐκέτι μόνον ὡς ἀσεβεῖς, ἀλλὰ καὶ ὡς δημίους
καὶ φονευτὰς καὶ πάντα μᾶλλον ἢ Χριστιανοὺς ὀνομάζων;

35, 1 Βέλτιον μὲν οὖν ἦν κατὰ τὴν ἀρχὴν Κωνστάντιον μηδ’ ὅλως τῆς αἱρέσεως ταύτης
γενέσθαι ἢ γενόμενον μὴ τοσοῦτον ἐνδοῦναι τοῖς ἀσεβέσιν ἢ ἐνδόντα μέχρι τούτων
στῆναι μετ’ αὐτῶν, ἵνα κἂν ἕως τούτων ἔχωσι κοινὴν τὴν κρίσιν. ὡς δὲ ἔοικε, κατὰ τοὺς
ἄφρονας δεσμοῖς τῆς ἀσεβείας ἑαυτοὺς περιπείροντες μείζονα καθ’ ἑαυτῶν τὴν κρίσιν ἐπι-
2 σπῶνται. καὶ γὰρ οὐδὲ Λιβερίου τοῦ ἐπισκόπου Ῥώμης κατὰ τὴν ἀρχὴν ἐφείσαντο,
C ἀλλὰ καὶ μέχρι τῶν ἐκεῖ τὴν μανίαν ἐξέτειναν, καὶ οὐχ ὅτι ἀποστολικός ἐστι θρόνος ᾐδέσθη-
σαν, οὐδ’ ὅτι μητρόπολις ἡ Ῥώμη τῆς Ῥωμανίας ἐστὶν ηὐλαβήθησαν, οὐδ’ ὅτι πρότερον
3 ‘ἀποστολικοὺς αὐτοὺς ἄνδρας’ γράφοντες εἰρήκασιν ἐμνημόνευσαν. ἀλλὰ πάντα ὁμοῦ
φύραντες πάντων ἀθρόως ἐπελάθοντο καὶ μόνης τῆς ὑπὲρ τῆς ἀσεβείας σπουδῆς ἐφρόντι-
σαν. ἐπειδὴ γὰρ ἑωράκασιν αὐτὸν ὀρθοδοξοῦντα καὶ μισοῦντα μὲν τὴν ἀρειανὴν αἵρεσιν,
σπουδάζοντα δὲ πάντας πείθειν ἀποστρέφεσθαι καὶ ἀναχωρεῖν ἀπ’ αὐτῆς, ἐλογίσαντο

---

lib. I ad Const. CSEL 65, 187, vor allem Sulp. Sev. II 39, 4—6. Euseb v. Vercelli und Luzifer werden zunächst abgesetzt, dann verhandelt man mit Dionys, der aber eine Untersuchung des Glaubens des Ath. fordert, bevor er sich zur Unterschrift des Urteils bereitfinden will. Darauf wird er abgesetzt (Lucifer de Ath. II 8; CSEL 14, 161, 29ff.). Nur die Genannten und Rhodanius v. Toulouse (Sulp. Sev. II 39, 7 CSEL 1, 93, 3ff.) haben sich nicht gebeugt, alle anderen unterschrieben 2 Vgl. Lucifer de non parc. 27 (CSEL 14, 268, 10) 3 Lucifer moriendum 13 (CSEL 14, 311, 25): sunt adclamantes Arrianae dogmatis tuae episcopi episcopum te esse episcoporum. Vgl. de s. Ath. I 33 (CSEL 14, 125, 18ff.) 13 Vgl. Mt. 10, 14. 31 Wo?

BKPO RE

---

3 ἀνέχονται > P 13 ὁ > E 16 κατὰ[2] > B 18 ἐγένετο P 21 τούτους + μὴ B, aber exp. 23 καὶ[1] + ὡς B 26 ἔχωσι BKPO ἔχωσι τῶν τολμηθέντων RE | τὴν κρίσιν κοινὴν ~ K 27 μείζονα + τούτων O, aber exp. 29 καὶ übergeschr. R 31 εἰρήκασιν + καὶ E 32 φύροντες E

οἱ δυσσεβεῖς ὅτι· ‘εἰ τὸν Λιβέριον πείσαιμεν, πάντων ταχέως κρατήσομεν’. καὶ δια- 4
βάλλουσι βασιλεῖ· κἀκεῖνος ταχέως προσδοκήσας διὰ Λιβερίου πάντας ἕλκειν πρὸς ἑαυτὸν
γράφει καὶ πέμπει σπάδοντα Εὐσέβιόν τινα καλούμενον μετὰ γραμμάτων καὶ δώρων, ἵνα
τοῖς μὲν δώροις κολακεύσῃ, τοῖς δὲ γράμμασιν ἀπειλήσῃ. | ἀπελθὼν τοίνυν ὁ σπάδων B 365
εἰς τὴν ‘Ρώμην πρῶτον παρεκάλει τὸν Λιβέριον κατὰ ’Αθανασίου μὲν ὑπογράψαι, τοῖς δὲ 5 D
’Αρειανοῖς κοινωνῆσαι, λέγων· ‘τοῦτο βασιλεὺς βούλεται καὶ κελεύει σε ποιῆσαι’. εἶτα
ἐπιδεικνὺς τὰ δῶρα παρεκάλει καὶ χειρῶν ἥπτετο λέγων· ‘πείσθητι βασιλεῖ καὶ ταῦτα
δέξαι’.

‘Ο δὲ ἐπίσκοπος λόγῳ πείθων ἐδίδασκε· ‘πῶς οἷόν τε τοῦτο γενέσθαι κατὰ ’Αθα- 36, 1
νασίου; ὃν γὰρ οὐ μόνον μία, ἀλλὰ καὶ δευτέρα σύνοδος πανταχόθεν | συναχθεῖσα καλῶς M 736 A
ἐκαθάρισε καὶ ἡ ‘Ρωμαίων δὲ ἐκκλησία μετ’ εἰρήνης ἀπέλυσε, πῶς δυνάμεθα κατακρῖναι; ἢ
τίς ἡμᾶς ἀποδέξεται, εἰ ὃν παρόντα ἠγαπήσαμεν καὶ εἴχομεν τῇ κοινωνίᾳ, τοῦτον ἐὰν
ἀποστραφῶμεν ἀπόντα; οὐκ ἔστιν οὗτος ἐκκλησιαστικὸς κανὼν οὐδὲ τοιαύτην πώποτε
παράδοσιν ἔσχομεν παρὰ τῶν πατέρων τῶν καὶ αὐτῶν παραλαβόντων παρὰ τοῦ μακα-
ρίου καὶ μεγάλου ἀποστόλου Πέτρου. ἀλλ’ εἴπερ ἄρα μέλει τῷ βασιλεῖ περὶ τῆς ἐκ- 2
κλησιαστικῆς εἰρήνης, εἰ κελεύει λυθῆναι τὰ παρ’ ἡμῖν περὶ ’Αθανασίου γραφέντα, λυέσθω
καὶ τὰ παρ’ ἐκείνων κατ’ αὐτοῦ γενόμενα, λυέσθω δὲ καὶ τὰ κατὰ πάντων καὶ γενέσθω
λοιπὸν ἐκκλησιαστικὴ σύνοδος μακρὰν τοῦ παλατίου, ἐν ᾗ βασιλεὺς οὐ πάρεστιν, οὐ κόμης
παραγίνεται, οὐ δικαστὴς ἀπειλεῖ, ἀλλὰ μόνον ὁ τοῦ θεοῦ φόβος ἀρκεῖ καὶ ἡ τῶν ἀποστόλων B
διάταξις, ἵν’ οὕτως προηγουμένως ἡ μὲν ἐκκλησιαστικὴ πίστις σώζηται, καθὼς οἱ πατέρες
ὥρισαν ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ, οἱ δὲ τὰ ’Αρείου φρονοῦντες ἐκβάλλωνται καὶ ἡ αἵρεσις
αὐτῶν ἀναθεματισθῇ. καὶ τότε λοιπὸν κρίσεως γενομένης περὶ ὧν ’Αθανάσιος καὶ εἴ τις 3
ἕτερος ἐγκαλεῖται καὶ περὶ ὧν ἐγκαλοῦνται καὶ αὐτοί, οἱ μὲν ὑπεύθυνοι ἐκβάλλωνται, οἱ δὲ
καθαροὶ παρρησίαν ἔχωσιν. οὐ γὰρ οἷόν τε συνόδῳ συναριθμηθῆναι τοὺς περὶ πίστιν
ἀσεβοῦντας οὐδὲ πρέπει προκρίνεσθαι πράγματος ἐξέτασιν τῆς περὶ πίστεως ἐξετάσεως.
χρὴ γὰρ πρῶτον πᾶσαν περὶ τῆς πίστεως διαφωνίαν ἐκκόπτεσθαι καὶ τότε τὴν περὶ τῶν 4
πραγμάτων ἔρευναν ποιεῖσθαι. καὶ γὰρ ὁ κύριος ἡμῶν ’Ιησοῦς Χριστὸς οὐ πρότερον ἐθε- C
ράπευε τοὺς πάσχοντας, πρὶν ἂν δείξωσι καὶ εἴπωσιν ὁποίαν πίστιν εἶχον εἰς αὐτόν.
ταῦτα παρὰ τῶν πατέρων ἐμάθομεν, ταῦτα ἀπάγγειλον τῷ βασιλεῖ, ταῦτα γὰρ καὶ αὐτῷ 5
συμφέρει καὶ τὴν ἐκκλησίαν οἰκοδομεῖ. μὴ ἀκουέσθω δὲ Οὐρσάκιος καὶ Οὐάλης, καὶ γὰρ
καὶ ἐν τοῖς προτέροις μετενόησαν καὶ νῦν λέγοντες οὐκ εἰσὶ πιστοί’.

‘Ο μὲν οὖν ἐπίσκοπος Λιβέριος τοιαῦτα, ὁ δὲ εὐνοῦχος λυπηθεὶς οὐ τοσοῦτον, ὅτι μὴ 37, 1
ὑπέγραψεν, ἀλλ’ ὅτι τῆς αἱρέσεως ἐχθρὸν αὐτὸν εὗρεν, ἐπιλαθόμενός τε ὅτι πρὸς ἐπίσκο-

1 ff. Den folgenden Ereignissen geht die Verbannung der Legaten des Liberius in Mailand voraus (s. unten c. 41 S. 205, 32 ff.). Der Papst erwartete das gleiche Schicksal wie Lucifer, Euseb und Dionys, vgl. CSEL 65, 164, 17 ff. 3 Euseb ist der berüchtigte praepositus sacri cubiculi unter Konstantius, über ihn Seeck, Briefe des Libanius S. 139. Über seine Verhandlungen mit Liberius berichtet nur Athan. 10 Ebenso argumentiert Liberius in Mailand vor Konstantius (Thdt. h. e. II 16, 1 ff.) 15 Vgl. Julius v. Rom apol. sec. 35, 5 (S. 113, 12) 18 Die Sitzungen der Mailänder Synode fanden im Kaiserlichen Palast statt, Hilarius CSEL 65, 187, 17 22 Vgl. Liberius Thdt. h. e. II 16, 8 26 ff. Das forderte Liberius in seinem Brief an Konstantius (CSEL 65, 92, 12 ff.; 93, 1 ff.) und bei dem Mailänder Verhör (Thdt. h. e. II 16, 22) 29 ἀπάγγειλον: durch seine Legaten 30 So auch Liberius Thdt. h. e. II 16, 11 (133, 8 ff.)

BKPO RE

1 παντὸς P | κρατήσωμεν R*E 2 κακεῖνος a. Rd. nachgetragen B 3 σπάδοντα + καὶ E 5/6 ’Αρειανοῖς δὲ ~ P 10 μία B ἢ μία KPORE 15 μέλλει B 21 ἐκβάλλονται RE 23 ἐγκαλοῦνται Op. ἐγκελεύονται Hss. | ἐκβάλλονται RE 30 ἀκουέσθω E[c] Montf. ἀκουέτω BKPORE* 33 ἐπι-λανθανόμενος E

που ἦν μεγάλως ἀπειλήσας ἐξήρχετο μετὰ τῶν δώρων. πράττει δέ τι παράνομον Χριστια-
B 366 νῶν μὲν ἀλλότριον, ¹ σπαδόντων δὲ τολμηρότερον. τὴν γὰρ παράβασιν τοῦ Σαοὺλ μιμησά-
D μενος ἀπελθὼν εἰς τὸ μαρτύριον Πέτρου τοῦ ἀποστόλου τὰ δῶρα αὐτῷ ἀνέθηκεν. ἀλλὰ
μαθὼν ὁ Λιβέριος πρὸς μὲν τὸν τηροῦντα τὸν τόπον καὶ μὴ κωλύσαντα μεγάλως ἠγανάκ-
τησεν, αὐτὰ δὲ ὡς ἄθυτον θυσίαν ἀπέρριψε, καὶ τοῦτο μᾶλλον εἰς ὀργὴν ἐκίνει τὸν θλαδίαν.
2 παροξύνει τοίνυν βασιλέα λέγων· 'οὐκέτι περὶ τοῦ γράψαι Λιβέριόν ἐστιν ἡμῖν ἡ φροντίς,
ἀλλ' ὅτι κατὰ τῆς αἱρέσεως οὕτω φρονεῖ, ὡς ἐξ ὀνόματος τοὺς 'Αρειανοὺς ἀναθεματίζειν'.
M 737 A εἰς τοῦτο δὲ κινεῖ καὶ τοὺς ἑτέρους σπάδοντας, πολλοὶ δέ, ¹ μᾶλλον δὲ τὸ ὅλον εἰσὶν εὐνοῦχοι
παρὰ Κωνσταντίῳ καὶ πάντα δύνανται παρ' αὐτῷ, χωρίς τε τούτων οὐδέν ἐστιν ἐκεῖ γε-
3 νέσθαι. γράφει δὴ οὖν βασιλεὺς εἰς 'Ρώμην, καὶ πάλιν παλατινοὶ καὶ νοτάριοι καὶ
κόμητες ἀποστέλλονται καὶ γράμματα πρὸς τὸν ἔπαρχον, ἵνα ἢ πλανήσαντες δόλῳ τὸν
Λιβέριον ἐξαγάγωσιν ἀπὸ τῆς 'Ρώμης καὶ πέμψωσιν εἰς τὸ στρατόπεδον πρὸς αὐτὸν ἢ
βίᾳ τοῦτον διώξωσι.

38, 1 Τοιούτων δὴ ὄντων τῶν γραφέντων λοιπὸν κἀκεῖ φόβος καὶ ἐπιβουλὴ κατὰ πᾶσαν τὴν
πόλιν ἤκμαζε. κατὰ πόσων γοῦν οἴκων ἀπειλὴ γέγονε; πόσοι πόσας ἐπαγγελίας εἰλήφασι
κατὰ Λιβερίου; πόσοι ταῦτα βλέποντες ἐκρύβησαν ἐπίσκοποι; πόσοι τῶν ἐλευθέρων
2 ἀνεχώρησαν εἰς χωρία διὰ τὰς διαβολὰς τῶν χριστομάχων; πόσοις ἀσκηταῖς ἐπεβού-
B λευσαν; πόσους ἐκεῖ διατρίβοντας καὶ λοιπὸν τὸ ἐφέστιον ἔχοντας ἐκεῖ διωχθῆναι πεποι-
ήκασι, ποσάκις καὶ ὅπως ἐφύλαξαν τὸν λιμένα καὶ τὰς εἰσόδους τῶν πυλῶν, ἵνα μή τις
ὀρθόδοξος εἰσελθὼν θεωρήσῃ Λιβέριον; ἔσχε καὶ 'Ρώμη πεῖραν τῶν χριστομάχων καὶ
ἔγνω λοιπὸν ὅπερ οὐκ ἐπίστευεν ἀκούουσα πρότερον, πῶς καὶ αἱ ἕτεραι ἐκκλησίαι κατὰ
3 πόλιν ἐπορθήθησαν παρ' αὐτῶν. εὐνοῦχοι δὲ ἦσαν οἱ καὶ ταῦτα καὶ τὰ κατὰ πάντων
κινοῦντες. καὶ τὸ παράδοξον τῆς ἐπιβουλῆς τοῦτό ἐστιν, ὅτι ἡ ἀρειανὴ αἵρεσις ἀρνουμένη
τὸν υἱὸν τοῦ θεοῦ ἐξ εὐνούχων ἔχει τὴν βοήθειαν, οἵτινες ὡς τῇ φύσει οὕτως καὶ τὴν ψυχὴν
4 ἀρετῆς ἄγονοι τυγχάνοντες οὐ φέρουσιν ἀκούειν ὅλως περὶ υἱοῦ. ὁ μὲν οὖν ἐκ τῆς
C Αἰθιοπίας εὐνοῦχος μὴ νοῶν ἃ ἀνεγίνωσκεν ἐπείσθη τῷ Φιλίππῳ διδάσκοντι περὶ τοῦ
σωτῆρος, οἱ δὲ τοῦ Κωνσταντίου σπάδοντες οὔτε τοῦ Πέτρου ὁμολογοῦντος ἀνέχονται,
ἀλλὰ καὶ τὸν πατέρα δεικνύντα τὸν υἱὸν ἀποστρέφονται καὶ μαίνονται κατὰ τῶν λεγόν-
των γνήσιον εἶναι τὸν υἱὸν τοῦ θεοῦ ἐκδικοῦντες σπαδόντων αἵρεσιν, μηδὲν εἶναι γνήσιον
5 καὶ ἀληθινὸν ἐκ τοῦ πατρός. διὰ τοῦτο γὰρ καὶ ὁ νόμος εἴργει τούτους εἰς ἐκκλη-
σιαστικὴν συμβουλίαν προσλαμβάνεσθαι, καὶ ὅμως τούτους νῦν τῶν ἐκκλησιαστικῶν κρι-
μάτων κυρίους ἐλογίσατο, καὶ ὅπερ ἂν αὐτοῖς δόξῃ, τοῦτο Κωνστάντιος κρίνει καὶ οἱ λε-
B 367 γόμενοι ἐπίσκοποι ὑποκρίνονται. ὢ τίς ἂν ¹ γένοιτο τούτων λογογράφος; τίς ἀπαγγεῖλαι
D ταῦτα εἰς γενεὰν ἑτέραν; τίς ἄρα πιστεύσειεν ἀκούων ὅτι σπάδοντες οἱ οἰκειακὰς ὑπηρεσίας
μόγις πιστευόμενοι (φιλήδονον γὰρ τὸ τούτων εἶδος, καὶ οὐδὲν ἄλλο μεριμνῶσιν ὡς
τοῦθ', ὅπερ αὐτοὺς ἡ φύσις ἀφείλατο, ἐμποδίζειν) οὗτοι νῦν τῶν ἐκκλησιαστικῶν κατάρ-
χουσι, καὶ τούτοις ὑποπίπτων Κωνστάντιος πᾶσιν ἐπεβούλευσε καὶ Λιβέριον ἐξώρισεν;

2 Vgl. I. Reg. 15 10 ff. Amm. XV 7, 6—10 gibt den besten Bericht über den Konflikt des Konstantius mit L. Da L. nicht das Urteil über Athanasius unterschreibt, Liberius aegre populi metu, qui eius amore flagrabat, cum magna difficultate noctis medio potuit asportari 23 ff. Ein kräftiger Sarkasmus! 26 Vgl. Acta 8, 27 ff. 27 Vgl. Mt. 16, 17 30 Can. Nic. 1

BKPO RE

9 δύναται E* 10 δὴ E^c δὲ E* 19 τοὺς λιμένας P 20 Λιβέριον θεωρήσῃ ∼ K 21 ἀκούσασα K 25 ἄγονοι ἀρετῆς ∼ KO 32 ἐλογίσατο KPORE* ἐλογίσαντο BE^c 33 ἀπαγγεῖλαι Op. ἀπαγγείλει BORE Comm. ἀπαγγείλοι K ἀπαγγείλῃ P Montf. 36 ἀφείλετο K | ἐκκλησιαστικῶν RE ἐκκλησιῶν BKPO

Ἐπειδὴ γὰρ πολὺς ἦν εἰς Ῥώμην γράφων, ¹ ἀπειλῶν, ἀποστέλλων, ἐπιβουλεύων, **39, 1**
λοιπὸν δ' ἐγεγόνει καὶ ὁ κατὰ Ἀλεξάνδρειαν διωγμός. ἕλκεται καὶ Λιβέριος πρὸς βασι- M 740 A
λέα καὶ πολλῇ καὶ αὐτὸς κέχρηται τῇ παρρησίᾳ· 'παῦσαι', λέγων, 'διώκων Χριστια- **2**
νούς· μὴ πείραζε δι' ἡμῶν εἰσάξαι τὴν ἀσέβειαν εἰς τὴν ἐκκλησίαν. πάντα ὑπομένειν ἐσμὲν
ἕτοιμοι ἢ Ἀρειομανῖται κληθῆναι. Χριστιανοὺς ὄντας ἡμᾶς μὴ ἀνάγκαζε χριστομάχους
γενέσθαι. τοῦτο καὶ σοὶ συμβουλεύομεν· μὴ μάχου πρὸς τὸν δεδωκότα σοι τὴν ἀρχὴν **3**
ταύτην· μὴ ἀντ' εὐχαριστίας ἀσεβήσῃς εἰς αὐτόν· μὴ δίωκε τοὺς πιστεύοντας εἰς αὐτόν·
μὴ ἀκούσῃς καὶ σύ· »σκληρόν σοι πρὸς κέντρα λακτίζειν«. ἀλλ' εἴθε κἂν ἀκούσῃς, ἵνα καὶ
σὺ πεισθῇς ὡς ὁ ἅγιος Παῦλος. ἰδοὺ πάρεσμεν, ἤλθομεν, πρὶν πλάσωνται πρόφασιν· **4**
διὰ τοῦτο γὰρ καὶ ἐσπεύσαμεν εἰδότες ὅτι ἐξορισμὸς ἡμᾶς μένει παρὰ σοῦ, ἵνα, πρὶν προ- B
φάσεως πάθωμεν, καὶ πᾶσι δειχθῇ φανερῶς ὅτι καὶ οἱ ἄλλοι πάντες οὕτω πεπόνθασιν ὡς
ἡμεῖς καὶ αἱ λεχθεῖσαι κατ' αὐτῶν προφάσεις ἐπλάσθησαν παρὰ τῶν ἐχθρῶν καὶ πάντα
τὰ κατ' αὐτούς ἐστι συκοφαντία καὶ ψευδῆ'.

Οὕτω μὲν οὖν ὁ Λιβέριος τότε λέγων ἐθαυμάζετο παρὰ πάντων, ὁ δὲ ἀντὶ τοῦ ἀπο- **40, 1**
κρίνασθαι μόνον ἐκέλευσε καὶ ἐξώρισεν ἕκαστον διαστήσας, ὅπερ καὶ ἐπὶ τῶν προτέρων
πεποίηκε. τοῦτον γὰρ ἐξορίζων τὸν τύπον αὐτὸς ἐποίησεν, ἵνα καὶ ἐν ταῖς τιμωρίαις ὠμό-
τερος τῶν πρὸ αὐτοῦ τυράννων καὶ διωκτῶν γένηται. τῷ μὲν γὰρ προτέρῳ διωγμῷ **2**
κοινῇ καὶ πολλοὺς ἅμα κελεύων ὁ τότε Μαξιμιανὸς ἐξώριζεν ὁμολογητὰς καὶ τὴν τιμωρίαν C
ἐπεκούφιζε παραμυθούμενος αὐτοὺς τῇ συνουσίᾳ, οὗτος δὲ κἀκείνου γέγονεν ὠμότερος καὶ
διέστησε τοὺς κοινῇ παρρησιασαμένους καὶ ὁμολογήσαντας καὶ διεχώρισε τοὺς συνδε-
θέντας τῇ πίστει, ἵνα καὶ ἀποθνήσκοντες ἀλλήλους μὴ βλέπωσι, νομίζων ὡς ὁ χωρισμὸς τοῦ
σώματος πάντως καὶ τὴν τῆς ψυχῆς διάθεσιν διίστησιν ἢ χωρισθέντες ἀφ' ἑαυτῶν ἐπι-
λάθωνται τῆς ἀλλήλων ὁμοφροσύνης τε καὶ ὁμοψυχίας· οὐκ εἰδὼς ¹ ὅτι, κἂν ἕκαστος ἀπο- B 368
μείνῃ, ἀλλ' ἔχει μεθ' ἑαυτοῦ πάλιν ὃν κοινῇ συνόντες ὡμολόγησαν κύριον, ὃς καὶ πλείους
εἶναι ποιήσει μεθ' ἑκάστου (ὡς πεποίηκεν ἐπὶ Ἐλισσαίου τοῦ προφήτου) ἤπερ εἰσὶ μετὰ D
Κωνσταντίου στρατιῶται. τυφλὸν ἀληθῶς ἡ κακία· ἐν ᾧ γὰρ ἔδοξαν λυπεῖν τοὺς **3**
ὁμολογητὰς διαχωρίζοντες αὐτοὺς ἀπ' ἀλλήλων, ἐν τούτῳ μᾶλλον ἑαυτοὺς μεγάλως ἠδίκη-
σαν. ὅλως μὲν γὰρ εἰ συνῆσαν ἀλλήλοις καὶ ἐπὶ τὸ αὐτὸ ἐτύγχανον, ¹ ἐξ ἑνὸς τόπου τῶν M 741 A
ἀσεβῶν ἐγνωρίζετο τὸ μύσος, νῦν δὲ διαστήσαντες αὐτοὺς πεποιήκασιν εἰς πάντα τόπον
διαδραμεῖν ἑαυτῶν καὶ γνωσθῆναι τὴν ἀσεβῆ αἵρεσιν καὶ πονηρίαν.

Οἷα γὰρ καὶ ταῦτα πράττοντες ἔδρασαν, τίς ἀκούσας οὐχ ἡγήσεται πάντα μᾶλλον **41, 1**
αὐτοὺς ἢ Χριστιανοὺς εἶναι; Λιβερίου γὰρ ἀποστείλαντος πρὸς βασιλέα Εὐτρόπιον πρεσ-

---

2 Wenn Athan. beim Wort genommen werden darf, so fanden die Verhandlungen in Rom mit Liberius vor August 355, also Juni/Juli 355 statt, s. unten S. 211, 2   3 Liberius wurde nach Mailand gebracht (Amm. Marc. a. a. O.: ad comitatum, das war in Mailand). Ath. macht leider an dieser Stelle nur eine wertlose rhetorische Mitteilung über die Verhandlungen. Die einzige Quelle ist das Protokoll bei Thdt. h. e. II 16, 1 ff. (Sozom. IV 11, 3 ff. schreibt es aus; Hilarius, Lucifer schweigen) und der dazugehörige Rahmenbericht   8 Act. 26, 14   14 Liberius wurde drei Tage nach der Verhandlung nach Beröa (Thrakien) verbannt (Thdt. h. e. II 16, 27—29). Demophilus, der Ortsbischof, hatte ihn zur Annahme des Urteils gegen Ath. zu veranlassen   19 Ath. denkt wohl an die Deportation in die Bergwerke, Euseb h. e. VIII 12, 10 (770, 19)   25 Vgl. IV. Reg. 6, 16   32 Hiermit lenkt Ath. auf die Ereignisse der Synode von Mailand zurück. Die beiden Legaten des Liberius hießen Pancratius und Hilarius (so Liberius CSEL 65, 93, 10), zu ihrer Verbannung Hieron. chron. ol. 283, 3 (18. J. d. Konst. = 355)

BKPO RE

---

3 καὶ πολλῇ K καὶ πρὸς πολλῇ BPORE* πρὸς ὅ γε πολλῇ E[c] | κέχρηται] κέκτηται B | κέχρηται + κατ' ἐκεῖνο καιροῦ RE, Glosse im Hinblick auf die spätere Haltung des Liberius   6 γενέσθαι B[c] κληθῆναι B*   13 ἐστι > E | καὶ > E   14 ὁ¹ > E   16 τιμωρίαις + αὐτὸς P   19 αὐτοὺς > B   20 διεχώρησε B   21 ἀποθνήσκοντας RE   22/23 ἐπιλάθονται RE   31 οὐχ ἡγήσεται ἀκούσας ~ BKPO

βύτερον καὶ διάκονον Ἱλάριον μετὰ γραμμάτων, ὅτε καὶ οἱ περὶ Λουκίφερον ὡμολόγουν,
τὸν μὲν πρεσβύτερον εὐθὺς ἐξώρισαν, τὸν δὲ διάκονον Ἱλάριον γυμνώσαντες καὶ τὰ νῶτα
μαστίξαντες ἐξώρισαν ἐπιφωνοῦντες· ‘διὰ τί μὴ ἀντέστης Λιβερίῳ, ἀλλὰ καὶ παρ' αὐτοῦ
κεκόμικας γράμματα’; ἐποίουν δὲ τοῦτο Οὐρσάκιος καὶ Οὐάλης καὶ οἱ σὺν αὐτοῖς σπάδον-
2 τες. καὶ ὁ μὲν διάκονος μαστιζόμενος ηὐλόγει τὸν κύριον μνησθεὶς αὐτοῦ λέγοντος·
B »τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας«. οἱ δὲ καὶ μαστίζοντες ἐγέλων καὶ ἐχλεύαζον αὐτὸν
οὐκ ἐρυθριῶντες, ὅτι Λευίτην ὕβριζον· πρέποντα δὲ ἑαυτοῖς καὶ οὗτοι γελῶντες ἐφρόνουν
κἀκεῖνος εὐλογῶν ὑπέμενε. τὸ μὲν γὰρ τύπτεσθαι Χριστιανῶν ἴδιόν ἐστι, τὸ δὲ μαστίζειν
3 Χριστιανοὺς Πιλάτου καὶ Καιάφα τὸ τόλμημα. οὕτω μὲν οὖν καὶ τὴν Ῥωμαίων ἐκ-
κλησίαν καὶ κατὰ τὴν ἀρχὴν ἐπεχείρησαν διαφθεῖραι θελήσαντες ἐγκαταμῖξαι καὶ ἐν αὐτῇ
τὴν ἀσέβειαν, ὁ δὲ Λιβέριος ἐξορισθεὶς ὕστερον μετὰ διετῆ χρόνον ὤκλασε καὶ φοβηθεὶς
τὸν ἀπειλούμενον θάνατον ὑπέγραψεν. ἀλλὰ καὶ τοῦτο δείκνυσιν ἐκείνων μὲν τὴν βίαν,
C Λιβερίου δὲ τὸ κατὰ τῆς αἱρέσεως μῖσος καὶ τὴν ὑπὲρ Ἀθανασίου ψῆφον, ὅτε τὴν προ-
4 αίρεσιν εἶχεν ἐλευθέραν. τὰ γὰρ ἐκ βασάνων παρὰ τὴν ἐξ ἀρχῆς γνώμην γιγνόμενα,
ταῦτα οὐ τῶν φοβηθέντων, ἀλλὰ τῶν βασανιζόντων ἐστὶ βουλήματα. πάντα μέντοι
ποιεῖν ὑπὲρ τῆς αἱρέσεως ἐπεχείρησαν. καθ' ἑκάστην δὲ ἐκκλησίαν τηροῦντες ἣν ἔμαθον
πίστιν, τοὺς μὲν διδασκάλους προσδοκῶσι, τὴν δὲ χριστομάχον αἵρεσιν κατέβαλον καὶ
πάντες ὡς ὄφιν ἐκτρέπονται.

42,1 Τοιαῦτα δὲ καὶ τοσαῦτα ποιήσαντες οἱ δυσσεβεῖς οὐδὲν ἐνόμιζον πεποιηκέναι, ἕως
ὁ μέγας Ὅσιος ἀπείρατος ἦν αὐτῶν τῆς πονηρίας. καὶ γὰρ καὶ κατὰ τοῦ τηλικούτου γέ-
B 369 ροντος ἐκτεῖναι τὴν μανίαν ἑαυτῶν ἐσκέψαντο. καὶ | οὔθ' ὅτι πατήρ ἐστι τῶν ἐπισκόπων
D ᾐσχύνθησαν, οὔθ' ὅτι γέγονεν ὁμολογητὴς ηὐλαβήθησαν, οὔτε τὸν χρόνον τῆς ἐπισκοπῆς,
ὅτι ἑξήκοντα ἔτη καὶ πλεῖον ἔχει ἐν αὐτῇ, ᾐδέσθησαν, ἀλλὰ πάντα ἐξουθένουν καὶ πρὸς
μόνην τὴν αἵρεσιν ἔβλεπον, ἄνθρωποι ἀληθῶς »μήτε τὸν θεὸν φοβούμενοι μήτε ἄνθρωπον
2 ἐντρεπόμενοι«. προσελθόντες τοίνυν Κωνσταντίῳ τοιούτοις πάλιν ἐχρήσαντο ῥήμασι·
‘πάντα μὲν πεποιήκαμεν καὶ ἐξωρίσαμεν τὸν Ῥωμαίων ἐπίσκοπον, ἐξωρίσαμεν δὲ καὶ πρὸ
M 744 A αὐτοῦ πλείστους ὅσους ἐπισκόπους, πάντα τε τόπον φόβου πεπληρώκαμεν· | ἀλλ' εἰς
οὐδὲν ἡμῖν ἐστι τὰ τηλικαῦτά σου ἔργα οὐδὲ κατώρθωται ὁτιοῦν ἡμῖν, ἕως Ὅσιος περι-
λείπεται. ἐκείνου γὰρ ὄντος ἐν τοῖς ἰδίοις καὶ πάντες ἐν ταῖς ἰδίαις ἐκκλησίαις εἰσίν,
3 ἱκανός ἐστιν ἐν λόγῳ καὶ πίστει πείθειν πάντας καθ' ἡμῶν. οὗτος καὶ συνόδων καθη-
γεῖται καὶ γράφων ἀκούεται πανταχοῦ· οὗτος καὶ τὴν ἐν Νικαίᾳ πίστιν ἐξέθετο καὶ τοὺς
Ἀρειανοὺς ἐκήρυξεν αἱρετικοὺς εἶναι πανταχοῦ. ἂν τοίνυν οὗτος μείνῃ, περιττὸς ὁ τῶν
ἑτέρων ἐξορισμὸς γέγονεν· ἡ γὰρ αἵρεσις ἡμῶν ἐκποδὼν γίγνεται. ἄρξαι τοίνυν καὶ

---

2 Zur Strafe des Auspeitschens vgl. Caspar, Papsttum I 175[1] 6 Jes. 50, 6 11 Vgl. S. 167, 19 Note. An der Angabe: nach 2 Jahren fiel Liberius um, ist nicht zu rütteln. Also meint Athan. hier die Unterschrift des Liberius unter das Sirmiense von 351, die er 357 vollzogen hat. Das muß vor dem 28. 4. 357 geschehen; denn nur dann konnte sich Konstantius, der zu dieser Zeit in Rom war, auf Verhandlungen über die Rückkehr des L. eingelassen haben (Thdt. h. e. II 17, 1. 2; Sozom. IV 11, 12; Coll. Avell. 1, 3; CSEL 35, 2, 3ff.) 20 Vgl. de fuga 5 (S. 71, 7ff. Noten) 21 πατήρ vgl. apol. ad Const. 3, 7 (S. 281, 13) 22f. ὁμολογητής so auch Euseb VC II 63 (66, 28f.); O. war nach den 60 Amtsjahren, die er 355 hatte, also schon etwa 10 Jahre vor der Verfolgung Bischof 24 Lc. 18, 2 31 Ob das Symbol der Synode von O. verfaßt ist, ist fraglich. Immerhin steht er an der Spitze der Liste der Bischöfe, die Kanones und Symbol unterschrieben, als Vertrauensmann, als Vertreter des Kaisers. Vgl. Euseb VC III 7, 2 (80, 18)

BKPO RE

---

1 a. Rd. Ἱλαρίου διακόνου E 6 ἔδωκαν E 7 αὐτοῖς K 10 διαφθαρεῖναι R 11 a. Rd. τὸ Λιβερίου B | ὤκλασε χρόνον ~ P 15 ἐστὶ] εἰσὶ E 17 χριστομάχων P | κατέβαλον Montf. κατέλαβον Hss. 20 καί² > R 23 a. Rd. περὶ τοῦ ἐπισκόπου Ὁσίου B 26 τὸν] τῶν B

τοῦτον διώκειν καὶ μὴ φείσῃ, κἂν ἀρχαῖος ᾖ. καὶ γὰρ ἡ αἵρεσις ἡμῶν οὐκ οἶδεν οὐδὲ
γερόντων τιμᾶν πολιάν'.

Ταῦτα ἀκούων οὐκ ἐμέλλησε βασιλεύς, ἀλλ' εἰδὼς τὸν ἄνθρωπον καὶ τὸ ἱκανὸν τοῦ 43, 1
γέροντος γράφει καὶ κελεύει τοῦτον ἐλθεῖν πρὸς αὐτόν, ἡνίκα καὶ Λιβέριον κατὰ τὴν ἀρχὴν B
ἐπείραζεν. ἐλθόντα δὴ οὖν αὐτὸν ἠξίου καὶ προέτρεπε τὰ συνήθη λέγων, οἷς δὴ καὶ τοὺς
ἄλλους ἀπατᾶν ἐνόμιζεν, ἵνα καθ' ἡμῶν μὲν γράψῃ, πρὸς δὲ τοὺς 'Αρειανοὺς ἔχῃ τὴν κοινω-
νίαν. ὁ δὲ γέρων καὶ τὴν ἀκοὴν ἀηδῶς ἐνέγκας καὶ λυπηθείς, ὅτι κἂν ὅλως ἐφθέγξατό τι 2
τοιοῦτον, ἐπιπλήξας καὶ πείσας αὐτὸν ἀνεχώρησεν εἰς τὴν πατρίδα καὶ τὴν ἐκκλησίαν
ἑαυτοῦ. ἀλλὰ τῶν αἱρετικῶν ἀποδυρομένων καὶ πάλιν παροξυνόντων (εἶχε δὲ καὶ τοὺς
εὐνούχους ὑπομιμνήσκοντας καὶ μᾶλλον παροξύνοντας) γράφει λοιπὸν βασιλεὺς μετὰ
ἀπειλῆς. καὶ ὑβρίζεται μὲν ὁ Ὅσιος, οὐ κινεῖται δὲ διὰ τὸν φόβον τῆς ἐπιβουλῆς, 3
ἀλλ' ἑστηκὼς τῷ φρονήματι καὶ ἐπὶ τὴν πέτραν οἰκοδομήσας ἑαυτοῦ τὴν τῆς πίστεως
οἰκίαν ἐπαρρησιάζετο κατὰ τῆς αἱρέσεως ῥανίδας καὶ πνοὰς ἀνέμων ἡγούμενος τὰς ἐκ τῶν C
γραμμάτων ἀπειλάς. πολλάκις γοῦν γράψαντος Κωνσταντίου καὶ τὰ μὲν κολακεύοντος 4
ὡς πατέρα, τὰ δὲ ἀπειλοῦντος καὶ τοὺς ἐξορισθέντας ὀνομάζοντος καὶ λέγοντος· 'ἔτι σὺ
μόνος τυγχάνεις ὁ κατὰ τῆς αἱρέσεως; πείσθητι καὶ γράψον κατὰ 'Αθανασίου. ὁ γὰρ
κατ' ἐκείνου γράφων πάντως τὰ 'Αρειανῶν μεθ' ἡμῶν φρονήσει'. οὐ καταρρωδήσας ὁ
Ὅσιος, ἀλλὰ καὶ πάσχων ὕβρεις ἔγραψε καὶ αὐτὸς τοιαῦτα, καὶ τὴν ἐπιστολὴν ἀνέγνωμεν,
καὶ ἔστιν ἐν τῷ τέλει γεγραμμένη.

... | 'Εγὼ μὲν ὡμολόγησα καὶ τὸ πρῶτον, ὅτε διωγμὸς γέγονεν ἐπὶ τῷ πάππῳ σου 44, 1
Μαξιμιανῷ. εἰ δὲ καὶ σύ με διώκεις, ἕτοιμος καὶ νῦν πᾶν ὁτιοῦν ὑπομένειν ἢ ἐκκενοῦν B 370 D
ἀθῷον αἷμα καὶ προδιδόναι τὴν ἀλήθειαν, σὲ δὲ οὐκ ἀποδέχομαι τοιαῦτα γράφοντα καὶ
ἀπειλοῦντα. παῦσαι τοῦ τοιαῦτα γράφειν καὶ μὴ φρόνει τὰ 'Αρείου, μηδὲ ἄκουε τῶν
ἀνατολικῶν μηδὲ πίστευε τοῖς περὶ Οὐρσάκιον καὶ Οὐάλεντα. ἃ γὰρ ἐκεῖνοι λέγουσιν,
οὐ δι' 'Αθανάσιον φθέγγονται, ἀλλὰ διὰ τὴν ἰδίαν αἵρεσιν. πίστευέ μοι, Κωνστάντιε, | M 745 A
πάππος εἰμί σου καθ' ἡλικίαν. ἐγενόμην αὐτὸς ἐν τῇ κατὰ Σαρδικὴν συνόδῳ, ὅτε 2
σύ τε καὶ ὁ μακαρίτης ἀδελφός σου Κώνστας πάντας ἡμᾶς συνήγαγε. καὶ δι' ἐμαυτοῦ
τοὺς ἐχθροὺς 'Αθανασίου προσεκαλεσάμην ἐλθόντας αὐτοὺς εἰς τὴν ἐκκλησίαν, ἐν ᾗ
ᾤκουν ἐγώ, ἵν', εἴ τι ἔχοιεν κατ' αὐτοῦ, λέγωσιν, ἐπαγγειλάμενος αὐτοῖς θαρρεῖν καὶ
μὴ ἄλλο τι προσδοκᾶν ἢ ὀρθὸν τὸ κριτήριον ἐπὶ πᾶσιν ἔσεσθαι. τοῦτο δὲ οὐχ ἅπαξ, 3
ἀλλὰ καὶ δεύτερον ἐποίησα προτρέπων, εἰ μὴ θέλοιεν ἐπὶ πάσης τῆς συνόδου, κἂν ἐπ'
ἐμοῦ μόνου, ἐπαγγειλάμενος πάλιν ὅτι, ἂν μὲν ὑπεύθυνος δειχθῇ, πάντως ἀποβλη-
θήσεται καὶ παρ' ἡμῶν, ἂν δὲ ἀναίτιος εὑρεθῇ καὶ ἐλέγξῃ συκοφάντας ὑμᾶς, εἰ παραιτεῖσθε
τὸν ἄνθρωπον, ἐγὼ μετ' ἐμαυτοῦ πείθω τὸν 'Αθανάσιον ἐλθεῖν εἰς τὰς Σπανίας. καὶ ὁ μὲν
'Αθανάσιος ἐπὶ τούτοις ἐπείθετο καὶ οὐκ ἀντέλεγεν, ἐκεῖνοι δὲ πρὸς πάντα μὴ θαρροῦντες B

3 Ath. Darstellung über die Verhandlungen mit Ossius ist durch andere Berichte nicht zu kontrollieren 12 Vgl. Mt. 7, 24 19 Der Brief folgt in der gesamten Überlieferung an dieser Stelle, worauf Athan. S. 209, 5 Bezug nimmt 20 Der Brief, ein Fragment, ist nur hier überliefert. Der Bericht des Ath. gestattet nicht, ihn genau zu datieren; immerhin ergibt sich aus der Rahmenerzählung, daß Ossius den Brief aus Spanien schrieb. — Vgl. S. 206, 22 21f. Vgl. Mt. 27, 4 23f. Vgl. S. 202, 3 26 Vgl. oben S. 190, 8 28 Vgl. S. 191, 8 34 Diese weitreichende Konzession an die Orientalen, zu deren Erfüllung man sich kaum die Einwilligung des Ath. erklären kann, ist in ihren Einzelheiten durchaus unklar

---

BKPO RE

---

3 ἐμέλλησεν + ὁ E[c] 6 ἔχει RE* 8 τοιοῦτον > KO 9 αὐτοῦ K 24 Οὐάλην P 26 Σερδικὴν RE 27 τε > E | συνηγάγετε E[c] 34 ἄνθρωπον + καὶ E | αὐτοῦ KE

4 ἴσως ἀνένευον. ἐγένετο δὲ πάλιν ὁ Ἀθανάσιος εἰς τὸ σὸν στρατόπεδον, ἡνίκα μετεπέμψω
γράψας αὐτῷ, καὶ παρόντας ἐν αὐτῇ τῇ Ἀντιοχείᾳ τοὺς ἐχθροὺς κληθῆναι πάντας ἢ
ἕκαστον αὐτῶν ἠξίωσεν, ἵν' ἢ ἐλέγξωσιν ἢ ἐλεγχθῶσι, καὶ ἵνα ἢ παρόντα δείξωσιν
οἷον λέγουσιν ἢ ἀπόντα μὴ διαβάλλωσι. καὶ οὔτε σὺ λέγοντος ἠνέσχου, ἀλλὰ κἀκεῖνοι
5 παρῃτήσαντο. τί τοίνυν ἀκούεις ἔτι τῶν κακολογούντων αὐτόν; πῶς ἀνέχῃ Οὐάλεντος
καὶ Οὐρσακίου, καίτοι μετανοησάντων αὐτῶν καὶ ἐγγράφως αὐτῶν ὁμολογησάντων
τὴν συκοφαντίαν; ὡμολόγησαν γὰρ οὐ βίαν παθόντες, ὡς αὐτοὶ προφασίζονται, οὐ
C στρατιωτῶν ἐπικειμένων, οὐκ εἰδότος τοῦ ἀδελφοῦ σου (οὐκ ἐγίγνετο γὰρ παρ' αὐτῷ
τοιαῦτα, οἷα νῦν γίγνεται, μὴ γένοιτο), ἀλλ' αὐτοὶ θέλοντες ἑαυτοῖς ἀνῆλθον εἰς τὴν
Ῥώμην καὶ τοῦ ἐπισκόπου καὶ τῶν πρεσβυτέρων παρόντων ἔγραψαν. γράψαντες
πρότερον καὶ Ἀθανασίῳ φιλικὴν καὶ εἰρηνικὴν ἐπιστολήν. εἰ δὲ βίαν προφασίζονται,
6 καὶ τοῦτο γιγνώσκουσι κακόν, οὐκ ἀποδέχῃ δὲ οὐδὲ σύ. παῦσαι τοῦ βιάζεσθαι καὶ
B 371 μήτε γράφε μήτε πέμπε κόμητας. ἀλλὰ καὶ τοὺς ἐξορισθέντας ἀπόλυσον, ἵνα μὴ βίαν |
αἰτιωμένου σου μείζονας βίας ἐκεῖνοι ποιῶσι. τί γὰρ τοιοῦτον γέγονε παρὰ Κώνσταντος;
τίς ἐπίσκοπος ἐξωρίσθη; πότε κρίσεως ἐκκλησιαστικῆς μέσος γέγονε; ποῖος αὐτοῦ
παλατῖνος ἠνάγκασε κατά τινος ὑπογράψαι, ἵνα οἱ περὶ Οὐάλεντα τοιαῦτα λέγωσι;
D παῦσαι, παρακαλῶ, καὶ μνήσθητι, ὅτι θνητὸς ἄνθρωπος τυγχάνεις, φοβήθητι τὴν ἡμέραν
7 τῆς κρίσεως, φύλαξον σεαυτὸν εἰς ἐκείνην καθαρόν. μὴ τίθει σεαυτὸν εἰς τὰ ἐκκλησιαστικά,
μηδὲ σὺ περὶ τούτων ἡμῖν παρακελεύου, ἀλλὰ μᾶλλον παρ' ἡμῶν σὺ μάνθανε ταῦτα.
σοὶ βασιλείαν ὁ θεὸς ἐνεχείρισεν, ἡμῖν τὰ τῆς ἐκκλησίας ἐπίστευσε. καὶ ὥσπερ ὁ τὴν σὴν
ἀρχὴν ὑποκλέπτων ἀντιλέγει τῷ διαταξαμένῳ θεῷ, οὕτω φοβήθητι, μὴ καὶ σὺ τὰ τῆς
ἐκκλησίας εἰς ἑαυτὸν ἕλκων ὑπεύθυνος ἐγκλήματι μεγάλῳ γένῃ. »ἀπόδοτε«, γέγραπται,
M 748 A »τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ«. οὔτε τοίνυν ἡμῖν ἄρχειν ἐπὶ | τῆς γῆς
8 ἔξεστιν οὔτε σὺ τοῦ θυμιᾶν ἐξουσίαν ἔχεις, βασιλεῦ. ταῦτα μὲν οὖν κηδόμενος τῆς σῆς
σωτηρίας γράφω, περὶ δὲ ὧν ἐπέστειλας ταύτης εἰμὶ τῆς γνώμης. ἐγὼ οὔτε Ἀρειανοῖς
συγκατατίθεμαι, ἀλλὰ καὶ τὴν αἵρεσιν αὐτῶν ἀναθεματίζω, οὔτε κατὰ Ἀθανασίου
γράφω, ὃν ἡμεῖς τε καὶ ἡ Ῥωμαίων ἐκκλησία καὶ πᾶσα ἡ σύνοδος ἐκαθάρισε. καὶ γὰρ
ταῦτα καὶ σὺ συνορῶν μετεπέμψω τὸν ἄνθρωπον καὶ συνεχώρησας αὐτῷ μετὰ τιμῆς
9 εἰς τὴν πατρίδα καὶ τὴν ἐκκλησίαν ἐπανελθεῖν. τίς τοίνυν γέγονε πρόφασις τῆς τοσαύτης
μεταβολῆς; οἱ αὐτοὶ γὰρ ἐχθροὶ οἱ καὶ πρότερον ὄντες καὶ νῦν εἰσιν αὐτοῦ. καὶ ἃ νῦν
ψιθυρίζουσιν (οὐ γὰρ παρόντος αὐτοῦ φθέγγονται), ταῦτα καὶ πρὶν μεταπέμψῃ τὸν
B Ἀθανάσιον κατελάλουν. ταῦτα καὶ ἐλθόντες εἰς τὴν σύνοδον διεθρύλουν καὶ ἀπαι-
τούμενοι παρ' ἐμοῦ, καθὰ προεῖπον, τὰς ἀποδείξεις οὐκ ἴσχυσαν παρασχεῖν· εἰ γὰρ
10 εἶχον, οὐκ ἂν ἔφυγον οὕτως αἰσχρῶς. τίς οὖν ἔπεισέ σε μετὰ τοσοῦτον χρόνον ἐπιλαθέσθαι
τῶν σαυτοῦ γραμμάτων καὶ ῥημάτων; ἐπίσχες καὶ μὴ πείθου κακοῖς ἀνθρώποις, ἵνα
μὴ διὰ τὸ πρὸς ἀλλήλους καθῆκον σαυτὸν ὑπεύθυνον ποιήσῃς. ὧδε γὰρ τούτοις καθη-
11 κεύεις ἐν δὲ τῇ κρίσει μόνος μέλλεις ἀπολογεῖσθαι. οὗτοι τὸν ἴδιον ἐχθρὸν διὰ σοῦ θέλουσιν

---

1 Vgl. S. 194, 17 f. 3 Vgl. S. 195, 5 5 ff. Vgl. S. 197, 5 ff. Note 11 Vgl. S. 198, 17 ff. 14 Konstans wird bei Ath. gegen Konstantius ausgespielt 18 Vgl. S. 202, 2 ff. 23 Mt. 22, 21 27 ἡμεῖς eine spanische Synode? Gemeint ist die römische Synode von 341, vgl. Julius v. Rom apol. sec. 21 ff. — Die Synode ist die von Serdika 28 In Antiochien 346, vgl. oben S. 194, 17 ff. 33 f. D. h. in Serdika Vgl. oben S. 207, 29 34 Diese Argumentation hat Ath. vollkommen aufgenommen

---

BKPO RE

---

11 πρότερον] πρῶτον B | καὶ Ἀθανασίῳ πρότερον ~ P 14 τοιοῦτο R 18 εἰς übergeschrieben R 22 μεγάλῃ O 24 οὖν B > KPORE 29 ἐπανελθεῖν B ἀπελθεῖν KPORE 31 πέμψῃ B 32 ταῦτα — διεθρύλουν B[c] a. Rd. | καὶ[1] > E 33 ἴσχυον E 36/37 καθηκεύεις (ετ übergeschrieben) B καθικεύεις R[a]

ἀδικεῖν καὶ βούλονταί σε διάκονον τῆς ἑαυτῶν πονηρίας γενέσθαι, ἵνα διὰ σοῦ καὶ τὴν μυσαρὰν αἵρεσιν εἰς τὴν ἐκκλησίαν ἐπισπείρωσιν. οὐκ ἔστι δὲ φρόνιμον δι' ἄλλων ἡδονὴν ἑαυτὸν εἰς προῦπτον κίνδυνον ἐμβάλλειν. παῦσαι, παρακαλῶ, καὶ πείσθητί μοι, Κωνστάντιε. ταῦτα γὰρ πρέπει καὶ ἐμὲ γράφειν καὶ σὲ τούτων μὴ καταφρονεῖν....

Ταῦτα μὲν ὁ Ἀβραμιαῖος γέρων, ὁ ἀληθῶς Ὅσιος ἐφρόνησέ τε καὶ ἔγραψεν, ὁ 45, 1 C
δὲ οὔτε τοῦ ἐπιβουλεύειν ἀνεχώρει οὔτε πρόφασιν κατ' αὐτοῦ ζητῶν πέπαυται, ἀλλὰ
καὶ ἀπειλῶν ἐπέμενε δεινῶς, ἵνα ἢ βιαζόμενος μεταγάγῃ ἢ μὴ πειθόμενον | ἐξορίσῃ. B 372
πρόφασιν μὲν οὖν ὥσπερ οἱ τακτικοὶ καὶ σατράπαι τῆς Βαβυλῶνος ζητοῦντες »οὐχ 2
εὕρισκον κατὰ τοῦ Δανιὴλ εἰ μὴ ἐν νόμοις θεοῦ αὐτοῦ«, οὕτω καὶ οἱ νῦν σατράπαι τῆς
ἀσεβείας οὐδὲ πλάσασθαι κατὰ τοῦ γέροντος ἄλλην ἠδυνήθησαν (πᾶσι γὰρ γνώριμος
ἦν ὁ ἀληθῶς Ὅσιος καὶ ὁ τούτου βίος ἀνεπίληπτος), εἰ μὴ τὸ κατὰ τῆς αἱρέσεως μῖσος.
διαβάλλουσι τοίνυν καὶ αὐτὸν οὐκέτι ὡς ἐκεῖνον Δαρείῳ (ἀηδῶς γὰρ ἤκουε Δαρεῖος 3
κατὰ τοῦ Δανιήλ), ἀλλ' ὡς Ἰεζάβελ κατὰ τοῦ Ναβουθαὶ καὶ ὡς οἱ Ἰουδαῖοι τῷ Ἡρώδῃ
λέγοντες· 'οὐ μόνον οὐχ ὑπογράφει κατὰ Ἀθανασίου, ἀλλὰ καὶ ἡμᾶς δι' αὐτὸν κατα- D
κρίνει καὶ τὴν αἵρεσιν οὕτω μισεῖ, ὡς καὶ ἄλλοις γράφειν θάνατον μᾶλλον ὑπομένειν
ἢ προδότας γίγνεσθαι τῆς ἀληθείας. δι' αὐτὴν γὰρ καὶ ὁ ἀγαπητὸς ἡμῶν Ἀθανάσιος
διώκεται καὶ Λιβέριος ὁ Ῥωμαίων ἐπίσκοπος καὶ οἱ ἄλλοι πάντες ἐπιβουλεύονται'.
ταῦτα ἀκούσας ὁ τῆς ἀσεβείας προστάτης καὶ τῆς αἱρέσεως βασιλεὺς Κωνστάντιος καί, 4
ὅτι μάλιστα καὶ ἕτεροί εἰσι κατὰ | τὰς Σπανίας ταυτὰ τῷ Ὁσίῳ φρονοῦντες, πειράσας M 749 A
κἀκείνους ὑπογράψαι καὶ μὴ δυνηθεὶς ἀναγκάσαι μεταπέμπεται τὸν Ὅσιον. καὶ ἀντὶ
ἐξορισμοῦ κατέχει τοῦτον ὅλον ἐνιαυτὸν ἐν τῷ Σερμίῳ οὔτε τὸν θεὸν φοβηθεὶς ὁ ἄθεος
οὔτε τοῦ πατρὸς τὴν διάθεσιν, ἣν εἶχε πρὸς τὸν Ὅσιον, αἰδεσθεὶς ὁ ἀνόσιος οὔτε τὸ
γῆρας (ἑκατονταετὴς γὰρ λοιπὸν ἦν) αἰσχυνθεὶς ὁ ἄστοργος. πάντα γὰρ ταῦτα παρεῖδε 5
διὰ τὴν ἀσέβειαν ὁ νέος Ἀχαὰβ καὶ ἄλλος Βαλθασὰρ ἐφ' ἡμῶν γενόμενος. τοσαύτην
γὰρ βίαν πεποίηκε τῷ γέροντι καὶ τοσοῦτον αὐτὸν συνέσχεν, ὡς θλιβέντα αὐτὸν μόγις
κοινωνῆσαι μὲν τοῖς περὶ Οὐάλεντα καὶ Οὐρσάκιον, μὴ ὑπογράψαι δὲ κατὰ Ἀθανασίου.
ἀλλὰ καὶ οὕτως οὐκ ἠμέλησεν ὁ γέρων, μέλλων γὰρ ἀποθνήσκειν ὥσπερ διατιθέμενος
ἐμαρτύρατο τὴν βίαν καὶ τὴν ἀρειανὴν αἵρεσιν ἀνεθεμάτιζε καὶ παρήγγελλε μηδένα
ταυτὴν ἀποδέχεσθαι. B

Τίς ταῦτα βλέπων ἢ καὶ μόνον ἀκούων οὐκ ἐξίσταται καὶ αὐτὸς καὶ καταβοήσει 46, 1
πρὸς κύριον λέγων· »μὴ ἄρα εἰς ἐξάλειψιν σὺ ποιήσῃς τὸν Ἰσραήλ;« τίς ταῦτα κατα-

9 Dan. 6, 5 12 Vgl. Dan. 6, 14 13 Vgl. III. Reg. 20, 7 — Vgl. Mt. 27, 12 20 Marc. et Faust. lib. prec. 32 (CSEL 35, 15, 2 ff.) überliefern, daß Potamius v. Lissabon O. bei Konstantius verklagt habe 21 ff. In Sirmium hat 357 (vgl. S. 68 Note) Ossius ein dort neu aufgestelltes Symbol (lat. Original bei Hilarius de syn. 11; II 464 C Maffei: exemplum blasphemiae apud Sirmium per Osium et Potamium conscriptae. Griech. Übers.: Athan. de synodis 28 S. 256) unterschrieben, ἐπὶ καταλύσει τῆς Οὐάλεντος καὶ Οὐρσακίου καὶ Γερμανίου (v. Sirmium) φιλονεικίας (Sozom. IV 12, 6, der als einziger einen Bericht über die Synode gibt). Nach Ath. hat sich O. bis 357 ein Jahr in Sirmium aufgehalten und vor der Ankunft des Konstantius (etwa im Okt. 357, vgl. Cod. Theod. VIII 5, 10; Amm. XVI 10, 21) seinen Frieden mit Valens und Ursacius gemacht, d. h. deren Symbol unterschrieben. Damit war eine Einigung in der Glaubensfrage erreicht, die durch den Beitritt des O. um so bedeutungsvoller war, als nunmehr formell der Forderung des Abendlandes (oben S. 201, 35 Note; 203, 26 ff.) Genüge getan war. Die Verurteilung des Ath. war damit theologisch gesichert. In den kommenden Jahren sah sich Ath. immer wieder genötigt, den theologischen Gegensatz einzuschärfen 31 Hes. 9, 8; 11, 13

BKPO RE

6 ἀνεχείρει B | αὐτοῦ] αὐτῶν K 9 αὐτοῦ > K 12 Δαρεῖος BKPO ὁ Δαρεῖος RE 13 Ἰαζάβελ P | Ναβουθὲ K | οἱ > E 15 μισεῖν R* 16 γενέσθαι E 19 τὰς] τῆς B | τῷ > RE 21 Σερμίῳ BPR Σιρμίῳ KOE 25 πεποίηκε βίαν ~ K 28 παρήγγειλε E 31 ποιήσεις RE

νοῶν οὐκ εὐκαίρως καὶ αὐτὸς ἀναβοήσει λέγων· »ἔκστασις καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς
γῆς« καὶ »ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἡ γῆ ἐπὶ πλεῖον ἔφριξε σφόδρα«; οἱ πατέρες
τῶν λαῶν καὶ διδάσκαλοι τῆς πίστεως αἴρονται καὶ οἱ ἀσεβεῖς εἰς τὰς ἐκκλησίας εἰσάγονται.
2 τίς, ὅτε Λιβέριος ὁ ἐπίσκοπος Ῥώμης ǀ ἐξωρίσθη καὶ ὁ πατὴρ τῶν ἐπισκόπων ὁ μέγας
B 373 Ὅσιος, [οὕτω πάσχοντα ἢ τίς] ὁρῶν τοσούτους ἐπισκόπους ἀπὸ τῆς Σπανίας καὶ τῶν
ἄλλων μερῶν ἐξοριζομένους οὐκ ἐπέγνω, κἂν ὀλίγην αἴσθησιν ἔχῃ, ὅτι καὶ τὰ κατὰ
C Ἀθανάσιον καὶ τοὺς ἄλλους προφάσεις εἰσὶ ψευδεῖς καὶ πάντα συκοφαντίας μεστά·
τούτου γὰρ χάριν κἀκεῖνοι πάντα παθεῖν ὑπέμειναν συνορῶντες τὴν γενομένην ἐκ συκο-
3 φαντίας ἐκείνων ἐπιβουλήν. ἐπεὶ ποῖον ἔγκλημα καὶ Λιβερίῳ; ἢ ποία κατηγορία κατὰ
τοῦ γέροντος Ὁσίου; τίς κἂν ἐψεύσατο κατὰ Παυλίνου καὶ Λουκιφέρου καὶ Διονυσίου
καὶ Εὐσεβίου; ἢ ποῖον ἁμάρτημα κατὰ τῶν ἄλλων ἐξορισθέντων ἐπισκόπων καὶ πρεσ-
βυτέρων καὶ διακόνων; οὐκ ἔστι τοῦτο, μὴ γένοιτο, οὐ γὰρ δι' ἐγκλήματα γεγόνασιν
M 752 A αἱ συσκευαὶ οὐδὲ διὰ κατηγορίαν ἕκαστος ǀ ἐξωρίσθη, ἀλλ' ἐπανάστασίς ἐστι τῆς ἀσεβείας
κατὰ τῆς εὐσεβείας, καὶ σπουδὴ μὲν ὑπὲρ τῆς ἀρειανῆς αἱρέσεως, προοίμια δὲ τῆς τοῦ
ἀντιχρίστου παρόδου Κωνσταντίου ταύτην προκατασκευάζοντος ἐκείνῳ.

47, 1 Μετὰ γὰρ τὸ διαπράξασθαι πάντα, ὅσαπερ ἠθέλησεν εἰς τὰς ἐκκλησίας τὰς ἐν τῇ
Ἰταλίᾳ καὶ τὰ ἄλλα μέρη, μετὰ τὸ τοὺς μὲν ἐξορίσαι, τοὺς δὲ ἀναγκάσαι καὶ πληρῶσαι
φόβου τὰ πανταχοῦ λοιπὸν εἰς Ἀλεξάνδρειαν ὥσπερ τι νόσημα τὸν ἑαυτοῦ θυμὸν
2 ἔστρεψεν· ἐγίγνετο δὲ τοῦτο πανούργως παρὰ τῶν χριστομάχων. ἵνα γὰρ φαντασίαν
ἔχωσιν ὑπογραφῆς πολλῶν ἐπισκόπων, καὶ ἵνα διωχθεὶς Ἀθανάσιος μὴ ἔχῃ κἂν ἀπο-
δύρεσθαι πρὸς ἐπίσκοπον, διὰ τοῦτο προλαμβάνοντες τὰ πανταχοῦ πεπληρώκασι
B φόβου. καὶ τοῦτον ἔφεδρον εἰς τὴν ἐπιβουλὴν ἐτήρησαν οὐκ εἰδότες οἱ ἄφρονες ὅτι οὐ
προαίρεσιν ἐπισκόπων, ἀλλὰ τὴν παρ' αὐτῶν γενομένην βίαν ἐπεδείκνυντο, καὶ ὅτι,
κἂν ἀδελφοὶ καταλείψωσι, κἂν φίλοι καὶ γνώριμοι μακρὰν ἀποστῶσι καὶ μηδεὶς εὑρεθῇ
συλλυπούμενος καὶ παρακαλῶν, ἀλλ' ὑπὲρ πάντα μᾶλλον ἡ πρὸς θεὸν ἐξαρκεῖ κατα-
3 φυγή. μόνος γὰρ ἦν καὶ Ἠλίας διωκόμενος καὶ πάντα καὶ ἐν πᾶσιν ἦν ὁ θεὸς τῷ ἁγίῳ.
καὶ τοῦτον δὲ τύπον δέδωκεν ἡμῖν ὁ σωτὴρ καὶ μόνος καταλειφθεὶς ὑπὸ τῶν ἐχθρῶν
ἐπεβουλεύετο, ἵνα, κἂν ἡμεῖς διωκόμενοι καταλειφθῶμεν ὑπὸ ἀνθρώπων, μὴ ἐκκακῶ-
μεν, ἀλλ' ἔχωμεν εἰς αὐτὸν τὴν ἐλπίδα καὶ μὴ προδίδωμεν τὴν ἀλήθειαν, ἥτις, κἂν κατὰ
C τὴν ἀρχὴν θλίβεσθαι δόξῃ, ἀλλ' ὕστερον καὶ οἱ διώκοντες αὐτὴν ἐπιγνώσονται.

---

1 Jer. 5, 30 2 Jer. 2, 12 16 Von c. 47 an, d. h. fast in der Hälfte der erhaltenen Schrift, berichtet Athan. über die Verfolgung in Ägypten. Eine Geschichtsdarstellung darf man diese mit Haß gegen Konstantius erfüllte Schrift nicht nennen. Man vermißt eine klare chronologische Ordnung der Ereignisse. Athan. handelt von den Martyrien der ägyptischen Kirche. Er wendet sich an die Mönche und die simplices der Kirche. Der Zweck der Schrift ist es, sie davor zu bewahren, daß der Antichrist Konstantius (c. 74ff.) sie überwältigt, d. h. zu sich verführt. Das Pamphlet ist nach der apol. secunda, apol. ad Const. und apol. de fuga, spätestens Anfang 358 verfaßt, als alle Versuche des Athan., Konstantius durch seine Publizistik zum Einlenken zu bewegen und den Widerstand der Bischöfe zu verstärken, fehlgeschlagen waren. 358 ist dann die Zeit der Gewalt. Im September 358 wütet ein Aufstand der Athanasianer in Alexandrien, dem Georg am 2. Okt. weichen muß. Erst am 24. Dez. besetzt das Militär unter Sebastian von neuem die Kirchen. Nach den Keph. ist nach diesem Zeitpunkt Athan. nicht mehr in der Stadt. Aus dem Versteck hatte er den Widerstand geweckt und geleitet 26 Vgl. III. Reg. 19, 3. 4

BKPO RE

---

1 ἀναβοήσει KPOR καταβοήσει BE | καταβοήσει καὶ αὐτὸς ∼ E 4 ὁ¹ > B 5 [οὕτω πάσχοντα ἢ τις] Op. als eigentlich störenden Bestandteil einer Glosse, die vielleicht sogar den Satz ὅτε Λιβέριος — Ὅσιος umfaßt. Die Glosse wurde zu τοσούτους ἐπισκόπους . . . an den Rand gesetzt 14 τοῦ > RE 21 παραλαμβάνοντες K 27 ἔδωκεν O* | ἡμῖν δέδωκεν ∼ B | καταλειφθεὶς BKPO καταληφθεὶς RE 29 ἔχομεν R | ἐλπίδα doppelt O 30 οἱ] οὐ E

Παροξύνουσι τοίνυν καὶ γράφει τὸ πρῶτον βασιλεὺς καὶ πέμπει πρός τε τὸν δοῦκα 48, 1
καὶ τοὺς στρατιώτας ἀπειλήν. νοτάριοί τε Διογένιός τε καὶ Ἱλάριος καὶ παλατῖνοι σὺν
αὐτοῖς ἀποστέλλονται. καὶ γέγονε τὰ τοσαῦτα δεινὰ καὶ ὠμὰ κατὰ τῆς ἐκκλησίας, ἃ | B 374
μικρῷ πρόσθεν δι' ὀλίγων εἴρηται καὶ πάντες ἔγνωσαν, ἐξ ὧν ἔθηκαν οἱ λαοὶ διαμαρτυ-
ριῶν, ἃς καὶ ἀναγνῶναι δύναταί τις γραφείσας ἐν τῷ τέλει τούτων. εἶτα μετὰ τὸ γενέσθαι 2
τὰ παρὰ Συριανοῦ, μετὰ τὸ γενέσθαι τὰ τοσαῦτα καὶ τὰς κατὰ τῶν παρθένων ὕβρεις
ἀποδεξάμενος τὰ οὕτω καὶ τὰ τοιαῦτα κακὰ γράφει πάλιν τῇ βουλῇ καὶ τῷ δήμῳ τῆς
Ἀλεξανδρείας παροξύνων τοὺς νεωτέρους, ἵνα πάντες συνελθόντες ἢ διώξωσιν Ἀθα- D
νάσιον ἢ γινώσκοιεν ἐχθροὺς αὐτοῦ τυγχάνειν αὐτούς. αὐτὸς μὲν οὖν καὶ πρὶν ἐλθεῖν 3
ταῦτα, ἐξ οὗ τῇ ἐκκλησίᾳ Συριανὸς ἐπῆλθεν, ἀναχωρήσας ἦν εἰδὼς τὸ γεγραμμένον·
»ἀλλ' ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργή«, | τῶν δὲ γραμμάτων M 753 A
τούτων γίνεται διάκονος Ἡράκλειός τις τῷ ἀξιώματι κόμης προοδεύων τινὸς Γεωργίου
τοῦ ἀποστελλομένου παρὰ τοῦ βασιλέως κατασκόπου· οὐ γὰρ ἂν εἴη ἐπίσκοπος ὁ παρ'
ἐκείνου πεμπόμενος, μὴ γένοιτο, ὡς καὶ αὐτὰ τὰ γενόμενα καὶ τὰ προοίμια τῆς εἰσόδου
δείκνυσι.

Τὰ μὲν οὖν γράμματα προὔθηκε δημοσίᾳ καὶ πολλὴν αἰσχύνην ἐδείκνυον τοῦ 49, 1
γράφοντος. ἐπειδὴ γάρ, ὡς ἔγραψεν ὁ μέγας Ὅσιος, οὐχ ηὕρισκε πιθανὴν πρόφασιν
τῆς ἑαυτοῦ μεταβολῆς, ἐπενόησε πολλῷ καὶ μᾶλλον ἀπρεπεστέραν ἑαυτῷ καὶ τοῖς τούτῳ
συμβουλεύσασιν, ἔφησε γάρ· 'τὴν πρὸς τὸν ἀδελφὸν αἰδούμενος φιλίαν τὸν τῆς 2
θείας καὶ εὐσεβοῦς μνήμης ἐπὶ καιρὸν αὐτῷ τὴν ὡς ὑμᾶς γενέσθαι πάροδον ἠνεσχόμην'.
τοῦτο δὲ καὶ τὴν ἐπαγγελίαν ψευσάμενον καὶ πρὸς τὸν ἀδελφὸν μετὰ θάνατον ἀγνώμονα B
δείκνυσιν. εἶτα 'θείας καὶ εὐσεβοῦς αὐτὸν μνήμης' ὥσπεροῦν καὶ ἔστιν ἄξιον ὀνομάζει,
οὗ τὴν ἐντολὴν καὶ τὴν 'φιλίαν ⟨αἰδεῖται⟩', ὡς αὐτὸς ἔγραψε, καίτοι, εἰ καὶ διὰ τὸν
μακαρίτην Κώνσταντα συγχωρήσας ἦν, ὤφειλε μὴ ἀκαθήκων περὶ τὸν ἀδελφὸν γενέσθαι,
ἵν' ὥσπερ τῆς βασιλείας οὕτω καὶ τῆς γνώμης αὐτοῦ κληρονόμος γένηται.

Ἀλλὰ τὸν μὲν Βρετανίωνα καθεῖλεν ἐθελήσας τὸ δίκαιον ἀπαιτεῖν λέγων· 'τίνι 50, 1
μετὰ θάνατον ἀδελφῶν ἡ κληρονομία γίγνεται;' διὰ δὲ τὴν μυσαρὰν αἵρεσιν τῶν χρι-

1 Vgl. apol. ad Const. 22, 1 (S. 291, 10 ff.) 2 Hist. Athan. 4 (f. 106ᵃ): postmodum autem Diogenes imperialis notarius uenit Alexandriam mense Mensore consulatus Arbitionis et Lolliani (25. 7—23. 8. 355) ... et incubuit omnibus Diogenes expellens egredi episcopum civitatem et omnes satis adstrixit, VI autem die Toth mensis (4. 9. 355) acriter incumbens expugnabat ecclesiam. Vom 24. 8.—23. 12. 355 hielt der Beamte die Kirche besetzt 4 Verweis auf c. 31, 2 (S. 200, 1 ff.) 4 f. Es wurden nach der Überschrift von c. 81 (S. 228, 28) zwei schriftliche Proteste seitens der alexandrinischen Gemeinde im Januar und Februar 356 beim Präfekten eingereicht. Der zweite ist unten c. 81 erhalten, der erste fehlt. Doch aus apol. ad Const. 25, 3—5 (S. 293, 11 ff.) ist er zu rekonstruieren 6 Vgl. unten S. 229, 13 7 Das ist nicht der Brief apol. ad Const. c. 30, wie aus c. 49, 2 Z. 19 ff. hervorgeht 9 Vgl. unten S. 229, 16 10 Vgl. de fuga 24 11 Jes. 26, 20 12 Herakleios vgl. S. 213, 37 14 Vgl. oben c. 3, 4 S. 184, 24. — Die Alexandriner protestierten gegen Georg bei Konstantius, Lucifer Cal. de s. Athan. I 9 (CSEL 14, 81, 6) 17 c. 44, 9 S. 208, 29 ff. 19 Vgl. das zu S. 194, 10 Note 25 Der ungebildete magister peditum in Illyrien (Aur. Vict. de Caes. 41, 26) Vetranio, wurde am 1. 3. 350 von Konstantia, der Schwester des Konstantius, mit Einverständnis des K. zum Caesar erhoben (Chron. pasch. = Philost. ed. Bidez S. 219, 2; Philost. III 22). V. sollte als Gegner des Magnentius der Platzhalter für die dynastischen Ansprüche des K. im Westen sein. Auf seinem Marsch gegen Magnentius gewann K. die Truppen des V. für sich. Darauf legte V. seine Würde nach 10 Monaten (Aurel. Vict. 42, 1; Chron. pasch. bei Philost. ed. Bidez S. 220, 4) nieder und lebte als Staatspensionär in Prusa noch 6 Jahre. Die Begründung für die Absetzung, die Ath. angibt, dürfte allerdings nicht in der persönlichen Schärfe zutreffen

BKPO RE

2 Διογένης K 7 τὰ² ausradiert R 8 διώξουσιν RE* 18 τοῦτο E 22 μνήμης αὐτὸν καὶ εὐσεβοῦς ∼ E 23 ⟨αἰδεῖται⟩ Op. vgl. Z. 19 24 ἀκάθηκον BKPO 26 ἀπαιτεῖν BKᶜ ἀπαιτεῖ PORE

στομάχων οὔτε τὸ δίκαιον οἶδεν, ἀλλὰ καὶ πρὸς τοὺς ἀδελφοὺς ἀκαθήκων γίγνεται· δι'
C ἣν αἵρεσιν οὐδὲ τοῦ πατρὸς ὁλόκληρον τὴν γνώμην φυλάττειν ἐνενόησεν, ἀλλ' εἰς μὲν τὸ
ἀρέσκον τοῖς ἀσεβέσι τοῦτο τηρεῖν ὑποκρίνεται, εἰς δὲ τὸ λυποῦν ἐκείνους οὐκ οἶδεν οὐδὲ
2 τὸ πρὸς τὸν πατέρα σέβας φυλάξαι. ἀπέστειλε μὲν γὰρ ἐκεῖνος τὸν ἐπίσκοπον ἐκ
διαβολῆς τῶν περὶ Εὐσέβιον εἰς τὰς Γαλλίας ἐπὶ καιρὸν διὰ τὴν τῶν ἐπιβουλευόντων
B 375 ὠμότητα — τοῦτο γὰρ ὁ μακαρίτης Κωνσταντῖνος | ὁ τούτου ἀδελφὸς μετὰ θάνατον τοῦ
πατρὸς ἐδήλωσεν ὡς ἐκ τῶν γραμμάτων αὐτοῦ δείκνυται —, οὐκ ἐπείσθη δὲ τοῖς περὶ
Εὐσέβιον ἀποστεῖλαι ὃν ἤθελον ἐπίσκοπον αὐτοί, ἀλλὰ καὶ θέλοντας ἐκώλυσε καὶ ἐπι-
χειρήσαντας ἐπέσχε μετὰ δεινῆς ἀπειλῆς.
51, 1 Πῶς οὖν, εἰ τὰ τοῦ ἑαυτοῦ γεννήτορος, ὡς γράφει, φυλάττειν ἤθελεν, ἀπέστειλε
D τὸ μὲν πρῶτον Γρηγόριον καὶ νῦν δὲ τὸν ταμειοφάγον Γεώργιον; ἢ διὰ τί τοὺς Ἀρειανούς,
οὓς ἐκεῖνος Πορφυριανοὺς ὠνόμασε, τούτους οὗτος εἰς τὴν ἐκκλησίαν εἰσαγαγεῖν σπου-
δάζει καὶ τούτων προιστάμενος ἄλλους ἐξορίζει; εἰ δὲ καὶ ἑώρακεν Ἄρειον ὁ πατὴρ
αὐτοῦ, ἀλλ' ἐπιορκήσας Ἄρειος καὶ ῥαγεὶς ἔλυσε τὴν τοῦ πατρὸς φιλανθρωπίαν· καὶ
2 γὰρ καὶ αὐτὸς μαθὼν ὡς αἱρετικοῦ κατέγνω λοιπόν. πῶς δὲ καὶ προφασιζόμενος
M 756 A φροντίζειν τοῦ ἐκκλησιαστικοῦ | κανόνος πάντα παρὰ τοῦτον ἐπενόησε πράττειν; ποῖος
γὰρ κανὼν ἀπὸ παλατίου πέμπεσθαι τὸν ἐπίσκοπον; ἢ ποῖος κανὼν στρατιώτας ἐπι-
βαίνειν ἐκκλησίαις; ἢ τίς παραδέδωκε κόμητας καὶ τοὺς ἀλογίστους σπάδοντας κατάρχειν
τῶν ἐκκλησιαστικῶν καὶ διατάγματι τὴν κρίσιν τῶν λεγομένων ἐπισκόπων δηλοῦσθαι;
πάντα ψεύδεται διὰ τὴν ἀνόσιον αἵρεσιν· καὶ γὰρ παρὰ γνώμην τοῦ πατρὸς καὶ τότε
3 Φιλάγριον τὸ δεύτερον ἔπεμψεν ἔπαρχον καὶ τὰ νῦν γενόμενα γέγονε. καὶ διὰ τὸν
ἀδελφὸν δὲ οὐκ ἀληθεύει. καὶ γὰρ καὶ μετὰ τὸν ἐκείνου θάνατον οὐχ ἅπαξ οὐδὲ δεύτερον,
ἀλλὰ καὶ τρίτον ἔγραψε τῷ ἐπισκόπῳ. καὶ πάλιν ἐπηγγείλατο μὴ μεταβάλλεσθαι,
B ἀλλὰ καὶ θαρρεῖν παρεκελεύσατο, ὥστε παρὰ μηδενὸς αὐτὸν ταράττεσθαι, ἀλλὰ καὶ
4 μένειν ἐν τῇ ἐκκλησίᾳ μετὰ πάσης ἀμεριμνίας. καὶ ἐντολὰς δὲ δι' Ἀστερίου κόμητος
καὶ Παλλαδίου νοταρίου ἔπεμψε Φιλικισσίμῳ τῷ τότε δουκὶ καὶ Νεστορίῳ τῷ ἐπάρχῳ,
ἵνα, εἴτε Φίλιππος ὁ ἔπαρχος εἴτε τις ἄλλος ἐπιβουλεύειν Ἀθανασίῳ τολμήσῃ, τοῦτον
ἐκεῖνοι κωλύωσι.
52, 1 Διὰ τοῦτο γὰρ καὶ ὅτε Διογένης ἦλθε καὶ Συριανὸς ἐνήδρευσεν, αὐτοί τε καὶ ἡμεῖς
καὶ ὁ λαὸς ἀπῃτοῦμεν γράμματα βασιλέως νομίζοντες, ὅτι, ὥσπερ γέγραπται, »μηδὲν
ψεῦδος ἀπὸ στόματος λεγέσθω βασιλεῖ« οὕτω καὶ βασιλεὺς ἐπαγγειλάμενος οὔτε ψεύσεται

---

4 Vgl. apol. sec. 87, 3—7 S. 166 (Brief des Konstantin II.) 11 ταμειοφάγος vgl. unten S. 224, 29 Note 12 Vgl. das Edikt Konstantins vom Jahre 333, Urk. 33 (III 67, 5) 13ff. De morte Arii 2 (S. 179, 1 ff.) 15 Über eine Verurteilung des Arius durch Konstantin nach der Katastrophe in Konstantinopel spricht Ath. nur an dieser Stelle. Wieweit die Nachricht zutrifft, entzieht sich unserer Kenntnis 16 Vgl. ep. enc. 2 (S. 171, 12) 21 Vgl. oben S. 188, 16 22f. Gemeint sind die drei Briefe vom Jahre 345/6, apol. sec. c. 51 23 Gemeint ist der Brief von 351 oben c. 24 25f. Zu den Namen vgl. apol. ad Const. 22, 4 (S. 291, 19f. Note) 26 Der Dux Felicissimus ist durch Pap. Oxy. 1190, 5 für den 28. Payni 347 (= 17. Juni) bezeugt, vgl. Pap. Lond. 234, 4; 405, 8 (hier als Comes). Der hier erwähnte Befehl gehört ins Jahr 350. Diese Anweisung an den praefectus Aegypti Nestorius wurde vor 352, wahrscheinlich 350, dem Todesjahr des Philippus (s. oben S. 187, 8 Note), gegeben; vgl. apol. ad Const. 23 (S. 291, 22 Note) 29f. Zur Forderung eines schriftlichen Befehls des Kaisers für die Vertreibung des Ath. vgl. Apol. ad Const. 22ff. 30 Prov. 24, 22[b]

BKPO RE

---

2 αἵρεσιν > B 3 λυπεῖν K 14 πατρὸς + αὐτοῦ K | φιλανθρωπίαν φιλίαν] E 15 αἱρετικοῦ BKPO αἱρετικοὺς RE 20 ἀνόσιον] ἀνόησιν B 24 ὥστε KRE ὥστε μὴ BPO | αὐτὸν BKPO αὐτῶν RE 24/25 καὶ[2] + θαρρεῖν παρεκελεύσατο E, aber getilgt 26 νοταρίου > B 27 τολμήσῃ RE τολμήσει BKPO 29 αὐτοί Op. αὐτός Hss. 30 γράμματα + τοῦ B

οὔτε μεταβληθήσεται. πῶς οὖν, εἰ διὰ τὸν ἀδελφὸν συνεχώρησεν, ἔγραψε καὶ μετὰ 2
θάνατον αὐτοῦ; εἰ δὲ καὶ τότε διὰ τὴν ἐκείνου μνήμην ἔγραψε, διὰ τί μετὰ ταῦτα τὸ
ὅλον ἠγνωμόνησεν αὐτὸν διώκων τὸν ἄνθρωπον καὶ τοιαῦτα γράφων, ἐν οἷς προφα- C
σίζεται μὲν κρίσιν ἐπισκόπων, πράττει δὲ αὐτός, ὡς ἂν αὐτῷ δοκῇ, οὐ λανθάνων ὅμως,
ἀλλὰ καὶ ἐγγὺς | ἔχων τὸν ἔλεγχον τῆς πανουργίας; εἰ γὰρ ἐπισκόπων ἐστὶ κρίσις, 3 B 376
τί κοινὸν ἔχει πρὸς ταύτην βασιλεύς; εἰ δὲ βασιλέως ἐστὶν ἀπειλή, τίς ἐνταῦθα χρεία
τῶν λεγομένων ἐπισκόπων; πότε γὰρ ἐκ τοῦ αἰῶνος ἠκούσθη τοιαῦτα; πότε κρίσις
ἐκκλησίας παρὰ βασιλέως ἔσχε τὸ κῦρος ἢ ὅλως ἐγνώσθη τοῦτο τὸ κρῖμα; πολλαὶ σύνοδοι
πρὸ τούτου γεγόνασι, πολλὰ κρίματα τῆς ἐκκλησίας γέγονεν, ἀλλ' οὔτε οἱ πατέρες
ἔπεισάν ποτε περὶ τούτων βασιλέα οὔτε βασιλεὺς τὰ τῆς ἐκκλησίας περιειργάσατο.
Παῦλος ἀπόστολος εἶχε φίλους τοὺς τῆς τοῦ Καίσαρος οἰκίας καὶ γράφων ἠσπάζετο 4 D
τοὺς Φιλιππησίους ἀπὸ τούτων, ἀλλ' οὐκ εἰς κρίματα τούτους κοινωνοὺς παρελάμ-
βανε. νῦν δὲ θέαμα καινὸν καὶ τοῦτο τῆς ἀρειανῆς αἱρέσεώς ἐστιν εὕρημα. συνῆλθον 5
γὰρ αἱρετικοὶ καὶ βασιλεὺς | Κωνστάντιος, ἵνα κἀκεῖνος τὴν ἐπισκόπων ἔχων πρόφασιν M 757 A
τῇ ἐξουσίᾳ καθ' ὧν ἂν ἐθέλοι πράττῃ καὶ διώκων μὴ λέγηται διώκτης. καὶ οὗτοι δὲ
τὴν βασιλέως ἔχοντες δυναστείαν ἐπιβουλεύωσιν οἷς ἂν ἐθέλωσι· θέλουσι δὲ τοῖς μὴ
ἀσεβοῦσιν ὡς αὐτοί. τοῦτο δὲ ὡς ἐπὶ σκηνῆς ἄν τις ἴδοι κωμῳδούμενον παρ' αὐτοῖς, 6
καὶ τοὺς μὲν λεγομένους ἐπισκόπους ὑποκρινομένους, τὸν δὲ Κωνστάντιον τὰ ἐκείνων
ἐνεργοῦντα καὶ πάλιν ἐπαγγελλόμενον μὲν τοῦτον, ὡς Ἡρώδης τῇ Ἡρωδιάδι, τούτους
δὲ πάλιν ὀρχουμένους τὰς διαβολὰς ἐπὶ ἐξορισμῷ καὶ θανάτῳ τῶν εἰς τὸν κύριον εὐσε-
βούντων.

Τίνα οὖν οὐκ ἔβλαψαν διαβάλλοντες; τίνων οὐ γεγόνασιν ἐπίβουλοι οἱ χριστο- 53, 1
μάχοι; τίνα Κωνστάντιος οὐκ ἐξώρισε κατενεχθέντα παρ' αὐτῶν; πότε καταθυμίως B
αὐτῶν οὐκ ἤκουσε; καὶ τὸ παράδοξον τίνα πώποτε λέγοντα κατ' ἐκείνων ἐδέξατο καὶ
οὐ μᾶλλον λέγοντας ἐκείνους, οἷα κἂν εἴπωσιν, ἀπεδέξατο; ποία ἐκκλησία νῦν μετ' ἐλευ-
θερίας τὸν Χριστὸν προσκυνεῖ; ἄν τε γὰρ εὐσεβὴς ᾖ, κινδυνεύει, ἄν τε ὑποκρίνηται,
φοβεῖται. πάντα ὑποκρίσεως καὶ ἀσεβείας, ὅσον εἰς αὐτὸν ἧκε, πεπλήρωκεν. εἰ γὰρ 2
καί πού τίς ἐστιν εὐσεβὴς καὶ φιλόχριστος (εἰσὶ δὲ πανταχοῦ πολλοὶ τοιοῦτοι ὡς οἱ
προφῆται καὶ Ἠλίας ὁ μέγας), κρύπτονται, ἄν που καὶ αὐτοὶ ὡς τὸν Ἀβδιοῦ πιστὸν
ἄνθρωπον εὕρωσι καὶ ἢ εἰς σπήλαιον καὶ τὰς ὀπὰς τῆς γῆς ἀπέλθωσιν ἢ ἐπ' ἐρημίαις
περιερχόμενοι διατρίψωσι. τοιαῦτα γὰρ διαβάλλουσιν οἱ ἄφρονες, οἷα καὶ ἡ Ἰεζάβελ 3 C
ἐπλάσατο κατὰ τοῦ Ναβουθαὶ καὶ οἱ Ἰουδαῖοι κατὰ τοῦ σωτῆρος, καὶ λοιπὸν | ἐκεῖνος B 377
προστάτης τῆς αἱρέσεως ὢν τήν τε ἀλήθειαν μεταστρέψαι θέλων ὡς ὁ Ἀχαὰβ τὸν ἀμ-
πελῶνα εἰς κῆπον λαχανίας, ἃ θέλουσιν ἐκεῖνοι πράττει, ἐπεὶ καὶ αὐτὸς ἅπερ ἤθελεν
ἤκουσε παρ' αὐτῶν.

Οὕτω, καθὰ προεῖπον, τοὺς ἀληθινοὺς ἐπισκόπους, ἐπεὶ μὴ ἠσέβουν ὡς ἤθελεν 54, 1
αὐτός, ἐξώρισεν, οὕτως καὶ κατὰ Ἀθανασίου νῦν ἀπέστειλεν Ἡράκλειον τὸν κόμητα

11 Vgl. Phil. 4, 22 17ff. Vgl. Apol. sec. 17, 3 (S. 99, 35ff.) 19 Vgl. Mt. 14, 6. 7 29ff. Vgl. de fuga 10, 6 (S. 75, 21 Note) 32 Vgl. III. Reg. 20 34 III. Reg. 20, 2 37 Nach den Ereignissen in der Nacht des 8./9. 2. 356 und der Flucht des Athan. (vgl. c. 87) blieben seine Anhänger im Besitz der Kirchen (hist. Athan. 5 f. 106[b]) donec ingrederetur Alexandriam Cataphronius praefectus (der dritte Präfekt des Jahres, vgl. Keph. zum 28. Festbrief) et Heraclius comes mense Payni XVI die consulatu Constantii VIII et Iuliani Caesaris primo (= 10. 6. 356)

BKPO RE

8 παρὰ + τοῦ B | κύριος R* 11 τοὺς BKPO > RE 15 ἐθέλοι BP ἐθέ^λ (= λει) O ἐθέλῃ KRE | πράττῃ B[c] πράττοι B* | λέγηται KPOR λέγεται E λέγοιτο B | δὲ] μὲν E 19 μὲν RE > BKPO 26 τὸν Χριστὸν μετ' ἐλευθερίας ~ BKPO | ἄν[2]] ἐὰν B 31 ἢ > B | Ἰαζάβελ P 32 Ναβουθὲ K 34 λαχανίαν K | καὶ] ὁ B

D καὶ τὰ μὲν διατάγματα προέθηκε δημοσίᾳ, ἐντολὰς δὲ βασιλέως ἀπήγγειλεν, εἰ μὴ πεισ-
θεῖεν τοῖς γράμμασιν, ἀφαίρεσιν τοῦ ἄρτου καὶ τῶν εἰδώλων ἔσεσθαι καταστροφὴν πολλῶν
2 τε πολιτευτῶν καὶ τῶν ἀπὸ τοῦ δήμου πάντως αἰχμαλωσίαν γενήσεσθαι. εἶτα ταῦτα
ἀπειλῶν οὐκ ᾐσχύνθη δημοσίᾳ μεγάλῃ τῇ φωνῇ λέγειν· 'τὸν μὲν Ἀθανάσιον παραι-
3 τεῖται βασιλεύς, τοῖς δὲ Ἀρειανοῖς τὰς ἐκκλησίας παραδοθῆναι ἐκέλευσε'. πάντων
M 760 A τε ἐπὶ τούτῳ θαυμαζόντων καὶ πρὸς ἀλλήλους νευόντων τε | καὶ λεγόντων· 'εἰ Κωνστάν-
τιος αἱρετικὸς γέγονε'; δέον ἐρυθριᾶν, ὁ δὲ μᾶλλον ἠνάγκαζε βουλευτὰς καὶ δημότας
ἐθνικοὺς νεωκόρους τῶν εἰδώλων ἐπὶ τούτοις ὑπογράφειν καὶ ὁμολογεῖν, δέχεσθαι ὃν
4 ἂν ἀποστείλῃ βασιλεὺς ἐπίσκοπον. πάνυ γε κανόνας ἐκκλησίας ἐκδικῶν ἐποίει τοῦτο
γενέσθαι Κωνστάντιος. ἀντὶ γὰρ ἐκκλησίας τὴν ἀγοράν, ἀντὶ τῶν λαῶν τοὺς νεω-
κόρους ἀπῄτει γράμματα· ἐγίγνωσκε γὰρ οὐκ ἐπίσκοπον αὐτὸν Χριστιανοῖς, ἀλλά
τινα φιλοπράγμονα πέμπειν αὐτοῖς τοῖς γράφουσιν.
55, 1 Ἕλληνες μὲν οὖν ὥσπερ ὠνούμενοι τῇ ὑπογραφῇ τὴν τῶν εἰδώλων ἑαυτῶν ἀσυλίαν
καί τινες τῶν ἐργασιῶν ἄκοντες μέν, ἔγραψαν δὲ ὅμως ὡς περὶ ἡγεμόνος ἢ ἄλλου τινὸς ἀπο-
B στελλομένου δικαστοῦ διὰ τὰς παρ' ἐκείνου λεγομένας ἀπειλάς. τί γὰρ ἔμελλον Ἕλληνες
2 ὄντες ποιεῖν ἢ τοῦθ' ὅπερ δοκεῖ τῷ βασιλεῖ; τῶν δὲ λαῶν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ συν-
ελθόντων (τετάρτη γὰρ ἦν σαββάτου) λαμβάνει μεθ' ἑαυτοῦ τῇ ἑξῆς Ἡράκλειος ὁ κόμης
τὸν ἔπαρχον τῆς Αἰγύπτου Καταφρόνιον καὶ Φαυστῖνον τὸν καθολικὸν τόν τε Βιθυνὸν
αἱρετικὸν ὄντα καὶ παροξύνουσι τῶν ἀγοραίων τοὺς νεωτέρους καὶ σεβομένους εἴδωλα,
ταύτην ἐντολὴν εἶναι βασιλέως λέγοντες, ἵν' ἐπέλθωσι τῇ ἐκκλησίᾳ καὶ λιθάσωσι τοὺς
3 λαούς. ἤδη μὲν οὖν ἦσαν οἱ πλεῖστοι τοῦ λαοῦ γενομένης ἀπολύσεως ἐξελθόντες, γυ-
ναικῶν δὲ ὀλίγων ἀπομεινασῶν γέγονεν ὡς προσέταξαν. καὶ θέαμα οἰκτρὸν ἦν· ἄρτι γὰρ
ἦσαν ἀπὸ τῆς εὐχῆς ὀλίγαι καθεζόμεναι, καὶ γυμνοὶ μετὰ λίθων εὐθὺς καὶ ξύλων ἐπῆλθον οἱ
C νεώτεροι καὶ τὰς μὲν ἐλίθαζον, τὰ δὲ τῶν παρθένων ἅγια σώματα κατέκοπτον πληγαῖς
οἱ ἄθεοι εἷλκόν τε τὰ σκεπάσματα καὶ τὰς κεφαλὰς αὐτῶν ἐγύμνουν καὶ ἀνθελκούσας ἐλάκτι-
4 ζον τοῖς ποσὶν οἱ δείλαιοι. δεινὰ μὲν οὖν ταῦτα καὶ λίαν ἐστὶ δεινά, ἀλλὰ τὰ μετὰ ταῦτα
B 378 δεινότερα καὶ πάσης ὕβρεως ἀφορητότερα γέγονεν. εἰδότες γὰρ τὸ σεμνὸν τῶν παρθένων |
καὶ τὸ τῆς ἀκοῆς ἄχραντον, καὶ ὅτι μᾶλλον λίθους καὶ ξίφη ἢ τὰ τῆς αἰσχρορημοσύνης
φέρειν δύνανται ῥήματα, τούτοις ἐχρῶντο κατ' αὐτῶν ἐπερχόμενοι. Ἀρειανοὶ δὲ ταῦτα
τοῖς νεωτέροις ὑπέβαλλον, καὶ γὰρ ἐγέλων τούτων λεγομένων καὶ γιγνομένων. καὶ αἱ μὲν
ἅγιαι παρθένοι καὶ ἄλλαι σεμναὶ γυναῖκες ὡς ἀσπίδων δήγματα τὰ τοιαῦτα φθέγματα ἔφευ-
D γον, οἱ δὲ χριστομάχοι συνήργουν, τάχα δὲ καὶ συνεφθέγγοντο τοῖς νεωτέροις· καὶ γὰρ
ἥδοντο τοῖς παρ' ἐκείνων ἐκβαλλομένοις μετὰ ἀσελγείας ῥήμασιν.
56, 1 Εἶτα ὡς τὸ ὅλον τῆς ἐντολῆς πληροῦντες (τοῦτο γὰρ ἦν τὸ σπουδαζόμενον, τοῦτο
καὶ κόμης καὶ ὁ καθολικὸς παρήγγελλον), ἁρπάσαντες τὰ συμψέλλια καὶ τὸν θρόνον καὶ
τὴν τράπεζαν (ξυλίνη γὰρ ἦν) καὶ τὰ βῆλα τῆς ἐκκλησίας τά τε ἄλλα, ὅσα ἠδυνήθησαν,
ἐξενέγκαντες ἔκαυσαν ἔμπροσθεν τοῦ πυλῶνος ἐν τῇ πλατείᾳ τῇ μεγάλῃ καὶ λίβανον ἐπέβαλον.
M 761 A 2 ὢ τίς ἀκούσας οὐ δακρύσειε, τάχα καὶ τὴν ἀκοὴν | κλείσειεν, ἵνα μηδὲ ἑτέρου λέγοντος

5 hist. Athan. 6 (f. 106b): et post dies IIII quam sunt ingressi (= 14. 6. 356) Athanasiani eiecti sunt ecclesiis et traditae sunt ad Georgium pertinentibus et episcopum expectantibus. susceperunt autem hi ecclesias die XXI mense Payni (= 15. 6. 356) 16 Die große Kirche ist das Kaisareion, so c. 74, 2 (S. 224, 7), vgl. apol. ad Const. 14, 1 (S. 286, 24) 17 Der 15. 6. fiel auf einen Sonnabend 18 Faustinus u. Bithynus nur hier 27 Vgl. apol. ad Const. 33 37 πλατεία: Die 30 Stadien lange Hauptstraße, vgl. Pauly-Wissowa RE I 1383, 35.

BKPO RE

3 τοῦ > RE | πάντας B 4 λέγων O (λέγειν corr.) 13 μὲν > E | τὴν > K 16 ὄντες > P 31 φθέγματα] ῥήματα E 33 ῥήμασι μετὰ ἀσελγείας ~ K 37 ἐπέβαλλον E 38 δακρύσειε + ἢ E

ἀνέχηται βλάβην ἡγούμενος καὶ τὸ μόνον ἀκοῦσαί τι τοιοῦτον; τά τε γὰρ εἴδωλα ἑαυτῶν
εὐφήμουν καὶ ἔλεγον· '"Ελλην γέγονε Κωνστάντιος καὶ οἱ 'Αρειανοὶ τὰ ἡμῶν ἐπέγνωσαν'.
οὐ φροντίζουσι γὰρ οὐδὲ 'Ελληνισμὸν ὑποκρίνασθαι, ἵνα μόνον ἡ αἵρεσις ἔχῃ τὴν σύστα-
σιν. καὶ γὰρ καὶ βοίδιον ἐπαντλοῦν τοὺς κηπευομένους ἐν τῷ Καισαρείῳ τόπους ἐπεχεί- 3
ρησαν ἐπιθῦσαι, καὶ ἔθυσαν ἄν, εἰ μὴ θῆλυ τοῦτο ἦν· τὰ τοιαῦτα γὰρ ἔλεγον μὴ ἐξεῖναι
παρ' αὐτοῖς θύεσθαι.
Τοιαῦτα μὲν οὖν οἱ δυσσεβεῖς 'Αρειανοὶ νομίζοντες εἰς ἡμῶν ὕβριν ταῦτα φθάνειν μετὰ 57, 1
τῶν 'Ελλήνων ἔπραττον. θεία δὲ δίκη τὴν πονηρίαν τούτων ἤλεγξε καὶ σημεῖόν τι μέγα
καὶ ἐξαίρετον εἰργάσατο δεικνύουσα καὶ διὰ τούτου πᾶσι φανερῶς, ὅτι ὥσπερ ἀσεβοῦντες B
οὐκ εἰς ἄλλον ἀλλ' εἰς τὸν κύριον τολμῶσιν, οὕτω ταῦτα ποιοῦντες εἰς αὐτοῦ πάλιν ὕβριν
ἐπεχείρησαν πρᾶξαι· καὶ τοῦτο μᾶλλον ἐκ τοῦ γενομένου θαύματος φανερωτέραν ἔσχε τὴν
ἀπόδειξιν. τῶν ἀσελγῶν γάρ τις νεώτερος εἰσδραμὼν καὶ τολμήσας ἐπεκάθισε τῷ 2
θρόνῳ. καὶ καθίσας διὰ τῶν ῥινῶν τι πορνικὸν ἀπήχησεν ὁ ἄθλιος. εἶτα ἀναστὰς ἐβιάζετο
τὸν θρόνον ἀποσπᾶν καὶ πρὸς ἑαυτὸν ἕλκειν, ἠγνόει δὲ καθ' ἑαυτοῦ τὴν δίκην ἐπισπώμενος.
ὡς γὰρ οἱ τότε τὴν Ἄζωτον κατοικοῦντες τολμήσαντες ἅψασθαι τῆς κιβωτοῦ, ᾗ κἂν 3
προσβλέψαι θέμις οὐκ ἦν αὐτοῖς, παρ' αὐτῆς εὐθὺς ἀπώλλυντο πρότερον διαφθειρόμενοι
ταῖς βασάνοις τὰς ἕδρας, οὕτως καὶ οὗτος ὁ ἄθλιος μόνον ἐτόλμησεν ἕλκειν καί, ὅπερ εἷλκεν
εἰς ἑαυτὸν ἐπεσπάσατο, καὶ ὡς ἀντιπεμπούσης τῆς δίκης τὸ ξύλον ἐν αὐτῷ τὴν ἰδίαν κοιλίαν C
ἔπληξε, καὶ ἀντὶ τοῦ θρόνου τῇ πληγῇ τὰ ἴδια ἐξήνεγκεν ἔντερα, καὶ μᾶλλον ὁ θρόνος | B 379
ἐκείνου τὸ ζῆν ἀπέσπασεν ἢ αὐτὸς ἀπεσπάσθη παρ' ἐκείνου. ἐξεχύθη γοῦν, ὡς γέγραπ- 4
ται κατὰ τὸν 'Ιούδαν, τοῖς σπλάγχνοις καὶ καταπεσὼν ἐβαστάχθη καὶ μετὰ μίαν ἡμέραν
ἀπώλετο. καὶ ἕτερος δὲ μετὰ θαλλῶν εἰσελθὼν καὶ ὡς Ἕλλην κινῶν αὐτὰ τῇ χειρὶ καὶ
χλευάζων εὐθὺς ἐσκοτώθη καὶ οὐκ ἔβλεπεν οὐδὲ ἐγίνωσκεν ἔτι λοιπόν, ὅποι γῆς ἐτύγχανε·
μέλλων τε καὶ αὐτὸς καταπίπτειν χειραγωγούμενος ὑπὸ τῶν συνόντων καὶ ὑποβαστα-
ζόμενος ἐξήρχετο καὶ αὐτός, μόγις μεθ' ἡμέραν διανήψας καὶ οὐ γινώσκων, οὔτε τί πεποίηκεν D
οὔτε τί πέπονθεν ὁ τολμηρός.
Ταῦτα βλέποντες Ἕλληνες μὲν ἐφοβήθησαν καὶ οὐδὲν πλέον ἐτόλμησαν, 'Αρειανοὶ δὲ 58, 1
οὐδὲ οὕτως ᾐσχύνθησαν, ἀλλ' ὡς 'Ιουδαῖοι σημεῖα βλέποντες οὐκ ἐπίστευον οἱ ἄπιστοι.
μᾶλλον γὰρ ἐσκληρύνοντο κατὰ τὸν Φαραὼ τὰς ἐλπίδας ἔχοντες καὶ αὐτοὶ | κάτω που M 764 A
κειμένας ἐν τῷ βασιλεῖ καὶ ἐν τοῖς εὐνούχοις αὐτοῦ. τοὺς μὲν οὖν Ἕλληνας, μᾶλλον δὲ 2
τῶν 'Ελλήνων τοὺς ἐκβλητοτέρους τὰ προειρημένα ποιεῖν ἐπέτρεπον· εἶχον γὰρ τὸν ὑπο-
κρινόμενον αὐτοῖς τὰ τοιαῦτα καὶ παροξύνοντα τοὺς Ἕλληνας Φαυστῖνον, τὸν καθολικὸν
μὲν λεγόμενον, ἀγοραῖον δὲ τὸν τρόπον καὶ ἀσελγῆ τὴν ψυχήν. αὐτοὶ δὲ τὰ ὅμοια τού-
τοις ἀνεδέξαντο δι' ἑαυτῶν ποιεῖν, ἵν', ὥσπερ τὴν αἵρεσιν ἀπὸ τῶν ἄλλων αἱρέσεων
ἀπεμάξαντο, οὕτω καὶ τὴν πονηρίαν μετὰ τῶν ἀσελγεστέρων ἔχωσι μεμερισμένην. τὰ 3
μὲν οὖν ἄλλα δι' ἐκείνων, καθὰ προεῖπον, ἔπραττον, ἃ δὲ δι' ἑαυτῶν ἐπλημμέλουν, πῶς οὐ
πᾶσαν ὑπερβάλλει πονηρίαν καὶ παντὸς δημίου νικᾷ κακίαν; ποῖον γὰρ οἶκον οὐκ ἐπόρθη-
σαν; ποίαν οἰκίαν προφάσει τοῦ ἐρευνᾶν οὐ διήρπασαν; ποῖον κῆπον οὐ κατεπάτησαν καὶ B

4 Καισάρειον vgl. S. 214, 16   15 Vgl. I. Reg. 5, 3   21 Vgl. Acta 1, 18: μετὰ μίαν ἡμέραν ἀπώλετο fehlt in Acta 1, 18, vgl. jedoch Papias (Apostolische Väter I hrsg. v. Bihlmeyer frg. III. S. 136)   32 Faustinus, vgl. S. 214, 18 Note

BKPO RE

1 ἀνέχηται a. Rd. E, im Text: ἀνέχοιεν | τὸ übergeschrieben E   4 Καισαρίῳ BKO   5 ἐπιθῦσαι] θῦσαι B | ἂν > E   9 δεικνύουσα + δὲ E   11 ἔχει BP   14 πρὸς B^c εἰς B^* 16 ἀπώλοντο P   18 ἑαυτὸν BKPO αὐτὸν RE   22 δὲ + τις K   23 ἔτι PRE > BKO | λοιπὸν > P   30 ἐν^{1} BKPO > RE   31 τοὺς ἐκβλητοτέρους τῶν 'Ελλήνων ~ E   35 ἀπεμάξοντο R   37 ὑπερβάλλει a. Rd. E, im Text ὑπερβαίνει   38 διήρπαζον KO

τάφον οὐκ ἐπήνοιξαν; πρόφασιν μὲν ὡς Ἀθανάσιον ἐπιζητοῦντες προβαλλόμενοι, τὸ
3 δ' ὅλον ἦν αὐτοῖς σπουδαζόμενον διαρπάζειν καὶ σκυλεύειν τοὺς ἀπαντῶντας. πόσων
ἐπεσφραγίσθησαν οἶκοι; πόσων τὰ ἐν ταῖς ξενίαις ἐκδεδώκασι τοῖς ὑπουργοῦσιν αὐτοῖς
στρατιώταις; τίς τούτων ἀπείρατος τῆς κακίας γέγονε; τίς τούτοις ἀπαντήσας οὐκ ἐκρύβη
κατὰ τὴν ἀγοράν; τίς διὰ τούτους οὐ καταλείψας τὴν οἰκίαν ἐπὶ τῆς ἐρημίας διῆγε τὴν
4 νύκτα; τίς τούτων χάριν φυλάξαι τὰ ἴδια σπεύδων οὐκ ἀπώλεσε τὰ πλεῖστα; τίς
ἄπειρος θαλάττης οὐ μᾶλλον εἵλετο ταύτην καὶ τῶν ταύτης κινδύνων πεῖραν λαβεῖν ἢ
τούτους ὁρᾶν ἀπειλοῦντας; πολλοὶ καὶ οἴκους μετῆλθον καὶ μετέστησαν ἀπὸ λαύρας εἰς
C λαῦραν καὶ ἀπὸ τῆς πόλεως εἰς τὰ προάστεια. πόσοι τε ζημίας πόσας ὑπέστησαν καὶ μὴ
ἔχοντες ἐδανείσαντο παρ' ἑτέρων, ἵνα μόνον τὰς ἐπιβουλὰς τούτων ἐκφύγωσι;
59, 1 Πᾶσι γὰρ φοβεροὺς ἑαυτοὺς ἐδείκνυον καὶ πρὸς πάντας ἠλαζονεύοντο, βασιλέα πᾶσιν
ὀνομάζοντες καὶ ἀπειλοῦντες μὲν τὸν ἐκείνου φόβον, ἔχοντες δὲ ὑπουργοὺς εἰς τὴν πονηρίαν
B 380 τὸν δοῦκα Σεβαστιανόν, Μανιχαῖον | ὄντα καὶ ἀσελγῆ νεώτερον, καὶ τὸν ἔπαρχον καὶ
2 τὸν κόμητα καὶ ὑποκριτὴν τὸν καθολικόν. πολλὰς γοῦν παρθένους καταγνούσας αὐ-
τῶν τῆς ἀσεβείας καὶ τὴν ἀλήθειαν ἐπιγνούσας κατήνεγκαν ἀπὸ τῶν οἰκιῶν καὶ ἄλλας περι-
D πατούσας ὕβριζον καὶ ἐποίουν ὑπὸ τῶν παρ' αὐτοῖς νεωτέρων γυμνοῦσθαι τὰς κεφαλὰς
3 αὐτῶν· καὶ γυναιξὶ δὲ ταῖς παρ' αὐτῶν δεδώκασιν ἐξουσίαν ὑβρίζειν ἣν θέλουσι. καὶ
αἱ μὲν σεμναὶ καὶ πισταὶ γυναῖκες ἐξέκλινον καὶ παρεχώρουν ἐκείναις τὴν ὁδόν, αἱ δὲ ὥσπερ
μαινάδες καὶ ἐρινύες περιερχόμεναι συμφορὰν ἡγοῦντο τὸ μὴ εὑρίσκειν ἀδικεῖν καὶ τὴν
ἡμέραν ἐκείνην μετὰ λύπης διῆγον, ἐν ᾗ μὴ ἠδύναντο κακοποιεῖν. καὶ ὅλως οὕτως ἦσαν
πᾶσιν ἄγριοι καὶ πικροὶ ὥστε δημίους φονευτὰς ἀθεμίτους φιλοπράγμονας κακούργους
καὶ πάντα μᾶλλον αὐτοὺς ἢ Χριστιανοὺς παρὰ πάντων καλεῖσθαι.
60, 1 | Καὶ γὰρ καὶ τοὺς Σκύθας μιμούμενοι ἥρπασαν Εὐτύχιον ὑποδιάκονον, ἄνδρα
M 765 A καλῶς ὑπηρετοῦντα τῇ ἐκκλησίᾳ, καὶ ποιήσαντες εἰς τὰ νῶτα ταυρείαις ἴσα θανάτῳ
κατακοπῆναι ἠξίωσαν εἰς μέταλλον ἀποσταλῆναι, καὶ μέταλλον οὐχ ἁπλῶς, ἀλλ' εἰς
2 τὸ τῆς Φαινώ, ἔνθα καὶ φονεὺς καταδικαζόμενος ὀλίγας ἡμέρας μόγις δύναται ζῆσαι.
καὶ τὸ παράδοξον οὐδὲ κἂν ὀλίγας ὥρας ἐπέτρεψαν αὐτὸν θεραπευθῆναι διὰ τὰς
πληγάς, ἀλλ' εὐθὺς ἐποίησαν ἀποσταλῆναι φάσκοντες· 'εἰ τοῦτο γένηται, πάντες
φοβηθήσονται καὶ μεθ' ἡμῶν ἔσονται λοιπόν'. οὐ πολὺ δὲ διέστη καὶ μὴ δυνηθεὶς εἰς τὸ
3 μέταλλον φθάσαι διὰ τὸν πόνον τῶν πληγῶν ἀπέθανεν ἐν τῇ ὁδῷ. καὶ ὁ μὲν ἐτελεύτα
B χαίρων ἔχων τὸ καύχημα τοῦ μαρτυρίου, οἱ δὲ ἀσεβεῖς οὐδὲ οὕτως ᾐσχύνοντο, κατὰ δὲ τὸ
γεγραμμένον »ἀνελεήμονα σπλάγχνα ἔχοντες« καὶ τοῦτο μελετήσαντες σατανικόν τι πάλιν
πεποιήκασιν. ἀξιούντων γὰρ τῶν λαῶν διὰ τὸν Εὐτύχιον καὶ δεομένων περὶ αὐτοῦ πε-

---

1 Vgl. Athan. ad uirgines bei Thdt. h. e. II 14, 13 3 Vgl. de fuga 6, 3 (S. 72, 7) 13 Der Dux Sebastian (über ihn vgl. Seeck, Briefe d. Libanius S. 271) ist nach de fuga 6, 9 (S. 72, 9 Note; die ep. Ammonis ist vielleicht von de fuga abhängig) schon bei dem Einzug Georgs am 24. 2. 357 und danach in Alexandrien an der Besetzung der Kirchen und der Niederwerfung der Unruhen beteiligt gewesen. Der hist. Athan., die Sebastian erst zum 24. 12. 358 (c. 6 f. 107[a]) erwähnt, darf man nicht folgen. Athan. berichtet hier überhaupt nichts von den doch für ihn und seine Partei erfolgreichen Unruhen des Sept. 358. Das ist für die Datierung der Schrift entscheidend, vgl. die Notiz des Sammlers S. 230, 21 Nach Libanius ep. 520 (X 493); ep. 596 (X 556) ist S. schon 356 als Dux zur Zeit des Präfekten Kataphronius in Ägypten gewesen; das stimmt zu de fuga 6. S. wird mit Kataphronius und Heraclius am 10. 6. 356 in die Stadt gekommen sein (vgl. S. 213, 37 Note). Wenn Ath. S. als Manichäer bezeichnet, so will er ihn als Staatsfeind hinstellen. Der folgende Bericht des Athan. bezieht sich also auf die Ereignisse von 357 nach Georgs Einzug 17 Vgl. de fuga 6, 3 S. 72, 9ff. und die dort angegebenen Parallelen 32 Prov. 12, 10

BKPO RE

---

1 ὡς Ἀθανάσιον ἐπιζητοῦντες B Ἀθανάσιον ὡς ζητοῦντες KPORE 9 πόσας] ὅσας P 22 ἢ Χριστιανοὺς αὐτοὺς ~ K 24 ταυρείαις P ταυρίαις BKORE 24/25 κατακοπῆναι θανάτω ~ P 27 ὥρας] ἡμέρας K

ποιήκασιν ἁρπασθῆναι καλοὺς καὶ ἐλευθέρους ἄνδρας τέσσαρας, Ἑρμείαν λούοντα τοὺς
ἀνεξόδους καὶ πάνυ γε τούτους πληγαῖς κατακόψας ἐνέβαλεν εἰς τὸ δεσμωτήριον ὁ δούξ.
ἀλλ' οἱ Ἀρειανοὶ καὶ Σκυθῶν ὠμότεροι τυγχάνοντες, ἐπεὶ ἑωράκασι μὴ τελευτήσαντας 4
ἐκείνους ἀπὸ τῶν πληγῶν, ἐμέμφοντο καὶ ἠπείλουν· 'γράφομεν' λέγοντες 'τοῖς εὐνού-
χοις, ὅτι μὴ μαστίζεις ὡς θέλομεν ἡμεῖς'. ἐκεῖνός τε ἀκούσας καὶ φοβηθεὶς ἠναγκάσθη
καὶ δεύτερον τύψαι τοὺς ἀνθρώπους. καὶ οἱ μὲν τυπτόμενοι εἰδότες, διὰ τί τύπτονται 5
καὶ παρὰ τίνων διεβλήθησαν, οὐδὲν ἕτερον ἔλεγον ἤ· 'διὰ μὲν τὴν ἀλήθειαν τυπτόμεθα, B 381
οὐ κοινωνοῦμεν δὲ τοῖς αἱρετικοῖς· τύπτε λοιπόν, ὡς θέλεις, καί σε μέλλει διὰ τοῦτο κρίνειν C
ὁ θεός'. οἱ μὲν οὖν ἀσεβεῖς ἤθελον αὐτοὺς καὶ ἐν τῷ δεσμωτηρίῳ κινδυνεῦσαι καὶ ἀποθανεῖν,
ὁ δὲ τοῦ θεοῦ λαὸς εἰδὼς τὸν καιρὸν ἠξίωσαν καὶ μεθ' ἡμέρας ἑπτά που ἢ καὶ πλέον ἀπ-
ελύθησαν.

Οἱ δὲ ὥσπερ λυπηθέντες ἕτερόν τι πάλιν ὠμότερον καὶ ἀνόσιον ποιεῖν ἐπεχείρησαν, **61, 1**
ὠμὸν μὲν πρὸς πάντας, ἁρμόζον δὲ τῇ χριστομάχῳ αὐτῶν αἱρέσει. ὁ μὲν γὰρ κύριος ἐνετεί-
λατο τῶν πτωχῶν μνημονεύειν »καὶ πωλήσατε«, λέγων, »τὰ ὑπάρχοντα καὶ δότε ἐλεημο-
σύνην« καὶ »ἐπείνων καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψων, καὶ ἐποτίσατέ με. ἐφ' ὅσον γὰρ M 768 A
ἐποιήσατε ἑνὶ τῶν μικρῶν τούτων, ἐμοὶ ἐποιήσατε«. οὗτοι δὲ ὡς τῷ ὄντι κατὰ Χριστοῦ **2**
φρονοῦντες καὶ ἐν τούτοις ἀντιπρᾶξαι τῷ βουλήματι αὐτοῦ τετολμήκασι. τοὺς γὰρ δεομέ-
νους καὶ τὰς χήρας, ἐπειδὴ τὰς ἐκκλησίας παραδέδωκεν ὁ δοὺξ τοῖς Ἀρειανοῖς, καὶ ἐν αὐταῖς
διατρίβειν οὐκ ἠδύναντο, καθεζομένας, ἐν οἷς ὥρισαν αὐταῖς τόποις οἱ πεπιστευμένοι τὰς
χήρας κληρικοί, ἐπειδὴ ἔβλεπον τοὺς ἀδελφοὺς προθύμως ἐπιδιδόντας αὐταῖς καὶ τρέφοντας
τὰς χήρας, αὐτάς τε κατὰ τῶν ποδῶν τύπτοντες ἐδίωκον καὶ τοὺς παρέχοντας διέβαλλον
τῷ δουκί. καὶ τοῦτο ἐγίγνετο μὲν διὰ Δυναμίου τινὸς στρατιώτου, φίλον δὲ ἦν τοῦτο **3**
Σεβαστιανῷ· παρὰ Μανιχαίοις γὰρ ἔλεος οὐκ ἔστιν, ἀλλὰ καὶ ἐχθρόν ἐστι παρ' αὐτοῖς τὸ B
ἐλεεῖν πένητα. ἦν τοίνυν καινὴ μέμψις καὶ δικαστήριον νῦν πρῶτον ἐπινοηθὲν παρ' αὐτῶν·
ἐπὶ εὐεργεσίᾳ τις ἐκρίνετο, καὶ ὁ μὲν ἐλεῶν κατηγορεῖτο, ὁ δὲ εὐεργετούμενος ἐτύπτετο·
καὶ μᾶλλον ἤθελον πεινᾶν τὸν πένητα ἢ τὸν βουλόμενον ἐλεεῖν παρέχειν. καὶ τοῦτο δὲ **4**
παρὰ τῶν παλαιῶν πάλιν Ἰουδαίων ἔμαθον νέοι ὄντες Ἰουδαῖοι καὶ αὐτοί· καὶ γὰρ κἀ-
κεῖνοι βλέποντες τὸν ἐκ γενετῆς τυφλὸν λοιπὸν βλέποντα καὶ τὸν πολλῷ τῷ χρόνῳ παρα-
λυτικὸν γενόμενον ὑγιῆ, τὸν μὲν εὐεργετήσαντα κύριον ᾐτιῶντο, τοὺς δὲ εὖ παθόντας ὡς
παραβάτας ἔκρινον.

Τίς οὖν ἐπὶ τούτοις οὐκ ἐθαύμαζε; τίς οὐ κατηρᾶτο τὴν αἵρεσιν καὶ τοὺς ἐκδικοῦντας **62, 1**
αὐτήν; τίς οὐκ ἐγίνωσκεν, ὅτι καὶ θηρίων ἀγριώτεροι τυγχάνουσιν οἱ Ἀρειανοί; οὐδὲ γὰρ C
οὐδὲ ὧν ἕνεκα ταῦτα ἐποίουν ἐκέρδαινον οἱ μιαροί, ἀλλὰ καὶ μᾶλλον τὸ καθ' ἑαυτῶν μῖσος
παρὰ πᾶσιν ηὔξανον. ἐνόμιζον ἐξ ἐπιβουλῆς καὶ φόβου βιάζεσθαί τινας εἰς τὴν αἵρεσιν,
ὥστε καὶ συνάγεσθαι μετ' αὐτῶν. ἀπέβαινε δὲ αὐτοῖς τὰ ἐναντία. οἱ μὲν γὰρ πάσχοντες **2**
ὡς μαρτύριον ὑπέφερον τὰ παρ' ἐκείνων γιγνόμενα καὶ οὔτε προεδίδουν οὔτε ἠρνοῦντο

1 Über die οἱ παρὰ βαλανεῖον, zu denen Hermeias offenbar gehörte, vgl. Schwartz, Cyrill u. der Mönch Viktor (Sitzber. d. Akad. d. Wiss. in Wien 208, 4 S. 28) 14 Lc. 12, 33 15 Mt. 25, 35. 40 (vgl. für die Form Mt. 18, 6) 18 Das wird also nach 14. 6. 356 (vgl. hist. Athan. 6, vgl. oben S. 214, 5 Note) geschehen sein, vgl. Z. 23 19 Man beachte, wie eng die Interessen der armen Bevölkerung in Alexandrien mit den Angelegenheiten des Bischofs verbunden sind 22 Vgl. unten S. 230, 7. D. war kein gewöhnlicher Soldat 28 Vgl. Joh. 9, 9 29 Vgl. Mt. 9, 7

BKPO RE

1 ἀναρπασθῆναι B | Ἑρμῖαν E Ἑρμηνείαν R 2 πληγαῖς > K 3/4 ἐκείνους μὴ τελευτήσαντας ~ B 5 τε Hss. δὲ Comm. Montf. 12 ἐπεχείρησαν ποιεῖν ~ K 13 γὰρ > E 18 παρέδωκεν B 19 πιστευόμενοι B 21 τύπτοντες κατὰ τῶν ποδῶν ~ P 22 μὲν > B 23 Σεβαστειανῷ P | ἀλλὰ > K 24 ἐπινοηθὸν B 27/28 ἐκεῖνοι K 30 ἔκριναν E

τὴν εἰς Χριστὸν εὐσέβειαν, οἱ δὲ θεωροῦντες ἔξωθεν αὐτούς, λοιπὸν δὲ καὶ οἱ Ἕλληνες βλέ-
B 382 ποντες ὡς | ἀντιχρίστους ὡς δημίους κατηρῶντο· φιλόπτωχον γὰρ καὶ συμπαθὲς τὸ τῶν
ἀνθρώπων γένος. οὗτοι δὲ καὶ τὸν ἀνθρώπων λογισμὸν ἀπώλεσαν. καὶ οἱ πάσχοντες
D ἂν ηὔξαντο παρ' ἑτέρων εὖ παθεῖν, αὐτοὶ τοῦτο παθεῖν τοὺς ἄλλους οὐκ ἐπέτρεπον ἔχοντες
τὴν τῶν δικαστῶν καὶ μάλιστα τὴν παρὰ τοῦ δουκὸς ἐπιτριβὴν καὶ ἐξουσίαν.
63, 1 Ἃ γὰρ καὶ τοῖς πρεσβυτέροις καὶ διακόνοις πεποιήκασι, καὶ πῶς αὐτοὺς ἐπὶ τοῦ δου-
κὸς καὶ τῶν δικαστῶν ἐφυγάδευσαν καταφέροντες ἐκ τῶν οἴκων τοὺς οἰκείους αὐτῶν διὰ τῶν
στρατιωτῶν καὶ τοῦ στρατηγοῦ Γοργονίου καὶ πληγαῖς κατακόπτοντος, καὶ πῶς αὐτῶν
M 769 A (τό γε πάντων ὠμότερον) καὶ τῶν | ἤδη τετελευτηκότων τοὺς ἄρτους μεθ' ὅσης ὕβρεως
διήρπασαν, οὐκ ἔστιν οὐδὲ λόγῳ φράσαι νικώσης τῆς ὠμότητος αὐτῶν τὴν ἐκ τῶν λόγων
2 διήγησιν. τί γὰρ ἄν τις εἰπὼν εἰρηκέναι δόξειεν; ἢ ποίου πρώτου μνημονεύσας, οὐχ
εὑρίσκει τὰ δεύτερα δεινότερα, τῶν δευτέρων τὰ μετὰ ταῦτα; πάντα γὰρ αὐτῶν τὰ ἐπιχει-
ρήματα καὶ τὰ ἀσεβήματα φόνου καὶ ἀσεβείας πεπλήρωται. καὶ οὕτως εἰσὶ πανοῦργοι τὴν
γνώμην καὶ ποικίλοι τὸν τρόπον, ὡς καὶ ἐπαγγελίᾳ προστασίας καὶ δόσει χρημάτων ἐπι-
χειρεῖν ἀπατᾶν, ἵν', ἐπεὶ μὴ ἐξ εὐλόγων ἔχουσι τὴν σύστασιν, κἂν ἐκ τούτων δόξωσι φαν-
τασίαν τινὰ τοῖς ἀκεραίοις ἐμποιεῖν.
64, 1 Τίς οὖν ἔτι τούτους κἂν ἐθνικοὺς καλέσειεν ἁπλῶς, μήτιγε Χριστιανούς; τίς τούτων
B τὸν τρόπον ἀνθρώπινον καὶ μὴ μᾶλλον τοῦτον θηριώδη ὑπολάβοι διά τε τὸ ὠμὸν καὶ τὸ
ἄγριον τῆς πράξεως; καὶ γὰρ καὶ δημίων εἰσὶ πονηρότεροι καὶ τῶν ἄλλων αἱρέσεων τολμη-
2 ρότεροι. Ἑλλήνων γὰρ πολὺ δεύτεροι, μᾶλλον δὲ καὶ μακρὰν αὐτῶν τυγχάνουσιν. ἐγὼ
γὰρ ἤκουσα τῶν πατέρων καὶ πιστὸν ἡγοῦμαι τὸν ἐκείνων λόγον ὅτι τὸ πρῶτον, ὅτε γέ-
γονε καὶ ἐπὶ Μαξιμιανῷ τῷ πάππῳ Κωνσταντίου διωγμός, Ἕλληνες ἔκρυπτον τοὺς ἀδελ-
φοὺς ἡμῶν τοὺς Χριστιανοὺς ζητουμένους. καὶ πολλάκις ἀπώλεσαν αὐτοὶ χρήματα δεσμω-
τηρίων τε ἐπειράθησαν, ἵνα μόνον τῶν φευγόντων μὴ γένωνται προδόται, ὡς γὰρ ἑαυτοὺς
3 ἐφύλαττον τοὺς προσφεύγοντας καὶ κινδυνεύειν πρὸ αὐτῶν ἐβουλεύοντο. ἀλλὰ νῦν οἱ
C θαυμαστοὶ οὗτοι, οἱ τῆς νέας αἱρέσεως ἐφευρεταί, ἐκ μηδενὸς ἑτέρου ἢ ἐκ τοῦ ἐπιβουλεύειν
ἐπιγινωσκόμενοι πάντα τἀναντία πράττουσιν. αὐτοί τε γὰρ δι' ἑαυτῶν δήμιοι γιγνό-
μενοι πάντας ζητοῦσι παραδιδόναι καὶ τοὺς κρύπτοντας ἐπιβουλεύεσθαι ποιοῦσιν ἴσον
ἐχθρὸν ἡγούμενοι τόν τε κρύπτοντα καὶ τὸν κρυπτόμενον· οὕτως εἰσὶ φονευταὶ καὶ τὴν
Ἰούδα πονηρίαν ἐζήλωσαν οἱ κακοῦργοι.
65, 1 Καὶ οὐκ ἔστι κατ' ἀξίαν ὧν διαπράττονται κακῶν εἰπεῖν ἢ τοῦτο μόνον ὅτι γρά-
φοντά με καὶ θέλοντα καταλέγειν τῆς πονηρίας ἐκείνων τὰς πράξεις ὑπεισέρχεται νοεῖν, μὴ
B 383 ἄρα τῆς ἐν ταῖς Παροιμίαις »βδέλλης ἡ τετάρτη | θυγάτηρ« ἐστὶν ἡ αἵρεσις αὕτη, ἥτις μετὰ
τὰς τοσαύτας ἀδικίας καὶ τοὺς τοσούτους φόνους οὐκ εἶπεν 'ἀρκεῖ'. ἔτι γαρ νεανιεύεται·
D καὶ τοὺς μὲν μηδέπω γνωσθέντας αὐτῇ περιέρχεται ζητοῦσα, οὓς δὲ ἔφθασεν ἀδικῆσαι,
πάλιν ἐπαδικεῖν σπουδάζει. ἰδοὺ γὰρ μετὰ τὴν νυκτερινὴν ἔφοδον, μετὰ τὰ ἐξ
αὐτῆς γενόμενα κακά, μετὰ τὸν δι' Ἡρακλείου γενόμενον διωγμὸν πάλιν οὐ παύονται

---

8 Gorgonius war 355/6 Dux in Alexandrien, vgl. S. 230, 4. Da ihn Syrianus abgelöst hat, spielt Ath. also hier auf Ereignisse vor dem 8./9. 2. 356 an 33f. Vgl. Prov. 24, 50, vgl. de fuga 4, 1 (S. 70, 17) 36 Am 8./9. 2. 356 s. unten c. 81. Nachher fanden die schweren Kämpfe statt, während derer sich die Athanasianer 4 Monate in ihren Kirchen hielten 37 Heraclius und Kataphronius kamen am 10. 6. 356, vgl. oben S. 213, 37 Note. Danach erfolgte die Vertreibung der Athanasianer

---

BKPO RE

---

3 τὸν E^{c} τὸ E* | οἱ E* εἱ E^{c} 4 παθεῖν τοῦτο ~ E | ἔχοντες + δὲ K 5 τὴν[1] + παρὰ K 6 καὶ[2] + τοῖς E 8 Γοργωνίου O | κατακόπτοντος] κατάπτοντος E 15 ἔχουσι Op. nach Bright ἔχωσι Hss. 19/20 τολμηρότεροι] πονηρότεροι P 20 πολὺ] πολλοὶ B 27 γινωσκόμενοι RE | δήμιοι δι' ἑαυτῶν ~ E

διαβάλλοντες βασιλεῖ. θαρροῦσι γὰρ ὡς ἀσεβοῦντες ἀκούονται, ἵνα πλέον τι τοῦ ἐξο-
ρισμοῦ γένηται καὶ λοιπὸν οἱ μὴ πειθόμενοι ταῖς ἀσεβείαις αὐτῶν ἀναιρῶνται. οὕτω 3
γὰρ καὶ νῦν καταθρασυνόμενοι Σεκοῦνδος μὲν ὁ παγκάκιστος Πενταπολίτης καὶ ὁ τού-
του | συνωμότης Στέφανος εἰδότες ὅτι, κἂν ἀδικῶσιν, ἔχουσι πρὸς ἀπολογίαν τὴν αἵρεσιν· M 772 A
ἐπειδὴ μὴ πειθόμενον αὐτοῖς ἐν Βάρκῃ πρεσβύτερον ἑωράκασι, Σεκοῦνδος δὲ ἐκαλεῖτο,
(ὁμώνυμος μὲν οὐχ ὁμόπιστος δὲ τῷ αἱρετικῷ), ἀπέκτειναν λακτίσμασιν αὐτόν. καὶ
ὁ μὲν ἀναιρούμενος ἐμιμεῖτο τὸν ἅγιον λέγων· 'μηδείς με παρὰ δικασταῖς ἐκδικείτω· ἔχω
τὸν ἐκδικοῦντά με κύριον, δι' ὃν καὶ ταῦτα πάσχω παρ' αὐτῶν', οἱ δὲ οὔτε λέγοντα
ἠλέουν οὔτε τὰς ἡμέρας ἐδυσωποῦντο· ἐν αὐτῇ γὰρ τῇ τεσσαρακοστῇ λακτίζοντες ἀπέκ-
τειναν τὸν ἄνθρωπον.

Ὢ καινῆς αἱρέσεως ὅλον ἐνδυσαμένης τὸν διάβολον ἐν ἀσεβείᾳ καὶ πράξει. ἄρτι **66, 1**
γὰρ πρῶτον ἐπενοήθη τοῦτο τὸ κακόν. εἰ δὲ καί τινες ἐδόκουν ποτὲ περὶ αὐτῆς λογίζεσθαι, B
ἀλλ' ἔκρυπτον καὶ ἐλάνθανον ταῦτα φρονοῦντες. Εὐσέβιος δὲ καὶ Ἄρειος ὡς ὄφεις **2**
ἐξελθόντες ἀπὸ φωλεοῦ τὸν ἰὸν τῆς ἀσεβείας ταύτης ἐξήμεσαν. καὶ ὁ μὲν Ἄρειος τὴν τοῦ
βλασφημεῖν ἐκ φανεροῦ τόλμην ἀνεδέξατο, ὁ δὲ Εὐσέβιος τὴν ταύτης προστασίαν. ἀλλ' οὐ
πρότερον ἴσχυσε προστῆναι τῆς αἱρέσεως εἰ μή, καθὰ προεῖπον, βασιλέα εὗρε προστάτην
ταύτης. οἱ μὲν οὖν πατέρες ἡμῶν οἰκουμενικὴν σύνοδον πεποιήκασι καὶ τριακόσιοι **3**
πλεῖον ἢ ἔλαττον ἐπίσκοποι συνελθόντες κατέκριναν τὴν ἀρειανὴν αἵρεσιν καὶ ἀπεφήναντο
πάντες ἀλλοτρίαν αὐτὴν καὶ ξένην τῆς ἐκκλησιαστικῆς πίστεως εἶναι, οἱ δὲ προστάται
ταύτης ὁρῶντες ἑαυτοὺς λοιπὸν ἀσχημονοῦντας καὶ μηδὲν εὔλογον ἔχοντας ἄλλην ὁδὸν
ἐπενόησαν ⟨καὶ⟩ διὰ τῆς ἔξωθεν ἐξουσίας ἐκδικεῖν ταύτην ἐπεχείρησαν· ἐφ' ᾧ μᾶλλον ἄν τις C
αὐτῶν θαυμάσειε τὸ καινὸν καὶ πονηρὸν ἐπιτήδευμα, καὶ πῶς ὑπερβάλλουσι τὰς ἄλλας
αἱρέσεις. τῶν μὲν γὰρ ἄλλων αἱρέσεων τὰ ἐφευρήματα ἐν πιθανότητι ῥημάτων ἔχει **4**
τὴν μανίαν πρὸς ἀπάτην τῶν ἀκεραίων. καὶ Ἕλληνες μέν, ὡς εἶπεν ὁ ἀπόστολος, ἐν ὑπερο-
χῇ καὶ πειθοῖ λόγων καὶ σοφίσμασι πιθανοῖς ἐπιχειροῦσιν, Ἰουδαῖοι δὲ ἀφέντες τὰς θείας
γραφὰς λοιπόν, ὡς εἶπεν ὁ ἀπόστολος, »ἐν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις« ἔχουσι τὴν
ἔριν. Μανιχαῖοι γὰρ καὶ Οὐαλεντῖνοι σὺν αὐτοῖς καὶ | ἄλλοι καπηλεύοντες τὰς θείας γραφὰς B 384
τοῖς ἑαυτῶν ἐπιπλάστοις λόγοις μυθολογοῦσιν. οἱ δὲ Ἀρειανοὶ τῶν μὲν ἄλλων αἱρέ- **5**
σεών εἰσι τολμηρότεροι καὶ μικροτέρας ἑαυτῶν ἀδελφὰς ἀπέδειξαν ἐκείνας πλέον αὐτῶν D
ἀσεβοῦντες, καθάπερ εἴρηται, καὶ πάντας, μάλιστα δὲ τοὺς Ἰουδαίους ζηλώσαντες ἐν πο-
νηρίᾳ. ὡς γὰρ ἐκεῖνοι μὴ δυνάμενοι τὸν Παῦλον ἐλέγξαι περὶ ὧν ἐπροφασίζοντο εὐθὺς
ἤγαγον αὐτὸν πρὸς τὸν χιλίαρχον καὶ τὸν ἡγεμόνα, οὕτως οὗτοι καὶ πλέον ἐκείνων ἐπινο-
οῦντες τῇ ἐξουσίᾳ μόνῃ τῶν δικαστῶν κέχρηνται. καὶ μόνον τις αὐτοῖς ἀντείρηκεν, ἕλκεται
πρὸς τὸν ἡγεμόνα ἢ τὸν στρατηλάτην.

| Καὶ αἱ μὲν ἄλλαι αἱρέσεις ἐλεγχόμεναι ταῖς ἀποδείξεσιν ὑπ' αὐτῆς τῆς ἀληθείας **67, 1**
σιωπῶσι μηδὲν πλέον ἢ ἐντρεπόμεναι τοῖς ἐλέγχοις, ἡ δὲ νέα καὶ μυσαρὰ τούτων αἵρεσις, M 773 A
ὅταν ἀνατραπῇ τοῖς λόγοις, ὅταν ὑπ' αὐτῆς τῆς ἀληθείας αἰσχυνθεῖσα πέσῃ, λοιπὸν οὓς μὴ
δεδύνηται πεῖσαι λόγοις, τούτους τῇ βίᾳ καὶ πληγαῖς καὶ δεσμωτηρίοις ἕλκειν ἐπιχειρεῖ
γνωρίζουσα ἑαυτὴν καὶ οὕτως, ὡς πάντα μᾶλλόν ἐστιν ἢ θεοσεβής. θεοσεβείας μὲν γὰρ **2**

3 Secundus v. Ptolemais, vgl. Athan. ep. ad episc. Aeg. et Lib. 7; 19 (Migne 25, 553 A; 584 B), vgl. unten S. 222, 17 4 Stephanus, wohl Nachfolger des Secundus, vgl. Athan. de syn. 12 (S. 239, 21 Note) 5 Secundus nur hier genannt 9 Doch wohl 356 16 Vgl. oben S. 209, 18 17 D. i. die Synode v. Nicäa 24 f. Vgl. I. Cor. 2, 1. 4 26 I. Tim. 1, 4 31 Vgl. Act. 21, 36 ff.

BKPO RE

8 οὔτε] οὔτω KO | λέγοντα + οὐκ K 15 ἐκ + τοῦ K | τόλμαν K 17 τριακοσίους E 18 ἐπίσκοποι RE > BKPO 21 ⟨καὶ⟩ Montf. 22 αὐτῶν > K 37 πέσῃ αἰσχυνθεῖσα ~ K 39 ἑαυτὴν καὶ] καὶ αὐτὴν KP

ἴδιον μὴ ἀναγκάζειν, ἀλλὰ πείθειν, ὥσπερ εἴπαμεν. καὶ γὰρ ὁ κύριος αὐτὸς οὐ βιαζόμενος,
ἀλλὰ τῇ προαιρέσει διδοὺς ἔλεγε πᾶσι μέν· »εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν«, τοῖς δὲ μαθηταῖς·
3 »μὴ καὶ ὑμεῖς θέλετε ἀπελθεῖν«; αὕτη παντελῶς ἀλλοτρία τῆς θεοσεβείας ἐστί. τί ποιεῖν
B αὐτὴν ἐχρῆν ἢ τἀναντία τοῦ σωτῆρος ὡς χριστομάχον ἡγεμόνα τῆς ἀσεβείας ἐπιγραφο-
μένην Κωνστάντιον ὡς αὐτὸν τὸν ἀντίχριστον; αὐτὸς γὰρ διὰ τὴν αἵρεσιν ἐσπούδασε
πρῶτον καὶ τὸν Σαοὺλ ἐν ὠμότητι ζηλῶσαι. ἐκεῖνος μὲν γάρ, ἐπειδὴ δεδώκασιν οἱ ἱερεῖς
ἐπισιτισμὸν τῷ Δαυίδ, κελεύει καὶ ἀναιροῦνται πάντες τὸν ἀριθμὸν ὄντες τριακόσιοι καὶ
πέντε, οὗτος δέ, ἐπειδὴ τὴν μὲν αἵρεσιν πάντες φεύγουσιν, ἡ δὲ ὑγιαίνουσα πίστις ἡ εἰς
τὸν κύριον ὡμολογήθη, τριακοσίων ὅλων σύνοδον ἐπισκόπων ἀναιρεῖ. καὶ τοὺς μὲν ἐπι-
σκόπους αὐτοὺς ἐξορίζει, τοὺς δὲ λαοὺς ἐμποδίζει μελετᾶν τὴν εὐσέβειαν καὶ εὔχεσθαι τῷ
4 θεῷ κωλύων αὐτῶν τὰς συναγωγάς. καὶ ὥσπερ Σαοὺλ κατέσκαψε »τὴν Νομβὰ τὴν
πόλιν τῶν ἱερέων«, οὕτως οὗτος καὶ πλέον τὸ κακὸν αὐξάνων τὰς ἐκκλησίας τοῖς ἀσεβοῦσι
C παραδέδωκε καὶ ὡς ἐκεῖνος Δωὴκ τὸν διαβαλόντα προτετίμηκε τῶν ἀληθῶς ἱερέων τόν τε
Δαυὶδ ἐδίωκε προσέχων τοῖς Ζιφαίοις, οὕτως οὗτος τοὺς μὲν αἱρετικοὺς προκρίνει τῶν εὐ-
σεβῶν, τοὺς δὲ φεύγοντας αὐτὸν ἔτι διώκει προσέχων τοῖς θλαδίαις ἑαυτοῦ, τοῖς καὶ δια-
βάλλουσι τοὺς ὀρθοδόξους μὴ συνορῶν, ὡς ὅσα δ' ἂν ὑπὲρ τῆς αἱρέσεως τῶν Ἀρειανῶν
πράττῃ τε καὶ γράφῃ, ταῦτα κατὰ τοῦ σωτῆρος ἔχει τὴν ἐπιχείρησιν.

68, 1 Οὐχ οὕτως Ἀχαὰβ κατὰ τῶν ἱερέων τοῦ θεοῦ γέγονεν, ὡς οὗτος κατὰ τῶν ἐπισκό-
B 385 πων τετόλμηκεν. ὅλως γὰρ ἐκεῖνος καὶ φονευθέντος τοῦ Ναβουθαὶ | »κατενύγη« καὶ τὸν
Ἠλίαν ἑωρακὼς ἐφοβήθη, οὗτος δὲ οὐδὲ τὸν τηλικοῦτον Ὅσιον ᾐδέσθη οὐδὲ τοὺς το-
D σούτους ἐπισκόπους ἐξορίσας ἐνάρκησεν ἢ κἂν κατενύγη, ἀλλ' ὡς ἄλλος Φαραὼ μᾶλλον
2 ἐπιτριβόμενος σκληρύνεται καὶ χείρονα καθημέραν ἐπενόει. καὶ ἔστιν αὐτοῦ τοῦτο
παράδοξον τῆς πονηρίας. τῶν γὰρ ἐπισκόπων ἐξοριζομένων συνέβαινε καὶ ἄλλους
τινὰς δι' ἐγκλήματα φόνου ἢ στάσεως ἢ κλοπῆς κατὰ τὴν τοῦ ἐγκλήματος ποιότητα
M 776 A λαμβάνειν τὴν καταδίκην, καὶ τούτους | μὲν μετὰ μῆνας ὀλίγους ἀξιούμενος ὡς τὸν
Βαραββᾶν Πιλᾶτος ἀπέλυε, τοὺς δὲ τοῦ Χριστοῦ δούλους οὐκ ἠφίει, ἀλλὰ καὶ μᾶλλον
ἀνηλεῶς κατεδίκαζεν ἐν τοῖς ἐξορισμοῖς ἀθάνατον κακὸν γιγνόμενος εἰς αὐτούς. τῶν
μὲν γὰρ διὰ τὸν τρόπον φίλος ἦν, τῶν ὀρθοδόξων δὲ διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν
3 ἐχθρὸς ἐτύγχανεν. ἆρ' οὖν οὐ πᾶσιν ἐκ τούτου λευκῶς ἐδείκνυεν ὅτι καὶ τότε οἱ
Ἰουδαῖοι τὸν μὲν Βαραββᾶν αἰτησάμενοι, τὸν δὲ κύριον σταυρώσαντες τοιοῦτοι ἦσαν,
οἷοι καὶ νῦν οἱ μετὰ Κωνσταντίου χριστομάχοι; καὶ τάχα πικρότερος οὗτος ἢ Πιλᾶτος.
ὁ μὲν γὰρ κἂν ἐνίψατο συνορῶν τὴν ἀδικίαν, οὗτος δὲ καὶ μᾶλλον τρίζει τοὺς ὀδόντας
ἐξορίζων τοὺς ἁγίους.

69, 1 Τί δὲ θαυμαστόν, εἰ πλανηθεὶς εἰς ἀσέβειαν οὕτω κατὰ τῶν ἐπισκόπων ἐστιν ὠμός,
B ὅπου γε οὐδὲ τῆς ἰδίας συγγενείας ὡς ἄνθρωπος ἐφείσατο; τοὺς μὲν γὰρ θείους κατέσφαξε

1 Vgl. oben S. 201, 15 ff. 20. f. 2 Mt. 16, 24, vgl. Lc. 14, 27 3 Joh. 6, 67 7 Vgl. I. Reg. 22, 10 — Vgl. I. Reg. 22, 18 11 I. Reg. 22, 19 13 Vgl. I. Reg. 22, 9 14 Vgl. I. Reg. 26, 1 19 III. Reg. 20, 27 26 Vgl. Mt. 27, 16 ff. 32 Vgl. Mt. 27, 24 34 ff. Es handelt sich um das furchtbare Blutbad in Konstantinopel nach dem Tode Konstantins 337 (Hieron. chron. ol. 279, 2). Die Brüder Konstantins: Dalmatius, Hanniballianus, Konstantius, ferner sechs Neffen wurden ermordet (Julian or. V ad Athen. 3; Opera I 1 S. 215, 5 Bidez. Philostorgius II 16a (S. 26, 10 ff. Zosimus II 40)

BKPO RE

1 εἴπομεν KPO | καὶ + ὁ E | αὐτὸς ὁ κύριος ~ P 8 ἡ¹] οἱ E 9 καὶ — 10 ἐξορίζει > E 12 οὕτως RE οὕτως καὶ BKPO 15 τοῖς + τοῖς E 17 γράφει RE 19 καὶ¹ BKPO κἂν RE | Ναβουθὲ K 20 οὐδὲ¹ > R 21 ἐξορίσας ἐπισκόπους ~ K | κἂν > B 24 φόνου BKPO φόνων RE 26 Βαραβᾶν BP 28 γὰρ + φαύλων E 30 Βαραβᾶν BP 31 νῦν BKPO νῦν εἰσιν RE 34 εἰς ἀσέβειαν πλανηθεὶς ~ P 35 κατέσφραξε B

καὶ τοὺς ἀνεψίους ἀνεῖλε, καὶ πενθερὸν μέν, ἔτι τὴν θυγατέρα γαμῶν αὐτοῦ, συγγενεῖς
δὲ πάσχοντας οὐκ ἠλέησεν, ἀλλὰ καὶ ὅρκων ἀεὶ πρὸς πάντας παραβάτης γέγονεν. οὕτω
γὰρ καὶ εἰς τὸν ἀδελφὸν ἀσεβεῖν τετόλμηκε· καὶ προσποιεῖται μὲν οἰκοδομεῖν αὐτῷ
μνημεῖον, τὴν δὲ μνηστὴν αὐτοῦ τὴν Ὀλυμπιάδα βαρβάροις ἐκδέδωκεν, ἣν ἐκεῖνος μέχρι
τελευτῆς ἐφύλαττε καὶ ὡς ἰδίαν ἀνέτρεφεν ἑαυτῷ γυναῖκα. καὶ τὴν γνώμην δὲ αὐτοῦ 2
παραλύειν ἐπεχείρησεν, οὗ καὶ κληρονόμος εὔχεται εἶναι γράφων τοιαῦτα, ἐφ' οἷς καὶ
ὀλίγην αἴσθησιν ἔχων ἄν τις ᾐσχύνθη. ἐγὼ δὲ συμβάλλων αὐτοῦ τὰς ἐπιστολὰς εὑρίσκω
τοῦτον μὴ κατὰ φύσιν ἔχοντα τὰς φρένας, ἀλλὰ μόνον πρὸς τοὺς ὑποβάλλοντας κινού- C
μενον, ἴδιον δὲ νοῦν καθόλου μὴ ἔχοντα. ὁ μὲν οὖν Σολομὼν φησι· »βασιλέως ὑπακούοντος
λόγον ἄδικον, πάντες οἱ ὑπ' αὐτὸν παράνομοι«, οὗτος δὲ ἐξ ὧν ποιεῖ, δείκνυσιν ἑαυτὸν
ἐκεῖνον εἶναι τὸν ἄδικον καὶ τοὺς περὶ αὐτὸν παρανόμους.

Πότε οὖν οὗτος τοιοῦτος ὢν καὶ τοιούτοις χαίρων δύναταί τι δίκαιον ἢ κατὰ λόγον **70, 1**
φρονῆσαι; ἄνθρωπος δεδεμένος τῇ τῶν συνόντων παρανομίᾳ καὶ τούτων ὄντων ἐπᾳ-
δόντων, οἵτινες τὸν ἐγκέφαλον μᾶλλον ἐν ταῖς πτέρναις καταπεπατημένον ἔχουσι. διὰ
τοῦτο γὰρ καὶ γράφει καὶ γράφων μεταμελεῖται καὶ μεταμελόμενος παροξύνεται, πάλιν
τε ὀδύρεται καὶ οὐκ ἔχων, ὃ πράξει, | δείκνυσιν ἑαυτοῦ τῆς ψυχῆς τὸ ἔρημον τῶν φρενῶν. B 386
οὕτω δὲ τοῦτον ὄντα τοιοῦτον οἰκτείρειεν ἄν τις μᾶλλον δικαίως, ὅτι μετ' ἐλευθέρου **2** D
σχήματος καὶ ὀνόματος δοῦλός ἐστι τῶν ἑλκόντων αὐτὸν πρὸς τὴν ἰδίαν ἡδονὴν τῆς
ἀσεβείας. ἀμέλει τὸ ἀνόητον καὶ κέπφον, ὡς εἶπεν ἡ γραφή, καθηκεύειν θέλων ἄλλοις
ἑαυτὸν εἰς καταδίκην τῇ μελλούσῃ κρίσει τοῦ πυρὸς παρανάλωμα δέδωκεν. ἤδη πράττων,
ἃ θέλουσιν ἐκεῖνοι, καὶ | προπίνων αὐτοῖς τήν τε κατὰ τῶν ἐπισκόπων ἐπιβουλὴν καὶ M 777 A
τὴν τῶν ἐκκλησιῶν ἐξουσίαν. ἰδοὺ γὰρ καὶ νῦν πάλιν ἐτάραξε τὰς ἐν Ἀλεξανδρείᾳ **3**
ἐκκλησίας καὶ τὰς ἐν Αἰγύπτῳ καὶ Λιβύαις πάσας, καὶ φανερῶς προσέταξε τοὺς μὲν τῆς
καθολικῆς ἐκκλησίας καὶ τῆς εὐσεβείας ἐπισκόπους ἐκβάλλεσθαι τῶν ἐκκλησιῶν, τοῖς
δὲ τὰ Ἀρείου φρονοῦσι πάσας αὐτὰς παραδίδοσθαι. τοῦτό τε ποιεῖν ὁ στρατηλάτης **4**
ἤρξατο. καὶ λοιπὸν ἐπίσκοποι δέσμιοι πρεσβύτεροί τε καὶ μονάζοντες σεσιδηρωμένοι
καὶ πληγαῖς κατακοπέντες ἴσα θανάτῳ παρεπέμφθησαν πάντα τε κατὰ τόπον τετά-
ρακται· καὶ ἡ Αἴγυπτος καὶ Λιβύη πᾶσα κινδυνεύει τῶν λαῶν δυσανασχετούντων
ἐπὶ τῷ παρανόμῳ προστάγματι τούτῳ καὶ βλεπόντων τὴν τοῦ ἀντιχρίστου παρα-
σκευὴν καὶ τὰ ἴδια ἀπ' αὐτῶν μὲν ἁρπαζόμενα, τοῖς δὲ αἱρετικοῖς ἐκδιδόμενα ταῦτα.

Πότε οὖν ἠκούσθη τοσαύτη παρανομία; πότε τι τοιοῦτον κἂν ἐν διωγμῷ γέγονε **71, 1** B
κακόν; Ἕλληνες γεγόνασιν οἱ πρότερον διώξαντες, ἀλλ' οὐκ εἰς τὰς ἐκκλησίας εἰσήνεγκαν
τὰ εἴδωλα. Ἰουδαία ἦν Ζηνοβία καὶ Παύλου προέστη τοῦ Σαμοσατέως, ἀλλ' οὐ δέδωκε

1 πενθερόν: eine Tochter des Julius Konstantius, des Vaters des Kaisers Julian, war die erste Gattin des Konstantius (Julian a. a. O. c. 4 S. 218, 33) etwa 336 geworden (Euseb VC IV 49) 4 Olympias, die Tochter des 337 ebenfalls ermordeten Praefectus praetorio Ablabius (Hieron. a. a. O.; Zosimus II 40), war Konstans verlobt; Konstantius gab sie dem Armenierkönig Arsaces zur Frau (Amm. XX 11, 3) 6 Vgl. oben S. 211, 27 8 Amm. XXI 16, 16: uxoribus et spadonum gracilentis uocibus et palatinis quibusdam nimium quantum addictus ad singula eius uerba plaudentibus et quid ille aiat aut neget, ut adsentiri possint, obseruantibus 9 Prov. 29, 12 19 Vgl. Prov. 7, 22 22 ff. Vgl. apol. ad Const. 27 (S. 294, 24 ff.): 357, wohl erst nach dem Einzug Georgs wurden die Bischöfe vertrieben. Das legt auch der Brief des Konstantius an die Alexandriner nahe (apol. ad Const. 30, 8 S. 297, 13) 33 Zenobia wird hier zum ersten Male als Jüdin bezeichnet, vgl. Loofs, Paulus v. Samosata (TU 44, 5) S. 18 ff.

BKPO RE

1 πενθερὸν K πενθεροῦ BPORE | αὐτοῦ + καὶ E 2 δὲ] μὲν E 8 ὑποβάλλοντας BKPOE[c] ὑποβάλλοντα RE* 12 καὶ ÷ τοῖς E 15 μεταμελούμενος KO 16 ὀδύρετο R 23 πάσαις B 24 καὶ RE καὶ τοὺς BKPO | τοῖς] τῆς R 25 παραδίδωσι P 31 τοιούτῳ R 33 ἦν + ἡ K | ἔδωκε E

τὰς ἐκκλησίας τοῖς Ἰουδαίοις εἰς συναγωγάς. καινόν ἐστι τοῦτο μύσος· οὐκ ἔστιν ἁπλῶς
διωγμός, ἀλλὰ διωγμοῦ μὲν πλέον, προοίμιον δὲ καὶ παρασκευὴ τοῦ ἀντιχρίστου.
2 ἔστω γὰρ καὶ κατὰ Ἀθανασίου καὶ κατὰ τῶν ἄλλων ἐπισκόπων, οὓς ἐξώρισαν, προ-
φάσεις ἐπλάσαντο ψευδεῖς, τί πρὸς τὸ καινὸν ἐπιτήδευμα τοῦτο; ποίαν ἄρα πρόφασιν
C ἔχουσι κατὰ πάσης τῆς Αἰγύπτου καὶ Λιβύης καὶ Πενταπόλεως εἰπεῖν; οὐδὲ γὰρ καθ'
ἕκαστον ἐπιβουλεύειν ἤρξαντο, ἵνα κἂν ψεύσασθαι δυνηθῶσιν, ἀλλ' ἀθρόως πᾶσιν
3 ἐπέθεντο, ἵνα, κἂν θέλωσι πλάσασθαι, καταγνωσθῶσιν. ἐτύφλωσε γοῦν αὐτῶν
ἐν τούτοις τὴν διάνοιαν ἡ κακία, καὶ πάντας ἁπλῶς τοὺς ἐπισκόπους ἀπροφασίστως
ἠξίωσαν ἐκβάλλεσθαι, ἵνα δείξωσιν ὅτι κατὰ Ἀθανασίου καὶ κατὰ τῶν ἄλλων ἐπισκόπων
οὓς ἐξώρισαν προφάσεις ἐπλάσαντο ψευδεῖς δι' οὐδὲν ἕτερον ἢ διὰ τὴν μιαρὰν αἵρεσιν
τῶν χριστομάχων Ἀρειανῶν. τοῦτο γὰρ λοιπὸν οὐκέτι κέκρυπται, ἀλλὰ πᾶσι μάλιστα
4 νῦν γέγονε φανερόν. Ἀθανάσιον μὲν γὰρ προσέταξεν ἐκβάλλεσθαι τῆς πόλεως,
ἐκείνοις δὲ παραδέδωκε τὰς ἐκκλησίας. καὶ οἱ μὲν πρεσβύτεροι καὶ οἱ διάκονοι οἱ μετ'
D αὐτοῦ ἀπὸ Πέτρου καὶ Ἀλεξάνδρου τυγχάνοντες ἐκβάλλονται καὶ φυγαδεύονται, οἱ
B 384 δὲ ἀληθῶς Ἀρειανοὶ οἱ μὴ ἔξωθεν ἀληθῶς ὑπονοούμενοι, ἀλλ' οἱ | ἐξ ἀρχῆς διὰ τὴν
αἵρεσιν ἐκβληθέντες μετ' αὐτοῦ τοῦ Ἀρείου παρὰ Ἀλεξάνδρου τοῦ ἐπισκόπου, ἐν μὲν
τῇ ἄνω Λιβύῃ Σεκοῦνδος, ἐν δὲ τῇ Ἀλεξανδρείᾳ Εὐζώιος ὁ Χαναναῖος καὶ Ἰούλιος καὶ
Ἄμμων Μάρκος τε καὶ Εἰρηναῖος καὶ Ζώσιμος καὶ Σαραπίων ἐπίκλην Πελύκων καὶ ἐν
Λιβύῃ Σισίννιος καὶ οἱ σὺν αὐτῷ νεώτεροι συνασεβοῦντες αὐτοῖς, οὗτοι τὰς ἐκκλησίας
παρειλήφασιν.
72, 1 | Καὶ ὁ μὲν στρατηλάτης Σεβαστιανὸς ἔγραψε τοῖς κατὰ τόπον πραιποσίτοις καὶ
M 780 A στρατιωτικαῖς ἐξουσίαις, καὶ οἱ μὲν ἀληθῶς ἐπίσκοποι ἐδιώχθησαν, οἱ δὲ τὰ τῆς ἀσεβείας
2 φρονοῦντες ἀντ' ἐκείνων εἰσήχθησαν. καὶ ἐξώρισαν μὲν ἐπισκόπους γηράσαντας ἐν
τῷ κλήρῳ καὶ πολυετεῖς ἐν τῇ ἐπισκοπῇ ἀπὸ Ἀλεξάνδρου ὄντας τοῦ ἐπισκόπου, Ἀμ-
μώνιον μὲν καὶ Ἑρμῆν καὶ Ἀνάγαμφον καὶ Μάρκον εἰς τὴν ἄνω Ὤασιν, Μοῦιν δὲ καὶ
Ψενόσιριν καὶ Νειλάμμωνα καὶ Πλήνην καὶ Μάρκον καὶ Ἀθηνόδωρον εἰς τὴν Ἀμμωνιακὴν
3 δι' οὐδὲν ἕτερον, ἢ ἵνα διὰ τῶν ἐρήμων διερχόμενοι τελευτήσωσι. καὶ γὰρ οὐδὲ νο-
σοῦντας αὐτοὺς ἠλέησαν, ἀλλὰ καὶ βαρέως διὰ τὴν ἀσθένειαν ἀποφέροντας ἤλαυνον, ὥστε
B φορείοις αὐτοὺς ἀποφέρεσθαι καὶ διὰ τὴν νόσον ἐπακολουθεῖν αὐτοῖς τὰ ἐντάφια. ἀπέθανε
4 γοῦν εἷς ἐξ αὐτῶν, καὶ οὐδὲ τὸ σῶμα συνεχώρησαν ἀποφέρεσθαι τοῖς ἰδίοις. διὰ

7 f. Vgl. Sap. 2, 21 16 ff. Zu den Namen vgl. die Liste Urk. 4b (III 7, 14 ff.) u. die Anm. S. 231 17 Secundus v. Ptolemais, vgl. S. 219, 3 — Euzoius Urk. 4b (III 7, 15), war Presbyter unter Georg in Alexandrien (hist. Athan. 17 f. 107a). Vgl. Athan. de syn. 31 (S. 260, 5) — Julius: Urk. 4b (III 7, 16) 18 Ammon wohl identisch mit Parammon: Urk. 4a (III 6, 9) — Marcus nicht in Urk. 4a, 4b. Doch setzt Athan. einen früher exkommunizierten Marcus als Nachfolger des Kallinicus v. Pelusium ein (Sozom. II 25, 4) — Irenäus: Urk. 4a (III 6, 9) — Zosimus: Urk. 4a (III 6, 9) — Sarapion: Urk. 4a (III 6, 9) 19 Sisinnius nur hier erwähnt 21 ff. Vgl. de fuga 7, 4. 5 (S. 73, 10 ff.) 24/25 Ammonius, Bi. v. Pachnemunis, vgl. oben S. 129 Nr. 206 u. de fuga 7 25 Hermes nur hier und de fuga 7 — Anagamphos: de fuga 7 und oben S. 130 Nr. 235 — Marcus: Ζυγρῶν τῆς ἔγγιστα Λιβύης, auf der Synode von 362 (Athan. tom. ad Ant. 10, 2 Nr. 8; S. 328, 6), de fuga 7 — Muis: Bi. v. Laton, vgl. S. 129 Nr. 176, de fuga 7 26 Psenosiris: Bi. v. Coptos, vgl. S. 129 Nr. 174, de fuga 7 — Neilammon: Bi. v. Syene, vgl. S. 129 Nr. 184, de fuga 7 — Plenes, nur de fuga 7 = Plenius — Marcus: Bi. v. Philai, Teilnehmer an der Synode von 362 (Athan. tom. ad ad Ant. 10, 2 Nr. 12 S. 328, 10), de fuga 7 — Athenodorus: nur hier u. de fuga 7

BKPO RE

4 τι — 10 ψευδεῖς > K 11 οὐκέτι] οὐ B 15 ἀληθῶς² > K | ἐπινοούμενοι B 16 μὲν + γὰρ E 19 Σισίνιος KO 21 Σεβαστειανὸς P | τοῖς] τῆς R 23 γηράσαντας] γηρῶντας E 25 μὲν — Μάρκον RE > BKPO | Ὤασιν BPOE Ὄασιν R Οὔασιν K 28 ἀποφέροντας KPO φέροντας RE φέροντες B

τοῦτο καὶ Δρακόντιον μὲν ἐπίσκοπον εἰς τὰ ἔρημα περὶ τὸ Κλύσμα ἐξώρισαν, Φίλωνα
δὲ εἰς Βαβυλῶνα καὶ Ἀδέλφιον εἰς Ψίναβλα τῆς Θηβαΐδος Ἱερακά τε καὶ Διόσκορον
τοὺς πρεσβυτέρους εἰς Σοήνην ἐξώρισαν. καὶ Ἀμμώνιον μὲν καὶ Ἀγαθὸν καὶ Ἀγαθο-
δαίμονα καὶ Ἀπολλώνιον καὶ Εὐλόγιον καὶ Ἀπολλὼ καὶ Παφνούτιον καὶ Γάιον καὶ
Φλάβιον, ἀρχαίους ἐπισκόπους, καὶ Διόσκορον καὶ Ἀμμώνιον καὶ Ἡρακλείδην καὶ Ψάιν,
πάλιν ἐπισκόπους, ἐφυγάδευσαν. καὶ τοὺς μὲν εἰς λειτουργίαν παραδεδώκασι, τοὺς 5
δὲ ἐδίωξαν ἀναιρῆσαι θέλοντες ἄλλους τε πολλοὺς διήρπασαν. καὶ λαικοὺς μὲν μ' καὶ
παρθένους πρότερον παρὰ πῦρ στήσαντες αὐτὰς ἐξώρισαν. οὕτω κόψαντες πληγαῖς C
ταῖς ἀπὸ φοινίκων ῥάβδοις, ὡς μετὰ ἡμέρας πέντε τὰς μὲν αὐτῶν ἀποθανεῖν, τὰς δὲ
χειρουργεῖσθαι διὰ τοὺς ἐμπαγέντας | ἐν τοῖς μέλεσι σκόλοπας καὶ μείζονας θανάτου τὰς M 781 A
βασάνους | ὑπομένειν· καὶ τό γε δεινότερον παντὶ μὲν ἰσχύοντι, οἰκεῖον δὲ τῶν ἀσεβῶν. B 388
ἐπειδὴ κοπτόμεναι τὸν Χριστὸν ἐπεκαλοῦντο, μειζόνως ἔτριζον κατ' αὐτῶν τοὺς ὀδόντας.
ἀμέλ ειοὐδὲ τὰ σώματα τῶν ἀπογιγνομένων ἀπεδίδουν τοῖς ἰδίοις εἰς ταφήν, ἀλλ' ἔκρυ- 6
πτον, ἵνα δόξωσι λανθάνειν τὴν ἀνδροφονίαν. ἀλλ' οὐκ ἔλαθον, πᾶσα γὰρ ἡ πόλις
ἑώρακε καὶ πάντες ὡς δημίους, ὡς κακούργους καὶ λῃστὰς ἀπεστρέφοντο. καὶ γὰρ καὶ
μοναστήρια κατέστρεψαν καὶ εἰς πῦρ ἐμβαλεῖν μοναχοὺς ἐπείρασαν καὶ διήρπασαν οἴκους
καὶ παραθήκας τεθείσας παρὰ τοῦ ἐπισκόπου εἰς οἶκον ἐλευθέρων ἐπεισελθόντες ἥρπασαν
καὶ ἀπεστέρησαν, τὰς χήρας κατὰ πελμάτων ἔκοπτον καὶ τὰς ἐλεημοσύνας ἐκώλυον.

Τοιαῦτα μὲν οὖν τὰ πονηρεύματα τῶν Ἀρειανῶν. οἷα δὲ αὐτῶν καὶ τὰ τῆς ἀθεό- 73, 1 B
τητος ἐπιχειρήματα, τίς ἀκούσας οὐ φρίξειε; τοὺς μὲν γὰρ τηλικούτους γέροντας καὶ
πολυετεῖς ἐπισκόπους ἐξορισθῆναι πεποιήκασιν, ἀντὶ δὲ τούτων νεωτέρους ἀσελγεῖς
Ἕλληνας μήτε κατηχηθέντας, δόξαντες εὐθὺς περαίνειν, καὶ ἄλλους διγυναίους καὶ ἐπὶ
μείζοσιν αἰτίαις ἐγκαλουμένους διὰ τὸν περὶ αὐτοὺς πλοῦτον καὶ τὴν ἐκ τῆς πολιτείας
δυναστείαν, χρυσίον διδόντας, ὡς ἀπὸ πωλητηρίου ἀπέστελλον αὐτοὺς ὀνομάσαντες
ἐπισκόπους. καὶ λοιπὸν τοῖς λαοῖς δεινοτέρα ἐγίγνετο ἡ συμφορά. ἀποστρεφόμενοι 2
γὰρ τοὺς μισθωτοὺς ἐκείνων καὶ ἀλλοτρίους ἑαυτῶν ἐμαστίζοντο, ἐδημεύοντο, εἰς τὰ
δεσμωτήρια κατεκλείοντο παρὰ τοῦ στρατηλάτου. ἐποίει γὰρ τοῦτο προθύμως Μανι- C
χαῖος ὤν, ἵνα τοὺς μὲν ἰδίους μὴ ἐπιζητῶσιν, οὓς δὲ ἀπεστρέφοντο δέχωνται ἀνθρώπους
τοιαῦτα πράττοντας, οἷα καὶ πρὸ τούτου ἐν τοῖς εἰδώλοις ἔπαιζον.

1 Dracontius: Bi. v. Hermupolis parva s. Athan. ep. ad D. S. 303, 1 Note, de fuga 7. Nach Hieron. vita Hilarionis 30 (II 30 C Vall. Maffei) lebte D. in Castrum Theubatum in der Verbannung — Philon: vgl. S. 129 Nr. 178; S. 130 Nr. 213. Ob Ph. der von Hieron. ol. 287, 2 genannte Genosse des Lucifer? Nach Hieron. vita Hilarionis a. a. O. war Ph. nach Babylon verbannt 2 Adelphius: Bi. Ὀνούφεως τῆς Λύχνων, Teilnehmer an der Synode von 362 (Athan. tom. ad Ant. 10, 2 Nr. 6 S. 328, 4), de fuga 7, Adressat von ep. ad Adelphium — Hierax, vgl. ep. ad Dracontium 10 (S. 308, 6), de fuga 7, ob der Presbyter aus der Mareotis S. 155 Nr. 8 — Dioscorus: de fuga 7, vgl. S. 155 Nr. 13 3 Ammonius: vgl. S. 222, 24—25 u. S. 129 Nr. 206 — Agathos: Bi. Φραγώνεως καὶ μέρους Ἐλεαρχίας τῆς Αἰγύπτου (Athan. tom. ad Ant. 10, 2 Nr. 2 S. 327, 24), ep. ad Drac. 7 (S. 306, 16), de fuga 7 — Agathodaimon: Bi. v. Schedia u. Menelaitos (Athan. tom. ad Ant. 10, 2 Nr. 4 S. 328, 2), fehlt de fuga 7 4 Apollonius, nur hier, vgl. S. 129 Nr. 175 — Eulogius, ein E. in Diocäsarea 373, Epiph. haer. 72, 1 (III 265, 9) — Apollo, wohl der Bi. v. Cynopolis, der an der Gesandtschaft von 353 teilnahm (hist. Athan. 3 f. 106[a]), vgl. ep. ad Drac. 7, 2 (S. 306, 16) — Paphnutius, Bi. v. Sais, vgl. S. 129 Nr. 171 — Gaius: Bi. v. Paraetonion, vgl. S. 130 Nr. 237 5 Flavius nur hier — Dioskoros: vgl. S. 128 Nr. 158 — Ammonius, vgl. S. 222, 24—25 u. oben Z. 3 — Heracleides: vgl. S. 128 Nr. 156 — Psais, vgl. S. 130 Nr. 221 23 Vgl. apol. ad Const. 28, 3 (S. 295, 20)

BKPO RE

1 Κλάσμα E 3 Σοήνην RE Σοίνην BKPO 5 καὶ[1] + καὶ E 7 καὶ[1] > B 14 ἡ > R*, über d. Zeile R^{c} 28 ἀπεστρέφεντο E | δέχονται RE 29 τούτων E

74, 1 Τίς οὖν ταῦτα βλέπων ἢ ἀκούων, τίς ὁρῶν τὴν ἀλαζονείαν τῶν ἀσεβῶν καὶ τοσαύτην
ἀδικίαν, εἰ δίκαιός ἐστιν, οὐ στενάξειεν; »ἐν τόποις γὰρ ἀσεβῶν στένουσι δίκαιοι«. τίς
τούτων γιγνομένων καὶ τῆς ἀσεβείας τοσαύτην ἀναισχυντίαν λαβούσης ἔτι τολμᾷ
λέγειν Κοστύλλιον Χριστιανὸν καὶ οὐ μᾶλλον ἀντιχρίστου τὴν εἰκόνα; τί γὰρ τῶν
τούτου γνωρισμάτων παραλέλοιπεν; ἢ πῶς οὐ πανταχόθεν οὗτος ἐκεῖνος εἶναι νομισθή-
2 σεται, κἀκεῖνος τοιοῦτος ἂν ὑπονοηθείη, οἷός ἐστιν οὗτος; οὐ τὰς ἐν τῇ μεγάλῃ
D ἐκκλησίᾳ τῇ ἐν τῷ Καισαρείῳ γινομένας θυσίας καὶ κατὰ Χριστοῦ βλασφημίας ὡς ἐξ
ἐντολῆς αὐτοῦ πεποιήκασιν Ἀρειανοί τε καὶ Ἕλληνες; οὐχ ἡ ὅρασις τοῦ Δανιὴλ οὕτως
σημαίνει τὸν ἀντίχριστον ὅτι »ποιήσει πόλεμον μετὰ τῶν ἁγίων καὶ ἰσχύσει πρὸς αὐτούς«
καὶ ὑπεροίσει ἐν κακοῖς πάντας τοὺς ἔμπροσθεν »καὶ τρεῖς βασιλεῖς ταπεινώσει καὶ λόγους
3 M 784 A πρὸς τὸν ὕψιστον λαλήσει καὶ ὑπονοήσει τοῦ | ἀλλοιῶσαι καιρὸν καὶ νόμον«; τίς
B 389 οὖν ἄλλος πώποτε | τοιαῦτα ἐπεχείρησε πρᾶξαι ἢ μόνος Κωνστάντιος; οὗτος γὰρ
τοιοῦτός ἐστιν, οἷος ἂν ἐκεῖνος γένοιτο. λαλεῖ γὰρ λόγους πρὸς τὸν ὕψιστον προιστά-
μενος τῆς ἀσεβοῦς αἱρέσεως καὶ πρὸς τοὺς ἁγίους ποιεῖ πόλεμον ἐξορίζων τοὺς ἐπισκόπους,
4 εἰ καὶ πρὸς ὀλίγον ἐπὶ τῇ ἑαυτοῦ ἀπωλείᾳ ταύτην τὴν ἐξουσίαν ἔχει. καὶ γὰρ οὗτος
τοὺς πρὸ αὐτοῦ νενίκηκεν ἐν κακίᾳ καινὸν ἐπινοήσας τρόπον τοῦ διωγμοῦ. καὶ τρεῖς
βασιλεῖς Βρετανίωνα καὶ Μαγνέντιον καὶ Γάλλον καθελὼν εὐθὺς προέστη τῆς ἀσεβείας.
5 καὶ ὡς γίγας πρὸς τὸν ὕψιστον ἐτόλμησεν ἐπαρθῆναι τῇ ἀλαζονείᾳ. οὗτος ὑπενόησεν
ἀλλοιῶσαι νόμον παραλύων τὴν μὲν τοῦ κυρίου διὰ τῶν ἀποστόλων διάταξιν, τὰ δὲ
B τῆς ἐκκλησίας ἀλλάττων ἔθη καὶ καινὸν αὐτὸς ἐπινοῶν τρόπον τῶν καταστάσεων. ἐξ
ἄλλων γὰρ τόπων καὶ πρὸ πεντήκοντα μονῶν μετὰ στρατιωτῶν ἐπισκόπους ἀπο-
στέλλει πρὸς τοὺς μὴ θέλοντας λαούς, καὶ ἀντὶ γνώσεως τῆς πρὸς τοὺς λαοὺς ἐκεῖνοι
φέρουσι τὰς ἀπειλὰς καὶ τὰ πρὸς τοὺς δικαστὰς γράμματα. οὕτω Γρηγόριον ἀπὸ Καπ-
παδοκίας ἔπεμψεν εἰς Ἀλεξάνδρειαν, καὶ εἰς μὲν τὸ Σίρμιον ἀπὸ Κυζίκου μετεπέμψατο
75, 1 Γερμίνιον, ἀπὸ δὲ τῆς Λαοδικείας Κεκρόπιον εἰς τὴν Νικομήδειαν ἀπέστειλεν. καὶ
Αὐξέντιον μέν τινα φιλοπράγμονα μᾶλλον ἢ Χριστιανὸν ἀπὸ Καππαδοκίας εἰς Μεδιό-
λανον μετεστείλατο, ἵν', ἐπειδὴ τὸν ἐπίσκοπον τὸν ἐκεῖ Διονύσιον, ἄνθρωπον εὐλαβῆ,
C διὰ τὴν εἰς Χριστὸν εὐσέβειαν ἐξώρισε, τοῦτον ἐκεῖ κελεύσῃ εἶναι, ἄνθρωπον μήπω μηδὲ
τὴν Ῥωμαικὴν εἰδότα γλῶτταν ἢ μόνον ἀσεβεῖν. νῦν δὲ πάλιν Γεώργιόν τινα Καππα-

1 In c. 74 ff. faßt Athan. seine Polemik gegen den Kaiser zusammen. Konstantius ist der Antichrist, der nach Dan. 7 beschrieben wird. Die gleichen Töne finden sich bei Lucifer Cal. de non parcendo 30 (CSEL 14, 273 ff.) und Hilarius c. Const. 5 (p. 564 D ed. Maur.) 2 Prov. 28, 28 4 Κοστύλλιος, Deminutiv für Κωνστάντιος 6/7 Vgl. oben c. 55, 2 (S. 214, 16) 8 ff. Vgl. Dan. 7, 23 ff. 9 Dan. 7, 21 10 Dan. 7, 24. 25 17 Es ist von Athan. recht gewagt, selbst in einer allegorischen Auslegung von Dan. 7 Vetranio, Magnentius und Gallus (der 354 beseitigt wurde; Amm. XIIII 11, 13 ff.) als Kaiser zu bezeichnen. Eine Handhabe für die Anklage auf crimen laesae maiestatis war dadurch leicht gegeben, vgl. apol. ad Const. 6, 1 (S. 282, 26 ff.) 21 Etwa 50 Stationen beträgt der Weg von Kappadokien, woher Georg kam, nach Alexandrien 23 Vgl. ep. enc. 2 (S. 170, 28) 25 Germinius wurde 351 in Sirmium zum Nachfolger Photins bestellt — Kekropius ist wohl der Nachfolger Amphions v. Nikomedien, der 342 den Sitz innehatte (CSEL 65, 48, 15). K. war Bi. d. phrygischen Laodicea. Während des Erdbebens in Nikomedien am 24. 8. 358 (Const. Const. = Chron. min. ed. Mommsen I 239 a. 358; Amm. XVII 7, 2) starb K. Ath. scheint nichts davon zu wissen 26 Auxentius wurde in Mailand 355 eingesetzt; Sulp. Sev. II 39, 6 (CSEL 1, 93, 1) 29 Georg (vgl. c. 51 S. 212, 11) stammte aus Tarbastene (Gregor. Nyss. c. Eun. I 48; I 36, 4 Jaeger), nach Amm. XXII 11, 3 wurde er als Sohn eines Walkers in Epiphaneia

BKPO RE

4 Κοστύλλιον] Κωνστάντιον K | τὴν über der Zeile E 6 οἷος BKPO ἢ ὡς RE* ὡς E^c 7 κατὰ + τοῦ K 11 ἀλλοτριῶσαι B 12 ἐπεχείρησαι BE 13 γὰρ > B 17 Βρετανίωνα PR^c Βρεττανίωνα KE^c Βρεντανίωνα BOR*E* 26 Καππαδοκείας B 27 μετεστείλατο O^c μετεστήσατο O*

δόκην ἄνθρωπον, ὑποδέκτην ἐν Κωνσταντινουπόλει ταμιακῶν γενόμενον καὶ σφετερι-
σάμενον πάντα καὶ δι' αὐτὸ τοῦτο φυγόντα, προσέταξεν εἰς Ἀλεξάνδρειαν εἰσελθεῖν
μετὰ στρατιωτικῆς φαντασίας καὶ τῆς τοῦ στρατηλάτου ἐξουσίας. εἶτα εὑρὼν Ἐπί- 2
κτητόν τινα νεόφυτον καὶ νεώτερον θρασὺν ἠγάπησεν ὁρῶν αὐτὸν ἕτοιμον εἰς κακίαν
καὶ δι' αὐτοῦ οἷς ἐθέλει λοιπὸν ἐπισκόποις ἐπιβουλεύει· ἕτοιμος γὰρ ἐκεῖνός ἐστι πάντα
ποιεῖν ἃ βούλεται βασιλεύς. τούτῳ γοῦν ὑπηρέτῃ χρώμενος καὶ ἐν τῇ Ῥώμῃ πεποίηκε
παράδοξον καὶ ἀληθῶς ὁμοίωμα τῆς ἀντιχρίστου κακονοίας. ἀντὶ γὰρ τῆς ἐκκλησίας 3
τὸ παλάτιον παρασκευάσας καὶ ἀντὶ τῶν λαῶν τρεῖς που θλαδίας ἑαυτοῦ πεποίηκε παρεῖ- D
ναι, καὶ λοιπὸν ἠνάγκασε τρεῖς κακοήθεις κατασκόπους (οὐ γὰρ ἄν τις ἐπισκόπους εἴποι)
καταστῆσαι δῆθεν ἐπίσκοπον ἐν τῷ παλατίῳ Φήλικά τινα ἄξιον ἑαυτῶν. οἱ γὰρ λαοὶ
πάντες εἰδότες τὴν παρανομίαν τῶν αἱρετικῶν οὔτε συνεχώρησαν αὐτοῖς εἰς τὰς ἐκκλησίας
εἰσελθεῖν, ἀλλὰ μακρὰν ἀπ' αὐτῶν ἀνεχώρησαν.

| Τί οὖν οὗτος τοῦ ἀντιχρίστου παραλέλοιπεν; ἢ τί πλέον ἐκεῖνος ἐλθὼν τούτου **76, 1** B 390
ποιήσειεν; ἢ πῶς ἐκεῖνος ἐλθὼν οὐχ εὑρήσει πρὸς ἀπάτην εὔκολον προετοιμασθεῖσαν M 785 A
αὐτῷ παρὰ τούτου τὴν ὁδόν; καὶ γὰρ πάλιν ἀντὶ τῶν ἐκκλησιῶν εἰς τὰ παλάτια πρὸς
ἑαυτὸν τὰς κρίσεις προκαλεῖται. καὶ τούτων μὲν αὐτὸς ἐξάρχει· τὸ δὲ θαυμαστόν, 2
ὅτι, κἂν θεωρήσῃ τοὺς κατηγόρους ἀποροῦντας, αὐτὸς ἀναδέχεται τὴν κατηγορίαν,
ἵνα μηδὲ ἀπολογεῖσθαι λοιπὸν ἐξῇ τοῖς ἀδικουμένοις διὰ τὴν παρ' αὐτοῦ βίαν. καὶ 3
τοῦτο πεποίηκεν ἐν τοῖς κατὰ Ἀθανασίου. τὴν γὰρ Παυλίνου καὶ Λουκιφέρου καὶ
Εὐσεβίου καὶ Διονυσίου τῶν ἐπισκόπων παρρησίαν βλέπων, καὶ ὡς ἐκ τῆς μετανοίας
Οὐρσακίου καὶ Οὐάλεντος διήλεγχον τοὺς κατὰ τοῦ ἐπισκόπου λέγοντας καὶ συνεβού-
λευον μηκέτι χρῆναι πιστεύεσθαι τοὺς περὶ Οὐάλεντα μεταγνόντας ἐφ' οἷς λέγουσι νῦν, B
εὐθὺς ἀναστὰς εἶπεν· 'ἐγὼ κατήγορός εἰμι νῦν Ἀθανασίου, δι' ἐμὲ πιστεύσατε οἷς ἐὰν
λέγωσιν οὗτοι'. εἶτα ἐκείνων λεγόντων· 'πῶς δύνασαι κατήγορος εἶναι μὴ παρόντος 4
τοῦ κατηγορουμένου; εἰ γὰρ σὺ κατήγορος εἶ, ἀλλ' ἐκεῖνος μὴ παρὼν οὐ δύναται κρί-
νεσθαι. οὐ γὰρ Ῥωμαική ἐστιν ἡ κρίσις, ἵν' ὡς βασιλεὺς πιστευθῇς, ἀλλὰ περὶ ἐπισκόπου
ἐστὶ τὸ κρίμα. καὶ δεῖ τὴν κρίσιν ἴσην εἶναι τῷ κατηγοροῦντι καὶ τῷ κρινομένῳ. πῶς
δὲ καὶ κατηγορεῖς; συνεῖναι γὰρ οὐκ ἠδύνασο τῷ μακράν σου τυγχάνοντι. εἰ δὲ παρὰ
τούτων ἀκούσας λέγεις, δίκαιόν ἐστί σε καὶ τὰ παρ' ἐκείνου λεγόμενα πιστεύειν, εἰ δὲ
μὴ πιστεύεις ἐκείνῳ, πιστεύεις δὲ τούτοις, φαίνονται μᾶλλον οὗτοι διὰ σὲ λέγοντες ταῦτα
καὶ εἰς σὴν χάριν κατηγοροῦντες Ἀθανασίου. ταῦτα ἀκούσας καὶ νομίσας ὕβριν 5 C

(Cilicien) geboren. Er war Steuererheber, kam also aus der Beamtenlaufbahn, die auch militia heißt, auf keinen Fall aus der klerikalen, vgl. Godefroy zu Cod. Theod. XII 6. Die Schätze der Bibliothek an griech. u. christl. Autoren, die G. in Kappodokien besaß (vor 347), rühmt Julian ep. 107 S. 166, 3ff. Bidez-Cumont. Mit Athan. Urteil über G. stimmt weitgehend Amm. a. a. O. überein. Dieser sagt von G.: professionis suae oblitus, quae nihil nisi iustum suadet et lene, ad delatorum ausa feralia desciscebat. Vgl. Gregor Naz. or. 21, 16 (I 395 B ed. Maur.) 3/4 Epiktet v. Centumcellae (= Civitavecchia, Mart. et Faust. Coll. Avell. II 26; CSEL 35, 13, 10) gehörte zu den Vertrauten des Konstantius (Lucifer CSEL 14, 15, 21). Bei den Verhandlungen des Konstantius mit Liberius war er zugegen (Thdt. h. e. II 16, 12). 357/8 hat sich Liberius um die Zustimmung des E. und Auxentius bemüht (CSEL 65, 172, 9) 9 Hieron. de vir. ill. 98 weiß, daß Acacius v. Caesarea bei der Einsetzung des Felix mitgewirkt hat. Im übrigen vgl. zur Geschichte des Felix: Mommsen, Ges. Schriften 6, 570ff. 10 Das Urteil 'ἄξιον ἑαυτῶν' steht im Widerspruch zu Rufin X 23 (989, 1) und Thdt. h. e. II 17, 3 (137, 7), die beide wohl die gleiche, gegen Liberius eingenommene Quelle wiedergeben (Sokr. Sozom. sind sekundär) 11 Vgl. Thdt. a. a. O. und Mommsen a. a. O. 21 Das ist in Mailand 355 geschehen, vgl. oben S. 201, 35. Die μετάνοια des Ursacius und Valens war in der Verteidigung besonders des Athan. die am meisten benützte Waffe, vgl. oben S. 197, 5 Note 24 Vgl. oben S. 202, 3

BKPO RE

1 ταμειακῶν P 4 κακίαν] μανίαν R 5 ἐθέλοι B 10 Φήλικα BPRE Φίληκα KO 13 ἐλθὼν — 14 ἐκεῖνος > E 16 προσκαλεῖται KO 27 τὸ κρίμα] ἡ κρίσις P

εἶναι τὸ λεχθὲν ὀρθῶς ἐκείνους μὲν ἐξώρισε, κινηθεὶς δὲ κατὰ Ἀθανασίου ἀγριώτερον
ἔγραψεν αὐτόν τε παθεῖν τὰ γενόμενα καὶ τοῖς Ἀρειανοῖς παραδοθῆναι τὰς ἐκκλησίας
καὶ τούτοις ἐξεῖναι πράττειν ἃ βούλονται.
77,1 Δεινὰ μὲν οὖν καὶ πέρα δεινῶν τὰ τοιαῦτα, πρέπουσα δὲ πρᾶξις ὅμως τῷ σχη-
ματιζομένῳ τὰ τοῦ ἀντιχρίστου. τίς γὰρ βλέπων αὐτὸν ἐξάρχοντα τῶν νομιζομένων
ἐπισκόπων καὶ προκαθήμενον τῶν ἐκκλησιαστικῶν κρίσεων οὐκ ἀκολούθως ἂν εἴποι
D τοῦτ' εἶναι τὸ διὰ τοῦ Δανιὴλ εἰρημένον »βδέλυγμα τῆς ἐρημώσεως«; τὸν γὰρ Χριστια-
νισμὸν περιβεβλημένος καὶ εἰς τοὺς ἁγίους τόπους εἰσερχόμενος ἑστηκώς τε ἐν αὐτοῖς
ἐρημοῖ τὰς ἐκκλησίας, παραλύων τοὺς τούτων κανόνας καὶ τὰ ἴδια κρατεῖν βιαζόμενος.
2 ἆρα τίς ἔτι τολμᾷ λέγειν τὸν καιρὸν τοῦτον εἰρηνικὸν εἶναι Χριστιανῶν καὶ οὐ μᾶλλον
διωγμόν; καὶ διωγμόν, οἷος οὔτε πώποτε γέγονεν οὔτε τάχα τις ποιήσει ποτὲ τοιοῦτον
B 391 εἰ μὴ ἄρα »ὁ υἱὸς τῆς ἀνομίας«, ὃν οἱ χριστομάχοι δεικνύουσιν ἀναζωγραφοῦντες ἐν αὐτοῖς |
M 788 A ἤδη. διὸ καὶ μάλιστα προσήκει νήφειν, | μήπως ἡ αἵρεσις αὕτη πολλὴν ἀναισχυντίαν
ἔχουσα καὶ διαχυνομένη ὡς »ἰὸς κεράστου«, καθὼς ἐν ταῖς Παροιμίαις γέγραπται, δι-
δάσκουσά τε κατὰ τοῦ σωτῆρος φρονεῖν, αὕτη ἂν εἴη ἡ ἀποστασία, μεθ' ἣν ἐκεῖνος ἀπο-
3 καλυφθήσεται πάντως ἔχων τὸν πρόδρομον ἑαυτοῦ Κωνστάντιον. ἐπεὶ διὰ τί οὕτως
μαίνεται κατὰ τῶν εὐσεβῶν; διὰ τί ὡς ὑπὲρ ἰδίας αἱρέσεως ἀγωνίζεται καὶ ἐχθρὸν
μὲν ἴδιον λέγει τὸν μὴ πειθόμενον τῇ Ἀρείου μανίᾳ, τὰ δὲ παρὰ τῶν χριστομάχων λεγό-
μενα καταθυμίως δέχεται καὶ τοιαύτας καὶ τοσαύτας συνόδους ἀτιμάζει; διὰ τί τοῖς
Ἀρειανοῖς ἐκέλευσε τὰς ἐκκλησίας παραδίδοσθαι; οὐχ ἵνα ἐκεῖνος ἐλθὼν εὕρῃ, πῶς εἰς
4 αὐτὰς εἰσέλθῃ καὶ ἀποδέξηται τοῦτον ἑτοιμάσαντα τοὺς τόπους αὐτῷ; οἱ μὲν γὰρ
B ἀπὸ Ἀλεξάνδρου καὶ τοῦ πρὸ αὐτοῦ Ἀχιλλᾶ καὶ πάλιν τοῦ πρὸ τούτου Πέτρου γέροντες
ἐπίσκοποι ἐξεβάλλοντο, ἐκεῖνοι δὲ εἰσήγοντο, οὓς ἂν ἔλεγον οἱ ἀκολουθοῦντες τοῖς στρα-
τιώταις· ἔλεγον δὲ τοὺς τὰ αὐτῶν φρονεῖν ἐπαγγελλομένους.
78,1 Εὔκολον δὲ τοῦτο Μελιτιανοῖς ἦν τὸ πρόβλημα. οἱ γὰρ πλεῖστοι, μᾶλλον δὲ οἱ
πάντες οὐκ ἀπὸ θεοσεβοῦς ἀγωγῆς εἰσιν οὐδὲ γινώσκουσι τὴν εἰς Χριστὸν ὑγιαίνουσαν
πίστιν, οὐδ' ὅλως τίς ἐστι Χριστιανισμός, ἢ ποίας ἔχομεν ἡμεῖς οἱ Χριστιανοὶ γραφάς.
οἱ μὲν γὰρ αὐτῶν ἐξ εἰδώλων ἐλθόντες, οἱ δὲ ἐκ τοῦ βουλευτηρίου καὶ τῆς πρώτης πο-
λιτείας διὰ τὴν ταλαίπωρον ἀλειτουργησίαν καὶ προστασίαν πείσαντές τε χρήμασι
τοὺς πρὸ αὐτῶν Μελιτιανοὺς εἰς τοῦτο παρῆλθον, καὶ πρὶν κατηχηθῶσιν. εἰ δὲ καὶ
C ἔδοξαν, ποία κατήχησις παρὰ Μελιτιανοῖς ἐστιν; ὅμως οὐδὲ δόξαντες κατηχεῖσθαι
2 ἦλθον ἅμα, καὶ εὐθὺς ὥσπερ παῖδες ὄνομα λαβόντες ἐκλήθησαν ἐπίσκοποι. καὶ διὰ
τοῦτο τοιοῦτοι ὄντες οὐδὲν ἡγήσαντο τὸ πρᾶγμα οὐδὲ διαφέρειν εὐσέβειαν ἀσεβείας

---

7 Mt. 24, 15 (Dan. 9, 27) 10 Wohl ein gegnerisches Argument, vgl. S. 183, 6 12 II. Thess. 2, 3, vgl. zur Lesart: Epiph. 66, 61, 3 (III 98, 17) 14 Prov. 23, 32 23 Vgl. S. 222, 19 25 Im folgenden Abschnitt höhnt Athan. darüber, daß die »arianischen Eindringlinge« Leute zu Bischöfen an Stelle der verbannten Athanasianer machten, die aus den Reihen der ehemaligen Melitianer, d. h. aber der mit dem Regiment des Athan. Unzufriedenen genommen wurden. Die Melitianer haben um 356 keine Bedeutung mehr; einen Nachfolger für ihren nach Tyrus von Konstantin abgesetzten Führer Johannes Archaph (Sozom. II 31, 4) hatten sie nicht erhalten. Einige wenige Bischöfe sind noch in Philippopel 342 gewesen (vgl. Noten zu S. 150). Die von den Gegnern des Athan. aufgefundenen Melitianer haben Athan. noch zu schaffen gemacht, sonst würde er hier und später ep. ad episc. Aeg. et Lib. nicht so betont von ihnen reden 29 Die ἀλειτουργησία, die Immunität von den munera, genoß jeder Bischof, auch Athanasius

---

BKPO RE

---

11 ποιήσει τις ~ E 12 ὃν E > BKPOR | δείκνυσιν B 15 ἣν] ἧς K 17 κατὰ τῶν εὐσεβῶν μαίνεται ~ P 18 μανίου O 24 αὐτῶν] αὐτὰ K 27 τίς] τί R[c] 31 κατηχεῖσθαι BKPO κατηχῆσθαι RE 32 ἐκλήθησαν — 33 ὄντες > E 33 τὸ E > BKPOR

ἐνόμισαν. προθύμως γοῦν καὶ ταχέως ἐκ Μελιτιανῶν Ἀρειανοὶ γεγόνασιν. ἂν δὲ καὶ
ἕτερόν τι προστάξῃ βασιλεύς, καὶ εἰς τοῦτο πάλιν εἰσὶν ἕτοιμοι μεταβάλλεσθαι. ἡ γὰρ
τῆς εὐσεβείας ἄγνοια ταχέως ἐπὶ τὴν συνήθη καὶ τὴν ἐξ ἀρχῆς ἣν μεμαθήκασιν ἀφρο-
σύνην καταφέρει τούτους. καὶ γὰρ οὐδέν ἐστιν αὐτοῖς »ἀνέμῳ παντὶ καὶ κλύδωνι 3
περιφέρεσθαι«, ἕως μόνον εἰσὶν ἀλειτούργητοι καὶ προστασίαν ἀνθρωπίνην ἔχουσι,
τάχα δὲ οὐδὲ μεταβάλλεσθαι, οἷοι καὶ πρὸ τούτου ἦσαν, καὶ οἷοι ἦσαν, ὅτε πάλιν Ἕλληνες
ἐτύγχανον. ἀμέλει τοιοῦτοι τὸν τρόπον ὄντες εὔκολοι καὶ νομίζοντες πολιτείαν 4 D
βουλῆς εἶναι τὴν ἐκκλησίαν καὶ τὰ τῶν εἰδώλων φρονοῦντες ὥσπερ ἔθνη εἰσελθόντες
εἰς »τὸ καλὸν ὄνομα« τοῦ σωτῆρος ἐμίαναν τὴν Αἴγυπτον πᾶσαν, ποιήσαντες κἂν ὅλως
ὀνομασθῆναι τὴν ἀρειανὴν αἵρεσιν ἐν αὐτῇ. ἔτι γὰρ ἐν ὁλοκλήρῳ μόνῃ τῇ Αἰγύπτῳ 5
παρρησία τῆς ὀρθοδοξίας ἦν, καὶ διὰ τοῦτ' | ἐσπούδασαν καὶ ταύτῃ φθόνον ἐπαγαγεῖν B 392
οἱ δυσσεβεῖς, μᾶλλον δὲ οὐκ αὐτοί, ἀλλ' ὁ κινήσας αὐτοὺς διάβολος, ἵν' ἐλθὼν ὁ τούτου
κῆρυξ ἀντίχριστος εὕρῃ καὶ ἐν τῇ Αἰγύπτῳ τὰς ἐκκλησίας ἑαυτοῦ | γενομένας τούς τε M 789 A
Μελιτιανοὺς προκατηχηθέντας ἤδη τὰ ἐκείνου καὶ ἐπιγνῷ ἑαυτὸν ἐν ἐκείνοις ἤδη μορ-
φωθέντα.

Τοιοῦτον μὲν οὖν ἐστι τὸ ἐξελθὸν παρὰ Κωνσταντίου παράνομον πρόσταγμα, 79,1
τῶν δὲ λαῶν προθυμία μὲν ἦν εἰς μαρτύριον καὶ μᾶλλον μῖσος κατὰ τῆς ἀσεβεστάτης
αἱρέσεως, πένθος δὲ ὅμως διὰ τὰς ἐκκλησίας καὶ στεναγμὸς παρὰ πάντων βοώντων πρὸς
τὸν κύριον· '»φεῖσαι, κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος«
τοῖς ἐχθροῖς σου, ἀλλὰ καὶ τάχυνον τοῦ ἐξελέσθαι ἡμᾶς ἐκ χειρὸς ἀνόμων. ἰδοὺ γὰρ
τῶν μέν σου θεραπόντων οὐκ ἐφείσαντο, τῷ δὲ ἀντιχρίστῳ τὴν ὁδὸν παρασκευάζουσιν'.
οὐ γὰρ ἀντιστήσονταί ποτε Μελιτιανοὶ τούτῳ οὐδὲ φροντίσουσι περὶ ἀληθείας οὐδὲ 2
ἀρνήσασθαι τὸν Χριστὸν φαῦλον ἡγήσονται, ἄνθρωποι μηδόλως γνησίως προσελθόντες B
τῷ λόγῳ, πρὸς πάντα κατὰ τὸν χαμαιλέοντα σχηματιζόμενοι καὶ μισθωτοὶ τῶν ἀνυόντων
αὐτῶν τὴν χρείαν γιγνόμενοι. οὐ γὰρ πρὸς τὴν ἀλήθειαν ἔχουσι τὸν σκοπόν, ἀλλὰ
ταύτης τὴν παραυτίκα προκρίνουσιν ἡδονήν, καὶ μόνον λέγουσι· »φάγωμεν καὶ πίωμεν·
αὔριον γὰρ ἀποθνήσκομεν«. τῶν μὲν οὖν ὑποκριτῶν [πικριτιανῶν ἀντὶ Μελιτιανῶν] 3
ἡ πρόθεσις τοιαύτη καὶ ὁ τρόπος ἄπιστος· οἱ δὲ πιστοὶ δοῦλοι τοῦ σωτῆρος καὶ ἀληθῶς
ἐπίσκοποι, οἱ γνησίως πιστεύσαντες καὶ μὴ ἑαυτοῖς, ἀλλὰ τῷ κυρίῳ ζῶντες, οὗτοι
πιστῶς εὐσεβοῦντες εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ γιγνώσκοντες, καθὰ προ-
εῖπον, ὡς κατὰ τῆς ἀληθείας προφάσεις εἰσὶ ψευδεῖς καὶ φανερῶς ἐπλάσθησαν διὰ τὴν
ἀρειανὴν αἵρεσιν· καὶ γὰρ καὶ ἐκ τῆς Οὐρσακίου καὶ Οὐάλεντος μετανοίας κατεμάνθανον C
τὴν κατὰ Ἀθανασίου συντεθεῖσαν συκοφαντίαν, ἵνα αὐτὸν μὲν ἐκποδὼν ἄρωσι, τὴν δὲ
ἀσέβειαν τῶν χριστομάχων εἰς τὰς ἐκκλησίας εἰσάξωσι — ταῦτα συνορῶντες ὡς ἀλη-
θείας ὄντες ὑπέρμαχοι καὶ κήρυκες ὑβρισθῆναι καὶ ἐξορισθῆναι μᾶλλον εἵλοντο καὶ ὑπέμειναν
ἢ κατ' αὐτοῦ ὑπογράψαι καὶ τοῖς Ἀρειομανίταις κοινωνῆσαι. οὐ γὰρ ἐπελάθοντο 4
ἃ ἐδίδαξαν, ἀλλὰ καὶ μᾶλλον γιγνώσκουσιν, ὡς τοῖς μὲν προδόταις ἀτιμία πολλή, τοῖς
δὲ ὁμολογοῦσι τὴν ἀλήθειαν βασιλεία οὐρανῶν. καὶ τοῖς μὲν ὀλιγώροις καὶ φοβηθεῖσι
Κωνστάντιον οὐδὲν ἔσται ἀγαθόν, τοῖς δὲ ὑπομείνασι τὰς ὧδε θλίψεις, ὡς ἐκ χειμῶνος
ναύταις εὔδιος λιμήν, ὡς ἀθληταῖς μετὰ τὸν ἀγῶνα στέφανος, οὕτω καὶ αὐτοῖς μεγάλη

4 Eph. 4, 14 9 Jac. 2, 7 19 Joel 2, 17 26 I. Cor. 15, 32 32 Vgl. oben S. 197, 5ff.

BKPO RE

5 ἔχουσι BKPO ἔχωσι RE 6 καὶ² über d. Zeile O 13 ἑαυτοῦ RE αὐτοῦ BKPO 17 μύσος B*E | κατὰ über d. Zeile O 18 διὰ τὰς ἐκκλησίας nach πάντων ~ P 20 καὶ > E 25 αὐτῶν > E 27 γὰρ > E | [πικριτιανῶν ἀντὶ Μελιτιανῶν] verderbte Glosse zu ὑποκριτῶν Op. | πικριτιανῶν] δικριτιανῶν K 28 τοιαύτη] αὕτη B 35 εἵλοντο R^c εἵλαντο R*E 37 μᾶλλον Comm. Montf. μᾶλλα R μάλα BKPOE 39 ἐκ > R

D καὶ αἰώνιος χαρὰ καὶ εὐφροσύνη ἐν τοῖς οὐρανοῖς γενήσεται, οἵαν ἔσχεν Ἰωσὴφ μετὰ τὰς θλίψεις ἐκείνας, οἵαν ὁ μέγας Δανιὴλ μετὰ τοὺς πειρασμοὺς καὶ τὰς πολλὰς ἐπιβουλὰς
B 393 τῶν βασιλικῶν, οἵαν ἔχει νῦν ὁ Παῦλος στεφανούμενος ὑπὸ τοῦ σωτῆρος, οἵαν | προσδοκῶντες καὶ οἱ πανταχοῦ τοῦ θεοῦ λαοὶ ταῦτα βλέποντες οὐκ ἠσθένησαν τῇ προαιρέσει,
5 ἀλλὰ μᾶλλον ἐνεδυναμώθησαν τῇ πίστει καὶ πλέον ηὔξησαν τὴν προθυμίαν. πληρο-
M 792 A φορηθέντες γὰρ ὑπὲρ τῆς | συκοφαντίας καὶ ἀσεβείας τῶν αἱρετικῶν καταγινώσκουσι μὲν τοῦ διώκοντος, συντρέχουσι δὲ τοῖς διωκομένοις τῇ γνώμῃ καὶ τῇ ὁμοφροσύνῃ, ἵνα καὶ αὐτοὶ τὸν τῆς ὁμολογίας ἀπολάβωσι στέφανον.

80,1 Πολλὰ μὲν οὖν ἄν τις δύναιτο λέγειν κατὰ τῆς μυσαρᾶς καὶ χριστομάχου ταύτης αἱρέσεως, πολλὰ δὲ καὶ ἀποδείξειεν ἄν τις εἶναι προοίμια τοῦ ἀντιχρίστου τὰ ἐπιτηδεύματα Κωνσταντίου. ἐπειδὴ δέ, ὡς εἶπεν ὁ προφήτης, »ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐδέν ἐστιν εὔλογον ἐν αὐτῇ«, παντὸς δὲ ῥύπου καὶ πάσης ἀσεβείας πεπλήρωται, ὥστε καὶ μόνον ἐξ ἀκοῆς φευκτέαν αὐτὴν εἶναι, ὡς ἐξέραμα κυνὸς καὶ δρακόντων ἰόν, ἔστι δὲ καὶ Κοστύλλιος
2 ἐκ φανεροῦ τὴν εἰκόνα φέρων τοῦ ἀντικειμένου. ἵνα μὴ μακρὸς ὁ λόγος γένηται, διὰ
B τοῦτο καλὸν ἀρκεσθῆναι τῇ θείᾳ γραφῇ καὶ πάντας αὐτῇ πεισθῆναι παραγγελλούσῃ διά τε τὰς ἄλλας αἱρέσεις καὶ μάλιστα διὰ ταύτην. ἔστι δὲ αὐτῆς τὸ παράγγελμα τοῦτο· »ἀπόστητε, ἀπόστητε, ἐξέλθετε ἐκεῖθεν καὶ ἀκαθάρτου μὴ ἅψησθε, ἐξέλθετε ἐκ μέσου
3 αὐτῶν καὶ ἀφορίσθητε οἱ φέροντες τὰ σκεύη κυρίου«. τοῦτο γὰρ πρὸς διδασκαλίαν ἀρκεῖ πᾶσιν, ἵν', εἰ μέν τις ἠπατήθη παρ' αὐτῶν ἐξελθὼν ὡς ἀπὸ Σοδόμων, μηκέτι πρὸς αὐτοὺς ἐπιστρέψῃ, μήποτε πάθῃ τὰ τῆς γυναικὸς τοῦ Λώτ, εἰ δέ τις καθαρὸς ἐξ ἀρχῆς ἀπὸ τῆς ἀσεβοῦς ταύτης αἱρέσεως διέμεινεν, ἔχῃ τὸ καύχημα ἐν Χριστῷ λέγων· »οὐκ ἐξεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον« οὐδὲ »προσεκυνήσαμεν τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν«
C οὐδὲ »ἐλατρεύσαμεν τῇ κτίσει παρὰ σὲ τὸν κτίσαντα« τὰ πάντα θεὸν διὰ τοῦ σοῦ λόγου τοῦ μονογενοῦς υἱοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ τῷ πατρὶ καὶ σὺν αὐτῷ τῷ λόγῳ ἐν πνεύματι ἁγίῳ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

4 (Ἀθανασίου ἐπισκόπου πρὸς τοὺς ἁπανταχοῦ μοναχοὺς περὶ τῶν γεγενημένων παρὰ τῶν Ἀρειανῶν ἐπὶ Κωνσταντίου, οὗτος ὁ λόγος διόλου κατὰ Κωνσταντίου συντέτακται τῷ πάπᾳ)

Διαμαρτυρία δευτέρα

81,1 Τάδε δημοσίᾳ διαμαρτύρεται διὰ τῶν ἑξῆς ὑπογραφόντων ὁ λαὸς τῆς ἐν Ἀλεξανδρείᾳ καθολικῆς ἐκκλησίας, ἥτις ἐστὶν ὑπὸ Ἀθανάσιον τὸν αἰδεσιμώτατον ἐπίσκοπον.
2 Ἤδη μὲν διεμαρτυράμεθα περὶ ἧς πεπόνθαμεν νυκτερινῆς ἐφόδου ἡμεῖς τε καὶ τὸ κυ-
B 394 ριακόν, εἰ καὶ διαμαρτυρίας χρεία οὐκ ἦν, ἐφ' οἷς | πᾶσα ἡ πόλις ἔγνωκέ τε καὶ γινώσκει.
D τά τε γὰρ εὑρεθέντα σώματα τῶν ἀναιρεθέντων δημοσίᾳ προετέθη καὶ τὰ ἐν τῷ κυριακῷ
3 ὅπλα τε καὶ τόξα κέκραγε τὴν παρανομίαν. ἐπειδὴ δὲ καὶ μετὰ τὴν διαμαρτυρίαν ὁ
M 793 A λαμπρότατος δοὺξ Συριανὸς βιάζεται πάντας συνθέσθαι | αὐτῷ, ὡς οὔτε θορύβου γενομένου οὔτε τινὸς ἀποθανόντος, ἔλεγχος δὲ οὗτος οὐκ ὀλίγος μὴ γεγενῆσθαι ταῦτα κατὰ γνώ-

---

11 Jes. 1, 6 13 Vgl. S. 224, 4 17 Jes. 52, 11 20 Vgl. Gen. 19, 26 21 f. Ps. 43, 21
22 Jer. 1, 16 23 Rm. 1, 25 29 Der zweite Protest ist nur hier überliefert, der erste fehlt. Der Anlaß ist aus Z. 34 ff. ersichtlich. Athan. verweist c. 48, 2 S. 211, 4 auf die Urkunde, vgl. das dort Angemerkte 31 Der erste Protest ist nicht erhalten. Eine Schilderung des Sturms auf die Theonaskirche hat Athan. de fuga 24 (S. 84, 10 ff. Note) gegeben

---

BKPO RE (bis Z. 25)

---

11 ὡς + ὡς E 12 καὶ² + μὴ B 13 φευκταίαν PO RE 16 τὸ παράγγελμα αὐτῆς ~ P 17 ἅψησθε RE ἅπτεσθε BKPO 18 κυρίου RE τοῦ κυρίου BKPO 20 ἐπιστρέψῃ PRE ὑποστρέψῃ BKO
21 ἔμεινεν P | ἔχῃ BKO ἔχει PRE | ἐπετάσαμεν E 23 σέ > E 25 τῶν αἰώνων > P
26/27 > K 26 Ἀθανασίου ἐπισκόπου] οὗτος ὁ λόγος ὁ P 27 οὗτος ὁ λόγος > P vgl. Z. 26

μην τοῦ φιλανθρωποτάτου Αὐγούστου Κωνσταντίου. οὐκ ἂν γὰρ ἐφοβήθη ἐπὶ τοῖς 4
οὕτω γενομένοις, εἰ ἐκ προστάξεως ταῦτα πεποιήκει. καὶ γὰρ καὶ ἀπελθόντας ἡμᾶς πρὸς
αὐτὸν καὶ ἀξιοῦντας μηδενὶ βίαν ποιεῖν μηδὲ ἀρνεῖσθαι τὰ γενόμενα ἐκέλευσε Χριστιανοὺς
ἡμᾶς ὄντας κατακοπῆναι ῥοπάλοις δεικνὺς καὶ ἐκ τούτων τὸν γενόμενον νυκτὸς πόλεμον
κατὰ τῆς ἐκκλησίας. διὰ τοῦτο καὶ νῦν ταῦτα διαμαρτυρόμεθα, ἤδη καὶ μελλόντων 5
τινῶν ἐξ ἡμῶν ἀποδημεῖν παρὰ τὸν εὐσεβέστατον Αὔγουστον. ὁρκίζομεν δὲ κατὰ τοῦ
παντοκράτορος θεοῦ ὑπὲρ τῆς σωτηρίας τοῦ εὐσεβεστάτου Αὐγούστου Κωνσταντίου
τόν τε ἔπαρχον τῆς Αἰγύπτου Μάξιμον καὶ τοὺς κουριώσους ἀνενεγκεῖν πάντα ἐπὶ τὴν B
εὐσέβειαν τοῦ Αὐγούστου καὶ τὴν ἐξουσίαν τῶν λαμπροτάτων ἐπάρχων. ὁρκίζομεν δὲ
καὶ τοὺς ναυκλήρους πάντας κηρύξαι ταῦτα πανταχοῦ καὶ εἰς ἀκοὰς τοῦ εὐσεβεστάτου
Αὐγούστου ἀνενεγκεῖν καὶ εἰς τοὺς ἐπάρχους καὶ εἰς τοὺς κατὰ τόπον δικαστάς, ἵνα γνω-
σθῇ ὁ γενόμενος πόλεμος κατὰ τῆς ἐκκλησίας, καὶ ὅτι ἐν καιροῖς τοῦ Αὐγούστου Κωνσταν-
τίου ἐποίησε Συριανὸς γενέσθαι μάρτυρας παρθένους τε καὶ ἄλλους πολλούς. ἐπι- 6
φωσκούσης γὰρ τῇ πρὸ πέντε εἰδῶν Φευρουαρίων, τουτέστι τῆς ιδʹ τοῦ Μεχὶρ μηνός,
ἀγρυπνούντων ἡμῶν ἐν τῷ κυριακῷ καὶ ταῖς εὐχαῖς σχολαζόντων (σύναξις γὰρ ἔμελλε τῇ
παρασκευῇ γίγνεσθαι), ἐξαίφνης περὶ τὸ μεσονύκτιον ἐπῆλθεν ἡμῖν τε καὶ τῇ ἐκκλησίᾳ ὁ
λαμπρότατος δοὺξ Συριανὸς μετὰ πολλῶν λεγεώνων στρατιωτῶν ἐχόντων ὅπλα καὶ C
ξίφη γυμνὰ καὶ βέλη καὶ ἄλλα πολεμικὰ σκεύη καὶ τὰς περικεφαλαίας ἐπὶ τῶν κεφαλῶν.
καὶ ἀληθῶς εὐχομένων ἡμῶν καὶ ἀναγνώσεως γινομένης τὰς μὲν θύρας κατέαξαν, ὡς δὲ
τῇ βίᾳ τοῦ πλήθους ἀνεῴγεισαν αἱ θύραι, ἐκέλευσε. καὶ οἱ μὲν ἐτόξευον, οἱ δὲ ἠλάλαζον
καὶ κτύπος ἐγίγνετο τῶν ὅπλων καὶ τὰ ξίφη ἀντέλαμπον τῷ ἐκ τῶν λύχνων φωτί. καὶ 7
λοιπὸν τὰ ἐκ τούτων, παρθένοι ἀνῃροῦντο καὶ πολλοὶ κατεπατοῦντο καὶ συνέπιπτον ἀλλή-
λοις ἐπερχομένων τῶν στρατιωτῶν, καὶ ἄνδρες τοξευόμενοι ἐθανατοῦντο. ἔνιοι δὲ τῶν
στρατιωτῶν καὶ ἐπὶ τὸ διαρπάζειν ἐτρέποντο καὶ γυμνὰς ἴστων τὰς παρθένους, ὁπότε
φόβος ἦν αὐταῖς μείζων τοῦ θανάτου τὸ κἂν ὅλως ἅπτεσθαί τινας αὐτῶν. καὶ ὁ μὲν 8 D
ἐπίσκοπος ἐκάθητο ἐπὶ τοῦ θρόνου προτρέπων πάντας εὔχεσθαι, ὁ δὲ δοὺξ ἐστρατήγει
ἔχων μεθ' ἑαυτοῦ καὶ Ἰλάριον τὸν νοτάριον ἐνεργοῦντα τοιαῦτα, οἷα καὶ τὸ τέλος ἔδειξεν.
ὁ μὲν γὰρ ἐπίσκοπος ἑλκόμενος παρ' ὀλίγον διεσπάσθη. παραλυθεὶς γοῦν μεγάλως καὶ
ὡς νεκρὸς γενόμενος, οὐκ οἴδαμεν, ποῦ γέγονεν ἀφανὴς παρ' αὐτῶν· ἀποκτεῖναι γὰρ αὐτὸν
ἐσπούδαζον. οἱ δὲ | ὡς | εἶδον πολλοὺς ἀποθανόντας, προσέταττον τοῖς στρατιώταις 9 B 395
ἀφανῆ τὰ σώματα καταστῆσαι τῶν τετελευτηκότων. αἱ δὲ καταλειφθεῖσαι νεκραὶ ἁγιώτα- M 796 A
ται παρθένοι ἐτάφησαν ἐν τοῖς μνήμασιν ἔχουσαι καύχημα, ὅτι ἐν τοῖς καιροῖς τοῦ εὐσε-
βεστάτου Κωνσταντίου γεγόνασι μάρτυρες. διάκονοι δὲ ἐν αὐτῷ τῷ κυριακῷ κατεκόπ-

---

6 ff. Vgl. zu der Beschwörung apol. sec. c. 76, 4 (S. 156, 12 ff.); c. 79, 2 (S. 160, 5 ff.) 8 Maximus, den die Keph. als πρεσβύτης Νικαεύς bezeichnen, war seit 355 bis zum Juni 356 praefectus Aegypti. Dann wurde er von Kataphronius abgelöst (vgl. S. 213, 37 Note). Vgl. Seeck, Briefe d. Libanius S. 206 14 Datum: 9. 2. 356 — Keph. zum 18. Festbrief (356): ἐν τούτῳ (ἔτει) Συριανὸς ὁ δοὺξ τῇ ιγ Μεχὶρ πολλὴν ταραχὴν τῇ ἐκκλησίᾳ ἐμποιήσας τῇ ιδ νυκτὸς εἰσῆλθε εἰς τὴν Θεωνᾶ ἔχων τοὺς στρατιώτας· οὐκ ἐδύνατο δὲ καταλαβεῖν αὐτόν (Athan.), διέφυγε γὰρ θαυμαστῶς. Hist. Athan. 5 (f. 106b): Dux Syrianus et notarius Hilarius de Aegypto Alexandriam uenerunt Tybi decimo die post consulatum Arbitionis et Lolliani (= 6. 1. 356) ac praemittentes omnes per Aegyptum ac Libyam militum legiones, ingressi sunt dux et notarius per noctem cum omni manu militari ecclesiam Theonae Mechir XIII die (= 8. 2. 356) per noctem superuenientem XIIII et frangentes ostia ecclesiae Theonae ingressi sunt cum infinita manu militari. episcopus autem Athanasius effugit manus eorum et saluatus est die praedicto Mechir XIIII

BKPO R

---

6 ὁρίζομεν B 10 πανταχοῦ ταῦτα ∼ KO 14 τῇ] τῆς P | ἰδὼν R | Μεχὴρ B 20 ἠνεῴγησαν R 28 παρ' — 29 γενόμενος > KO wegen Homoioteleuton vgl. Z. 29 BP 29 γενόμενος] ἑλκόμενος BP 31/32 ἁγιώτατοι RO

τοντο πληγαῖς καὶ συνεκλείοντο. οὐκ ἄχρι δὲ τούτων ἔστη τὸ πρᾶγμα· ἀλλὰ γὰρ μετὰ
τὸ ταῦτα γενέσθαι ὁ βουλόμενος λοιπὸν ἣν ἠβούλετο θύραν κατεάσσων ἤνοιγε καὶ ἠρεύνα
καὶ ἥρπαζε τὰ ἔνδον, καὶ εἰς τοιούτους τόπους εἰσήρχοντο, εἰς οὓς οὐδὲ πᾶσι τοῖς Χριστια-
10 νοῖς ἔξεστιν εἰσελθεῖν. οἶδε ταῦτα καὶ ὁ στρατηγὸς τῆς πόλεως Γοργόνιος· ἐκεῖ γὰρ ἦν.
οὐ μικρὸς γὰρ ἔλεγχος τῆς τοιαύτης πολεμικῆς ἐφόδου τὸ ἐν τῷ κυριακῷ καταλιπεῖν τὰ
B παρὰ τῶν εἰσελθόντων ὅπλα καὶ βέλη καὶ ξίφη· μέχρι γὰρ νῦν ἐκρεμάσθη ἐν τῇ ἐκκλησίᾳ,
ἵνα μηδὲ ἀρνήσασθαι δυνηθῶσι. καὶ γὰρ πολλάκις ἀπέστειλε τὸν τῆς τάξεως Δυνάμιον καὶ
11 τὸν στρατηγὸν θέλων αὐτὰ ἆραι· καὶ τέως οὐ συνεχωρήσαμεν, ἕως πᾶσι γνωσθῇ. εἰ
μὲν οὖν πρόσταγμά ἐστι διώκεσθαι ἡμᾶς, ἕτοιμοι πάντες μαρτυρῆσαι, εἰ δὲ μή ἐστι τοῦ
Αὐγούστου πρόσταγμα, ἀξιοῦμεν τὸν ἔπαρχον τῆς Αἰγύπτου Μάξιμον καὶ τοὺς πολι-
12 τευτὰς πάντας ἀξιῶσαι αὐτὸν μηκέτι τοιαῦτα ἐπιχειρῆσαι. ἀξιοῦμεν δὲ καὶ ταύτην
ἡμῶν τὴν δέησιν ἀνενεχθῆναι, ἵνα μὴ ἄλλον τινὰ ἐπίσκοπον ἐπιχειρήσωσιν εἰσαγαγεῖν
ὧδε. μέχρι γὰρ θανάτου ἑστήκαμεν αὐτὸν ἐπιθυμοῦντες τὸν αἰδεσιμώτατον Ἀθανάσιον,
ὃν ἐξ ἀρχῆς ὁ θεὸς ἡμῖν δέδωκε κατὰ διαδοχὴν τῶν πατέρων ἡμῶν, ὃν καὶ αὐτὸς ὁ εὐσε-
13 βέστατος Αὔγουστος Κωνστάντιος μετὰ γραμμάτων καὶ ὅρκων ἀπέστειλε. πιστεύομεν
γάρ, ὅτι, ἐὰν μάθῃ ἡ εὐσέβεια αὐτοῦ, ἀγανακτήσει μὲν ἐπὶ τοῖς γενομένοις, οὐδὲν δὲ παρὰ
τοὺς ὅρκους ποιήσει, ἀλλὰ καὶ πάλιν κελεύσει τὸν ἐπίσκοπον ἡμῶν Ἀθανάσιον μένειν
μεθ᾽ ἡμῶν.
14 Τοῖς μετὰ τὴν ὑπατείαν Ἀρβαιθίωνος καὶ Κολλιανοῦ τῶν λαμπροτάτων ἀποδει-
11. 2. 356 χθησομένοις ὑπάτοις Μεχὶρ ιϛ΄, ἥτις ἐστὶ τῇ πρὸ μιᾶς εἰδῶν Φευρουαρίων.

(Ἡ μὲν προγεγραμμένη πρὸς τοὺς ἁπανταχοῦ μοναχοὺς ἐπιστολὴ τελευτᾷ εἰς τὰ γεγενημένα ἐν Ἀλεξανδρείᾳ ἐπὶ τῇ χειροτονίᾳ Γεωργίου τοῦ Καππάδοκος ἀπὸ ὑποδεκτῶν τοῦ Ἀρειανοῦ, ἡ δὲ ἑξῆς ἐπιστολὴ περὶ τῶν ἐν τῇ Ἀριμίνῳ καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας γεγενημένων συνόδων διηγουμένη τὸν προειρημένον Γεώργιον ἐν τῇ Σελευκείᾳ καθῃρῆσθαί φησιν. ὥστε καλῶς πρώτη τέτακται ἡ πρὸς τοὺς μοναχοὺς ἐν τῷ ἀντιγράφῳ δευτέρα κειμένη.)

---

4 Aus der Tatsache, daß die Athanasianer sich auf den militärischen Befehlshaber der Stadt berufen, geht hervor, daß Konstantius das Militär außerhalb der Stadt als geeigneter für eine so delikate Unternehmung wie die Verhaftung des Athan. hielt. Der Präfekt Maximus und der Dux Gorgonius waren dem Patriarchen gegenüber machtlos, weil er die Massen in der Hand hatte 7 Dynamius gehörte zum officium des dux, vgl. c. 61 S. 217, 22 15 Gemeint ist: im Jahre 346, vgl. oben c. 23 S. 195, 12 16 f. παρὰ τοὺς ὅρκους: das klingt wie die Beweisführung des Athan. vgl. oben c. 22, 3 (S. 195, 9) 19 Datum: 16. Mechir = 11. 2. 356, pridie Id. Febr. = 12. 2. 356. Nach dem Postkonsulat wird auch hist. Athan. 5 datiert 24 Dieser Ordo findet sich in cod. K

BK (bis Z. 18) PO R

---

2 ἠβούλετο] ἠδύνατο R 5 γὰρ + ἦν KO | ἐφόβου B 13 γὰρ PR > BKO 19 Ἀρβαθίωνος O 20 ἰδῶν Φεβρουαρίων R 23 Ἀριμήνῳ O 24 Σελευκία R 24 ὥστε — 25 κειμένη > B 24 μοναχοὺς] $a^{x}a^{x}$ P

Τοῦ αὐτοῦ ἐπιστολὴ περὶ τῶν γενομένων ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας συνόδων

Ἔφθασε μὲν ἴσως καὶ παρ' ὑμᾶς ἡ ἀκοὴ περὶ τῆς καὶ νῦν θρυλουμένης συνόδου· καὶ 1, 1 B 716
γὰρ βασιλέως καὶ τῶν ἐπάρχων ἐφοίτησε πανταχῇ γράμματα καλοῦντα τοὺς εἰς ταύτην M 681 A
συνερχομένους· ἐπειδὴ δὲ καὶ φιλομαθεῖς ὄντες ζητεῖτε γνῶναι τὰ πεπραγμένα ἀκόλουθον
εἶναι νενόμικα, ἅπερ ἑώρακα καὶ ἔγνων ἀκριβῶς ταῦτα καὶ ὑμῖν δηλῶσαι, ἵνα μὴ παρ' ἑτέ-
ρων ἀκούοντες ἀμφίβολον ἔχητε τὴν διάνοιαν, μάλιστα ὅτι τινὲς εἰώθασιν ἑτέρως ἀπαγ-
γέλλειν τὰ πραττόμενα ἢ ὡς γέγονεν. ἐν μὲν οὖν τῇ Νικαίᾳ, ὥσπερ ἦν ὁρισθέν, οὐκέτι 2
γέγονε τὸ συνέδριον, ἀλλὰ δεύτερον πρόσταγμα πεφοίτηκεν, ὥστε τοὺς μὲν ἐν τοῖς δυτι-
κοῖς μέρεσιν ἐπισκόπους ἐν Ἀριμίνῳ τῆς Ἰταλίας συνελθεῖν, τοὺς δὲ ἐν τοῖς ἀνατολικοῖς
μέρεσιν ἐν τῇ λεγομένῃ Τραχείᾳ Σελευκείᾳ τῆς Ἰσαυρίας συγκροτηθῆναι. ἡ δὲ πρό- 3 B
φασις τῆς τοιαύτης συνελεύσεως ἐθρυλεῖτο περὶ πίστεως τῆς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν
τὸν Χριστόν. οἱ δὲ ταύτην παρασχόντες εἰσὶν ἀπὸ μὲν τῆς Παννονίας Οὐρσάκιος καὶ
Οὐάλης καὶ Γερμίνιός τις, ἀπὸ δὲ τῆς Συρίας Ἀκάκιος, Εὐδόξιος καὶ Πατρόφιλος ὁ ἀπὸ
τῆς ἐπωνύμου τῶν Σκυθῶν πόλεως τυγχάνων. | οὗτοι γὰρ ἀεὶ τῆς Ἀρείου μερίδος 4 M 684 A
ὄντες καὶ μὴ »νοοῦντες μήτε πῶς πιστεύουσι μήτε περὶ τίνων διαβεβαιοῦνται«, ἀπατῶντες
δὲ ἕκαστον ἠρέμα καὶ σπέρματα τῆς αἱρέσεως ἑαυτῶν ἐπισπείροντες ὑφήρπασάν τινας
»τῶν δοκούντων εἶναί τι« καὶ αὐτὸν τὸν βασιλέα Κωνστάντιον αἱρετικὸν ὄντα σχηματισά-

---

Die Schrift enthält neben den etwas früher geschriebenen sog. Reden gegen die Arianer — das sind aber die die Theologie des Arius erneuernden und seine vornicänischen Schriften (daher die Zitate unter S. 242, 1 ff.) wieder propagierenden Anhänger des Georg v. Alexandrien, wie Secundus, Euzoius (s. S. 222, 17; 226, 23), aber auch Aetius, Eunomius — die entschiedene Herausarbeitung der Formel von Nicäa als theologischer Position aller derer, die nicht gewillt sind, sich den Reichssynoden von Rimini, Seleucia und Konstantinopel zu fügen. Athanasius erzählt nicht die Geschichte dieser Synoden, sondern will durch die Aneinanderreihung der zahlreichen Symbole beweisen, daß das ὁμοούσιος das Losungswort ist. Gegenüber der These, die Schrift enthalte Zusätze (s. S. 258, 21 Note) und sei 359 kurz vor den Verhandlungen in Konstantinopel niedergeschrieben, ist an der Einheit der Schrift festzuhalten. Zu diesem Verständnis suchen die Noten anzuleiten. Die Gegner des Athan. sind Akakios und Eudoxios, die aber erst seit 360 vollen Einfluß ausüben. De synodis ist nach dem Tode des Konstantius und vielleicht noch vor der Rückkehr des Athan. (21. 2. 362) geschrieben; die Schrift ist mit ep. ad episc. Aeg. et Lib. zu vergleichen. Sie leitet die Beschlüsse der Synode von Alexandrien im Jahre 362 ein; vgl. tom. ad Antiochenos
8 Nach dem Erdbeben in Nikomedien (vgl. oben S. 224, 25 Note) wurde die große Synode nach Nicäa angesagt (Sozom. IV 16, 15 f.). Im Frühjahr 359 entschloß man sich in Sirmium in Verbindung mit Konstantius zu einer Doppelsynode (Sozom. IV 16, 19 ff.). Führend sind dabei die Männer um Akakios gewesen (Philost. IV 10)   14 Germinius s. oben S. 224, 25   16 I. Tim. 1, 7   18 Gal. 2, 6

BKPO REFV

---

1 a. Rd. ο̅η̅ B ⟨ξ̅δ̅⟩ K ι̅η̅ P ο̅γ̅ R κ̅ E* κ̅α̅ E^c V | Titel wie oben: Euthymius Zigabenus (vgl. S. 260, 28). Severus Antiochenus, liber c. Gramm. or. III 27 (CSCO Script. syri IV 6 S. 76, 18 Lebon): ἐν τῇ πρὸς Ἀλεξανδρέας ἐπιστολῇ, Sokr. h. e. II 37, 30: ... πρὸς τοὺς γνωρίμους ἐπιστέλλων ... | αὐτοῦ + ἁγίου Ἀθανασίου B | Ἀριμήνῳ KREFV   2 συνόδῳ OE*   3 καί[1] > V   8 οὐκέτι — 9 πεφοίτηκεν] οὐ φοίτηκεν R   13 τὸν > KFV | Πανονίας F   14 Γερμίνιος P Γερμήνιος BKOREFV   15 τῶν] τῆς RF   17 αὐτῶν B   17/18 τῶν δοκούντων τινὰς ∼ EV

B 717 μενοι περὶ πίστεως, ὥστε ποιῆσαι γενέσθαι ¹ σύνοδον, νομίζοντες δύνασθαι καλύψαι τὴν
ἐν Νικαίᾳ σύνοδον καὶ τοὺς πάντας μεταπείθειν, ὥστε τὴν ἀσέβειαν ἀντὶ τῆς ἀληθείας
κρατῆσαι πανταχοῦ.

2, 1 Πρῶτον μὲν οὖν ἔγωγε θαυμάζω (ἡγοῦμαι δὲ καὶ πάντα ὁντιναοῦν φρόνιμον τοῦτο
συνορᾶν) ὅτι καθολικῆς ὁρισθείσης συνόδου καὶ ταύτην πάντων προσδοκώντων ἐξαίφνης
διῃρέθη· καὶ οἱ μὲν ἐκεῖ συνῆλθον, οἱ δὲ ὧδε συνεκρότησαν ἑαυτούς. ἦν δὲ ἄρα τοῦτο τῆς
B προνοίας ἔργον, ἵνα ἐν ἑκάστῃ τῶν μὲν τὸ ἄδολον καὶ καθαρὸν τῆς πίστεως δειχθῇ φρό-
νημα, τῶν δὲ τὸ ὕποπτον καὶ ἀμφίβολον ἦθος ἐλεγχθῇ. ἔπειτα κἀκεῖνο διενοούμην μετὰ
τῶν ἐνταῦθα γνησίων ἀδελφῶν καὶ καθ' ἑαυτοὺς ἠσχάλλομεν θεωροῦντες τὸ ἀπρεπὲς τῆς
2 τοσαύτης συνδρομῆς. τί γὰρ τοσοῦτον ἤπειξεν, ὥστε τὴν οἰκουμένην διαταραχθῆναι
καὶ τοὺς λεγομένους ἐν τῷ καιρῷ τούτῳ κληρικοὺς διατρέχειν ἄνω καὶ κάτω καὶ ζητεῖν,
πῶς ἄρα μάθωσι πιστεύειν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν; εἰ γὰρ ἐπίστευον, οὐκ
3 ἂν ὡς μὴ ἔχοντες ἐζήτουν. τοῦτο δὲ τοῖς μὲν κατηχουμένοις οὐκ ὀλίγον σκάνδαλον, τοῖς δὲ
Ἕλλησιν οὐ τὸ τυχόν, ἀλλὰ καὶ πλατὺν γέλωτα παρέσχεν, εἰ Χριστιανοὶ ὥσπερ ἐξ ὕπνου
C νῦν ἐγερθέντες ζητοῦσι, πῶς δεῖ περὶ Χριστοῦ πιστεύειν. οἱ δὲ λεγόμενοι κληρικοὶ τού-
των καίτοι τὰ πρεσβεῖα παρὰ τῶν λαῶν ἐκδικοῦντες ὡς διδάσκαλοι νῦν ἤλεγξαν ἑαυτοὺς
4 ἀπίστους ζητοῦντες ὅπερ οὐκ ἔχουσι. καὶ ἠγνόησαν οἱ περὶ Οὐρσάκιον τούτων αἴτιοι
γενόμενοι, ὅσην ἑαυτοῖς ἐθησαύρισαν ὀργὴν λέγοντος τοῦ κυρίου διὰ μὲν τῶν ἁγίων·
»οὐαὶ δι' οὓς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι«, διὰ δὲ ἑαυτοῦ ἐν τοῖς εὐαγγελίοις·
»ὃς οὖν ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ, ἵνα μύλος ὀνικὸς κρε-
μασθῇ εἰς τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης, ἢ ἵνα«, ὡς
ὁ Λουκᾶς προσέθηκε, »σκανδαλίσῃ τῶν μικρῶν τούτων ἕνα«.

3, 1 Τί γὰρ ἔλειπε διδασκαλίας εἰς εὐσέβειαν τῇ καθολικῇ ἐκκλησίᾳ, ἵνα νῦν περὶ πίστεως
D ζητῶσι καὶ τὴν ὑπατείαν τῶν παρόντων χρόνων προτάσσωσι τῶν παρ' αὐτῶν ἐκτιθε-
M 685 A μένων ῥημάτων δῆθεν περὶ πίστεως; Οὐρσάκιος γὰρ καὶ Οὐάλης καὶ ¹ Γερμίνιος καὶ οἱ
2 σὺν αὐτοῖς πεποιήκασιν ὃ μήτε γέγονε μήτε ἠκούσθη πώποτε παρὰ Χριστιανοῖς. Γρά-
ψαντες γὰρ ὡς ἤθελον αὐτοὶ πιστεύειν προέταξαν τὴν ὑπατείαν καὶ τὸν μῆνα καὶ τὴν
ἡμέραν τοῦ παρόντος χρόνου, ἵνα δείξωσι πᾶσι τοῖς φρονίμοις ὅτι μὴ πρότερον, ἀλλὰ
νῦν ἐπὶ Κωνσταντίου ἀρχὴν ἔχει τούτων ἡ πίστις. πάντα γὰρ πρὸς τὴν ἰδίαν αἵρεσιν
B 718 βλέποντες ἔγραψαν. ¹ πρὸς τούτοις περὶ τοῦ κυρίου προσποιούμενοι γράφειν ἄλλον
'δεσπότην' ὀνομάζουσιν ἑαυτοῖς Κωνστάντιον· αὐτὸς γὰρ ἦν ὁ τὴν δυναστείαν τῆς ἀσε-
βείας αὐτοῖς παρέχων· καὶ 'αἰώνιον' δὲ αὐτὸν 'βασιλέα' εἰρήκασιν οἱ τὸν υἱὸν ἀίδιον
3 ἀρνούμενοι· οὕτως εἰσὶ πρὸς ἀσέβειαν χριστομάχοι. ἀλλ' ἴσως αὐτοῖς ἐστι πρόφασις
B τῆς ὑπατείας ἡ τῶν ἁγίων προφητῶν χρονογραφία. ἀλλὰ κἂν τοῦτο τολμήσωσιν εἰπεῖν,
πολὺ τὴν ἀμαθίαν ἑαυτῶν ἐξαγγέλλουσιν. αἱ μὲν γὰρ τῶν ἁγίων προφητεῖαι χρόνων

---

2 Vgl. Athan. ep. ad episc. Aeg. et Lib. 5 (Migne 26, 540 A) 17 Vgl. S. 231, 13 18 Vgl. Rm. 2, 5 19 Rm. 2, 24 (Jes. 52, 5) 20 Mt. 18, 6 22 Lc. 17, 2 25 Vgl. c. 8 27ff. Vgl. S. 235, 21f.

BKPO REFV 23—233, 31 = Sokr. II 37, 31—49 (= Sokr.MFCGT)

---

1 νομίζοντες — σύνοδον nach 3 πανταχοῦ ∼ F 10 οἰκουμενικὴν V 11 κάτω καὶ REFV > BKPO 13 σκάνδαλον οὐκ ὀλίγον ∼ F 14 πλατὺ E 15 δεῖ + νῦν O, Χριστοῦ + νῦν B[c]K 16 τῷ λαῷ F | über ἐκδικοῦντες setzte der Schreiber ἀπαιτ V 23 ἔλιπε R Sokr. 24 προστάττωσι OE* | αὐτῶν] αὐτοῦ KO 25 Γερμίνιος Op. Γερμάνιος BKPORE Sokr. Γερμήνιος FV 25/26 καὶ οἱ σὺν αὐτοῖς > Sokr. (außer T) 27 προσέταξαν B 28 τοῦ παρόντος χρόνου καὶ τὴν ἡμέραν ∼ K 29 πάντα] πάντες Sokr. (FC) | πάντα + μὲν K 30 ἔγραφον Sokr. (außer F) | τούτοις + γὰρ Sokr. (außer M), + δὲ Sokr. (M[c]) 31 ἑαυτῶν ὀνομάζουσιν ∼ Sokr. δυναστείαν] δύναμιν V 32 αὐτοῖς] ἑαυτοῖς PE ἀίδιον + εἶναι V Sokr. (T) 33 ἐστὶν αὐτοῖς ∼ Sokr. (außer T) 34 τῆς > Sokr. (außer T) | ἡ nachgetragen R[c] κἂν] εἰ καὶ V | τολμήσουσιν V 35 πολὺ] πολλὴν V

ἔχουσι μνήμην. καὶ Ἡσαίας μὲν καὶ Ὠσηὲ »ἐν ἡμέραις Ὀζίου καὶ Ἰωάθαμ καὶ Ἀχὰζ καὶ Ἐζεκίου« γεγόνασιν, Ἱερεμίας δὲ ἐν ἡμέραις Ἰωσίου, Ἰεζεκιὴλ δὲ καὶ Δανιὴλ ἐπὶ Κύρου καὶ Δαρείου καὶ ἄλλοι ἐν ἄλλοις χρόνοις ἐπροφήτευσαν οὐ τῆς θεοσεβείας ἀρχὴν καταβαλλόμενοι. ἦν γὰρ καὶ πρὸ αὐτῶν καὶ ἀεὶ ἦν καὶ πρὸ καταβολῆς κόσμου ταύτην ἡμῖν ὁ θεὸς ἐν 4
Χριστῷ προητοίμασεν. οὐδὲ τῆς αὐτῶν δὴ πίστεως τοὺς χρόνους ἐσήμαινον· ἦσαν γὰρ καὶ πρὸ τούτων τῶν χρόνων αὐτοὶ πιστοί· ἀλλὰ τῆς δι' αὐτῶν ἀπαγγελίας ἦσαν οἱ χρόνοι. ἦν δὲ ἡ ἀπαγγελία προηγουμένη μὲν περὶ τῆς ἐπιδημίας τοῦ σωτῆρος, ἐπακο- 5
λούθημα δὲ περὶ τῶν ἐσομένων τῷ Ἰσραὴλ καὶ τοῖς ἔθνεσι. καὶ ἦσαν οἱ χρόνοι σημαινό- C
μενοι οὐκ ἀρχῆς πίστεως, καθὰ προεῖπον, ἀλλ' αὐτῶν τῶν προφητῶν, καθ' οὓς οὗτοι γενόμενοι τοιαῦτα προεφήτευον. οὗτοι δὲ οἱ νῦν σοφοὶ οὐχ ἱστορίας ἐξηγούμενοι οὐδὲ τὰ 6
μέλλοντα προλέγοντες, ἀλλὰ γράψαντες 'ἐξετέθη ἡ πίστις ἡ καθολική' εὐθὺς προσέθηκαν καὶ τὴν ὑπατείαν καὶ τὸν μῆνα καὶ τὴν ἡμέραν, ἵνα, ὥσπερ οἱ ἅγιοι τῶν ἱστοριῶν καὶ τῆς ἑαυτῶν διακονίας τοὺς χρόνους ἔγραφον, οὕτως οὗτοι τῆς ἑαυτῶν πίστεως τὸν χρόνον σημάνωσι. καὶ εἴθε περὶ τῆς ἑαυτῶν ἔγραφον 'νῦν γὰρ ἤρξατο' καὶ μὴ ὡς περὶ τῆς καθολικῆς ἐπεχείρουν· οὐ γὰρ ἔγραψαν 'οὕτω πιστεύομεν', ἀλλ' ὅτι 'ἐξετέθη ἡ καθολικὴ πίστις'.

Τὸ μὲν οὖν τολμηρὸν τῆς προαιρέσεως ἐλέγχει τὴν ἀμαθίαν αὐτῶν, τὸ δὲ καινὸν ἐπι- 4, 1
νόημα τῆς γραφῆς ἴσον ἐστὶ τῆς ἀρειανῆς αἱρέσεως. οὕτω γὰρ γράψαντες ἔδειξαν, πότε μὲν D
ἤρξαντο πιστεύειν αὐτοί, | ἀπὸ δὲ τοῦ νῦν βούλονται τὴν πίστιν αὐτῶν καταγγέλ- M 688 A
λεσθαι. καὶ ὥσπερ κατὰ τὸν εὐαγγελιστὴν Λουκᾶν »ἐτέθη δόγμα« περὶ τῆς ἀπο- 2
γραφῆς καὶ τοῦτο τὸ δόγμα πρότερον μὲν οὐκ ἦν, ἀπὸ δὲ τῶν ἡμερῶν ἐκείνων ἤρξατο, ἐν αἷς καὶ ἐτέθη παρὰ τοῦ γράψαντος, οὕτω καὶ οὗτοι γράψαντες 'ἐξετέθη νῦν ἡ πίστις' ἔδειξαν ὅτι νεώτερόν ἐστι τὸ τῆς αἱρέσεως αὐτῶν φρόνημα καὶ οὐκ ἦν πρότερον. εἰ δὲ 3
προστιθέασι 'τῆς καθολικῆς', ἔλαθον ἑαυτοὺς πεσόντες εἰς τὴν παράνοιαν τῶν ἀπὸ Φρυ-
γίας, ὥστε καὶ αὐτοὺς κατ' ἐκείνους εἰπεῖν· | 'ἡμῖν πρῶτον ἀπεκαλύφθη καὶ ἀφ' ἡμῶν B 719
ἡ πίστις ἄρχεται τῶν Χριστιανῶν'. καὶ ὥσπερ ἐκεῖνοι Μαξιμίλλαν καὶ Μοντανόν, οὕτως οὗτοι ἀντὶ τοῦ Χριστοῦ Κωνστάντιον 'δεσπότην' ἐπιγράφονται. εἰ δὲ κατ' αὐτοὺς 4
ἀπὸ τῆς νῦν ὑπατείας ἀρχὴν ἡ πίστις ἔχει, τί ποιήσουσιν οἱ πατέρες καὶ οἱ μακάριοι μάρτυ- B
ρες, τί δὲ καὶ αὐτοὶ ποιήσουσι τοὺς παρ' αὐτῶν κατηχηθέντας καὶ πρὸ τῆς ὑπατείας ταύτης κοιμηθέντας, πῶς αὐτοὺς ἐγείρουσιν, ἵνα ἃ μὲν ἔδοξαν δεδιδαχέναι τούτους ἀπαλείψωσιν, ἃ δὲ νῦν ὡς ἐφευρόντες ἔγραψαν ἐπισπείρωσιν αὐτοῖς; οὕτως εἰσὶν ἀμαθεῖς μόνον εἰδότες πλάττειν προφάσεις καὶ ταύτας ἀπρεπεῖς καὶ ἀπιθάνους ἐχούσας ἐγγὺς τὸν ἔλεγχον.

Ἡ μὲν γὰρ ἐν Νικαίᾳ σύνοδος οὐχ ἁπλῶς γέγονεν, ἀλλ' εἶχε τὴν χρείαν κατεπεί- 5, 1
γουσαν καὶ τὴν αἰτίαν εὔλογον. οἱ μὲν γὰρ ἀπὸ τῆς Συρίας καὶ Κιλικίας καὶ Μεσοποταμίας

1 Jes. 1, 1; Hos. 1, 1 2 Vgl. Jer. 1, 2 2 f. Vgl. Dan. 6, 28 11 Vgl. S. 235, 25 19 Lc. 2, 1 33 Vgl. Urk. 23, 12 (III 50, 13 ff.) u. Urk. 26 (III 54)

BKPO REFV Sokr. (bis Z. 31)

3 ἐπροφήτευσαν PRE Sokr. προεφήτευσαν BKFV ἐπροεφήτευσαν O 4 ἦν² > Sokr. (außer T) | κόσμου > Sokr. (außer T) 5 δὴ Comm. Montf. δὲ Ath. Sokr. > Sokr. (M) 6 ἐπαγγελίας O Sokr. (MF) 7 ἦν δὲ ἡ] ἡ δὲ Sokr. (außer T) | προηγουμένως V Sokr. | σωτῆρος + ἡμῶν Sokr. 8 ἐσομένων] ἐπομένων P 9 ἀρχὴ Sokr. | οὗτοι] αὐτοὶ Sokr. (außer T) 11 προέθηκαν Sokr. (außer T) 12 ἵνα > Sokr. (außer T) 13 πίστεως — 14 ἑαυτῶν doppelt R 13/14 σημαίνουσι Sokr. 14 ἤρξατο BKPORE Sokr. (T) ἤρξαντο FV Sokr. | καθολικῆς] πίστεως Sokr. (außer T) 15 ὅτι > V 16 ἀμαθίαν a. Rd. γρ', ἀθεΐαν i. Texte Sokr. 17 ἔδειξαν] ἐδίδαξαν Sokr. 20/21 ἐν αἷς] εἶναι Sokr. (außer T) 22 ὅτι > E | τὸ τῆς αἱρέσεως αὐτῶν ἐστι ~ Sokr. (außer T) 23 προστεθείκασι V | παράνοιαν] παρανομίαν Sokr. 26 Κωνστάντιον — κατ' > EV | δεσπότην Κωνστάντιον ~ Sokr. | αὐτοὺς] τοὺς EV 27 ἀρχὴν — ἔχει] χρόνους· ἀρχὴν τῆς πίστεως ἔθηκαν ἔχειν V | τί + οὖν V 29 ἐγείρουσιν BF Sokr. ἐγείρωσιν KPOREV Sokr. (T) 30 ὡς REFV Sokr. > BKPO 31 ἐγγὺς] εὐθὺς Sokr. (außer T) 32 a. Rd. αἰτία συνόδου τῆς ἐν Νικαίᾳ F

C ἐχώλευον περὶ τὴν ἑορτὴν καὶ μετὰ τῶν Ἰουδαίων ἐποίουν τὸ πάσχα, ἥ τε ἀρειανὴ αἵρεσις
ἐπαναστᾶσα ἦν κατὰ τῆς καθολικῆς ἐκκλησίας καὶ προστάτας εἶχεν εἴς τε τὴν ὑπὲρ
2 ἑαυτῆς σπουδὴν καὶ εἰς τὴν κατὰ τῶν εὐσεβούντων ἐπιβουλὴν τοὺς περὶ Εὐσέβιον. καὶ
αὕτη αἰτία γέγονεν οἰκουμενικὴν συναχθῆναι σύνοδον, ἵνα πανταχοῦ μία τῆς ἑορτῆς ἡμέρα
ἐπιτελῆται καὶ ἡ παραφυεῖσα αἵρεσις ἀναθεματισθῇ. γέγονε γοῦν, καὶ οἱ μὲν ἀπὸ τῆς
Συρίας ἐπείσθησαν, τὴν δὲ ἀρειανὴν αἵρεσιν ἀπεφήναντο πρόδρομον τοῦ ἀντιχρίστου καὶ
3 κατ' αὐτῆς γράψαντες ἐκδεδώκασι καλῶς. καὶ ὅμως γράψαντες καὶ τοσοῦτοι ὄντες
οὐδὲν τοιοῦτον τετολμήκασιν οἷον οἱ τρεῖς ἢ τέσσαρες οὗτοι. οὐ γὰρ προέταξαν ὑπατείαν
D καὶ μῆνα καὶ ἡμέραν, ἀλλὰ περὶ μὲν τοῦ πάσχα 'ἔδοξε τὰ ὑποτεταγμένα'. τότε γὰρ ἔδοξε
πάντας πείθεσθαι· περὶ δὲ τῆς πίστεως ἔγραψαν οὐκ 'ἔδοξεν', ἀλλ' 'οὕτως πιστεύει ἡ καθολικὴ ἐκκλησία' καὶ εὐθὺς ὡμολόγησαν πῶς πιστεύουσιν, ἵνα δείξωσιν ὅτι μὴ νεώτερον,
ἀλλ' ἀποστολικόν ἐστιν αὐτῶν τὸ φρόνημα καὶ ἃ ἔγραψαν οὐκ ἐξ αὐτῶν εὑρέθη, ἀλλὰ
ταῦτ' ἐστιν ἅπερ ἐδίδαξαν οἱ ἀπόστολοι.
6, 1 | Αἱ δὲ νῦν κινούμεναι παρ' αὐτῶν σύνοδοι ποίαν ἔχουσιν εὔλογον αἰτίαν; εἰ μὲν
M 689 A γὰρ καινοτέρα τις ἄλλη γέγονεν αἵρεσις μετὰ τὴν ἀρειανήν, εἰπάτωσαν τὰ τῆς ἐπινοίας
αὐτῆς ῥήματα καὶ τίνες οἱ ταύτην ἐφευρόντες εἰσί, γράφοντές τε ἀναθεματιζέτωσαν
τὰς πρὸ τῆς συνόδου ταύτης αἱρέσεις, ἐν αἷς ἐστι καὶ ἡ ἀρειανή, ὥσπερ οἱ ἐν Νικαίᾳ
πεποιήκασιν, ἵνα δόξωσι καὶ αὐτοὶ πιθανήν τινα πρόφασιν ἔχειν τοῦ καινότερα λέγειν·
εἰ δὲ μηδέν τι τοιοῦτον γέγονε, μηδὲ δύνανται δεῖξαι (αὐτοὶ δὲ μᾶλλον ἔχοντες τὴν
B 720 ἀσέβειαν Ἀρείου | ταῦτα φθέγγονται καὶ καθημέραν ἐλεγχόμενοι μεταβάλλονται), τίς
ἡ χρεία τῶν συνόδων ἀρκούσης τῆς ἐν Νικαίᾳ γενομένης πρός τε τὴν ἀρειανὴν καὶ
2 τὰς ἄλλας αἱρέσεις, ἃς κατέκρινε πάσας διὰ τῆς ὑγιαινούσης πίστεως. καὶ γὰρ καὶ
B ὁ θρυλούμενος Ἀέτιος ὁ ἐπικληθεὶς Ἄθεος οὐκ ἰδίαν ἐφευρὼν μανίαν θρασύνεται, ἀλλ'
εἰς τὴν ἀρειανὴν ἑτεροδοξίαν χειμαζόμενος ἐναυάγησε καὶ αὐτὸς μετὰ τῶν ἀπατηθέντων
παρ' αὐτοῦ. μάτην γοῦν περιτρέχοντες προφασίζονται διὰ πίστιν ἠξιωκέναι γενέσθαι
τὰς συνόδους. ἔστι μὲν γὰρ ἱκανωτέρα πάντων ἡ θεία γραφή, εἰ δὲ καὶ συνόδου χρεία
περὶ τούτου, ἔστι τὰ τῶν πατέρων. καὶ τούτου γὰρ οὐκ ἠμέλησαν οἱ ἐν Νικαίᾳ συνελθόντες, ἀλλὰ καὶ ἔγραψαν οὕτω καλῶς, ὥστε τοὺς γνησίως ἐντυγχάνοντας τοῖς ἐκείνων
γράμμασι δύνασθαι παρ' αὐτῶν ὑπομιμνήσκεσθαι τὴν ἐν ταῖς θείαις γραφαῖς καταγγελλομένην εἰς Χριστὸν εὐσέβειαν.
7, 1 Οὐκοῦν, ἐπειδὴ μηδὲν εὔλογόν ἐστι παρ' αὐτοῖς, ἀποροῦσι δὲ πανταχόθεν, καίτοι
C καὶ προφάσεις πλάττοντες, τοῦτο λοιπὸν αὐτοῖς περιλείπεται λέγειν· ἡμεῖς ἀντιλέγοντες
τοῖς πρὸ ἡμῶν καὶ παραβαίνοντες τὰς τῶν πατέρων παραδόσεις ἠξιώσαμεν σύνοδον
γενέσθαι. ἀλλὰ πάλιν φοβηθέντες μὴ πάλιν εἰς ἓν συνελθόντων μάταιος ἡμῖν ἡ σπουδὴ
γένηται, ἠξιώσαμεν εἰς δύο διαιρεθῆναι τὴν σύνοδον, ἵνα ἐν μέρει γενόμενοι δείξαντες
ἅπερ ἐγράψαμεν ὑφαρπάσαι δυνηθῶμεν τὸ πλέον ἀπειλοῦντες τὸν προιστάμενον τῆς

9 Das Dekret über das Osterfest ist nicht erhalten, vgl. ZNW 33 (1934) 154 A. 120; die von Athan. genannte Überschrift findet sich über dem Symbol Urk. 24 (III 51, 4) 10 Diese Überschrift ist nicht überliefert 11 Vgl. S. 268, 25ff. 17 In den erhaltenen Urkunden der Synode ist eine solche Verdammung nicht bezeugt; vgl. Schwartz, Savignyzeitschrift Kan. Abt. 25 (1936) 14 23 Vgl. c. 38 S. 265, 2 Aetius gab etwa seit 358 den Anlaß zu Erörterungen über die Glaubensformeln; man griff ihn an, weil Eudoxius in Antiochien ihn protegierte. Vgl. das Schreiben des Georg v. Laodicea Sozom. IV 13, 2ff. v. J. 358

BKPO REFV (bis Z. 25 προφασί | V)

1 a. Rd. πάσχα F 4 αὕτη + ἡ V | ἑορτῆς + ἡ V^c 4/5 ἐπιτελῆται ἡμέρα ∼ B 5 ἐπιτελεῖται RE 6 πρόδρομον + εἶναι F 7 καλῶς > F | καὶ[2] — ὄντες doppelt B 8 οἱ] ἢ E | ἢ + οἱ V 11 πῶς] τοῖς K 17 ὥσπερ + καὶ P 18 καὶ αὐτοὶ > B 21 ἀρειανὴν + αἵρεσιν EV 22 πάσας ἃς κατέκρινε ∼ F | γὰρ καὶ REFV > BKPO 25 παρ' B^c ὑπ' B^* 31 ἐπειδὴ] ἐπεὶ REF 35 γενήσεται B 36 ἔργαψαν B

ἀσεβείας Κωνστάντιον, καὶ οὕτω τὰ μὲν ἐν Νικαίᾳ πραχθέντα σχολάσαι ποιήσωμεν
σχηματισάμενοι τὴν ἁπλότητα τῶν γραφέντων παρ' ἡμῶν'. ταῦτα δὲ εἰ καὶ μὴ 2
τοῖς ῥήμασιν αὐτοῖς εἰρήκασιν, ἀλλὰ τῇ διανοίᾳ ταύτῃ πάντα πεποιήκασί τε καὶ διετά-
ραξαν. ἀμέλει πολλὰ πολλάκις εἰρηκότες καὶ γράψαντες ἐν διαφόροις συνόδοις οὐδε- D
πώποτε περὶ τῆς ἀρειανῆς αἱρέσεως ὡς φαύλης ἐμνημόνευσαν, ἀλλ' εἰ καί ποτε παρόντες
τινὲς τὰς αἱρέσεις διέβαλλον, αὐτοὶ τὴν ἀρειανὴν ἐξεδίκουν, ἣν ἡ ἐν Νικαίᾳ σύνοδος
ἀνεθεμάτισε, καὶ μᾶλλον οὗτοι τοὺς ' τὰ 'Αρείου λέγοντας γνησίως ἐδέχοντο. μέγα 3 M 692 A
μὲν οὖν καὶ τοῦτο τεκμήριον, ὅτι μὴ δι' ἀλήθειαν, ἀλλ' ἐπ' ἀναιρέσει τῶν ἐν Νικαίᾳ
πραχθέντων ἡ ἐπίνοια τῶν νῦν συνόδων ἦν· ἃ δὲ καὶ ἐν αὐταῖς ταῖς συνόδοις παρ' αὐτῶν
καὶ τῶν ὁμοίων πέπρακται, δείκνυσιν οὐδὲν ἧττον εἶναι ταῦτα ἀληθῆ. λοιπὸν γὰρ
ἀναγκαῖον ὡς ἕκαστα γέγονε δηλῶσαι.

Πάντων προσδοκώντων εἰς ἓν συνέρχεσθαι, οὓς ἐκάλει τὰ παρὰ βασιλέως γράμ- 8, 1
ματα, καὶ μίαν γίνεσθαι τὴν σύνοδον, ἐπειδὴ διῃρέθησαν, καὶ οἱ μὲν εἰς Σελεύκειαν τὴν
λεγομένην Τραχεῖαν κατῆλθον, οἱ δὲ ἐν τῇ 'Αριμίνῳ συνῆλθον. ἦσαν δὲ οἱ ἐν αὐτῇ ' B 721
ἐπίσκοποι υ' καὶ πλέον· εἰς ταύτην ἀνῆλθον καὶ Γερμίνιος καὶ Αὐξέντιος καὶ Οὐάλης
καὶ Οὐρσάκιος Δημόφιλός τε καὶ Γάιος. ἀλλὰ τῶν ἐπισκόπων πάντων διαλεγο- 2
μένων ἀπὸ τῶν θείων γραφῶν οὗτοι χάρτην ἐπεδείκνυον καὶ τὴν ὑπατείαν ἀναγινώσ- B
κοντες ἠξίουν ταῦτα προκρίνεσθαι πάσης συνόδου καὶ τούτων μηδὲν πλέον ζητεῖν
παρὰ τῶν αἱρετικῶν μηδὲ ἐρευνᾶσθαι τὴν ἐκείνων διάνοιαν, ἀλλ' ἀρκεῖσθαι τούτοις
μόνοις. καὶ ἔστι τὰ γραφέντα παρ' αὐτῶν ταῦτα·

'Εξετέθη ἡ πίστις ἡ καθολικὴ ἐπὶ παρουσίᾳ τοῦ δεσπότου ἡμῶν τοῦ εὐσεβεστάτου καὶ 3
καλλινίκου βασιλέως Κωνσταντίου Αὐγούστου τοῦ αἰωνίου Σεβαστοῦ ὑπατείᾳ Φλαυίων
Εὐσεβίου καὶ 'Υπατίου τῶν λαμπροτάτων ἐν Σιρμίῳ τῇ πρὸ ια' καλανδῶν 'Ιουνίων. 22. 5. 359

Πιστεύομεν εἰς ἕνα τὸν μόνον καὶ ἀληθινὸν θεὸν πατέρα παντοκράτορα καὶ κτίστην 4
καὶ δημιουργὸν τῶν πάντων, καὶ εἰς ἕνα μονογενῆ υἱὸν τοῦ θεοῦ, τὸν πρὸ πάντων τῶν C
αἰώνων καὶ πρὸ πάσης ἀρχῆς καὶ πρὸ παντὸς ἐπινοουμένου χρόνου καὶ πρὸ πάσης
καταληπτῆς οὐσίας γεγεννημένον ἀπαθῶς ἐκ τοῦ θεοῦ, δι' οὗ οἵ τε αἰῶνες κατηρτίσθησαν
καὶ τὰ πάντα ἐγένετο, ' γεγεννημένον δὲ μονογενῆ, μόνον ἐκ μόνου τοῦ πατρός, θεὸν M 693 A
ἐκ θεοῦ, ὅμοιον τῷ γεννήσαντι αὐτὸν πατρὶ κατὰ τὰς γραφάς, οὗ τὴν γένεσιν οὐδεὶς
ἐπίσταται εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατήρ. τοῦτον ἴσμεν τοῦ θεοῦ μονογενῆ 5
υἱόν, νεύματι πατρικῷ παραγενόμενον ἐκ τῶν οὐρανῶν εἰς ἀθέτησιν ἁμαρτίας καὶ γεν-
νηθέντα ἐκ Μαρίας τῆς παρθένου καὶ ἀναστραφέντα μετὰ τῶν μαθητῶν καὶ πᾶσαν τὴν
οἰκονομίαν πληρώσαντα κατὰ τὴν πατρικὴν βούλησιν, σταυρωθέντα καὶ ἀποθανόντα

---

13 Vgl. S. 239, 11 ff. Note 15 Mehr als 400 Teilnehmer in Rimini: Sozom. IV 17, 2; Sulp. Sev. chron. II 41, 2 (vgl. Tillemont 6, 782); Philost. IV 8 (63, 13): 300 15f. Zu den Namen vgl. S. 236, 32 Note 18 Daß die Formel von Sirmium 359 in Seleucia vorgelegt wurde, wird nur hier berichtet (Sokr. II 37, 14 ff. schöpft aus Athan., Sozom. aus Sokr.) 21 Die Formel (Noten s. Bd. III) ist nach Athan. bei Sokr. II 37, 18—24 überliefert. Vgl. ferner den ausführlichen Bericht in Hieron. adv. Lucif. 17 (II 188/9 Vallarsi-Maffei) und die Mitteilungen in Coll. antiar. Paris. B VI 3 (CSEL 65, 163, 12 ff.), Epiph. haer. 72, 22, 5. 25, 10 — 26, 1 (III 295, 7 ff. 299, 23 f.), Sozom. IV 16, 19 ff. Die Formel soll von Markus v. Arethusa verfaßt sein, Sozom. IV 22, 6

BKPO REF (bis Z. 20 μόνοις F)

---

2 γραφέντων REF πραχθέντων BKPO 5 ἐμνημονεύσαμεν B 6 διέβαλον F | ἡ > RE* 12 πάντων + δὲ B* (exp. B^c) | προσδοκούντων B 13 ἐπειδὴ] ἐπεὶ δὲ P 21 nach ἡμῶν a. Rd. οὐ O 23 a. Rd κζ E^c ιθ P 24 πιστεύομεν — παντοκράτορα am oberen Rande nachgetragen R^c 25 καὶ² BKPO > RE 26 πάσης² + ἀρχῆς aber getilgt O 27 τε + οἱ E (ausradiert) 28 ἐγένοντο B* μόνου + ὑπὸ BR*E 29 γέννησιν K 30 μόνον E

καὶ εἰς τὰ καταχθόνια κατελθόντα καὶ τὰ ἐκεῖσε οἰκονομήσαντα, ὃν »πυλωροὶ ᾅδου
ἰδόντες« ἔφριξαν καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀναστραφέντα μετὰ τῶν
B 722 μαθητῶν καὶ πᾶσαν ' τὴν οἰκονομίαν πληρώσαντα καὶ πεντήκοντα ἡμερῶν πληρου-
B μένων ἀναληφθέντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς καὶ ἐλευ-
σόμενον ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ἀναστάσεως τῇ δόξῃ τῇ πατρικῇ ἀποδιδόντα ἑκάστῳ
6 κατὰ τὰ ἔργα αὐτοῦ. καὶ εἰς τὸ ἅγιον πνεῦμα, ὃ αὐτὸς ὁ μονογενὴς ἐπηγγείλατο
πέμψαι τῷ γένει τῶν ἀνθρώπων, τὸν παράκλητον, κατὰ τὸ γεγραμμένον· »ἀπέρχομαι
πρὸς τὸν πατέρα μου καὶ παρακαλέσω τὸν πατέρα καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν
τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος ἐκ τοῦ ἐμοῦ λήψεται καὶ διδάξει καὶ ὑπομνήσει ὑμᾶς
7 πάντα«. τὸ δὲ ὄνομα τῆς οὐσίας διὰ τὸ ἁπλούστερον παρὰ τῶν πατέρων τεθεῖσθαι,
ἀγνοούμενον δὲ ὑπὸ τῶν λαῶν σκάνδαλον φέρειν, διὰ τὸ μήτε τὰς γραφὰς τοῦτο περιέ-
χειν ἤρεσε τοῦτο περιαιρεθῆναι καὶ παντελῶς μηδεμίαν μνήμην οὐσίας ἐπὶ θεοῦ εἶναι
C τοῦ λοιποῦ διὰ τὸ τὰς θείας γραφὰς μηδαμοῦ περὶ πατρὸς καὶ υἱοῦ οὐσίας μεμνῆσθαι.
ὅμοιον δὲ λέγομεν τὸν υἱὸν τῷ πατρὶ κατὰ πάντα ὡς καὶ αἱ ἅγιαι γραφαὶ λέγουσί τε
καὶ διδάσκουσι.

9, 1 Τούτων ἀναγνωσθέντων οὐ μακρὰν ἐγνώσθη τῶν γραψάντων ἡ πανουργία.
Τῶν γὰρ ἐπισκόπων προτεινάντων ἀναθεματισθῆναι τὴν ἀρειανὴν αἵρεσιν μετὰ καὶ
τῶν ἄλλων αἱρέσεων πάντων τε ἐπὶ τούτῳ συνθεμένων Οὐρσάκιος καὶ Οὐάλης καὶ οἱ
σὺν αὐτοῖς ἀνένευον. καὶ λοιπὸν κατεγνώσθησαν ὡς οὐ γνησίως, ἀλλ' ἐπ' ἀναιρέσει
τῶν ἐν Νικαίᾳ πραχθέντων γράψαντες ταῦτα, ἵνα τὴν δυσώνυμον αἵρεσιν ἀντεισάξωσι.
2 θαυμάσαντες γοῦν ἐπὶ τοῖς δολίοις αὐτῶν ῥήμασι καὶ πανούργῳ προαιρέσει ἔλεγον·
D 'ἡμεῖς οὐ δεόμενοι πίστεως συνήλθομεν (ἔχομεν γὰρ ἐν ἑαυτοῖς ὑγιαίνουσαν τὴν πίστιν),
ἀλλ' ἵνα τοὺς ἀντιλέγοντας τῇ ἀληθείᾳ καὶ καινοτομεῖν ἐπιχειροῦντας ἐντρέψωμεν. εἰ
M 696 A μὲν οὖν ὑμεῖς ὡς νῦν ἀρχόμενοι πιστεύειν ' ἐγράψατε ταῦτα, οὔπω ἐστὲ κληρικοὶ ἀρχὴν
ἔχοντες τοῦ κατηχεῖσθαι, εἰ δὲ τῇ γνώμῃ ᾗ συνήλθομεν ἡμεῖς ταύτην καὶ ὑμεῖς ἔχοντες
ἀπηντήσατε, ἔστω πάντων ὁμοφροσύνη καὶ τὰς μὲν αἱρέσεις ἀναθέματι ἀναθεματίσωμεν,
τὰ δὲ τῶν πατέρων φυλάξωμεν ὑπὲρ τοῦ μηκέτι διατρέχειν προφάσεις συνόδων ἅπαξ
προλαβόντων τῶν ἐν Νικαίᾳ συνελθόντων καὶ πάντα πραξάντων ὑπὲρ τῆς καθολικῆς
3 ἐκκλησίας'. ἀλλὰ καὶ οὕτω τῶν ἐπισκόπων πάλιν πάντων συνθεμένων ἀνένευσαν
οἱ προειρημένοι, καὶ λοιπὸν καταγνόντες αὐτῶν ὡς ἀμαθῶν δολίων τε καὶ μᾶλλον αἱρετικῶν
τῇ μὲν ἐν Νικαίᾳ γενομένῃ συνόδῳ συνεψηφίσαντο πάντες καὶ ταύτῃ πάντες ἔκριναν
ἀρκεῖσθαι, τοὺς δὲ προειρημένους Οὐρσάκιον καὶ Οὐάλεντα Γερμίνιον Αὐξέντιον Γάιον
B Δημόφιλον αἱρετικοὺς ἀπέφηναν καὶ καθελόντες αὐτοὺς ὡς μὴ ὄντας ἀληθῶς Χριστια-
B 723 νούς, ἀλλ' Ἀρειανοὺς ἔγραψαν ' κατ' αὐτῶν Ῥωμαιστὶ μέν, ἑρμηνευθέντα δὲ Ἑλληνιστὶ
κατὰ δύναμιν ταῦτα·

1 Iob 38, 17 7 Joh. 14, 13. 16. 17. 26 17 ff. Ausführliche Schilderung der Verhandlungen: Sulp. Sev. chron. II 41; Marc. et Faust. lib. prec. 14 ff. (CSEL 35, 10 f.); hier. c. 10. 11 22 Die Auffassung der Gruppe um Valens findet man Coll. antiar. Paris. A VI (CSEL 65, 87 f.) in dem Schreiben des Valens an Konstantius niedergelegt 32 Zu den Namen vgl. das Dekret S. 238, 35 ff. Demophilus v. Beröa (vgl. S. 205, 14 Note) fehlt in dem Dekret der Synode und begegnet auch sonst nicht. Athan. nennt hier und in seinem Text des Dekretes (S. 238, 36) auch Auxentius v. Mailand gegen den lateinischen Wortlaut (CSEL 65, 97, 1). Da Auxentius von der Gruppe um Basilius v. Ancyra 360 (doch in Konstantinopel)

BKPO RE (bis Z. 35 ταῦτα E)

1 χθόνια E | οἰκονομήσαντα BK Sokr. οἰκονομήσοντα PORE 4 τοὺς RE > BKPO 6 μονογενὴς BKPO μονογενὴς τοῦ θεοῦ Ἰησοῦς Χριστὸς RE Sokr. vgl. S. 259, 10 7 τὸν] τὸ E 10 παρὰ BKPO ὑπὸ RE 11 τοῦτο doppelt E (Seitenwechsel) 12 εἶναι ἐπὶ θεοῦ ~ P 13 μηδαμῶς K 18 τε RE δὲ BKPO 25 ἔχοντες² > E 26 ἔστω π E 29 πάλιν RE > BKPO 30 λοιπῶν B

Ἀντίγραφον ἐπιστολῆς παρὰ τῆς συνόδου πρὸς τὸν Αὔγουστον Κωνστάντιον

Ἔκ τε τῆς τοῦ θεοῦ κελεύσεως καὶ τοῦ τῆς σῆς εὐσεβείας προστάγματος τὰ πάλαι 10, 1
δογματισθέντα γεγενῆσθαι πιστεύομεν. εἰς γὰρ Ἀρίμινον ἐκ πασῶν τῶν πρὸς δύσιν
πόλεων εἰς τὸ αὐτὸ πάντες οἱ ἐπίσκοποι συνήλθομεν, ἵνα καὶ ἡ πίστις τῆς καθολικῆς
ἐκκλησίας γνωρισθῇ καὶ οἱ τἀναντία φρονοῦντες ἔκδηλοι γένωνται. ὡς γὰρ ἐπὶ 2
πλεῖστον διασκοποῦντες εὑρήκαμεν, ἀρεστὸν ἐφάνη τὴν πίστιν τὴν ἐκ παλαιοῦ δια- C
μένουσαν, ἣν καὶ οἱ προφῆται καὶ τὰ εὐαγγέλια καὶ οἱ ἀπόστολοι διὰ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ ἐκήρυξαν, τοῦ καὶ τῆς σῆς βασιλείας φρουροῦ καὶ τῆς σῆς ῥώσεως προστά-
του, ἵνα ταύτην κατασχόντες φυλάξωμεν καὶ φυλάττοντες μέχρι τέλους διατηρήσωμεν.
ἄτοπον γὰρ καὶ ἀθέμιτον ἐφάνη τῶν ὀρθῶς καὶ δικαίως ὡρισμένων τι μεταλλάσσειν καὶ 3
τῶν ἐν Νικαίᾳ κοινῇ μετὰ τοῦ ἐνδοξοτάτου Κωνσταντίνου τοῦ σοῦ πατρὸς καὶ βασιλέως
ἐσκεμμένων, ὧν ἡ διδασκαλία καὶ τὸ φρόνημα διῆλθέ τε καὶ ἐκηρύχθη εἰς πάσας ἀνθρώπων
ἀκοάς τε καὶ διανοίας, ἥτις ἀντίπαλος μόνη καὶ ὀλετὴρ τῆς Ἀρείου αἱρέσεως ὑπῆρξε,
δι' ἧς οὐ μόνον αὕτη, ἀλλὰ καὶ αἱ λοιπαὶ αἱρέσεις καθῃρέθησαν, ἐν ᾗ ὄντως καὶ τὸ προσ-
θεῖναί τι σφαλερὸν καὶ τὸ ἀφελέσθαι τι ἐπικίνδυνον ὑπάρχει, ὡς, εἴπερ τι θάτερον γένοιτο,
ἔσται τοῖς ἐχθροῖς ἄδεια τοῦ ποιεῖν ἅπερ βούλονται. | ὅθεν Οὐρσάκιός τε καὶ M 697 A
Οὐάλης, ἐπειδὴ ἔκπαλαι μέτοχοί τε καὶ σύμφωνοι τοῦ ἀρειανοῦ δόγματος ἦσαν καθε- 4
στηκότες καὶ τῆς ἡμετέρας κοινωνίας χωρισθέντες ἀπεφάνθησαν, ἧς ἵνα μετάσχωσιν ἐφ'
οἷς ἑαυτοῖς συνεγνώκεισαν πλημμελήσαντες μετανοίας τε καὶ συγγνώμης ἠξίουν τυχεῖν,
ὡς καὶ τὰ ἔγγραφα τὰ ὑπ' ἐκείνων γεγενημένα μαρτυρεῖ, δι' ὧν ἁπάντων φειδὼ
γεγένηται καὶ τῶν ἐγκλημάτων συγγνώμη (ἦν δὲ ὁ καιρὸς καθ' ὃν ταῦτα ἐπράτ-
τετο, ὅτε ἐν Μεδιολάνῳ τὸ συνέδριον τῆς συνόδου συνεκροτεῖτο, συμπαρόντων δὲ καὶ
τῶν πρεσβυτέρων τῆς τῶν Ῥωμαίων ἐκκλησίας), ἐγνωκότες δὲ ἅμα καὶ τὸν μετὰ τελευ-
τὴν ἄξιον μνήμης Κωνσταντῖνον μετὰ πάσης ἀκριβείας καὶ ἐξετάσεως τὴν συγγραφεῖσαν
πίστιν ἐκτεθεικότα. ἐπειδὴ δὲ ὡς ἐξ ἀνθρώπων ἐγένετο βαπτισθεὶς καὶ πρὸς τὴν ὀφει- 5
λομένην εἰρήνην ἀνεχώρησεν ἄτοπον, εἶναι ⟨ἐνομίσαμεν⟩ μετ' ἐκεῖνόν τι καινοτομεῖν B
καὶ τοσούτους ἁγίους ὁμολογητάς, μάρτυρας, τοὺς καὶ τοῦδε τοῦ δόγματος συγγραφεῖς
τε καὶ εὑρετὰς ὑπεριδεῖν, οἵτινες κατὰ τὸν παλαιὸν | τῆς ἐκκλησίας θεσμὸν ἅπαντα B 724
φρονοῦντες διαμεμενήκασιν, ὧν ὁ θεὸς τὴν πίστιν καὶ εἰς τοὺς σοὺς χρόνους τῆς βασιλείας
μετέδωκε διὰ τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ σοι καὶ τὸ βασιλεύειν οὕτως
ὑπῆρξεν, ὡς καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης κρατεῖν. πάλιν γοῦν οἱ ἐλεεινοὶ καὶ οἰκτροὶ 6
τῷ φρονήματι ἀθεμίτῳ τολμήματι τῆς δυσσεβοῦς φρονήσεως κήρυκας ἑαυτοὺς ἀνήγγειλαν
καὶ ἐπιχειροῦσιν ἀνατρέπειν πᾶν ἀληθείας σύνταγμα. ὡς γὰρ κατὰ τὸ σὸν πρόσ-
ταγμα τὸ συνέδριον τῆς συνόδου συγκεκρότητο, κἀκεῖνοι τῆς ἰδίας ἀπάτης ἐγύμνουν τὴν
σκέψιν. ἐπειρῶντο γὰρ πανουργίᾳ τινὶ καὶ ταραχῇ προσφέροντές τι καινοτομεῖν 7 C

exkommuniziert wurde (CSEL 65, 45, 15), darf man die Verurteilung des Demophilus damit zusammenstellen (vgl. Epiph. haer. 76, 3; III 344, 7: Menophilus = Demophilus). Es ist nicht unwahrscheinlich, daß Athan. seine Nachrichten über die Synode von Rimini durch die Gruppe des Basilius empfing. Die beiden Namen des Auxentius u. Demophilus trug Ath. auf Grund späterer Beschlüsse in den Text ein

1 Der Brief der Synode (Noten s. Bd. III) ist im lateinischen Original stark abweichend in Coll. antiar. Paris. A V 1 (CSEL 65, 78) überliefert. Aus Athan. übernahm den Brief: Sokr. II 37, 54—74, ferner: Sozom. IV 18, Thdt. h. e. II 19, 1—13 Datum: 21. 7. 359, vgl. S. 238, 33 Note

BKPO R

1 a. Rd. κ̄ P 3 τοῦ: R^c τὸν R* | εὐσεβείας] εὐλαβείας B 10 μέχρι τέλους φυλάττοντες ~ P 24 ἐγνωκότες zu ἠξίουν, das Hauptverb ist 27 ⟨ἐνομίσαμεν⟩ Op. nach Thdt. (H. Cass.), vgl. putamus Hil. 28 über τοσούτους: τε B 33 τολμήματι] φρονήματι R 35 τὸ > B | συνεκρότητο B 36 προφέροντες R

τῆς τοιαύτης ἑταιρίας τοὺς συναλισκομένους εὑρόντες Γερμίνιον, Αὐξέντιον καὶ Γάιον
τοὺς τὴν ἔριν καὶ διχοστασίαν ἐμποιοῦντας, ὧν ἡ διδασκαλία μία μὲν οὖσα πᾶν πλῆθος
βλασφημιῶν ὑπερβέβηκεν. ὡς δὲ συνεῖδον οὐχὶ τῆς τοιαύτης προαιρέσεως ὄντας οὔτε
ὁμογνωμονοῦντας ἐφ' οἷς κακῶς ἐφρόνουν, εἰς τὸ συμβούλιον ἡμῶν μετήγαγον ἑαυτοὺς
ὡς δοκεῖν ἕτερόν τι γράφειν· ἦν δὲ ὁ καιρὸς βραχὺς ὁ καὶ τὰς γνώμας αὐτῶν ἐξελέγχων.
8 ἵνα οὖν μὴ τοῖς αὐτοῖς ἀεὶ τὰ τῆς ἐκκλησίας περιπίπτῃ καὶ ταραχὴ καὶ θόρυβος καλιν-
δούμενος ἅπαντα συγχέῃ, βέβαιον ἐφάνη τὰ πάλαι διωρισμένα ἔννομα καὶ ἀμετακίνητα
διαφυλάττειν, τοὺς δὲ προειρημένους τῆς ἡμετέρας κοινωνίας ἀποκεχωρίσθαι, δι' ἣν
αἰτίαν τοὺς ἀναδιδάξαντας πρέσβεις πρὸς τὴν σὴν ἐπιείκειαν ἀπεστάλκαμεν τὴν γνώμην
9 τοῦ συνεδρίου διὰ τῆς ἐπιστολῆς μηνύσοντας. τοῖς δὲ πρέσβεσι πρό γε πάντων
M 700 A τοῦτο παρεκελευσάμεθα τὸ τὴν ἀλήθειαν | πιστώσασθαι ἐκ τῶν πάλαι ἀρχαίων καὶ
δικαίων ὁρμωμένους· οἳ καὶ τὴν σὴν ἀναδιδάξουσιν ὁσιότητα ὅτι οὐχ ὥσπερ ἔφησαν
Οὐρσάκιός τε καὶ Οὐάλης ἔσται εἰρήνη, εἴπερ τι τῶν δικαίων ἀνατραπείη. πῶς γὰρ
εἰρήνην οἷόν τε ἄγειν τοὺς τὴν εἰρήνην καταλύοντας; μᾶλλον γὰρ ἔρις καὶ ταραχὴ ἐκ
τούτων σὺν ταῖς λοιπαῖς πόλεσι καὶ τῇ τῶν Ῥωμαίων ἐκκλησίᾳ γενήσεται.

10 Διὸ δὴ ἱκετεύομεν τὴν σὴν ἐπιείκειαν, ἵνα προσηνέσιν ἀκοαῖς καὶ γαληναίῳ βλέμματι
τοὺς ἡμετέρους πρέσβεις ἀθρήσειας μήτε πρὸς ὕβριν τῶν τετελευτηκότων καινόν τι μεταλ-
λάττειν ἐπιτρέψειας, ἀλλ' ἐάσῃς ἐμμένειν ἡμᾶς τοῖς παρὰ τῶν προγόνων ὁρισθεῖσί τε
καὶ νενομοθετημένοις, οὓς ἅπαντα μετὰ ἀγχινοίας τε καὶ φρονήσεως καὶ πνεύματος ἁγίου
11 πεποιηκέναι φήσαιμεν ἄν. τὰ γὰρ νῦν παρ' ἐκείνων καινοτομούμενα τοῖς μὲν πιστεύ-
σασιν ἀπιστίαν ἐμποιεῖ, τοῖς δὲ ἀπιστοῦσιν ὠμότητα. ἱκετεύομεν δὲ ἔτι, ἵνα κελεύ-
σῃς τοὺς ἐπισκόπους τοὺς ἐν ταῖς ἀλλοδαπαῖς διατρίβοντας, οὓς καὶ τὸ τῆς ἡλικίας
ἐπίπονον καὶ τὸ τῆς πενίας ἐνδεὲς τρύχει, τὴν εἰς τὰ οἰκεῖα ἀνακομιδὴν ῥᾳδίαν ποιήσα-
12 σθαι, ἵνα μὴ ἔρημοι τῶν ἐπισκόπων ἀφωρισμένων, αἱ ἐκκλησίαι διαμένωσιν. ἔτι δὲ
B πρὸς ἅπασι καὶ τοῦτο δεόμεθα, ἵνα μηδὲν μήτε ἐλλείπῃ τῶν προυπαρξάντων μήτε
B 725 | πλεονάζῃ, ἀλλὰ πάντα ἄρρηκτα διαμείνῃ ἐκ τῆς τοῦ σοῦ πατρὸς εὐσεβείας καὶ εἰς τὸν
νῦν χρόνον διαφυλαττόμενα, μήτε λοιπὸν ἡμᾶς μοχθεῖν καὶ τῶν οἰκείων παροικήσεων
ἀλλοτρίους ἐπιτρέψειας γίνεσθαι, ἀλλ' ἵνα οἱ ἐπίσκοποι σὺν τοῖς ἰδίοις λαοῖς μετ' εἰρήνης
εἰς εὐχάς τε καὶ λατρείας σχολὴν ἄγοιεν ἱκετεύοντες ὑπὲρ τῆς σῆς βασιλείας καὶ σωτηρίας
καὶ εἰρήνης, ἣν ἡ θειότης σοι εἰς τὸ διηνεκὲς χαριεῖται. οἱ δὲ ἡμέτεροι πρέσβεις τάς τε
ὑπογραφὰς καὶ τὰς τῶν ἐπισκόπων προσηγορίας κομίζουσιν, οἵτινες καὶ ἐξ αὐτῶν τῶν
θείων γραφῶν τὴν σὴν ἀναδιδάξουσιν ὁσιότητα.

C

Ἀπόφασις τῆς συνόδου

11,1 Ἕως προσῆκον ἦν καὶ δυνατόν, ἀδελφοὶ τιμιώτατοι, ἡ καθολικὴ σύνοδος καὶ ἡ
ἁγία ἐκκλησία τῇ ἰδίᾳ ὑπομονῇ καὶ ἀνεξικακίᾳ ἤνεγκεν οὐκ ἀγενῶς Οὐρσάκιον καὶ Οὐάλην
καὶ Γάιον καὶ Γερμίνιον καὶ Αὐξέντιον, οἵτινες ἄλλοτε ἄλλα φρονοῦντες πάσας τὰς ἐκ-
κλησίας συνετάραξαν, οἳ καὶ νῦν ἐπιχειρῆσαι τετολμήκασι τὸν αἱρετικὸν λογισμὸν τῇ
τῶν ὀρθοδόξων πίστει συνάψαι καὶ διαλῦσαι τὴν ἐν Νικαίᾳ σύνοδον, ἥτις ἀντίμαχος
ὑπάρχει τῇ τῶν Ἀρειανῶν αἱρέσει, ἔξωθεν ἰδίαν τινὰ καὶ ἀλλοτριωτάτην τῆς ἁγιω-

---

33 Das Synodaldekret (Noten s. Bd. III) ist im lateinischen Original vollständig in Coll. antiar. Paris. A IX 3 (CSEL 65, 96) überliefert und auf den 21. 7. 359 datiert.

BKPO R

---

7 ὡρισμένα R Sokr. Sozom. Thdt. 9 ἀναδιδάξοντας R[c] 10 πρέσβευσι BO 12 ὁσιότητα R[c] ἀθεότητα R* 14 ἄγειν] ἔχειν P 25 ἐλλίπῃ K 26 πλεονάζῃ K Sokr. Sozom. Thdt. πλεονάζοι BPOR 35 ἀγενῶς B ἀγεννῶς KPO R

τάτης ἐκκλησίας συγγραφεῖσαν πίστιν προσφέροντες, ἥντινα ἡμᾶς δέξασθαι ἀθέμιτον
ἡγησάμεθα. ἔκπαλαι γὰρ οὗτοι αἱρετικοὶ ὄντες καὶ τἀναντία φρονοῦντες καὶ νῦν 2 M 701 A
ἀπεδείχθησαν, οὓς πρὸς τὴν ἡμετέραν κοινωνίαν συνελθεῖν οὐκ ἐπιτρέπομεν τῇ ἰδίᾳ φωνῇ
παρόντας αὐτοὺς κατακρίναντες καὶ καθαιροῦντες. νῦν τοίνυν ὅπερ δοκεῖ ἀποφήνασθε,
ἵνα ἑνὸς ἑκάστου ἡ γνῶσις ἐκ τῆς ὑπογραφῆς εἴη βέβαιος. ὁμοθυμαδὸν οἱ ἐπίσκοποι 3
φάσκομεν· 'οἱ προειρημένοι ἐχθροὶ καθαιρεθῶσιν, ἵνα ἡ καθολικὴ πίστις ἐν εἰρήνῃ
διαμείνῃ'.

Καὶ τὰ μὲν ἐν τῇ Ἀριμίνῳ πραχθέντα ταχεῖαν καὶ τοιαύτην ἔσχε τὴν διάλυσιν.
οὐδεὶς γὰρ ἐκεῖ διεφώνησεν, ἀλλὰ πάντες συμφώνως ἔγραψαν τὰ δόξαντα καὶ τοὺς Ἀρειανοὺς καθῄρησαν.

Τὰ δὲ ἐν Σελευκείᾳ τῇ Τραχείᾳ γενόμενα ταῦτά ἐστι. μὴν μὲν ἦν ὁ κατὰ Ῥωμαίους 12, 1
καλούμενος Σεπτέμβριος, κατὰ δὲ τοὺς Αἰγυπτίους Θωθ καὶ κατὰ Μακεδόνας Γορπιαῖος B
καὶ ἡμέρα ις' τοῦ μηνὸς κατ' Αἰγυπτίους, εἰς ἣν συνέδραμον πάντες οἱ κληθέντες
συνελθεῖν· ἦσαν δὲ κἀκεῖ που ρξ'. πολλῶν δὲ ὄντων τῶν ἐν αὐτοῖς κατηγορουμένων 2
καὶ τῶν κατηγορούντων βοώντων κατ' αὐτῶν Ἀκάκιος καὶ Πατρόφιλος καὶ Οὐράνιος
ὁ ἀπὸ Τύρου καὶ Εὐδόξιος ὁ ἐπεισπηδήσας τῇ Ἀντιοχέων ἐκκλησίᾳ Λεόντιός τε καὶ
Θεοδόσιος καὶ Εὐάγριος καὶ Θεόδουλος καὶ Γεώργιος ὁ διωχθεὶς ἀπὸ τῆς οἰκουμένης
πράττουσί τι κακοῦργον. φοβηθέντες γὰρ τοὺς κατ' αὐτῶν παρὰ τῶν κατηγόρων 3 B 726
ἐλέγχους προσελάβοντο τοὺς ἄλλους τῆς Ἀρείου μερίδος τοὺς εἰς αὐτὸ τοῦτο μισθωτοὺς
εἰς ἀσέβειαν γινομένους καὶ κατασταθέντας παρὰ Σεκούνδου τοῦ καθαιρεθέντος παρὰ τῆς
μεγάλης συνόδου, ἀπὸ μὲν τῆς Λιβύης Στέφανον καὶ Σερᾶν καὶ Πολυδεύκην κατηγορουμένους ἐπὶ διαφόροις ἐγκλήμασι καὶ λοιπὸν Παγκράτιον καὶ Πτολεμαῖον Μελιτιανόν C
τινα· καὶ σχηματισάμενοι δῆθεν περὶ πίστεως ζητεῖν οὐκ ἐλάνθανον τοὺς κατηγόρους
δεδιότες. καὶ τὴν αἵρεσιν ἐξεδίκουν καὶ λοιπὸν ἐσχίσθησαν. καὶ οἱ μὲν μετὰ τῶν περὶ 4
Ἀκάκιον ἦσαν ὕποπτοι καὶ ὀλίγοι παντελῶς, οἱ δὲ ἄλλοι τὸ πλῆθος ἦσαν. οἱ μὲν οὖν

11 Über die Synode in Seleukia liegen Berichte vor bei Sokr. II 39, 5ff. Sozom. IV 22 aus Sabinus' Aktenpublikation, Philost. IV 11, Hilarius contra Const. 12—14 (II 572ff. Maffei), Sulp. Sev. Chron. II 42, Thdt. h. e. II 26, 9ff., Epiph. haer. 73, 23ff. (III 296ff.). Athan. Mitteilungen sind ein äußerst dürftiger Bericht 13 Datum des Zusammentritts der Synode: 14. 9. 359. Die Zahl der Teilnehmer: wie Athan. auch Sokr. a. a. O., Thdt.: 150, vgl. Gummerus S. 138. Die Zahl bei Athan. wird zutreffen 15 Der Bericht ist einseitig gegen die Gruppe um Akakios gerichtet. Auffallenderweise nennt Ath. nicht einen Namen aus der Gruppe um Basilius v. Ancyra. Zu den Namen vgl. S. 240, 7 Note 20 Ath. berichtet also nur über die aus Ägypten Akakios beigetretenen Bischöfe. Das ist die einzige wertvolle Nachricht über die Synode — Secundus v. Ptolemais, vgl. hist. Arian. 65 S. 219, 3 21 Stephanus v. Ptolemais, Epiph. haer. 73, 26, 4 (III 300, 17) vgl. hist. Arian. 65 S. 219, 4, war auch 360 in Konstantinopel, Thdt. h. e. II 28, 3 — Seras v. Paraitonion, Epiph. 73, 26, 2 (III 300, 8), wollte um 357 Aetius zum Bischof weihen, Philost. III 19, gehört überhaupt zur Gruppe um Aetius, Philost. VII 6, VIII 2; wurde 360 in Konstantinopel exkommuniziert, Thdt. h. e. II 28, 3; Philost. V 4 (69, 7) — Polydeukes, ägypt. Bischof, dessen Sitz in den Unterschriften bei Epiph. 73, 26, 6 (III 300, 29) ausgefallen ist 22 Pancratius v. Pelusium, Epiph. 73, 26, 6 (III 300, 30), war schon in Sirmium 359: Coll. antiar. Paris. B VI 3 (CSEL 65, 163, 15); Sokr. II 29, 2; Epiph. 73, 26, 1 (III 299, 27) — Ptolemäus v. Thmuis (an Stelle des vertriebenen Serapion), Epiph. 73, 26, 7 (III 301, 5) 24 Über die beiden Parteien: Sokr. II 39, 15ff. Die Gruppe um Georg v. Laodicea (Basilius kam erst später) war in der Mehrzahl, vgl. Gummerus S. 140f. Auf Vorschlag des Silvanus v. Tarsus beschloß die Gruppe die Anerkennung der antiochenischen Formel von 341 (unten c. 23) als verbindlichem Symbol, Sokr. II 39, 19—20. Akakios lehnte diesen Beschluß ab und erließ mit seiner Gruppe ein Votum zugunsten des Symbols von Sirmium 359 (Epiph. 73, 25; III 298;

BKPO R

4 καθαιροῦντας O 17 Θεοδόσιος Op. nach S. 240, 8 Θεόδοτος BKPO R 18 κακοῦργον BKPO πανοῦργον R 25 ὀλίγοι BKPO ὀλίγιστοι R

περὶ Ἀκάκιον ἀποχρησάμενοι τῷ τῆς ἀπονοίας θράσει τέλεον ἠρνοῦντο τὰ ἐν Νικαίᾳ
γραφέντα καὶ τὴν σύνοδον διέβαλλον, οἱ δὲ ἄλλοι (τὸ πλῆθος δὲ ἦσαν οὗτοι) τὰ μὲν
ἄλλα πάντα τῆς συνόδου ἀπεδέχοντο, μόνην δὲ τὴν τοῦ ὁμοουσίου λέξιν ὡς ἐκ τῆς
5 ἀσαφείας ὕποπτον ἐπροφασίζοντο. ἐγχρονιζόντων τοίνυν ἐν τῷ τόπῳ καὶ τῶν μὲν
D κατηγόρων ἐπικειμένων, τῶν δὲ κατηγορουμένων φευγόντων καὶ διὰ τοῦτο πλέον ἐν
ἀσεβείαις ἐξαγομένων καὶ βλασφημούντων εἰς τὸν κύριον ἠγανάκτησε τὸ πλῆθος τῶν
ἐπισκόπων καὶ καθῄρησαν μὲν Ἀκάκιον Πατρόφιλον Οὐράνιον Εὐδόξιον καὶ τὸν ἀπὸ
M 704 A ὑποδεκτῶν Γεώργιον καὶ ἄλλους ἀπὸ τῆς Ἀσίας, ' Λεόντιον καὶ Θεοδόσιον, Εὐάγριον
καὶ Θεόδουλον, ἀκοινωνήτους δὲ πεποιήκασιν Ἀστέριον, Εὐσέβιον, Αὔγαρον καὶ Βασι-
6 λικὸν καὶ Φοῖβον καὶ Φιδήλιον καὶ Εὐστάθιον καὶ Εὐτύχιον καὶ Μάγνον. τοῦτο δὲ
πεποιήκασιν, ἐπειδὴ κληθέντες ἀπολογήσασθαι ἐφ' οἷς αὐτῶν πλεῖστοι κατηγόρουν
οὐκ ἀπήντησαν. καὶ ὥρισαν οὕτω μένειν αὐτούς, ἕως ἂν ἀπολογησάμενοι δείξωσιν
7 ἑαυτοὺς καθαροὺς ἀπὸ τῶν ἐπιφερομένων αὐτοῖς ἐγκλημάτων. γράψαντές τε εἰς τὴν
ἑκάστου παροικίαν τὴν κατ' αὐτῶν γενομένην κρίσιν ἀνῆλθον παρὰ τὸν ἀσεβέστατον
Αὔγουστον Κωνστάντιον ἀπαγγελοῦντες αὐτῷ τὰ πεπραγμένα· ταύτην γὰρ εἶχον
πρόσταξιν. καὶ τοῦτο τέλος γέγονε καὶ τῆς ἐν Σελευκείᾳ συνόδου.
13,1 Τίς τοίνυν οὐκ ἂν ἀποδέξαιτο μὲν τὴν εὐλάβειαν τῶν ἐν τῇ Ἀριμίνῳ συνόδῳ
B συνελθόντων ἐπισκόπων; οἳ τοσοῦτον κάματον ὁδοῦ καὶ θαλάττης κινδύνους ὑπέμειναν,
ἵνα τοὺς μὲν φρονοῦντας τὰ Ἀρείου καθέλωσι, τοὺς δὲ τῶν πατέρων ὅρους ἀκεραίους
φυλάξωσιν ὁσίως καὶ κανονικῶς τοῦτο βουλευσάμενοι. ἡγεῖτο γὰρ ἕκαστος αὐτῶν, εἰ
λύσαιεν τὰ τῶν πρὸ αὐτῶν, πρόφασιν διδόναι τοῖς μετὰ ταῦτα, ὥστε λῦσαι τὰ παρ'
2 αὐτῶν νῦν γινόμενα. τίς δὲ οὐκ ἂν καταγνοίη τῆς εὐχερείας τῶν περὶ Εὐδόξιον καὶ
Ἀκάκιον, οἳ τὴν τῶν ἑαυτῶν πατέρων τιμὴν προπίνουσι τῇ πρὸς τοὺς Ἀρειομανίτας
σπουδῇ καὶ χάριτι; ποία γὰρ πίστις τοῖς παρ' αὐτῶν γινομένοις, εἰ τὰ τῶν προτέρων
B 727 καταλύεται; ἢ πῶς 'πατέρας' ὀνομάζουσιν οὓς ' διεδέξαντο, ὧν αὐτοὶ τῆς γνώμης κατ-

s. unten c. 29). Ein klares Bild über die Hauptereignisse gibt Athan. nicht. Schwerlich haben seine Leser der Schrift mehr als einen Abscheu gegen Akakios entnommen, die Ereignisse im einzelnen interessieren weder den Verfasser noch den Leser 3 Die Ablehnung des ὁμοούσιος durch die Gruppe um Basilius ist nur hier bezeugt. Basilius hatte schon früher sehr entschiedene Bedenken gegen das Wort geltend gemacht: Epiph. haer. 73, 11, 10 (III 284, 5); Hilarius de syn. 81 (II 508/09 Maffei), und vor allem unten c. 41, 1 (S. 291, 27 ff.) 7 Die Absetzungen und Exkommunikationen wurden am letzten Tage vorgenommen, Sokr. II 40, 36. 43, hier auch die Liste der abgesetzten Bischöfe (40, 45 ist Athan. entnommen). Zu den Namen vgl. Epiph. haer. 73, 26 (III 300); Akakios v. Cäsarea, Patrophilos v. Skythopolis, Uranios v. Tyrus, Eudoxios v. Antiochien (Germanikeia) 8 Georg v. Alexandrien, vgl. hist. Arian. 75 S. 224, 29 — Leontius v. Tripolis (Lydia), nach Philost. VII 6 entschiedener Anhänger d. Aetius — Theodosius (so auch Sokr. Sulp. Sev. II 42, 6. Epiph.) v. Philadelphia (Lydia), Freund d. Aetius: Philost. VIII 3. 4 — Euagrius v. Mitylene, war bereits in Sirmium 357 (CSEL 65, 170, 6) 9 Theodul v. Chairatopoi (Phrygia) — Asterius, unbekannt, nur hier — Euseb v. Seleucia, wegen seiner Verurteilung 360 vgl. Philost. V 3 (68, 6), ist nicht der von Sebaste — Augaros v. Kyros 9/10 Basilikos, ob = Basilius v. Kauniai (Lydia)? — 10 Phoibos v. Polychalandos (Lydia); vgl. Philost. VIII 4 — Fidelius, unbekannt, nur hier — Eustathius, entweder der von Epiphaneia (Syria) oder der von Pinarai u. Sidymoi (Lycia) — Magnus v. Themisai (Phrygia). Die meisten der Genannten sind auch sonst bezeugte Freunde des Aetius. Durch die Absetzungen wollte man also die Gruppe um Aetius beseitigen 16 Mit der πρόσταξις ist der kaiserliche Befehl gemeint, daß beide Synoden 10 Abgeordnete an den Hof senden sollten zwecks Anzeige der Beschlüsse, Sozom. IV 17, 1. Die Namen der Mitglieder der Delegationen der beiden Synoden findet man Coll. antiar. Paris. B VIII 1 (CSEL 65, 174, 5 ff.), ferner Thdt. h. e. II 27, 4; vgl. Gummerus S. 146

BKPO R

3 πάντα > K 4 προεφασίζοντο K 5/6 ἐν ἀσεβείαις BKOR εἰς ἀσέβειαν P 10 Φιδῆλιον P | καὶ Εὐτύχιον καὶ Εὐστάθιον ~ R 14 ἀσεβέστατον R εὐσεβέστατον BKPO

ήγοροι γίνονται; μάλιστα δὲ Ἀκάκιος τί ἂν εἴποι πρὸς Εὐσέβιον τὸν ἑαυτοῦ διδάσ- 3
καλον, ὃς οὐ μόνον ὑπέγραψεν ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ, ἀλλὰ γὰρ καὶ δι' ἐπιστολῆς C
ἐδήλωσε τοῖς ὑπ' αὐτὸν λαοῖς ταύτην εἶναι πίστιν ἀληθῆ τὴν ὁμολογηθεῖσαν ἐν τῇ κατὰ
Νίκαιαν συνόδῳ; εἰ γὰρ καὶ ὡς ἠθέλησεν ἀπελογήσατο διὰ τῆς ἐπιστολῆς, ἀλλά γε
τὰς λέξεις οὐκ ἠρνήσατο, ἀλλὰ καὶ κατηγόρησε τῶν Ἀρειανῶν ὅτι λέγοντες· 'οὐκ ἦν
πρὶν γεννηθῇ ὁ υἱός, οὐδὲ πρὸ Μαρίας αὐτὸν ἤθελον εἶναι'. τί ἄρα καὶ διδάξουσι 4
τοὺς λαοὺς τοὺς παρ' ἐκείνων διδαχθέντας; ὅτι ἐσφάλησαν οἱ πατέρες; καὶ πῶς αὐτοὶ
πιστευθήσονται παρ' αὐτοῖς οὓς διδάσκουσι παρακούειν τῶν διδασκάλων; ποίοις δὲ
ὄμμασιν ἐμβλέψονται καὶ τοῖς μνήμασι τῶν πατέρων οὓς ὀνομάζουσι νῦν αἱρετικούς;
τί δὲ τοὺς ἀπὸ Οὐαλεντίνου καὶ Φρυγίας καὶ Μανιχαίους διασύρουσι, τοὺς δὲ τὰ ὅμοια D
φθεγξαμένους, ὡς ὑπονοοῦσιν αὐτοί, 'ἁγίους' ὀνομάζουσιν; ἢ πῶς αὐτοὶ ἔτι δύνανται
εἶναι ἐπίσκοποι, εἰ παρ' αἱρετικῶν, ὡς αὐτοὶ διαβάλλουσι, κατεστάθησαν; εἰ δὲ καὶ 5
κακῶς ἐφρόνησαν καὶ γράψαντες ἐπλάνησαν τὴν οἰκουμένην, παυθήτω τέλεον καὶ ἡ
περὶ τούτων μνήμη. καὶ εἰ τὰ γράμματα αὐτῶν ἐκβάλλεται, ἐκβάλλετε ὑμεῖς ἀπελθόντες
ἀπὸ τῶν κοιμητηρίων τὰ λείψανα τούτων, ἵνα γνῶσιν ἅπαντες ἐκείνους μὲν πλάνους,
ὑμᾶς δὲ πατροκτόνους.

Ὁ μὲν οὖν μακάριος ἀπόστολος ἀποδέχεται τοὺς Κορινθίους λέγων· »ὅτι πάντα **14, 1**
μου μέμνησθε, ꞌ καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, οὕτω κατέχετε«, οὗτοι δὲ M 705 A
τοιαῦτα περὶ τῶν πρὸ αὐτῶν ἐνθυμούμενοι τἀναντία πάντως τοῖς λαοῖς καὶ εἰπεῖν τολ-
μήσουσιν· 'οὐκ ἐπαινοῦμεν ὑμᾶς μνημονεύοντας τῶν πατέρων, ἀλλ' ἀποδεχόμεθα μᾶλλον
ὑμᾶς, ὅταν τὰς παραδόσεις αὐτῶν μὴ κατέχητε.' καὶ λοιπὸν διαβαλλέτωσαν τὴν 2
ἑαυτῶν δυσγένειαν καὶ λεγέτωσαν· 'ἡμεῖς οὐκ ἐξ εὐσεβῶν, ἀλλ' ἐξ αἱρετικῶν γεγόναμεν.'
τοιαῦτα γὰρ ἁρμόζει λέγειν τοῖς, ὡς προεῖπον, προπίνουσι τὴν τῶν πατέρων τιμὴν
καὶ τὴν ἑαυτῶν σωτηρίαν τῇ ἀρειανῇ αἱρέσει καὶ μὴ φοβουμένοις ἀκοῦσαι τὸ ἐν τῇ
θείᾳ παροιμίᾳ γεγραμμένον »ἔκγονον κακὸν πατέρα καταρᾶται« καὶ τὴν ἐν τῷ νόμῳ
κατὰ τῶν τοιούτων κειμένην ἀπειλήν. ἐκεῖνοι μὲν οὖν διὰ τὴν ὑπὲρ τῆς αἱρέσεως 3
σπουδὴν τοιοῦτον φιλόνεικον ἐσχήκασι καὶ τὸ φρόνημα, ὑμεῖς δὲ μὴ διὰ τοῦτο ταραχθῆτε B
μηδὲ τὴν ἐκείνων τόλμαν ἀλήθειαν ἡγήσησθε. καὶ γὰρ καὶ πρὸς ἑαυτοὺς ἀνθίστανται
καὶ τῶν πατέρων ἀποστάντες μίαν οὐκ ἔχουσι τὴν γνώμην, ἀλλὰ ποικίλαις καὶ δια-
φόροις νήχονται μεταβολαῖς. καὶ πρὸς τὴν ἐν Νικαίᾳ σύνοδον ἐρίζοντες πολλὰς μὲν
συνόδους πεποιήκασι καὶ αὐτοί, καθ' ἑκάστην δὲ πίστιν ἐκτιθέμενοι ἐν οὐδεμιᾷ μεμε-
νήκασιν· ἀλλὰ καὶ οὐ παύσονταί γε ἀεὶ τοῦτο ποιοῦντες, ὅτι κακῶς ζητοῦντες οὐχ
εὑρήσουσιν ἣν ἐμίσησαν σοφίαν. ὑπέταξα τοίνυν ἀναγκαίως ἀπὸ ꞌ μέρους τά τε παρὰ 4 B 728
Ἀρείου γραφέντα καὶ ὅσα συναγαγεῖν ἠδυνήθην ὧν ἐν διαφόροις οὗτοι συνόδοις ἐξέθεντο,
ἵνα γνῶτε καὶ θαυμάσητε, τίνος ἕνεκα πρὸς οἰκουμενικὴν σύνοδον καὶ πρὸς τοὺς ἑαυτῶν
πατέρας φιλονεικοῦντες οὐ καταδύονται.

1 Akakios wird hier wie de decr. 3, 5 (S. 3, 20ff.) an seinen Lehrer und Vorgänger Euseb erinnert. Dazu, daß in der vorliegenden Schrift so weitgehend die gleichen Argumente wie in de decr. begegnen, vgl. c. 33ff., bes. c. 37 S. 264,8 2 = de decr. 3, 3 (S. 3, 13f.) 4ff. = de decr. 3, 4 (S. 3, 16—18) 12ff. Diese Ausführung ist auf Akakios zu beziehen. Infolge der Ersetzung der Nicänischen Formel durch die von Sirmium (359) und Seleukeia wird Euseb, der Nicäa anerkannt hat, zum Ketzer gemacht; woraus folgt, daß Akakios von einem Ketzer eingesetzt ist 17 I. Cor. 11, 2 25 Prov. 24, 34 28 Hier beginnt der 2. Teil der Schrift, der dem Nachweis gewidmet ist, daß die 'Arianer' von Arius bis Akakios ständig ihren Glauben gewechselt und dadurch selbst bewiesen haben, wie falsch ihr Glaube ist

BKPO R

2 γὰρ > B 6 διδάξωσι R 7 ἐσφάλησαν] ἐβλασφήμησαν K 9 τοῖς + ὄμμασι getilgt B 11 ἔτι δύνανται αὐτοί ~ R 14 ἐκβάλετε B ἐκβάλατε R 17 ἀπόστολος + Παῦλος P 18 ὑμᾶς B 24 ἀρειανῇ] Ἀρειανῶν B | φοβουμένους KPO 30 ἐρίζοντες] ὁρίζοντες KO

15, 1 Ἄρειος καὶ οἱ σὺν αὐτῷ φρονήσαντες καὶ λέγοντες 'ἐξ οὐκ ὄντων πεποίηκε τὸν
C υἱὸν ὁ θεὸς καὶ κέκληκεν ἑαυτῷ υἱόν, καὶ ἓν τῶν κτισμάτων ἐστὶν ὁ τοῦ θεοῦ λόγος, καὶ ἦν ποτε ὅτε οὐκ ἦν, τρεπτὸς δέ ἐστι δυνάμενος, ὅτε βούλεται, τραπῆναι' ἐξεβλήθησαν
2 τῆς ἐκκλησίας παρὰ τοῦ μακαρίτου Ἀλεξάνδρου. ἀλλ' ἐκβληθεὶς καὶ ἐπιτριβεὶς Ἄρειος παρὰ τῶν περὶ Εὐσέβιον συνέθηκεν ἑαυτοῦ τὴν αἵρεσιν ἐν χάρτῃ καὶ ὡς ἐν 'Θαλίᾳ' ζηλώσας οὐδένα τῶν φρονίμων, ἀλλὰ τὸν Αἰγύπτιον Σωσάτην ἐν τῷ ἤθει καὶ τῇ ἐκλύσει τοῦ μέλους γράφει μὲν πολλά, ἀπὸ μέρους δέ ἐστιν αὐτοῦ ταῦτα·

3 Βλασφημίαι Ἀρείου

D Αὐτὸς γοῦν ὁ θεὸς καθό ἐστιν ἄρρητος ἅπασιν ὑπάρχει.
ἴσον οὐδὲ ὅμοιον, οὐχ ὁμόδοξον ἔχει μόνος οὗτος.
ἀγέννητον δὲ αὐτόν φαμεν διὰ τὸν τὴν φύσιν γεννητόν·
τοῦτον ἄναρχον ἀνυμνοῦμεν διὰ τὸν ἀρχὴν ἔχοντα,
ἀΐδιον δὲ αὐτὸν σέβομεν διὰ τὸν ἐν χρόνοις γεγαότα.
ἀρχὴν τὸν υἱὸν ἔθηκε τῶν γενητῶν ὁ ἄναρχος
καὶ ἤνεγκεν εἰς υἱὸν ἑαυτῷ τόνδε τεκνοποιήσας,
M 708 A ἴδιον οὐδὲν ἔχει τοῦ θεοῦ καθ' | ὑπόστασιν ἰδιότητος,
οὐδὲ γάρ ἐστιν ἴσος, ἀλλ' οὐδὲ ὁμοούσιος αὐτῷ.
σοφὸς δέ ἐστιν ὁ θεός, ὅτι τῆς σοφίας διδάσκαλος αὐτός.
ἱκανὴ δὲ ἀπόδειξις ὅτι ὁ θεὸς ἀόρατος ἅπασι,
τοῖς τε διὰ υἱοῦ καὶ αὐτῷ τῷ υἱῷ ἀόρατος ὁ αὐτός.
ῥητῶς δὲ λέξω, πῶς τῷ υἱῷ ὁρᾶται ὁ ἀόρατος·
τῇ δυνάμει ᾗ δύναται ὁ θεὸς ἰδεῖν· ἰδίοις τε μέτροις
ὑπομένει ὁ υἱὸς ἰδεῖν τὸν πατέρα, ὡς θέμις ἐστίν.
ἤγουν τριάς ἐστι δόξαις οὐχ ὁμοίαις, ἀνεπίμικτοι ἑαυταῖς εἰσιν αἱ ὑποστάσεις αὐτῶν,
μία τῆς μιᾶς ἐνδοξοτέρα δόξαις ἐπ' ἄπειρον.
ξένος τοῦ υἱοῦ κατ' οὐσίαν ὁ πατήρ, ὅτι ἄναρχος ὑπάρχει.

---

6 Sosates, bei Athan. de sent. Dion. 6, 1 (S. 50, 2); or. I. c. Arian. 2. 4 (Migne 26, 16 A. 20 B, C) als Vorbild des Arius erwähnt. Über S., den Dichter von Ἰωνικὰ ᾄσματα aus 3. Jhdt. v. Chr., vgl. L. Escher, de Sotadis Maronitae reliquiis. Diss. Gießen 1913 und Pauly-Wissowa RE s. v. Sotades 2. Nur bei Ath. ist die Schreibung Σωσάτης an Stelle von Sotades überliefert. An den von Ath. mitgeteilten Resten der Thaleia des Arius läßt sich der Versus sotadeus ebensowenig wie etwas von der γελοιολογία des S. wiedererkennen 5 Wann Arius die Thalia geschrieben hat, ist nicht überliefert. Aus den allein bei Athan. überlieferten Fragmenten geht nicht hervor, welche literarische Form oder welches Versmaß Arius seinem Werk gegeben hat. Die folgenden Sätze sind das umfangreichste der Fragmente, die man bequem bei G. Bardy: Recherches sur S. Lucien d'Antioche et son école. Paris 1936. S. 252 ff. zusammengestellt findet. P. Maas hat in Byz. Ztschr. 18 (1909) 513 den Versuch gemacht, die Sätze in einer versartigen Form zu gliedern. Ich schließe mich Maas bei der Abteilung der Kola an. Immerhin darf man nicht vergessen, daß Athan. aus dem Zusammenhang gelöste Gedankenreihen vorlegt und den Wortlaut kaum genau wiedergibt 9 Vgl. Alexander, de decr. 35, 8 (S. 32, 29) 19 ff. Vgl. Urk. 4^b, 8 (III 8, 3 Note), Athan. or. I c. Arian. 6 (Migne 26, 24 A), aus der Thaleia: καὶ τῷ υἱῷ ὁ πατὴρ ἀόρατος ὑπάρχει καὶ οὔτε ὁρᾶν οὔτε γινώσκειν τελείως καὶ ἀκριβῶς δύναται ὁ λόγος τὸν ἑαυτοῦ πατέρα, ἀλλὰ καὶ ὃ γινώσκει καὶ ὃ βλέπει ἀναλόγως τοῖς ἰδίοις μέτροις οἶδε καὶ βλέπει, ὥσπερ καὶ ἡμεῖς γινώσκομεν κατὰ τὴν ἰδίαν δύναμιν 24 ff. Arius bei Athan. or. I. c. Arian. 6 (Migne 26, 24 B): ἀνόμοιοι πάμπαν ἀλλήλων ταῖς τε οὐσίαις καὶ δόξαις εἰσὶν ἐπ' ἄπειρον (sc. Vater und Sohn)

BKPO R

1/2 ὁ θεὸς τὸν υἱὸν ~ K 8 βλασφημία KOR | βλασφημίαι + τοῦ R 13 χρόνῳ K 15 τόνδε > B | τεκνοποιήσας O^*R^c τεκνενοποιήσας B^* τεκτενοποιήσας $B^cO^cR^*$ τεκταινοποιήσας P 17 αὐτῷ Comm. Montf. αὐτοῦ BKPOR

σύνες ὅτι ἡ μονὰς ἦν, ἡ δυὰς δὲ οὐκ ἦν, πρὶν ὑπάρξῃ.
αὐτίκα γοῦν υἱοῦ μὴ ὄντος ὁ πατὴρ θεός ἐστι.
λοιπὸν ὁ υἱὸς οὐκ ὢν (ὑπῆρξε δὲ θελήσει πατρῴᾳ) B
μονογενὴς θεός ἐστι καὶ ἑκατέρων ἀλλότριος οὗτος.
ἡ σοφία σοφία ὑπῆρξε σοφοῦ θεοῦ θελήσει.
ἐπινοεῖται γοῦν μυρίαις ὅσαις ἐπινοίαις πνεῦμα, δύναμις, σοφία,
δόξα θεοῦ, ἀλήθειά τε καὶ εἰκὼν καὶ λόγος οὗτος.
σύνες ὅτι καὶ ἀπαύγασμα καὶ φῶς ἐπινοεῖται.
ἴσον μὲν τοῦ υἱοῦ γεννᾶν δυνατός ἐστιν ὁ κρείττων,
διαφορώτερον δὲ ἢ κρείττονα ἢ μείζονα οὐχί.
θεοῦ | θελήσει ὁ υἱὸς ἡλίκος καὶ ὅσος ἐστίν, B 729
ἐξ ὅτε καὶ ἀφ' οὗ καὶ ἀπὸ τότε ἐκ τοῦ θεοῦ ὑπέστη,
ἰσχυρὸς θεὸς ὢν τὸν κρείττονα ἐκ μέρους ὑμνεῖ.
συνελόντι εἰπεῖν τῷ υἱῷ ὁ θεὸς ἄρρητος ὑπάρχει·
ἔστι γὰρ ἑαυτῷ ὅ ἐστι τοῦτ' ἔστιν ἄλεκτος,
ὥστε οὐδὲν τῶν λεγομένων κατά τε κατάληψιν συνίει ἐξειπεῖν ὁ υἱός.
ἀδύνατα γὰρ αὐτῷ τὸν πατέρα τε ἐξιχνιάσει, ὅς ἐστιν ἐφ' ἑαυτοῦ.
αὐτὸς γὰρ ὁ υἱὸς τὴν ἑαυτοῦ οὐσίαν οὐκ οἶδεν,
υἱὸς γὰρ ὢν θελήσει πατρὸς ὑπῆρξεν ἀληθῶς.
τίς γοῦν λόγος συγχωρεῖ τὸν ἐκ πατρὸς ὄντα C
αὐτὸν τὸν γεννήσαντα γνῶναι ἐν καταλήψει;
δῆλον γὰρ ὅτι τὸ ἀρχὴν ἔχον, τὸν ἄναρχον, ὡς ἔστιν,
ἐμπερινοῆσαι ἢ ἐμπεριδράξασθαι οὐχ οἷόν τέ ἐστιν.

Ἃ δὲ καὶ δι' ἐπιστολῆς ἔγραψαν πρὸς τὸν μακαρίτην Ἀλέξανδρον τὸν ἐπίσκοπον, **16, 1**
ἔστι ταῦτα· D

Μακαρίῳ πάπᾳ καὶ ἐπισκόπῳ ἡμῶν Ἀλεξάνδρῳ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι 2
ἐν κυρίῳ χαίρειν. Ἡ πίστις ἡμῶν ἡ ἐκ προγόνων, ἣν καὶ ἀπὸ σοῦ μεμαθήκαμεν, μακάριε
πάπα, ἔστιν αὕτη· οἴδαμεν ἕνα θεόν, μόνον ἀγέννητον, μόνον ἀίδιον, μόνον ἄναρχον,
μόνον ἀληθινόν, μόνον ἀθανασίαν ἔχοντα, μόνον σοφόν, μόνον ἀγαθόν, μόνον δυνάστην,
πάντων κριτήν, | διοικητήν, οἰκονόμον, ἄτρεπτον καὶ ἀναλλοίωτον, δίκαιον καὶ ἀγαθόν, M 709 A
νόμου καὶ προφητῶν καὶ καινῆς διαθήκης τοῦτον θεὸν γεννήσαντα υἱὸν μονογενῆ πρὸ
χρόνων αἰωνίων, »δι' οὗ καὶ τοὺς αἰῶνας καὶ τὰ ὅλα πεποίηκε«, γεννήσαντα δὲ οὐ δοκήσει,
ἀλλὰ ἀληθείᾳ· ὑποστήσαντα ἰδίῳ θελήματι ἄτρεπτον καὶ ἀναλλοίωτον κτίσμα τοῦ θεοῦ
τέλειον, ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων· γέννημα, ἀλλ' οὐχ ὡς ἓν τῶν γεγεννημένων,
οὐδ' ὡς Οὐαλεντῖνος προβολὴν τὸ γέννημα τοῦ πατρὸς ἐδογμάτισεν, οὐδ' ὡς Μανιχαῖος 3
μέρος ὁμοούσιον τοῦ πατρὸς τὸ γέννημα εἰσηγήσατο, οὐδ' ὡς Σαβέλλιος τὴν μονάδα

---

5 Der gleiche Satz: Athan. or. I. c. Arian. 5 (Migne 26, 21 B) 18 Vgl. Athan. or. I. c. Arian. 6 (Migne 26, 24 B): καὶ γὰρ καὶ ὁ υἱὸς οὐ μόνον τὸν πατέρα ἀκριβῶς οὐ γινώσκει· λείπει γὰρ αὐτῷ εἰς τὸ καταλαβεῖν· ἀλλὰ καὶ αὐτὸς ὁ υἱὸς τὴν ἑαυτοῦ οὐσίαν οὐκ οἶδε 24 Arius' Brief (= Urk. 6). Unabhängig von Athan. überliefert bei Epiph. haer. 69, 7 (III 157, 24 ff.), ferner Hilarius de Trinitate IV 12 f.; VI 5 f.; erwähnt auf der Synode von Aquileja 381 (= Ambros. ep. 8; II 788 D ff. ed. Bened.) u. bei Foebadius c. Arianos 8
32 Hebr. 1, 2

BKPO R

---

1 ὑπάρξῃ Comm. Montf. ὑπάρξει BKPOR 3 λοιπὸν] οὐκοῦν P 5 σοφία[2] ÷ σοφια R, aber getilgt | θελήσει] βουλήσει KO 22 γὰρ > B | ὡς Comm. Montf. ὅς BKPOR 23 οἷόν Comm. Montf. οἱός BKPOR 26 a. Rd. κα̅ P | καὶ[1] R > BKPO 32 ὅλα] ἄλλα B 35 τὸ] καὶ K

διαιρῶν υἱοπάτορα εἶπεν, οὐδ' ὡς Ἱέρακας λύχνον ἀπὸ λύχνου ἢ ὡς λαμπάδα εἰς δύο,
B οὐδὲ τὸν ὄντα πρότερον ὕστερον γεννηθέντα ἢ ἐπικτισθέντα εἰς υἱόν, ὡς καὶ σὺ αὐτός,
μακάριε πάπα, κατὰ μέσην τὴν ἐκκλησίαν καὶ ἐν συνεδρίῳ πλειστάκις τοὺς ταῦτα εἰσ-
B 730 ηγησαμένους ἀπηγόρευσας, ἀλλ' ὥς φαμεν θελήματι τοῦ θεοῦ πρὸ | χρόνων καὶ πρὸ
αἰώνων κτισθέντα καὶ τὸ ζῆν καὶ τὸ εἶναι παρὰ τοῦ πατρὸς εἰληφότα καὶ τὰς δόξας,
4 συνυποστήσαντος αὐτῷ τοῦ πατρός. οὐ γὰρ ὁ πατὴρ δοὺς αὐτῷ πάντων τὴν
κληρονομίαν ἐστέρησεν ἑαυτὸν ὧν ἀγεννήτως ἔχει ἐν ἑαυτῷ· πηγὴ γάρ ἐστι πάντων.
ὥστε τρεῖς εἰσιν ὑποστάσεις. καὶ ὁ μὲν θεὸς αἴτιος τῶν πάντων τυγχάνων ἔστιν ἄναρχος
μονώτατος, ὁ δὲ υἱὸς ἀχρόνως γεννηθεὶς ὑπὸ τοῦ πατρὸς καὶ πρὸ αἰώνων κτισθεὶς καὶ
θεμελιωθεὶς οὐκ ἦν πρὸ τοῦ γεννηθῆναι, ἀλλὰ ἀχρόνως πρὸ πάντων γεννηθεὶς μόνος
C ὑπὸ τοῦ πατρὸς ὑπέστη. οὐδὲ γάρ ἐστιν ἀίδιος ἢ συναίδιος ἢ συναγέννητος τῷ πατρί,
οὐδὲ ἅμα τῷ πατρὶ τὸ εἶναι ἔχει, ὥς τινες λέγουσι τὰ πρός τι δύο ἀγεννήτους ἀρχὰς
εἰσηγούμενοι, ἀλλ' ὡς μονὰς καὶ ἀρχὴ πάντων, οὕτως ὁ θεὸς πρὸ πάντων ἐστί. διὸ
καὶ πρὸ τοῦ υἱοῦ ἔστιν, ὡς καὶ παρὰ σοῦ μεμαθήκαμεν κατὰ μέσην τὴν ἐκκλησίαν κη-
5 ρύξαντος. καθὸ οὖν παρὰ τοῦ θεοῦ τὸ εἶναι ἔχει καὶ τὰς δόξας καὶ τὸ ζῆν καὶ τὰ πάντα
αὐτῷ παρεδόθη, κατὰ τοῦτο ἀρχὴ αὐτοῦ ἐστιν ὁ θεός. ἄρχει γὰρ αὐτοῦ ὡς θεὸς αὐτοῦ
καὶ πρὸ αὐτοῦ ὤν. εἰ δὲ τὸ »ἐξ αὐτοῦ« καὶ τὸ »ἐκ γαστρὸς« καὶ τὸ »ἐκ τοῦ πατρὸς
M 712 A ἐξῆλθον καὶ ἥκω« ὡς μέρος αὐτοῦ ὁμοουσίου καὶ ὡς προβολὴ ὑπό τινων νοεῖται, | σύν-
θετος ἔσται ὁ πατὴρ καὶ διαιρετὸς καὶ τρεπτὸς καὶ σῶμα κατ' αὐτοὺς καὶ τὸ ὅσον ἐπ'
αὐτοῖς τὰ ἀκόλουθα σώματι πάσχων ὁ ἀσώματος θεός.

17,1 Ταῦτα ἀπὸ μέρους ὧν ἤμεσαν ἐκ τῆς ἑαυτῶν αἱρετικῆς καρδίας οἱ περὶ Ἄρειον
ἐστί· πρὸ δὲ τοῦ γενέσθαι τὴν ἐν Νικαίᾳ σύνοδον ἔγραψαν καὶ οἱ περὶ Εὐσέβιον Νάρ-
κισσόν τε καὶ Πατρόφιλον καὶ Μάριν Παυλῖνόν τε καὶ Θεόδοτον καὶ Ἀθανάσιον τὸν
2 ἀπὸ Ναζαρβῶν τὰ ὅμοια αὐτοῖς. καὶ ὁ μὲν ἀπὸ τῆς Νικομηδείας Εὐσέβιος κατὰ
περιττὸν ἔγραψεν Ἀρείῳ ὅτι »καλῶς φρονῶν εὔχου πάντας οὕτως φρονεῖν· παντὶ γὰρ
»δῆλόν ἐστιν ὅτι τὸ πεποιημένον οὐκ ἦν πρὶν γενέσθαι. τὸ γενόμενον δὲ ἀρχὴν ἔχει τοῦ
B 3 »εἶναι«· ὁ δὲ ἀπὸ Καισαρείας τῆς Παλαιστίνης Εὐσέβιος γράφων πρὸς Εὐφρατίωνα
τὸν ἐπίσκοπον οὐκ ἐφοβήθη φανερῶς εἰπεῖν ὅτι 'ὁ Χριστὸς οὐκ ἔστιν ἀληθινὸς θεός'.
4 καὶ Ἀθανάσιος δὲ ὁ ἀπὸ Ναζαρβῶν ἔτι γυμνότερον ἀπεκάλυπτε τὴν αἵρεσιν ἕνα τῶν
ἑκατὸν προβάτων λέγων εἶναι τὸν υἱὸν τοῦ θεοῦ. γράφων γὰρ πρὸς Ἀλέξανδρον τὸν
ἐπίσκοπον ἀπετόλμησεν οὕτως εἰπεῖν· »τί μέμφῃ τοῖς περὶ Ἄρειον, εἰ λέγουσιν· ἐξ οὐκ
»ὄντων κτίσμα πεποίηται ὁ υἱὸς τοῦ θεοῦ καὶ ἓν τῶν πάντων | ἐστίν; ἐν ἑκατὸν γὰρ προ-
»βάτοις παραβαλλομένων πάντων τῶν πεποιημένων εἷς ἐστι καὶ ὁ υἱὸς ἐξ αὐτῶν. εἰ μὲν
»οὖν τὰ ἑκατὸν οὐκ ἔστι κτίσματα καὶ γενητὰ ἢ ἔνι πλέον τι τῶν ἑκατόν, δηλονότι μηδὲ

17 Ps. 109, 3 17/18 Joh. 8, 42 22f. Euseb v. Nikomedien, Narciss v. Neronias, Patrophilos v. Skythopolis, Maris v. Chalcedon, Paulin v. Trier (vgl. Urk. 9), Theodot v. Laodicea 25ff. = Urk. 2 (III 3). Datum: ca. 318 28f. Aus Urk. 3, 3 (III 5, 7—8 Note) 31ff. = Urk. 11 (III 18). Ich trage zu Bd. III nach, daß zu diesem Brief auch das Fragment in den sog. arianischen Fragmenten aus Bobbio gehört (Cod. Vat. lat. 5750 p. 275), vgl. Quantulacumque für Kirsopp Lake. London 1937. S. 51, ferner Bardy a. a. O. S. 207, der unabhängig von mir auf das Fragment verwies. Datum: ca. 322 vgl. ZNW 33 (1934) 148 32 Vgl. Lc. 15, 4. Vgl. unten c. 36 S. 263,21.

PKBO R

1 Ἱέραξ K 3 ταῦτα] τὰ τοιαῦτα K Hil. 7 ὧν] τῶν R | ἀγεννήτως B ἀγενήτως KPO R 10 γεννηθῆναι Comm. Montf. γεννηθῇ BKPOR 11 συναγέννητος K[c]P συναγένητος BK*OR 12 ἀγεννήτους P ἀγενήτους BKOR 12/13 ἀρχὰς εἰσηγούμενοι ἀγεννήτους ~ BKPO | ἀρχὴ + τῶν K Epiph. 14 καὶ[2] > K Epiph. 16 τοῦτο] τὸ B 22/23 Νάρκισον KPO 25 ἔγραψεν P ἔγραφεν BKOR | φρονεῖν οὕτως ~ K 26 τὸ[2] + δὲ B* (exp. B[c]) | τοῦ + γενέσθαι B* (exp. B[c])

»ὁ υἱὸς ἔστω κτίσμα καὶ εἷς τῶν πάντων. εἰ δὲ τὰ ἑκατὸν πάντα γενητὰ καὶ οὐδέν ἐστιν ἐκτὸς C
»τῶν ἑκατὸν πλὴν μόνου τοῦ θεοῦ, τί ἄτοπον λέγουσιν οἱ περὶ Ἄρειον, εἰ ἓν ἐν τοῖς ἑκατὸν
»περιλαβόντες καὶ ἀριθμοῦντες τὸν Χριστὸν ἕνα τῶν πάντων αὐτὸν εἰρήκασι«; Γεώργιος 5
δὲ ὁ νῦν ἐν Λαοδικείᾳ, πρεσβύτερος ὢν τότε τῆς Ἀλεξανδρείας καὶ ἐν Ἀντιοχείᾳ δια-
τρίβων, πρὸς μὲν Ἀλέξανδρον τὸν ἐπίσκοπον ἔγραφεν ὅτι· »μὴ μέμφου τοῖς περὶ Ἄρειον,
»εἰ λέγουσιν· ἦν ποτε, ὅτε οὐκ ἦν ὁ υἱὸς τοῦ θεοῦ. καὶ γὰρ ὁ Ἡσαίας υἱὸς γέγονεν Ἀμώς,
»καὶ ὅμως ὁ μὲν Ἀμὼς ἦν πρὸ τοῦ γενέσθαι τὸν Ἡσαίαν, ὁ δὲ Ἡσαίας οὐκ ἦν πρότερον,
»ἀλλὰ μετὰ ταῦτα γέγονε.« πρὸς δὲ τοὺς Ἀρειανοὺς ἔγραφε· »τί μέμφεσθε Ἀλεξάνδρῳ 6
»τῷ πάπᾳ λέγοντι ἐκ τοῦ πατρὸς τὸν υἱόν; καὶ γὰρ καὶ ὑμεῖς μὴ φοβηθῆτε εἰπεῖν καὶ ἐκ
»τοῦ θεοῦ τὸν υἱόν. εἰ γὰρ ὁ ἀπόστολος ἔγραψε· 'τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ', καὶ ἔστι δῆλον D
»ἐξ οὐκ ὄντων πεποιῆσθαι τὰ πάντα, ἔστι δὲ καὶ ὁ υἱὸς κτίσμα καὶ τῶν πεποιημένων εἷς. | λεχ- M 713 A
»θείη ἂν καὶ ὁ υἱὸς ἐκ τοῦ θεοῦ οὕτως, ὥσπερ καὶ τὰ πάντα λέγεται ἐκ τοῦ θεοῦ.« ἐξ 7
ἐκείνου γοῦν ἔμαθον οἱ τὰ Ἀρείου φρονοῦντες ὑποκρίνεσθαι τὴν λέξιν τὴν 'ἐκ τοῦ θεοῦ',
καὶ λέγειν μὲν τὴν λέξιν, μὴ φρονεῖν δὲ καλῶς. αὐτὸς δὲ ὁ Γεώργιος καθῃρέθη ὑπὸ Ἀλεξάν-
δρου καὶ δι' ἄλλα μέν, ὅτι δὲ καὶ ἀσεβὴς ἐφάνη· πρεσβύτερος γὰρ ἦν αὐτός, καθὰ προ-
είρηται.

Καὶ ὅλως ἔγραφον οὗτοι τοιαῦτα ὡς ἕκαστον ἐρίζειν καὶ φιλοτιμεῖσθαι, τίς πλέον 18, 1
αὐξήσει τὴν ἀσέβειαν τῆς αἱρέσεως καὶ μᾶλλον αὐτὴν δείξει γυμνότερον. καὶ ⸢τὰς μὲν
ἐπιστολὰς αὐτῶν οὐκ ἔσχον ἐν ἑτοίμῳ, ὥστε καὶ ἀποστεῖλαι, εἰ δ' οὖν, καὶ ἀντίγραφα καὶ
αὐτῶν ὑμῖν ἔπεμψα ἄν, τοῦ δὲ κυρίου θέλοντος, ἐὰν εὐπορήσω καὶ τοῦτο ποιήσω. καὶ 2
Ἀστέριος δέ τις ἀπὸ Καππαδοκίας, πολυκέφαλος σοφιστής, εἷς ὢν τῶν περὶ Εὐσέβιον, B
ἐπειδὴ θύσας ἐν τῷ προτέρῳ διωγμῷ τῷ κατὰ τὸν πάππον Κωνσταντίου οὐκ ἠδύνατο
παρ' αὐτῶν εἰς κλῆρον προαχθῆναι, ποιεῖ μετὰ γνώμης τῶν περὶ Εὐσέβιον συνταγμάτιον,
ὁποῖον μὲν ἤθελον αὐτοί, ἴσον δὲ τῷ τῆς θυσίας αὐτοῦ τολμήματι. ἐν γὰρ τούτῳ τὴν 3
ἀκρίδα καὶ τὴν κάμπην τῷ Χριστῷ συγκρίνας, μᾶλλον δὲ προτιμήσας αὐτοῦ, καὶ λέγων
ἄλλην εἶναι παρὰ τὸν Χριστὸν ἐν τῷ θεῷ σοφίαν τὴν τοῦ Χριστοῦ καὶ τοῦ κόσμου δημι-
ουργικὴν περιήρχετο τὰς ἐν τῇ Συρίᾳ καὶ τὰς ἄλλας ἐκκλησίας κατὰ σύστασιν τῶν περὶ
Εὐσέβιον, ἵνα ἅπαξ ἀρνεῖσθαι μελετήσας οὕτω καὶ νῦν θρασύνηται κατὰ τῆς ἀληθείας.
ἐπέβαινεν οὖν εἰς τοὺς μὴ ἐξὸν αὐτῷ τόπους ὁ πάντα τολμηρός, καὶ εἰς τὸν τῶν κληρικῶν C
τόπον | καθεζόμενος ἀνεγίνωσκε δημοσίᾳ τὸ συνταγμάτιον, καίτοι τῶν ἄλλων δυσανασχε- B 732
τούντων ἐπ' αὐτῷ. καὶ τὸ μὲν συνταγμάτιον διὰ πολλῶν ἐστι γεγραμμένον, μέρη δὲ 4

5 ff. = Urk. 12 (III 19). Datum: ca. 322. 6 Vgl. Jes. 1, 1 8 ff. = Urk. 13 (III 19). Datum: ca. 322 10 I. Cor. 11, 12 14 Zu Georg vgl. de fuga 26, 4 S. 86, 4 (Note) 19 f. Athan. ist also nicht in Alexandrien, wo er die Dokumente leicht erreichen konnte. Zum Ausdruck vgl. Dionys unten c. 44, 2 S. 269, 12 f. 20 ff. Die ausführlichste Nachricht über Asterius ist nur hier überliefert (Sokr. I 36, 2—3; Epiph. haer. 76, 3, 5 [III 343, 23] schreiben Athan. aus); selbständige Kenntnis des Schriftstellers A. hat Hieron. vir. ill. 94. Philost. II 14 (25, 15 ff.) zählt A. unter den Schülern des Lucian auf und hat Kunde von seinem Abfall in der großen Verfolgung. Vgl. vor allem Schwartz NGG 1911, 403[1] und Bardy a. a. O. S. 316 ff. 21 σοφιστής: vgl. Athan. de decr. 20, 2 S. 17, 4; or. III. c. Arian. 2 (Migne 26, 324 C) 22 θύσας: vgl. Athan. de decr. 8, 1 S. 7, 20; or. II. c. Arian. 24 (Migne 26, 200 A). Gemeint ist die Verfolgung unter Maximinian Herculius, vgl. hist. Arian. 64, 2 S. 218, 22 23 συνταγμάτιον: Schwerlich der Titel der Schrift, aus der Athan. die folgenden Zitate entnimmt, sondern eine ironisierende Kennzeichnung nicht so sehr des Umfanges (vgl. Z. 31) als des Inhaltes des Briefes, gegen den Marcell v. Ancyra polemisierte 25 Vgl. S. 246, 16 26 Vgl. S. 246, 3 f. 27 Über das Umherreisen des A. hat sich schon Marcell beschwert, Euseb c. Marc. I 4, 48 (28, 4)

BKPO R

6 ὁ² B > KPOR 14 καὶ R^c ὁ R* 18 δείξη R 19 δ'οὖν O^c γοῦν O* | καὶ² > R^c | καὶ³ > K 22 τῷ² > K | τὸν > K 28 ἀληθείας] εὐσεβείας K 29 τούς] οὓς K

αὐτοῦ ἐστι ταῦτα· »οὐ γὰρ εἶπεν ὁ μακάριος Παῦλος Χριστὸν κηρύσσειν τὴν ἰδίαν αὐτοῦ
»δύναμιν ἢ τὴν σοφίαν αὐτοῦ, τουτέστι τοῦ θεοῦ, ἀλλὰ δίχα τῆς προσθήκης ›δύναμιν
»θεοῦ καὶ θεοῦ σοφίαν‹, ἄλλην μὲν εἶναι τὴν ἰδίαν αὐτοῦ τοῦ θεοῦ δύναμιν, τὴν ἔμφυτον
»αὐτῷ καὶ συνυπάρχουσαν αὐτῷ ἀγενήτως κηρύσσων, γεννητικὴν μὲν οὖσαν, δηλονότι
5 »τοῦ Χριστοῦ, δημιουργικὴν δὲ τοῦ παντὸς κόσμου. περὶ ἧς ἐν τῇ πρὸς Ῥωμαίους
»ἐπιστολῇ διδάσκων ἔλεγε· ›τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νο-
D »ούμενα καθορᾶται ἥ τε ἀίδιος αὐτοῦ δύναμις καὶ θειότης‹. ὥσπερ γὰρ τὴν εἰρημένην ἐν-
»ταυθοῖ θεότητα οὐκ ἄν τις φαίη Χριστὸν εἶναι, ἀλλ' αὐτὸν ὑπάρχειν τὸν πατέρα, οὕτως,
»οἶμαι, καὶ ἡ ἀίδιος αὐτοῦ δύναμις οὐχ ὁ μονογενὴς θεός, ἀλλ' ὁ γεννήσας ὑπάρχει πατήρ.
M 716 A »ἄλλην δὲ δύναμιν καὶ σοφίαν διδάσκει θεοῦ τὴν διὰ τοῦ ¹ Χριστοῦ δεικνυμένην δηλονότι
6 »καὶ διὰ τῶν ἔργων αὐτῶν τῆς διακονίας αὐτοῦ γνωριζομένην«. καὶ πάλιν· »καίτοιγε ἡ
»μὲν ἀίδιος αὐτοῦ δύναμις καὶ σοφία, ἣν ἄναρχόν τε καὶ ἀγέννητον οἱ τῆς ἀληθείας ἀποφαί-
»νονται λογισμοί, μία ἂν εἴη δήπουθεν καὶ ἡ αὐτή, πολλαὶ δὲ αἱ καθ' ἕκαστον ὑπ' αὐτοῦ
»κτισθεῖσαι, ὧν πρωτότοκος καὶ μονογενὴς ὁ Χριστός· πᾶσαί γε μὴν ὁμοίως εἰς τὸν κεκτη-
»μένον ἀνήρτηνται καὶ πᾶσαι αἱ δυνάμεις αὐτοῦ τοῦ κτίσαντος καὶ χρωμένου καλοῦνται
7 »δικαίως. οἷον ὁ μὲν προφήτης ›τὴν ἀκρίδα‹ δίκην τῶν ἀνθρωπίνων ἁμαρτημάτων
»θεήλατον γινομένην οὐ ›δύναμιν‹ μόνον θεοῦ, ἀλλὰ καὶ ›μεγάλην‹ φησὶν ὑπ' αὐτοῦ προσ-
»αγορεύεσθαι τοῦ θεοῦ, ὁ δέ γε μακάριος Δαυὶδ ἐν πλείοσι τῶν ψαλμῶν οὐκ ἀγγέλοις μόνον,
»ἀλλὰ καὶ ›δυνάμεσιν‹ αἰνεῖν παρακελεύεται τὸν θεόν· καὶ πάσας γε ἐπὶ τὸν ὕμνον παρα-
»καλῶν καὶ τὸ πλῆθος παρίστησι καὶ ›λειτουργοὺς θεοῦ‹ καλεῖν οὐ παραιτεῖται καὶ ›ποιεῖν
»αὐτοῦ τὸ θέλημα‹ διδάσκει«.

19,1 Τοιαῦτα τολμήσας κατὰ τοῦ σωτῆρος οὐκ ἠρκέσθη, ἀλλὰ καὶ πλέον ἐπεκτείνει τὰς
B βλασφημίας αὐτοῦ λέγων ὅτι εἷς τῶν πάντων ἐστὶν ὁ υἱός· »πρῶτον γάρ ἐστι τῶν γενη-
τῶν καὶ εἷς τῶν νοητῶν φύσεών ἐστι, καὶ ὥσπερ ἥλιος ἐν τοῖς βλεπομένοις εἷς μὲν ἔστι τῶν
φαινομένων, λάμπει δὲ παντὶ τῷ κόσμῳ κατὰ πρόσταξιν τοῦ πεποιηκότος, οὕτως ὁ υἱὸς
εἷς ὢν τῶν νοητῶν φύσεων φωτίζει καὶ λάμπει καὶ αὐτὸς πᾶσι τοῖς ἐν τῷ νοητῷ κόσμῳ«.
2 πάλιν τέ φησιν· 'ἦν ποτε, ὅτε οὐκ ἦν' οὕτω γράφων· »καὶ πρὶν τῆς γενέσεως τοῦ υἱοῦ
ὁ πατὴρ προυπάρχουσαν εἶχε τὴν τοῦ γεννᾶν ἐπιστήμην, ἐπεὶ καὶ ἰατρὸς πρὸ τοῦ ἰατρεύειν
3 εἶχε τὴν τοῦ ἰατρεύειν ἐπιστήμην«. καὶ πάλιν φησίν· »εὐεργετικῇ φιλοτιμίᾳ ἐκτίσθη
C ὁ υἱός, καὶ περιουσίᾳ δυνάμεως ἐποίησεν αὐτὸν ὁ πατήρ« καὶ πάλιν· »εἰ τὸ θέλειν τοῦ θεοῦ
B 733 διὰ πάντων ἐφεξῆς τῶν ποιημάτων διελήλυθε, δηλονότι καὶ ὁ υἱὸς ποίημα ¹ ὢν βουλήσει
γέγονε καὶ πεποίηται.« ταῦτα δὲ 'Αστέριος ἔγραφε μόνος, οἱ δὲ περὶ Εὐσέβιον ἐφρόνουν
αὐτὰ κοινῇ μετ' αὐτοῦ.

1—10 δεικνυμένην = Athan. or. II. c. Arian. 37 (Migne 26, 225 B)   1—4 κηρύσσων = Athan. or. I. c. Arian. 32 (Migne 26, 77 A) — Die Ausführungen des Asterius sind in ihrer entschlossenen Gedankenführung einzigartig, als Parallele ist nur Urk. 8 (III 16, 1 ff.) anzuführen. Allerdings sind derartige Gedankengänge zur Zeit der Abfassung von de synodis durch Eunomius u. Aetius wieder aufgenommen worden, ohne daß sich gerade für die Verwertung der Sätze des A. Belege finden lassen   1 I. Cor. 1, 24   6 Rm. 1, 20   10 Gemeint ist: die andere Kraft Gottes repräsentiert der Logos als Helfer des Vaters, vgl. de decr. 8, 1 S. 7, 18 ff.   11—13 αὐτή = Athan. or. I. c. Arian. 32 (Migne 26, 77 B)   11—19 θεόν = Athan. or. II. c. Arian. 37 (Migne 26, 225 C)   11 ff. Mit einigen Zusätzen sonst geläufiger arianischer Begriffe bei Athan. or. I. c. Arian. 5 (Migne 26, 21 B/C)   16 Joel 2, 25. Auf diese Stelle spielt Severus v. Antiochien in einer ungedruckten Homilie an, s. Bardy S. 336 Anm. 96   18 ff. Ps. 102, 21   28 Philost. II 15 (25, 23) überliefert von Theognis v. Nicäa: τὸν θεὸν καὶ πρὸ τοῦ γεννῆσαι τὸν υἱὸν πατέρα οἴεται (sc. Theognis), ἅτε δὴ τὴν δύναμιν ἔχοντα τοῦ γεννῆσαι

BKPO R

---

12 ἀγέννητον KPR ἀγένητον BO   15 ἀνήρτηται P | αἱ > R   26 τῶν νοητῶν φύσεων ὢν ~ K   27 γεννήσεως K   28 τοῦ ἰατρεύειν B τῶν θεραπευομένων KPOR

Ταῦτά ἐστιν ὑπὲρ ὧν ἀγωνίζονται, διὰ ταῦτα μάχονται πρὸς τὴν ἀρχαίαν σύνοδον, 20, 1
ὅτι μὴ τὰ ὅμοια αὐτῶν ἔγραψαν οἱ συνελθόντες ἐν αὐτῇ, ἀλλὰ μᾶλλον ἀνεθεμάτισαν τὴν
ἀρειανὴν αἵρεσιν, ἣν ἐσπούδαζον οὗτοι συστῆσαι. διὰ τοῦτο καὶ Ἀστέριον τὸν θύσαντα,
σοφιστὴν ὄντα, συνήγορον τῆς ἀσεβείας ἑαυτῶν προὐβάλλοντο, ἵνα μὴ φείδηται μήτε κατὰ
τοῦ κυρίου φθέγγεσθαι μήτε τοὺς ἀκεραίους τῇ πιθανολογίᾳ πλανᾶν. καὶ ἠγνόησάν γε 2
οἱ ἀμαθεῖς ὅτι καθ' ἑαυτῶν εἰργάζοντο τοῦτο. ἡ γὰρ δυσωδία τῆς εἰς τὰ εἴδωλα θυσίας τοῦ D
συνηγόρου ἔτι πλέον τὴν αἵρεσιν Χριστομάχον ἐδείκνυε. διὰ τοῦτο καὶ νῦν πάντα κινοῦσι
καὶ θορυβοῦσι νομίζοντες ὅτι, κἂν πλείονας | ἀποκτείνωσι καὶ συνόδους κατὰ μῆνα συγ- M 717 A
κροτήσωσι, παύσεταί ποτε ἡ κατὰ τῆς ἀρειανῆς αἱρέσεως ἀπόφασις. ἐοίκασι δὲ πάλιν 3
ἀγνοεῖν ἢ εἰδέναι μέν, ἀποπροσποιεῖσθαι δέ, ὅτι καὶ πρὸ τῆς Νικαίας ἡ αἵρεσις ἦν βδελυκτή,
ὅτε ταύτην Ἀρτεμᾶς κατεβάλλετο καὶ πρὸ αὐτοῦ τὸ τοῦ Καιάφα καὶ τὸ τῶν τότε Φαρι-
σαίων συνέδριον. καὶ ἀεὶ δὲ τὸ χριστομάχον ἐργαστήριον βδελυκτόν ἐστι, καὶ οὐ παύ- 4
σεται τοῦ εἶναι μισητὸν ἐρασμίου ὄντος τοῦ κυριακοῦ ὀνόματος καὶ καμπτούσης πάσης
τῆς κτίσεως τὰ γόνατα καὶ ἐξομολογουμένης »ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ
πατρός«.

Πλὴν ὅτι συνόδους συνεχεῖς κατὰ τῆς οἰκουμενικῆς ποιοῦντες οὐδέπω κεκμήκασι. 21, 1
μετὰ γὰρ τὴν ἐν Νικαίᾳ σύνοδον οἱ περὶ Εὐσέβιον καθῃρέθησαν. ἀλλὰ μετὰ χρόνον ἐπι- B
βάντες ἀναισχύντως ταῖς ἐκκλησίαις ἤρξαντο τοῖς μὲν ἀντιλέγουσιν αὐτοῖς ἐπισκόποις
ἐπιβουλεύειν, ἀντὶ δὲ τούτων τοὺς τῆς αἱρέσεως ἑαυτῶν καθιστάνειν εἰς τὰς ἐκκλησίας,
ἵν' ὅτε βούλονται ποιήσωσι τὰς συνόδους ἔχοντες τοὺς συντρέχοντας αὐτοῖς, οὓς ἐπίτηδες
εἰς αὐτὸ τοῦτο προεχειρίσαντο. συνέρχονται τοίνυν ἐν Ἱερουσαλὴμ καὶ γράφουσι ταῦτα· | B 734

Ἡ ἁγία σύνοδος ἡ ἐν Ἱεροσολύμοις θεοῦ χάριτι συναχθεῖσα τῇ ἐκκλησίᾳ τοῦ 2
θεοῦ τῇ ἐν Ἀλεξανδρείᾳ καὶ τοῖς κατὰ πᾶσαν τὴν Αἴγυπτον καὶ Θηβαΐδα καὶ Λιβύην καὶ
Πεντάπολιν καὶ τοῖς κατὰ τὴν οἰκουμένην ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις ἐν
κυρίῳ χαίρειν. C

Πᾶσι μὲν ἡμῖν τοῖς ἐπὶ τὸ αὐτὸ συνελθοῦσιν ἐξ ἐπαρχιῶν διαφόρων πρὸς τῇ μεγάλῃ 3
πανηγύρει, ἣν ἐπὶ τῇ ἀφιερώσει τοῦ σωτηρίου μαρτυρίου σπουδῇ τοῦ θεοφιλεστάτου βασι-
λέως Κωνσταντίνου τῷ πάντων βασιλεῖ θεῷ καὶ τῷ Χριστῷ αὐτοῦ κατασκευασθέντος
ἐπετελέσαμεν, πλείονα θυμηδίαν ἡ τοῦ Χριστοῦ χάρις παρέσχεν, ἣν ἐποίησεν αὐτός τε
ὁ θεοφιλέστατος βασιλεὺς διὰ γραμμάτων οἰκείων τοῦθ', ὅπερ ἐχρῆν, παρορμήσας πάντα
μὲν ἐξορίσαι τῆς ἐκκλησίας τοῦ θεοῦ φθόνον καὶ πᾶσαν μακρὰν ἀπελάσαι βασκανίαν, δι' ἧς
τὰ τοῦ Χριστοῦ μέλη πάλαι πρότερον διειστήκει, ἡπλωμένῃ δὲ καὶ εἰρηναίᾳ ψυχῇ δέξασθαι

1 ff. Aus dem Folgenden scheint hervorzugehen, daß die vorher zitierten Sätze des Arius und seiner Gesinnungsgenossen noch um 359/60 von Aetius und Eunomius, in denen Ath. die Gruppe um Akakios treffen will, als Väterbeweis angezogen worden sind. Es ist damit zu rechnen, daß Athan. überhaupt die Zitate aus den Schriften der Arianer entnommen hat (Bardy hat solche Überlegungen nicht angestellt) 14 f. Phil. 2, 11 17 Vgl. De decr. 41 (S. 43 ff.) bzw. Urk. 27 (III 58), für die Wiederaufnahme: Urk. 31 (III 65), vgl. ZNW 33 (1934) 155 19 Vgl. apol. sec. 59, 4 (S. 139, 18 ff.) 22 Schreiben der Synode in Jerusalem 335 (= Urk. 70), Ath. gibt apol. sec. 84, 2—4 (S. 162, 28 ff.) ein Fragment aus dem Anfang des Briefes. Kurze Notiz über den Brief nach Athan. apol. sec. bei Sokr. I 33, 1 und Sozom. II 27, 14. Vgl. Rufin h. e. X 12 (977, 21 ff.). Zum Datum vgl. S. 162, 25 Note 27 Gemeint ist die Einweihung der Auferstehungskirche. 30 Von dem Briefe Konstantins ist nichts erhalten

BKPO R 22— S. 248, 5 ὀρθοδοξίαν = Athan. apol. secunda 84, 2—4 (S. 162, 28 ff. = apol.)

4 αὐτῶν B | προεβάλοντο K 7 ἐδείκνυε + καὶ P 8/9 συγκροτήσουσι R 11 κατεβάλετο K τὸ² > K 19 αὐτῶν B 21 ἐν + τῇ R 22 a. Rd. κβ P 23 τοῖς] ταῖς R | Λιβύην καὶ Θηβαΐδα ~ P 27 τῇ > apol. (B) 29 Χριστοῦ] θεοῦ apol. | παρέσχεν > apol. | ἣν ἐποίησεν] ἐνεποίησεν apol. 31 ἐξορίσαι Op. ἐξορίσας BKPOR apol. | ἀπελάσαι Op. ἀπελάσας BKPOR apol. 32 πάλαι > apol. (BO)

D τοὺς περὶ Ἄρειον, οὓς πρός τινα καιρὸν ὁ μισόκαλος φθόνος ἔξω γενέσθαι τῆς ἐκκλησίας
4 εἰργάσατο. ἐμαρτύρει δὲ τοῖς ἀνδράσιν ὁ θεοφιλέστατος βασιλεὺς διὰ τῆς ἐπιστολῆς πί-
στεως ὀρθοτομίαν, ἣν παρ' αὐτῶν πυθόμενος αὐτός τε δι' ἑαυτοῦ παρὰ ζώσης φωνῆς αὐτῶν
M 720 A ἀκούσας ἀπεδέξατο ἡμῖν τε φανερὰν κατεστήσατο, ὑποτάξας τοῖς ἑαυτοῦ | γράμμασιν
ἔγγραφον τὴν τῶν ἀνδρῶν ὀρθοδοξίαν, ἣν ἐπέγνωμεν οἱ πάντες ὑγιῆ τε οὖσαν καὶ ἐκκλη-
5 σιαστικήν. καὶ εἰκότως παρεκάλει τοὺς ἄνδρας ὑποδεχθῆναι καὶ ἑνωθῆναι τῇ ἐκκλησίᾳ
τοῦ θεοῦ, ὥσπερ οὖν καὶ αὐτοὶ ἐκ τῶν ἰσοτύπων εἴσεσθε τῆς αὐτῆς ἐπιστολῆς, ἧς πρὸς
6 τὴν ὑμετέραν εὐλάβειαν διεπεμψάμεθα. πιστεύομεν ὅτι καὶ ὑμῖν αὐτοῖς, ὡς ἂν τὰ οἰκεῖα
μέλη τοῦ ὑμετέρου σώματος ἀπολαμβάνουσι, μεγάλη χαρὰ καὶ εὐφροσύνη γενήσεται τὰ
ἑαυτῶν σπλάγχνα καὶ τοὺς ἑαυτῶν ἀδελφούς τε καὶ πατέρας γνωρίζουσί τε καὶ ἀπολαμ-
βάνουσιν, οὐ μόνον τῶν πρεσβυτέρων τῶν περὶ Ἄρειον ἀποδοθέντων ὑμῖν, ἀλλὰ καὶ παν-
τὸς τοῦ λαοῦ καὶ τῆς πληθύος ἁπάσης, ἣ προφάσει τῶν εἰρημένων ἀνδρῶν μακρῷ χρόνῳ
7 παρ' ὑμῖν διειστήκει. καὶ πρέπει γε ἀληθῶς γνόντας ὑμᾶς τὰ πεπραγμένα, καὶ ὡς
B ἐκοινώνησαν οἱ ἄνδρες παρεδέχθησάν τε ὑπὸ τῆς τοσαύτης ἁγίας συνόδου, προθυμότατα
καὶ αὐτοὺς ἀσπάσασθαι τὴν πρὸς τὰ οἰκεῖα μέλη συνάφειάν τε καὶ εἰρήνην, ὅτι μάλιστα τὰ
τῆς ἐκτεθείσης ὑπ' αὐτῶν πίστεως ἀναμφήριστον σώζει τὴν παρὰ τοῖς πᾶσιν ὁμολογουμένην
ἀποστολικὴν παράδοσίν τε καὶ διδασκαλίαν.

22, 1 | Αὕτη τῶν συνόδων αὐτῶν ἡ ἀρχὴ γέγονεν, ἐν ᾗ καὶ τὴν προαίρεσιν ἑαυτῶν ταχέως
B 735 ἐξήγγειλαν καὶ οὐκ ἠδυνήθησαν κρύψαι. εἰρηκότες γὰρ ἐξηλᾶσθαι πάντα φθόνον καὶ
μετὰ τὸ ἐξορισθῆναι τὸν ἐπίσκοπον τῆς Ἀλεξανδρείας Ἀθανάσιον γράφοντες δεῖν δεχθῆναι
Ἄρειον καὶ τοὺς σὺν αὐτῷ ἔδειξαν ὅτι διὰ τοῦτο αὐτῷ τε τῷ Ἀθανασίῳ ἐπεβούλευον καὶ
C τοῖς ἄλλοις πᾶσιν ἐπισκόποις τοῖς ἀντιλέγουσιν αὐτοῖς ἐπεβούλευσαν ὑπὲρ τοῦ τοὺς περὶ
2 Ἄρειον δέξασθαι καὶ τὴν αἵρεσιν εἰς τὴν ἐκκλησίαν εἰσαγαγεῖν. καὶ εἰ καὶ πᾶσαν τὴν
Ἀρείου κακοφροσύνην ἐπῄνεσαν ἐν ταύτῃ καὶ εἰς κοινωνίαν προσέταξαν αὐτοὺς δεχθῆναι,
αὐτοὶ πρότερον τοῦτο ποιήσαντες, ὅμως ἡγούμενοι λείπειν αὐτοῖς ἔτι πρὸς ὃ βούλονται
συγκροτοῦσιν ἐν Ἀντιοχείᾳ σύνοδον προφάσει τῶν λεγομένων Ἐγκαινίων. καὶ ἐπειδὴ
ἀεὶ ὑπὸ πάντων κατηγοροῦντο περὶ τῆς αἱρέσεως γράφουσι διαφόρως τὰ μὲν οὕτως, τὰ
δὲ ἐκείνως. καὶ τὰ μὲν ἐν μιᾷ ἐπιστολῇ γραφέντα παρ' αὐτῶν ἐστι ταῦτα·

3 Ἡμεῖς οὔτε ἀκόλουθοι Ἀρείου γεγόναμεν· πῶς γὰρ ἐπίσκοποι ὄντες ἀκολουθοῦμεν
D πρεσβυτέρῳ; οὔτε ἄλλην τινὰ πίστιν παρὰ τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν ἐδεξάμεθα.
M 721 A 4 ἀλλὰ καὶ αὐτοὶ ἐξετασταὶ καὶ δοκιμασταὶ τῆς πίστεως αὐτοῦ γενόμενοι | μᾶλλον αὐτὸν
5 προσηκάμεθα ἤπερ ἠκολουθήσαμεν· γνώσεσθε δὲ ἀπὸ τῶν λεγομένων. μεμαθήκαμεν
γὰρ ἐξ ἀρχῆς εἰς ἕνα θεὸν τὸν τῶν ὅλων θεὸν πιστεύειν, τὸν πάντων νοητῶν τε καὶ αἰσθη-

1 Nach Z. 11. 14. 15. 16 kann hier οἱ περὶ Ἄρειον, nicht 'Arius', sondern, wie aus Z. 11 πρεσβύτεροι τῶν περὶ Ἄρειον hervorgeht, nur 'die Genossen des Arius' bedeuten. Sie dürfen nach Alexandrien zurückkehren, da Athan. entfernt ist (vgl. S. 164, 12 Note, S. 166, 7 Note). Arius ist wohl schon tot, vgl. S. 178, 16 Note, anders Schwartz NGG 1911, 421. Das Urteil über Nicäa fällt auf 3 Urk. 34, 42 (III 74, 32) zufolge ist Arius 333 an den Hof bestellt; dort hat er mit seinen Genossen ein Symbol eingereicht, das dann für die Jerusalemer Synode Anlaß war, ihre Rechtgläubigkeit zu bescheinigen und die Wiederaufnahme zu beschließen, vgl. S. 179, 1. 26 Vgl. S. 250, 22 Note 29 Der Brief (= Urk. 86) ist das Schreiben der Synode von Antiochien 341 an Julius v. Rom. Aus Athan. hat ihn Sokr. II 10, 4—8 übernommen; Sozom. III 5, 5 nur Regest

BKPO R

3 αὐτῶν > apol. (BO) 4 φανερὸν P 8 ὑμῖν] ἡμῖν καὶ R 9 ἀπολαμβάνωσι B 11 μόνων R 18 ἡ B > KPOR 21 τῷ > BKPO 23 καὶ εἰ καὶ R[c] καὶ εἰς R* 29 a. Rd. B̄ R

τῶν δημιουργόν τε καὶ προνοητήν, καὶ εἰς ἕνα υἱὸν τοῦ θεοῦ μονογενῆ, πρὸ πάντων 6
αἰώνων ὑπάρχοντα καὶ συνόντα τῷ γεγεννηκότι αὐτὸν πατρί, δι' οὗ καὶ τὰ πάντα ἐγένετο,
τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, τὸν καὶ ἐπ' ἐσχάτων ἡμερῶν κατ' εὐδοκίαν τοῦ πατρὸς κατελ-
θόντα καὶ σάρκα ἐκ τῆς παρθένου ἀνειληφότα καὶ πᾶσαν τὴν πατρικὴν αὐτοῦ βούλησιν
συνεκπεπληρωκότα, πεπονθέναι καὶ ἐγηγέρθαι καὶ εἰς οὐρανοὺς ἀνεληλυθέναι καὶ ἐν δεξιᾷ
τοῦ πατρὸς καθέζεσθαι καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς, καὶ διαμένοντα
βασιλέα καὶ θεὸν εἰς τοὺς αἰῶνας. πιστεύομεν δὲ καὶ εἰς τὸ ἅγιον πνεῦμα· εἰ δὲ δεῖ 7
προσθεῖναι πιστεύομεν καὶ περὶ σαρκὸς ἀναστάσεως καὶ ζωῆς αἰωνίου. B

Ἃ δὲ καὶ ἐν ἑτέρᾳ ἐπιστολῇ δεύτερον ἐν τοῖς αὐτοῖς Ἐγκαινίοις ἐκτίθενται μετα- 23, 1
γνόντες μὲν ἐπὶ τοῖς προτέροις, ἐπινοήσαντες δὲ καινότερά τινα καὶ πλείονα ἔστι ταῦτα·

Πιστεύομεν ἀκολούθως τῇ εὐαγγελικῇ καὶ ἀποστολικῇ παραδόσει εἰς ἕνα θεὸν πα- 2
τέρα παντοκράτορα, τὸν τῶν ὅλων δημιουργόν τε καὶ ποιητὴν καὶ προνοητήν, ἐξ | οὗ τὰ B 736
πάντα· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν, τὸν υἱὸν αὐτοῦ, τὸν μονογενῆ θεόν, δι' οὗ 3
τὰ πάντα, τὸν γεννηθέντα πρὸ τῶν αἰώνων ἐκ τοῦ πατρός, θεὸν ἐκ θεοῦ, ὅλον ἐξ ὅλου,
μόνον ἐκ μόνου, τέλειον ἐκ τελείου, βασιλέα ἐκ βασιλέως, κύριον ἀπὸ κυρίου, λόγον ζῶντα, C
σοφίαν ζῶσαν, φῶς ἀληθινόν, ὁδόν, ἀλήθειαν, ἀνάστασιν, ποιμένα, θύραν, ἄτρεπτόν τε
καὶ ἀναλλοίωτον, τῆς θεότητος οὐσίας τε καὶ βουλῆς καὶ δυνάμεως καὶ δόξης τοῦ πατρὸς
ἀπαράλλακτον εἰκόνα, τὸν πρωτότοκον πάσης κτίσεως, τὸν ὄντα ἐν ἀρχῇ πρὸς τὸν θεόν,
λόγον θεὸν κατὰ τὸ εἰρημένον ἐν τῷ εὐαγγελίῳ· »καὶ θεὸς ἦν ὁ λόγος«, δι' οὗ τὰ 4
πάντα ἐγένετο, καὶ ἐν ᾧ τὰ πάντα συνέστηκε, τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθόντα
ἄνωθεν καὶ γεννηθέντα ἐκ παρθένου κατὰ τὰς γραφὰς καὶ ἄνθρωπον γενόμενον, μεσίτην
θεοῦ καὶ ἀνθρώπων ἀπόστολόν τε τῆς πίστεως ἡμῶν καὶ ἀρχηγὸν τῆς ζωῆς, ὥς φησιν
ὅτι »καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ
| πέμψαντός με«, τὸν παθόντα ὑπὲρ ἡμῶν καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθόντα M 724 A
εἰς οὐρανούς, καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ πατρὸς καὶ πάλιν ἐρχόμενον μετὰ δόξης καὶ δυνά-
μεως κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ εἰς παράκλησιν καὶ 5
ἁγιασμὸν καὶ τελείωσιν τοῖς πιστεύουσι διδόμενον, καθὼς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς
Χριστὸς διετάξατο τοῖς μαθηταῖς λέγων »πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτί-
ζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος«, δηλονότι 6
πατρός, ἀληθῶς πατρὸς ὄντος, υἱοῦ δὲ ἀληθῶς υἱοῦ ὄντος, τοῦ δὲ ἁγίου πνεύματος ἀληθῶς
ἁγίου πνεύματος ὄντος, τῶν ὀνομάτων οὐχ ἁπλῶς οὐδὲ ἀργῶς κειμένων, ἀλλὰ σημαινόν-
των ἀκριβῶς τὴν οἰκείαν ἑκάστου τῶν ὀνομαζομένων ὑπόστασίν τε καὶ τάξιν καὶ δόξαν, B
ὡς εἶναι τῇ μὲν ὑποστάσει τρία, τῇ δὲ συμφωνίᾳ ἕν. ταύτην οὖν ἔχοντες τὴν πίστιν 7
καὶ ἐξ ἀρχῆς καὶ μέχρι τέλους ἔχοντες ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ πᾶσαν αἱρετικὴν
κακοδοξίαν ἀναθεματίζομεν. καὶ εἴ τις παρὰ τὴν ὑγιῆ τῶν γραφῶν [ὀρθὴν] πίστιν 8
διδάσκει λέγων ἢ χρόνον ἢ καιρὸν ἢ αἰῶνα ἢ εἶναι ἢ γεγονέναι πρὸ τοῦ γεννηθῆναι τὸν
υἱόν, ἀνάθεμα ἔστω. καὶ εἴ τις λέγει τὸν υἱὸν κτίσμα ὡς ἓν τῶν κτισμάτων ἢ γέννημα 9
ὡς ἓν τῶν γεννημάτων ἢ ποίημα ὡς ἓν τῶν ποιημάτων καὶ μὴ ὡς αἱ θεῖαι γραφαὶ παραδέ-

11 Das Symbol der Synode (= Urk. 87) ist nach Athan. bei Sokr. II 10, 10—18 überliefert, dem nach 10, 19 die Unterschriften wohl nach Sabinus vorlagen. Hilarius de syn. 29—30 (II 478 Maffei) gibt eine latein. Übersetzung; Sozom. III 5, 7ff. bietet ein von Athan. unabhängiges Regest 19 Joh. 1, 1 23 Joh. 6, 38 28 Mt. 28, 19

BKPO R

11 a. Rd. Γ´ R 14 πάντα + (13) καὶ — (14) πάντα R 15 ἀπὸ] ἐκ B 18 πάσης + τῆς BP 19 θεὸν λόγον ∼ B 25 εἰς + τοὺς K 32 ἑκάστῳ B 35 [ὀρθὴν] Op. ὀρθὴν Ath. Sokr. et rectam Hil. 37 ἢ —38 ποιημάτων > B

δωκαν τῶν προειρημένων ἕκαστον [ἀφ' ἑκάστου], ἢ εἴ τι ἄλλο διδάσκει ἢ εὐαγγελίζεται, παρ' ὃ παρελάβομεν, ἀνάθεμα ἔστω. ἡμεῖς γὰρ πᾶσι τοῖς ἐκ τῶν θείων γραφῶν παρα-
B 737 δεδομένοις ὑπό τε προφητῶν καὶ ' ἀποστόλων ἀληθινῶς τε καὶ ἐμφόβως καὶ πιστεύομεν καὶ ἀκολουθοῦμεν.

24, 1 Καὶ Θεοφρόνιος δέ τις ἐπίσκοπος Τυάνων συνθεὶς καὶ αὐτὸς ἐξέθετο τὴν πίστιν ταύτην
C ἔμπροσθεν τῶν πάντων, ᾗ καὶ πάντες ὑπέγραψαν ἀποδεξάμενοι τὴν τοῦ ἀνθρώπου πίστιν·

2 Οἶδεν ὁ θεός, ὃν μάρτυρα καλῶ ἐπὶ τὴν ἐμὴν ψυχήν, ὅτι οὕτως πιστεύω· εἰς θεὸν
3 πατέρα παντοκράτορα, τὸν τῶν ὅλων κτίστην καὶ ποιητήν, ἐξ οὗ τὰ πάντα, καὶ εἰς τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, θεόν, λόγον, δύναμιν καὶ σοφίαν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, δι' οὗ τὰ πάντα, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς πρὸ τῶν αἰώνων, θεὸν τέλειον ἐκ θεοῦ τελείου καὶ ὄντα πρὸς τὸν θεὸν ἐν ὑποστάσει, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν κατελθόντα καὶ γεννηθέντα ἐκ τῆς παρθένου κατὰ τὰς γραφάς, ἐνανθρωπήσαντα, παθόντα καὶ
D ἀναστάντα ἀπὸ τῶν νεκρῶν καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεσθέντα ἐκ δεξιῶν
M 725 A τοῦ πατρὸς αὐτοῦ καὶ πάλιν ἐρχόμενον μετὰ δόξης καὶ δυνάμεως κρῖναι ζῶντας ' καὶ
4 νεκροὺς καὶ μένοντα εἰς τοὺς αἰῶνας. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸν παράκλητον, »τὸ πνεῦμα τῆς ἀληθείας«, ὃ καὶ διὰ τοῦ προφήτου ἐπηγγείλατο ὁ θεὸς ἐκχέειν ἐπὶ τοὺς ἑαυτοῦ δούλους καὶ ὁ κύριος ἐπηγγείλατο πέμψαι τοῖς ἑαυτοῦ μαθηταῖς, ὃ καὶ ἔπεμψεν,
5 ὡς αἱ Πράξεις τῶν Ἀποστόλων μαρτυροῦσιν. εἰ δέ τις παρὰ ταύτην τὴν πίστιν διδάσκει ἢ ἔχει ἐν ἑαυτῷ, ἀνάθεμα ἔστω. καὶ ⟨κατὰ⟩ Μαρκέλλου τοῦ Ἀγκύρας ἢ Σαβελλίου ἢ Παύλου τοῦ Σαμοσατέως· ἀνάθεμα ἔστω καὶ αὐτὸς καὶ πάντες οἱ κοινωνοῦντες αὐτῷ.

25, 1 Ἦσαν δὲ οἱ συνελθόντες ἐν τοῖς Ἐγκαινίοις ἐπίσκοποι ἐνενήκοντα, ὑπατείᾳ Μαρκελλίνου καὶ Προβίνου, ἰνδικτιῶνος ιδ', ἐκεῖ ὄντος Κωνσταντίου τοῦ ἀσεβεστάτου. ταῦτα
B πράξαντες ἐν Ἀντιοχείᾳ τοῖς Ἐγκαινίοις, νομίσαντες δὲ μὴ τελείως γεγραφέναι, ῥεμβομένην δὲ τὴν διάνοιαν ἔχοντες αὖθις πάλιν συντιθέασιν ἄλλο γράμμα δῆθεν περὶ πίστεως μετὰ μῆνας ὀλίγους, καὶ ἀποστέλλουσιν εἰς τὰς Γαλλίας Νάρκισσον, Μάριν, Θεόδωρον καὶ Μάρκον. κἀκεῖνοι ὡς ἀπὸ συνόδου πεμφθέντες ἐπιδεδώκασι τῷ τῆς μακαρίας μνήμης Κώνσταντι τῷ Αὐγούστῳ καὶ τοῖς ἐκεῖ πᾶσι ταῦτα·

---

5 Theophronius v. Tyana ist sonst unbekannt. Er muß nach seiner Ekthesis Anhänger der Lehre des Marcell v. Ancyra gewesen sein, Schwartz NGG 1911, 508f. 8 Das Symbol (= Urk. 88) ist nur hier erhalten 11f. Asterius bei Marcell (Euseb c. Marc. I 4, 33; 25, 6): ὁ πατὴρ ὁ γεννήσας ἐξ αὐτοῦ ... τέλειος τέλειον 12 Zu ἐν ὑποστάσει: Euseb eccl. theol. I 10, 4 (69, 5f.): Marcell δέει τοῦ μὴ δύο θεοὺς εἰπεῖν τὴν ἄρνησιν τοῦ υἱοῦ προυβάλλετο (daher hier: θεὸν τέλειον ἐκ θεοῦ τελείου) τὴν ὑπόστασιν ἀθετῶν αὐτοῦ, vgl. ebenda II 12, 3ff. (115, 1ff.) 16f. Joh. 15, 26 17f. Vgl. Joel 2, 28 18 Vgl. Act. 2, 3 20f. Vgl. Euseb eccl. theol. III 6, 4 (164, 23ff.) 22f. Die Synode fand nach dem hier überlieferten Datum im Jahre 341 statt (vgl. Schwartz NGG 1911, 504[1]). Nach dem arianischen Historiographen (d. i. Philost.) erfolgte die Kirchweihe am 6. Januar (Philost. S. 212, 21 Bidez), wie Eltester ZNW 36 (1937) 254ff. bewiesen hat. Das paßt zu apol. sec. 25, 3 (S. 106, 12). 26 μετὰ μῆνας ὀλίγους, d. h. doch im Laufe des Jahres 341, ging eine Abordnung zu Konstans nach Trier, vgl. apol. ad Const. 4 S. 281, 26; Schwartz NGG 1911, 513 26 Narciss v. Neronias, Maris v. Chalcedon, Theodor v. Heraclea, Marcus v. Arethusa

---

BKPO R

---

1 ἕκαστον Ath. ἕκαστα Sokr. Hil. | [ἀφ' ἑκάστου] Op. > Sokr. Hil. 3 ὑπό] ἀπό K 4 ἀκολουθῶμεν R 8 a. Rd. Δ́ R 11 τῶν > K 20 ⟨κατὰ⟩ Op. 26 Νάρκισον KPO

Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, κτίστην καὶ ποιητὴν τῶν πάντων, 2
»ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται«. καὶ εἰς τὸν μονογενῆ αὐτοῦ 3
υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς γεννη-
θέντα, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, δι' οὗ ἐγένετο τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς C
γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, λόγον ὄντα καὶ σοφίαν καὶ δύναμιν καὶ ζωὴν καὶ φῶς ἀλη-
θινόν, τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα καὶ γεννηθέντα ἐκ τῆς ἁγίας
παρθένου, τὸν σταυρωθέντα | καὶ ἀποθανόντα καὶ ταφέντα καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ B 738
τρίτῃ ἡμέρᾳ καὶ ἀναληφθέντα εἰς οὐρανὸν καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ πατρὸς καὶ ἐρχόμενον
ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα
αὐτοῦ, οὗ ἡ βασιλεία ἀκατάλυτος οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας· ἔσται γὰρ καθεζό-
μενος ἐν δεξιᾷ τοῦ πατρὸς οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. καὶ εἰς 4
τὸ ἅγιον πνεῦμα, τουτέστι τὸν παράκλητον, ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις μετὰ 5
τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον ἀπέστειλε διδάξαι αὐτοὺς καὶ ὑπομνῆσαι πάντα, δι' οὗ καὶ
ἁγιασθήσονται αἱ τῶν εἰλικρινῶς | εἰς αὐτὸν πεπιστευκότων ψυχαί. τοὺς δὲ λέγοντας M 728 A
ἐξ οὐκ ὄντων τὸν υἱὸν ἢ ἐξ ἑτέρας ὑποστάσεως καὶ μὴ ἐκ τοῦ θεοῦ καὶ 'ἦν ποτε χρόνος
ὅτε οὐκ ἦν' ἀλλοτρίους οἶδεν ἡ καθολικὴ ἐκκλησία.

Ἐπὶ τούτοις ὥσπερ μεταγνόντες συλλέγουσι πάλιν τὸ συνέδριον ἑαυτῶν μετὰ ἔτη 26, 1
τρία, καὶ ἀποστέλλουσιν Εὐδόξιον, Μαρτύριον καὶ Μακεδόνιον τὸν ἀπὸ Κιλικίας καὶ σὺν
αὐτοῖς ἑτέρους τινὰς εἰς τὰ μέρη τῆς Ἰταλίας ἀποφέροντας πίστιν διὰ πολλῶν γραφεῖσαν
προσθήκας τε ἔχουσαν πλείστας παρὰ τὰς προτέρας, ὡς γὰρ καινότερά τινα ἐπινοήσαντες
ἀπεδήμησαν ἔχοντες ταῦτα·

I. Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, κτίστην καὶ ποιητὴν τῶν πάν- 1
των, »ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται«· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ 2
υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν πρὸ πάντων αἰώνων ἐκ τοῦ πατρὸς γεννη- B
θέντα, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, δι' οὗ ἐγένετο τὰ πάντα τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς
γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, λόγον ὄντα καὶ σοφίαν καὶ δύναμιν καὶ ζωὴν καὶ φῶς ἀληθι-
νόν, τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα καὶ γεννηθέντα ἐκ τῆς ἁγίας
παρθένου καὶ σταυρωθέντα καὶ ἀποθανόντα καὶ ταφέντα καὶ ἀναστάντα ἐκ τῶν νεκρῶν τῇ
τρίτῃ ἡμέρᾳ καὶ ἀναληφθέντα εἰς οὐρανὸν καὶ καθεσθέντα ἐκ δεξιῶν τοῦ πατρὸς καὶ ἐρχόμε-
νον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ
ἔργα αὐτοῦ, οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας· καθέζεται C
γὰρ ἐν δεξιᾷ τοῦ πατρὸς οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. πιστεύ- 3

1 Die Ekthesis (= Urk. 89) ist nach Athan. bei Sokr. II 18, 3—6 überliefert. Ein Regest bietet Sozom. III 10, 5 2 Eph. 3, 15 17 f. μετὰ ἔτη τρία: nach 341, also etwa 344, was aus dem ca. 353 geschriebenen Brief des Liberius (CSEL 65, 91, 18 ff.): quattuor episcopi Demofilus, Macedonius, Eudoxius, Martyrius, qui ante annos octo, cum apud Mediolanum Arri hereticam sententiam noluissent damnare, de concilio animis iratis exierunt. Vgl. CSEL 65, 142, 18; 144, 10 und Synode von Ancyra bei Epiph. 73, 2, 3 (III 269, 11). Ausführlich: Schwartz ZNW 34 (1935) 142 ff. 18 Eudoxius v. Germanikeia — Martyrius, unbekannt — Makedonios v. Mopsueste 19 Italien, d. h. Mailand, am Hofe des Konstans 22 Die sog. ἔκθεσις μακρόστιχος ist nach Athan. von Sokr. II 19, 3—28 überliefert; Regest bei Sozom. III 11, 1. Datum: 344, Noten s. Bd. III

BKPO R

1 a. Rd. É R | πάντων] ὄντων BKPO 3 τῶν > K 8 καθεζόμενον B 22 a. Rd. É R 24 πάντων + τῶν B 25 τὰ[2] > R 28 καὶ ταφέντα > B vgl. S. 249, 3; 249, 24; 250, 13; doch S. 251, 7; in derTat fehlt dies Glied in fast allen orientalischen Symbolen, vgl. Lietzmann ZNW 21 (1922) 17 29 εἰς + τὸν B* (exp. B[c]) 30 τὰ > B

ομεν καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τουτέστι τὸν παράκλητον, ὅπερ ἐπαγγειλάμενος τοῖς
ἀποστόλοις μετὰ τὴν εἰς οὐρανὸν ἄνοδον ἀπέστειλε διδάξαι αὐτοὺς καὶ ὑπομνῆσαι πάντα,
δι' οὗ καὶ ἁγιασθήσονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί.
B 739 II. Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν υἱὸν ἢ ἐξ ἑτέρας ὑποστάσεως καὶ μὴ ἐκ τοῦ |
θεοῦ καὶ ὅτι ἦν χρόνος ποτὲ ἢ αἰών, ὅτε μὴ ἦν, ἀλλοτρίους οἶδεν ἡ καθολικὴ καὶ ἁγία ἐκ-
κλησία. ὁμοίως καὶ τοὺς λέγοντας τρεῖς εἶναι θεοὺς ἢ τὸν Χριστὸν μὴ εἶναι θεὸν ἢ πρὸ
τῶν αἰώνων μήτε Χριστὸν μήτε υἱὸν αὐτὸν εἶναι θεοῦ ἢ τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱὸν ἢ
M 729 A ἅγιον πνεῦμα ἢ ἀγέννητον υἱὸν ἢ ὅτι | οὐ βουλήσει οὐδὲ θελήσει ἐγέννησεν ὁ πατὴρ τὸν
υἱὸν ἀναθεματίζει ἡ ἁγία καὶ καθολικὴ ἐκκλησία.
1 III. Οὔτε γὰρ ἐξ οὐκ ὄντων τὸν υἱὸν λέγειν ἀσφαλές, ἐπεὶ μηδαμοῦ τοῦτο τῶν θεο-
πνεύστων γραφῶν φέρεται περὶ αὐτοῦ, οὔτε μὴν ἐξ ἑτέρας τινὸς ὑποστάσεως παρὰ τὸν
πατέρα προυποκειμένης, ἀλλ' ἐκ μόνου τοῦ θεοῦ γνησίως αὐτὸν γεγεννῆσθαι διοριζόμεθα.
2 ἓν γὰρ τὸ ἀγέννητον καὶ ἄναρχον τὸν Χριστοῦ πατέρα ὁ θεῖος διδάσκει λόγος. ἀλλ' οὐδὲ
τὸ 'ἦν ποτε ὅτε οὐκ ἦν' ἐξ ἀγράφων ἐπισφαλῶς λέγοντας χρονικόν τι διάστημα προ-
ενθυμητέον αὐτοῦ, ἀλλ' ἢ μόνον τὸν ἀχρόνως αὐτὸν γεγεννηκότα θεόν· καὶ χρόνοι γὰρ
3 καὶ αἰῶνες γεγόνασι δι' αὐτοῦ. οὔτε μὴν συνάναρχον καὶ συναγέννητον τῷ πατρὶ τὸν
B υἱὸν εἶναι νομιστέον· συνανάρχου γὰρ καὶ συναγεννήτου οὐδεὶς κυρίως πατὴρ ἢ υἱὸς λεχθή-
σεται. ἀλλὰ τὸν μὲν πατέρα μόνον ἄναρχον ὄντα καὶ ἀγέννητον γεγεννηκέναι ἀνεφίκτως καὶ
πᾶσιν ἀκαταλήπτως οἴδαμεν, τὸν δὲ υἱὸν γεγεννῆσθαι πρὸ αἰώνων καὶ μηκέτι ὁμοίως τῷ
πατρὶ ἀγέννητον εἶναι καὶ αὐτόν, ἀλλ' ἀρχὴν ἔχειν τὸν γεννήσαντα πατέρα· »κεφαλὴ γὰρ
Χριστοῦ ὁ θεός«.
1 IV. Οὔτε μὴν τρία ὁμολογοῦντες πράγματα καὶ τρία πρόσωπα τοῦ πατρὸς καὶ
τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος κατὰ τὰς γραφὰς τρεῖς διὰ τοῦτο τοὺς θεοὺς ποιοῦμεν,
ἐπειδὴ τὸν αὐτοτελῆ καὶ ἀγέννητον ἄναρχόν τε καὶ ἀόρατον θεὸν ἕνα μόνον οἴδαμεν, τὸν
C θεὸν καὶ πατέρα τοῦ μονογενοῦς, τὸν μόνον μὲν ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχοντα, μόνον δὲ τοῖς
2 ἄλλοις πᾶσιν ἀφθόνως τοῦτο χαριζόμενον. οὔτε μὴν ἕνα θεὸν μόνον λέγοντες εἶναι
τὸν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πατέρα, τὸν μόνον ἀγέννητον, διὰ τοῦτο ἀρνούμεθα
καὶ τὸν Χριστὸν θεὸν εἶναι πρὸ αἰώνων, ὁποῖοί εἰσιν οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως
ὕστερον αὐτὸν μετὰ τὴν ἐνανθρώπησιν ἐκ προκοπῆς τεθεοποιῆσθαι λέγοντες τῷ τὴν φύσιν
3 ψιλὸν ἄνθρωπον γεγονέναι. οἴδαμεν γὰρ καὶ αὐτόν, εἰ καὶ ὑποτέτακται τῷ πατρὶ
καὶ τῷ θεῷ, ἀλλ' ὅμως πρὸ αἰώνων γεννηθέντα ἐκ τοῦ θεοῦ θεὸν κατὰ φύσιν τέλειον εἶναι
καὶ ἀληθῆ καὶ μὴ ἐξ ἀνθρώπων μετὰ ταῦτα θεόν, ἀλλ' ἐκ θεοῦ ἐνανθρωπῆσαι δι' ἡμᾶς, καὶ
μηδέποτε ἀπολωλεκότα τὸ εἶναι.
B 740 V. | Βδελυσσόμεθα δὲ πρὸς τούτοις καὶ ἀναθεματίζομεν καὶ τοὺς λόγον μὲν μόνον
D αὐτὸν ψιλὸν τοῦ θεοῦ καὶ ἀνύπαρκτον ἐπιπλάστως καλοῦντας, ἐν ἑτέρῳ τὸ εἶναι ἔχοντα,
M 732 A νῦν μὲν ὡς τὸν προφορικὸν λεγόμενον ὑπό τινων, νῦν δὲ ὡς τὸν ἐνδιάθετον, Χριστὸν | δὲ
αὐτὸν καὶ υἱὸν τοῦ θεοῦ καὶ μεσίτην καὶ εἰκόνα τοῦ θεοῦ μὴ εἶναι πρὸ αἰώνων θέλοντας,
ἀλλ' ἐκ τότε Χριστὸν αὐτὸν γεγονέναι καὶ υἱὸν τοῦ θεοῦ, ἐξ οὗ τὴν ἡμετέραν ἐκ τῆς παρθένου
σάρκα ἀνείληφε πρὸ τετρακοσίων οὐχ ὅλων ἐτῶν. ἐκ τότε γὰρ τὸν Χριστὸν ἀρχὴν βασι-
λείας ἐσχηκέναι ἐθέλουσι καὶ τέλος ἕξειν αὐτὴν μετὰ τὴν συντέλειαν καὶ τὴν κρίσιν.

---

20 I. Cor. 11, 3

BKPO R

---

4 υἱὸν Sokr. θεὸν BKPOR 5 ἁγία καὶ καθολικὴ ~ K 7 μήτε υἱὸν αὐτὸν R αὐτὸν μήτε υἱὸν BKPO
8 f. τὸν υἱὸν ὁ πατὴρ ~ B 9 καὶ Sokr. > BKPOR 14 ὅτε doppelt B 16 f. τὸν υἱὸν τῷ πατρὶ ~ B
20 ἔχει R* ἔχειν R^c | γεννήσαντα > K 25 δὲ > B 26 εἶναι λέγοντες ~ B 31 τῷ BPOR* Sokr.
> KR^c 34 τούς] τοῖς R 38 ὑμετέραν B^c 39 σάρκα > K 40 αὐτὴν] αὐτὸν B

VI. Τοιοῦτοι δέ εἰσιν οἱ ἀπὸ Μαρκέλλου καὶ Σκοτεινοῦ τῶν Ἀγκυρογαλατῶν, οἳ 1
τὴν προαιώνιον ὕπαρξιν τοῦ Χριστοῦ καὶ τὴν θεότητα καὶ τὴν ἀτελεύτητον αὐτοῦ βασι-
λείαν ὁμοίως Ἰουδαίοις ἀθετοῦσιν ἐπὶ προφάσει τοῦ συνίστασθαι δοκεῖν τῇ μοναρχίᾳ.
ἴσμεν γὰρ αὐτὸν ἡμεῖς οὐχ ἁπλῶς λόγον προφορικὸν ἢ ἐνδιάθετον τοῦ θεοῦ, ἀλλὰ ζῶντα 2
θεὸν λόγον καθ' ἑαυτὸν ὑπάρχοντα καὶ υἱὸν θεοῦ καὶ Χριστὸν καὶ οὐ προγνωστικῶς συν- B
όντα καὶ συνδιατρίβοντα πρὸ αἰώνων τῷ ἑαυτοῦ πατρὶ καὶ πρὸς πᾶσαν διακονησάμενον
αὐτῷ τὴν δημιουργίαν εἴτε τῶν ὁρατῶν εἴτε τῶν ἀοράτων. οὗτος γάρ ἐστι πρὸς ὃν 3
εἶπεν ὁ πατὴρ ὅτι »ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν«, ὁ καὶ
τοῖς πατριάρχαις αὐτοπροσώπως ὀφθείς, δεδωκὼς τὸν νόμον καὶ λαλήσας διὰ τῶν προ-
φητῶν καὶ τὰ τελευταῖα ἐνανθρωπήσας καὶ τὸν ἑαυτοῦ πατέρα πᾶσιν ἀνθρώποις φανε-
ρώσας καὶ βασιλεύων εἰς τοὺς ἀτελευτήτους αἰῶνας. οὐδὲν γὰρ πρόσφατον ὁ Χριστὸς
προσείληφεν ἀξίωμα, ἀλλ' ἄνωθεν τέλειον αὐτὸν καὶ τῷ πατρὶ κατὰ πάντα ὅμοιον εἶναι
πεπιστεύκαμεν. C

VII. Καὶ τοὺς λέγοντας δὲ τὸν αὐτὸν εἶναι πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, 1
καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματός τε καὶ προσώπου τὰ τρία ὀνόματα ἀσεβῶς ἐκλαμ-
βάνοντας εἰκότως ἀποκηρύσσομεν τῆς ἐκκλησίας, ὅτι τὸν ἀχώρητον καὶ ἀπαθῆ πατέρα
χωρητὸν ἅμα καὶ παθητὸν διὰ τῆς ἐνανθρωπήσεως ὑποτίθενται. τοιοῦτοι γάρ εἰσιν οἱ
Πατροπασσιανοὶ μὲν παρὰ Ῥωμαίοις, Σαβελλιανοὶ δὲ καλούμενοι παρ' ἡμῖν. οἴδαμεν 2
γὰρ ἡμεῖς τὸν μὲν ἀποστείλαντα πατέρα ἐν τῷ οἰκείῳ τῆς ἀναλλοιώτου θεότητος ἤθει
μεμενηκέναι, τὸν δὲ ἀποσταλέντα Χριστὸν τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν πεπλη-
ρωκέναι.

VIII. Ὅμως δὲ καὶ τοὺς οὐ βουλήσει οὐδὲ θελήσει γεγεννῆσθαι τὸν υἱὸν εἰρηκότας 1
ἀνευλαβῶς, ἀνάγκην δὲ δηλονότι ἀβούλητον καὶ ἀπροαίρετον περιτεθεικότας τῷ θεῷ, D
ἵνα ἄκων γεννήσῃ τὸν υἱόν, δυσσεβεστάτους καὶ τῆς ἐκκλησίας ξένους ἐπιγινώσκομεν, ὅτι τε
παρὰ τὰς κοινὰς περὶ θεοῦ ἐννοίας καὶ δὴ καὶ παρὰ τὸ βούλημα τῆς θεοπνεύστου | | γρα- B 741 M 733 A
φῆς τοιαῦτα τετολμήκασι περὶ αὐτοῦ διορίσασθαι. αὐτοκράτορα γὰρ ἡμεῖς τὸν θεὸν 2
καὶ κύριον αὐτὸν ἑαυτοῦ εἰδότες ἑκουσίως αὐτὸν καὶ ἐθελοντὴν τὸν υἱὸν γεγεννηκέναι εὐ-
σεβῶς ὑπειλήφαμεν. πιστεύοντες δὲ ἐμφόβως καὶ τῷ περὶ ἑαυτοῦ λέγοντι· »κύριος ἔκτι-
σέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«, οὐχ ὁμοίως αὐτὸν τοῖς δι' αὐτοῦ γενομένοις κτίσ-
μασιν ἢ ποιήμασι γεγενῆσθαι νοοῦμεν. ἀσεβὲς γὰρ καὶ τῆς ἐκκλησιαστικῆς πίστεως 3
ἀλλότριον τὸ τὸν κτίστην τοῖς δι' αὐτοῦ κεκτισμένοις δημιουργήμασι παραβάλλειν καὶ τὸν
αὐτὸν τῆς γενέσεως τοῖς ἄλλοις τρόπον ἔχειν καὶ αὐτὸν νομίζειν. μόνον γὰρ καὶ μόνως τὸν
μονογενῆ υἱὸν γεγεννῆσθαι γνησίως τε καὶ ἀληθῶς διδάσκουσιν ἡμᾶς αἱ θεῖαι γραφαί. B

IX. Ἀλλ' οὐδὲ τὸν υἱὸν καθ' ἑαυτὸν εἶναι ζῆν τε καὶ ὑπάρχειν ὁμοίως τῷ πατρὶ 1
λέγοντες διὰ τοῦτο χωρίζομεν αὐτὸν τοῦ πατρὸς τόπους καὶ διαστήματά τινα μεταξὺ τῆς
συναφείας αὐτῶν σωματικῶς ἐπινοοῦντες. πεπιστεύκαμεν γὰρ ἀμεσιτεύτως αὐτοὺς 2
καὶ ἀδιαστάτως ἀλλήλοις ἐπισυνῆφθαι καὶ ἀχωρίστους ὑπάρχειν ἑαυτῶν, ὅλου μὲν τοῦ
πατρὸς ἐνστερνισμένου τὸν υἱόν, ὅλου δὲ τοῦ υἱοῦ ἐξηρτημένου καὶ προσπεφυκότος τῷ
πατρὶ καὶ μόνου τοῖς πατρῴοις κόλποις ἐπαναπαυομένου διηνεκῶς. πιστεύοντες οὖν 3
εἰς τὴν παντέλειον τριάδα τὴν ἁγιωτάτην, τουτέστιν εἰς τὸν πατέρα καὶ εἰς τὸν υἱὸν καὶ
εἰς τὸ πνεῦμα τὸ ἅγιον, καὶ θεὸν μὲν τὸν πατέρα λέγοντες, θεὸν δὲ καὶ τὸν υἱόν, οὐ δύο τού-

---

8 Gen. 1, 26   28 Prov. 8, 22

BKPO R

---

4 ἡμεῖς αὐτὸν ∼ P   11 Χριστὸς O^c θεὸς O*   22 γεγενῆσθαι P   24 γινώσκομεν B   25 κοινὰς Sokr. καινὰς KPOR καινὰς τοῦ B, aber getilgt   27 ἐθελοντί P   28 λέγοντι + ὅτι R   37 ἀδιαστάκτως B*, κ getilgt B^c   39 ἐπαναπαυομένου BKP (ἐνα. P) O ἀναπαυομένου R vgl. Sokr.

τους θεούς, ἀλλ' ἓν ὁμολογοῦμεν τῆς θεότητος ἀξίωμα καὶ μίαν ἀκριβῆ τῆς βασιλείας τὴν C συμφωνίαν, πανταρχοῦντος μὲν καθόλου πάντων καὶ αὐτοῦ τοῦ υἱοῦ μόνου τοῦ πατρός, τοῦ δὲ υἱοῦ ὑποτεταγμένου τῷ πατρί, ἐκτὸς δὲ αὐτοῦ πάντων μετ' αὐτὸν βασιλεύοντος τῶν δι' αὐτοῦ γενομένων καὶ τὴν τοῦ ἁγίου πνεύματος χάριν ἀφθόνως τοῖς ἁγίοις δωρουμένου πατρικῷ βουλήματι. οὕτω γὰρ τὸν περὶ τῆς εἰς Χριστὸν μοναρχίας συνίστασθαι λόγον παρέδοσαν ἡμῖν οἱ ἱεροὶ λόγοι.

1 X. Ταῦτα ἠναγκάσθημεν μετὰ τὴν ἐν ἐπιτομῇ προεκτεθεῖσαν πίστιν πλατύτερον ἐπεξεργάσασθαι οὐ κατὰ περιττὴν φιλοτιμίαν, ἀλλ' ἵνα πᾶσαν τὴν τῆς ἡμετέρας ὑπολήψεως ἀλλοτρίαν ἀνακαθάρωμεν ὑποψίαν παρὰ τοῖς τὰ καθ' ἡμᾶς ἀγνοοῦσι καὶ γνῶσιν οἱ κατὰ τὴν δύσιν πάντες ὁμοῦ μὲν τῆς συκοφαντίας τῶν ἑτεροδόξων τὴν ἀναίδειαν, M 736 A ὁμοῦ δὲ τῶν | ἀνατολικῶν τὸ ἐκκλησιαστικὸν ἐν κυρίῳ φρόνημα, μαρτυρούμενον ἀβιάστως ὑπὸ τῶν θεοπνεύστων γραφῶν παρὰ τοῖς ἀδιαστρόφοις.

27,1 Ἀλλ' οὐδὲ τούτοις ἐνέμειναν· πάλιν γὰρ ἐν Σιρμίῳ συνελθόντες κατὰ Φωτεινοῦ B 742 τότε συνέθηκαν | αὖθις πίστιν οὐκέτι μὲν οὕτω σχοινοτενῆ οὐδὲ τοσαύτην τοῖς ῥήμασιν, ἀφελόντες δὲ τὰ πλεῖστα καὶ προσθέντες ἄλλα, ὥσπερ ἐξ ὑποβολῆς παρά τινων ἀκούσαντες, ἔγραψαν ταῦτα·

2 Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, τὸν κτίστην καὶ ποιητὴν τῶν πάντων, »ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται«· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν, τὸν πρὸ πάντων τῶν αἰώνων B ἐκ τοῦ πατρὸς γεννηθέντα, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, δι' οὗ ἐγένετο τὰ πάντα τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, λόγον ὄντα καὶ σοφίαν καὶ φῶς ἀληθινὸν καὶ ζωήν, τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα καὶ γεννηθέντα ἐκ τῆς ἁγίας παρθένου καὶ σταυρωθέντα καὶ ἀποθανόντα καὶ ταφέντα καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀναληφθέντα εἰς οὐρανὸν καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ πατρὸς καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας· ἔσται γὰρ καθεζόμενος ἐν δεξιᾷ τοῦ πατρός, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τουτέστι τὸν C παράκλητον, ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον ἀποστεῖλαι, διδάξαι καὶ ὑπομνῆσαι αὐτοὺς πάντα ἔπεμψε, δι' οὗ καὶ ἁγιάζονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί.

3 I. Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν υἱὸν ἢ ἐξ ἑτέρας ὑποστάσεως καὶ μὴ ἐκ τοῦ θεοῦ καὶ ὅτι ἦν χρόνος ἢ αἰών, ὅτε οὐκ ἦν, ἀλλοτρίους οἶδεν ἡ ἁγία καὶ καθολικὴ ἐκκλησία.

II. Πάλιν οὖν ἐροῦμεν· εἴ τις τὸν πατέρα καὶ τὸν υἱὸν δύο λέγει θεούς, ἀνάθεμα ἔστω.

III. Καὶ εἴ τις λέγων θεὸν τὸν Χριστὸν πρὸ αἰώνων υἱὸν τοῦ θεοῦ ὑπουργηκότα τῷ πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν μὴ ὁμολογοίη, ἀνάθεμα ἔστω.

---

13 Gleich nach der Besiegung des Magnentius bei Mursa am 28. 9. 351 trat eine Synode in Sirmium gegen Photin zusammen. Datum und einige wichtige Einzelheiten: Sokr. II 29. 30 (die Verwechslungen mit Sirmium 357. 359 sind leicht auszuscheiden), Epiph. haer. 71, 1, 5ff. (III 250, 10ff.), die Liste der Teilnehmer Coll. antiar. Paris. B VII 9 (CSEL 65, 170, 5. Die Liste bezieht sich deshalb auf 351, weil Eudoxius 357 nicht in Sirmium gewesen sein kann; er war nach Leontius' Tode nach Antiochien geeilt) 17 Die sog. 1. Sirmische Formel ist nach Athan. bei Sokr. II 30, 5—30 überliefert. Den lateinischen Originaltext gibt Hilarius, de syn. 38 (II 485ff. Maffei). Noten s. Bd. III

BKPO R

---

5 ἐν Χριστῷ R Sokr. 15 ἐξ ὑποβολῆς ὥσπερ ~ K 17 a. Rd. Ζ̄ R 19 τὸν¹ > K 33 καὶ² Comm. Montf. > BKPOR

IV. Εἴ τις τὸν ἀγέννητον ἢ μέρος αὐτοῦ ἐκ Μαρίας λέγειν γεγενῆσθαι τολμῴ, D ἀνάθεμα ἔστω.

V. Εἴ τις κατὰ πρόγνωσιν πρὸ Μαρίας λέγοι τὸν | υἱὸν εἶναι καὶ μὴ πρὸ αἰώνων M 737 A ἐκ τοῦ πατρὸς γεγεννημένον πρὸς τὸν θεὸν εἶναι καὶ δι' αὐτοῦ γεγενῆσθαι τὰ πάντα, ἀνάθεμα ἔστω.

VI. Εἴ τις τὴν οὐσίαν τοῦ θεοῦ πλατύνεσθαι ἢ συστέλλεσθαι φάσκοι, ἀνάθεμα ἔστω.

VII. Εἴ τις πλατυνομένην τὴν οὐσίαν τοῦ θεοῦ τὸν υἱὸν λέγοι ποιεῖν ἢ τὸν πλατυσμὸν τῆς οὐσίας αὐτοῦ υἱὸν ὀνομάζοι, ἀνάθεμα ἔστω.

VIII. Εἴ τις ἐνδιάθετον ἢ προφορικὸν ⟨λόγον⟩ λέγοι τὸν υἱὸν τοῦ θεοῦ, ἀνάθεμα ἔστω.

IX. | Εἴ τις ἄνθρωπον μόνον λέγοι τὸν ἐκ Μαρίας υἱόν, ἀνάθεμα ἔστω. B 743

X. Εἴ τις θεὸν καὶ ἄνθρωπον τὸν ἐκ Μαρίας λέγων θεὸν τὸν ἀγέννητον οὕτω νοοῖ, ἀνάθεμα ἔστω.

XI. Εἴ τις τὸ »ἐγὼ θεὸς πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα καὶ πλὴν ἐμοῦ οὐκ ἔστι θεὸς« B ἐπ' ἀναιρέσει εἰδώλων καὶ τῶν μὴ ὄντων θεῶν εἰρημένον ἐπ' ἀναιρέσει τοῦ μονογενοῦς πρὸ αἰώνων θεοῦ Ἰουδαικῶς ἐκλαμβάνοι, ἀνάθεμα ἔστω.

XII. Εἴ τις τὸ »ὁ λόγος σὰρξ ἐγένετο« ἀκούων τὸν λόγον εἰς σάρκα μεταβεβλῆσθαι νομίζοι ἢ τροπὴν ὑπομεμενηκότα ἀνειληφέναι τὴν σάρκα λέγοι, ἀνάθεμα ἔστω.

XIII. Εἴ τις τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ ἐσταυρωμένον ἀκούων τὴν θεότητα αὐτοῦ φθορὰν ἢ πάθος ἢ τροπὴν ἢ μείωσιν ἢ ἀναίρεσιν ὑπομεμενηκέναι λέγοι, ἀνάθεμα ἔστω.

XIV. Εἴ τις τὸ »ποιήσωμεν ἄνθρωπον« μὴ τὸν πατέρα πρὸς τὸν υἱὸν λέγειν, ἀλλ' αὐτὸν πρὸς ἑαυτὸν λέγοι τὸν θεὸν εἰρηκέναι, ἀνάθεμα ἔστω. C

XV. Εἴ τις μὴ τὸν υἱὸν λέγοι τῷ Ἀβραὰμ ἑωρᾶσθαι, ἀλλὰ τὸν ἀγέννητον θεὸν ἢ μέρος αὐτοῦ, ἀνάθεμα ἔστω.

XVI. Εἴ τις τῷ Ἰακὼβ μὴ τὸν υἱὸν ὡς ἄνθρωπον πεπαλαικέναι, ἀλλὰ τὸν ἀγέννητον θεὸν ἢ μέρος αὐτοῦ λέγοι, ἀνάθεμα ἔστω.

XVII. Εἴ τις τὸ »ἔβρεξε κύριος πῦρ παρὰ κυρίου« μὴ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκλαμβάνοι, ἀλλ' αὐτὸν παρ' ἑαυτοῦ λέγοι βεβρεχέναι, ἀνάθεμα ἔστω· ἔβρεξε γὰρ κύριος ὁ υἱὸς παρὰ κυρίου τοῦ πατρός.

XVIII. Εἴ τις ἀκούων κύριον τὸν πατέρα καὶ τὸν υἱὸν κύριον καὶ κύριον τὸν πατέρα καὶ τὸν υἱόν, ἐπεὶ κύριος ἐκ κυρίου, δύο λέγοι θεούς, ἀνάθεμα ἔστω. οὐ γὰρ συντάσσομεν υἱὸν τῷ πατρί, ἀλλ' ὑποτεταγμένον τῷ πατρί. οὔτε γὰρ κατῆλθεν ἐπὶ Σόδομα ἄνευ D βουλῆς τοῦ πατρὸς οὔτε ἔβρεξεν ἀφ' ἑαυτοῦ, ἀλλὰ παρὰ κυρίου αὐθεντοῦντος δηλαδὴ | τοῦ M 740 A πατρός, οὔτε κάθηται ἐκ δεξιῶν ἀφ' ἑαυτοῦ, ἀλλ' ἀκούει λέγοντος τοῦ πατρός· »κάθου ἐκ δεξιῶν μου«.

XIX. Εἴ τις τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα ἓν πρόσωπον λέγει, ἀνάθεμα ἔστω.

---

13 Jes. 44, 6   16 Joh. 1, 14   20 Gen. 1, 26   26 Gen. 19, 24   33 f. Ps. 109, 1

BKPO R

---

1 ἀγέννητον K ἀγένητον BPOR | γεγεννῆσθαι KP | τολμῴ Op. B (?) τολμᾷ KPOR   3 πρὸ O[c] ἐκ O* | λέγοι K[c] Sokr. λέγει BPORK*   6 φάσκει K[c]P   7 υἱὸν + τοῦ θεοῦ P | λέγει K   8 ὀνομάζει K   9 Εἴ—ἔστω > B | ⟨λόγον⟩ Montf. | λέγοι PO λέγει KR   10 λέγοι P λέγει BKOR   11 νοοῖ Op. νοεῖ BKPOR   15 ἐκλαμβάνει K   17 νομίζει K | λέγει K   19 λέγει K   21 λέγει K   22 λέγει K | τῷ KP Sokr. τὸν BOR | ἀγένητον P   23 ἔστω K > BPOR   25 λέγει K | ἔστω K Sokr. > BPOR   26 πῦρ > R   27 ἐκλαμβάνει K | λέγει K | ἔστω K Sokr. > BPOR   30 λέγοι O λέγει BKPR | ἔστω KR Sokr. > BPO   34 μου + ἀνάθεμα R, + ἔστω K Sokr.   36 ἔστω K Sokr. > BPOR

XX. Εἴ τις τὸ πνεῦμα τὸ ἅγιον παράκλητον λέγων τὸν ἀγέννητον λέγοι θεόν, ἀνάθεμα ἔστω.

XXI. Εἴ τις, ὡς ἐδίδαξεν ἡμᾶς ὁ κύριος, μὴ ἄλλον λέγοι τὸν παράκλητον παρὰ τὸν υἱόν· εἴρηκε γὰρ »καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν ὁ πατὴρ ὃν ἐρωτήσω ἐγώ«, ἀνάθεμα ἔστω.

XXII. Εἴ τις τὸ πνεῦμα τὸ ἅγιον μέρος λέγοι τοῦ πατρὸς ἢ τοῦ υἱοῦ, ἀνάθεμα ἔστω.

B 744 XXIII. | Εἴ τις τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα τρεῖς λέγοι θεούς,
B ἀνάθεμα ἔστω.

XXIV. Εἴ τις βουλήσει τοῦ θεοῦ ὡς ἓν τῶν ποιημάτων γεγονέναι λέγοι τὸν υἱὸν τοῦ θεοῦ, ἀνάθεμα ἔστω.

XXV. Εἴ τις μὴ θελήσαντος τοῦ πατρὸς γεγεννῆσθαι λέγοι τὸν υἱόν, ἀνάθεμα ἔστω. οὐ γὰρ βιασθεὶς ὁ πατὴρ ὑπὸ ἀνάγκης φυσικῆς ἀχθείς, ὡς οὐκ ἤθελεν, ἐγέννησε τὸν υἱόν, ἀλλ' ἅμα τε ἠβουλήθη καὶ ἀχρόνως καὶ ἀπαθῶς ἐξ ἑαυτοῦ αὐτὸν γεννήσας ἐπέδειξεν.

XXVI. Εἴ τις ἀγέννητον καὶ ἄναρχον λέγοι τὸν υἱόν, ὡς δύο ἄναρχα καὶ δύο
ἀγέννητα λέγων καὶ δύο ποιῶν θεούς, ἀνάθεμα ἔστω. κεφαλὴ γάρ, ὅ ἐστιν ἀρχὴ πάντων,
C ὁ υἱός. »κεφαλὴ δέ«, ὅ ἐστιν ἀρχή, »τοῦ Χριστοῦ ὁ θεός«, οὕτω γὰρ εἰς μίαν ἄναρχον
τῶν ὅλων ἀρχὴν δι' υἱοῦ εὐσεβῶς τὰ πάντα ἀνάγομεν.

XXVII. Καὶ πάλιν συνδιακριβοῦντες τοῦ Χριστιανισμοῦ τὴν ἔννοιαν λέγομεν, ὅτι εἴ τις Χριστὸν θεὸν υἱὸν τοῦ θεοῦ προαιώνιον ὄντα καὶ ὑπουργηκότα τῷ πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν μὴ λέγοι, ἀλλ' ἐξ οὗ ἐκ Μαρίας ἐγεννήθη, ἐκ τότε καὶ Χριστὸν καὶ υἱὸν κεκλῆσθαι καὶ ἀρχὴν εἰληφέναι τοῦ θεὸν εἶναι, ἀνάθεμα ἔστω.

28,1 Ταῦτα πάντα παρωσάμενοι, καὶ ὥσπερ βελτίονα ἐπινοήσαντες δογματίζουσιν ἄλλην πίστιν καὶ γράφουσι ταῦτα ἐν Σιρμίῳ Ῥωμαιστὶ μέν, ἑρμηνευθέντα δὲ Ἑλληνιστί·

M 741 A 2 Ἐπειδὴ περὶ πίστεως ἔδοξέ τινα διάσκεψιν | γενέσθαι, πάντα ἀσφαλῶς ἐζητήθη
καὶ διηρευνήθη ἐν τῷ Σιρμίῳ ἐπὶ παρουσίᾳ Οὐάλεντος καὶ Οὐρσακίου καὶ Γερμινίου καὶ
3 τῶν λοιπῶν. συνέστηκεν ἕνα θεὸν εἶναι πατέρα παντοκράτορα, καθὼς καὶ ἐν πάσῃ
τῇ οἰκουμένῃ καταγγέλλεται, καὶ ἕνα μονογενῆ υἱὸν αὐτοῦ, τὸν κύριον ἡμῶν Ἰησοῦν
4 Χριστόν, ἐξ αὐτοῦ πρὸ τῶν αἰώνων γεννηθέντα. δύο θεοὺς μὴ χρῆναι λέγειν, ἐπειδὴ
αὐτὸς ὁ κύριος εἴρηκε· »πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν καὶ θεόν μου
5 καὶ θεὸν ὑμῶν«. διὰ τοῦτο καὶ πάντων θεός ἐστι, καθὼς καὶ ὁ ἀπόστολος ἐδίδαξεν·
»ἢ Ἰουδαίων μόνων ὁ θεός, οὐχὶ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν· ἐπείπερ εἷς ὁ θεός, ὃς δικαιώσει

---

4 Joh. 14, 16 17 I. Cor. 11, 3 23 357 wurde in Sirmium eine neue Formel von den Abendländern um Valens, Ursacius, Germinius (Z. 26) und Potamius (so Hilarius de syn. 3; II 460 C Maffei) geprägt: Sozom. IV 12, 6—7. Ossius unterschrieb diese Formel (Hilarius c. Const. 23; II 580 Maffei), vgl. hist. Arian. 45 S. 209, 21 Note 25 Den lateinischen Originalwortlaut überliefert Hilarius de syn. 11 (II 464 Maffei). Nach Athan. gibt den Text: Sokr. II 30, 31—41. Regest bei Sozom. IV 6, 8—10. Noten s. Bd. III. 30 Joh. 20, 17 31 Rm. 3, 29. 30

BKPO R

---

1 λέγοι B λέγει KPOR 2 ἔστω K Sokr. > BPOR 3 λέγει KO 5 ἔστω K Sokr. > BPOR 6 λέγει K ἔστω K Sokr. > BPOR 7 λέγει KR 8 ἔστω K Sokr. > BPOR 9 λέγοι γεγονέναι ~ B | λέγει K 10 ἔστω Sokr. > BKPOR 11 λέγει K 12 ἔστω K Sokr. > BPOR | ἠθέλησεν B^cKPO 13 καὶ ἀπαθῶς καὶ ἀχρόνως ~ K 14 ἐπέδειξεν + ἀνάθεμα OR 15 λέγει K 16 ἔστω K Sokr. > BPOR 21 λέγει K 25 a. Rd. Ή R 27 πατέρα R Sokr. Hil. > BKP O | πάσῃ] ταύτῃ P

περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ πίστεως«. καὶ τὰ μὲν λοιπὰ πάντα συμφωνεῖ 6
καὶ οὐδεμίαν ἔχει ἀμφιβολίαν. ἐπειδὴ δὲ πολλούς τινας κινεῖ περὶ τῆς λεγομένης
'Ρωμαιστὶ μὲν 'σουβσταντίας', 'Ελληνιστὶ δὲ λεγομένης 'οὐσίας', τουτέστιν ἵνα ἀκρι- B
βέστερον γνωσθῇ τὸ ὁμοούσιον ἢ τὸ λεγόμενον ὁμοιοούσιον, οὐ χρή τινα ¹ τούτων B 745
παντελῶς μνήμην γίνεσθαι οὐδὲ περὶ τούτων ἐξηγεῖσθαι ἐν τῇ ἐκκλησίᾳ διὰ ταύτην τὴν
αἰτίαν καὶ διὰ τοῦτον τὸν λογισμόν, ὅτι ἐν ταῖς θείαις γραφαῖς οὐ γέγραπται περὶ τούτων,
καὶ ὅτι ταῦτα ὑπὲρ τὴν ἀνθρώπων γνῶσιν καὶ τὸν ἀνθρώπων νοῦν ἐστι, καὶ ὅτι οὐδεὶς
δύναται τὴν γενεὰν τοῦ υἱοῦ διηγήσασθαι, καθὼς γέγραπται· »τὴν γενεὰν αὐτοῦ τίς
διηγήσεται«; μόνον γὰρ εἰδέναι τὸν πατέρα φανερόν ἐστι, πῶς τὸν υἱὸν ἐγέννησε, καὶ
πάλιν τὸν υἱόν, πῶς αὐτὸς γεγέννηται παρὰ τοῦ πατρός. οὐδενὶ δὲ ἀμφίβολόν ἐστι 7
μείζονα εἶναι τὸν πατέρα. οὐδὲ γὰρ διστάσειεν ἄν τις τὸν πατέρα τιμῇ καὶ ἀξίᾳ καὶ C
θειότητι καὶ αὐτῷ τῷ ὀνόματι τῷ πατρικῷ μείζονα εἶναι, διαμαρτυρουμένου αὐτοῦ τοῦ
υἱοῦ· »ὁ ἐμὲ πέμψας πατήρ μείζων μού ἐστι«. καὶ τοῦτο δὲ καθολικὸν εἶναι οὐδεὶς 8
ἀγνοεῖ δύο πρόσωπα εἶναι πατρὸς καὶ υἱοῦ, καὶ τὸν μὲν πατέρα μείζονα, τὸν δὲ υἱὸν
ὑποτεταγμένον τῷ πατρὶ μετὰ πάντων, ὧν αὐτῷ ὁ πατὴρ ὑπέταξε, τὸν δὲ πατέρα 9
ἀρχὴν μὴ ἔχειν καὶ ἀόρατον εἶναι καὶ ἀθάνατον εἶναι καὶ ἀπαθῆ εἶναι, τὸν δὲ υἱὸν γε-
γεννῆσθαι ἐκ τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, καὶ τούτου τὴν γένεσιν, καθὼς
προείρηται, μηδένα γινώσκειν, εἰ μὴ μόνον τὸν πατέρα, αὐτὸν δὲ τὸν υἱὸν καὶ κύριον 10
καὶ θεὸν ἡμῶν σάρκα ἤτοι σῶμα, τουτέστιν ἄνθρωπον, ¹ ἀνειληφέναι ἀπὸ Μαρίας τῆς M 744 A
παρθένου, καθάπερ καὶ ὁ ἄγγελος προευηγγελίσατο, καθὼς δὲ πᾶσαι αἱ γραφαὶ διδάσ-
κουσι καὶ μάλιστα αὐτὸς ὁ ἀπόστολος ὁ διδάσκαλος τῶν ἐθνῶν· ἄνθρωπον ἀνέλαβεν
ὁ Χριστὸς ἀπὸ Μαρίας τῆς παρθένου, δι' οὗ πέπονθε. τὸ δὲ κεφάλαιον πάσης τῆς 11
πίστεως καὶ ἡ βεβαιότης ἐστίν, ἵνα τριὰς ἀεὶ φυλάττηται, καθὼς ἀνέγνωμεν ἐν τῷ εὐαγ-
γελίῳ· »πορευθέντες βαπτίζετε πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ
καὶ τοῦ ἁγίου πνεύματος«. ἀκέραιος δὲ καὶ τέλειός ἐστιν ὁ ἀριθμὸς τῆς τριάδος. ὁ δὲ 12
παράκλητος τὸ πνεῦμα τὸ ἅγιον δι' υἱοῦ ἀποσταλὲν ἦλθε κατὰ τὴν ἐπαγγελίαν, ἵνα
τοὺς ἀποστόλους καὶ πάντας τοὺς πιστεύοντας ἀναδιδάξῃ καὶ ἁγιάσῃ.

Ταῦτα γράψαντες καὶ μεταγνόντες συνέθηκαν μὲν ἐκείνην, ἣν μετὰ τῆς ὑπατείας 29, 1
ἐπιδείξαντες ἠρυθρίασαν. συνήθως δὲ ὥσπερ καταγνόντες καὶ ταύτης ἐποίησαν μὲν
αὐτὴν ἁρπασθῆναι ἀπὸ τῶν ἐχόντων ἀντίγραφα διὰ Μαρτινιανοῦ νοταρίου. καὶ ποιή- B
σαντες ¹ τὸν βασιλέα Κωνστάντιον κατ' αὐτῆς προθεῖναι διάταγμα δογματίζουσι πάλιν B 746
ἄλλην καὶ προσθέντες, ὡς εἰώθασι, λέξεις τινάς, γράφουσι ταῦτα ἐν τῇ 'Ισαυρίᾳ·

Οὐ φεύγομεν τὴν ἐκτεθεῖσαν αὐθεντικὴν πίστιν ἐν τοῖς 'Εγκαινίοις τοῖς κατὰ 'Αντιό- 2
χειαν προκομίζοντες αὐτήν, εἰ καὶ τὰ μάλιστα οἱ πατέρες ἡμῶν κατ' ἐκεῖνο καιροῦ πρὸς
τὸ ὑποκείμενον τῆς ζητήσεως συνέδραμον. ἐπειδὴ δὲ πολλοὺς ἐθορύβησε τὸ ὁμοούσιον 3
καὶ τὸ ὁμοιοούσιον ἐν τοῖς παρεληλυθόσι χρόνοις καὶ μέχρι νῦν, ἀλλὰ καὶ ἀρτίως λέγεται

8 Jes. 53, 8 13 Joh. 14, 28 24 Mt. 28, 19 28 D. i. die 3. sirmische Formel von 359, s. oben c. 8, 3 30 Die Aktion des Martinian sonst nicht überliefert (Tillemonts Kombinationen 6, 433 sind nicht überzeugend). Zu M., vielleicht der praefectus urbis von 375, vgl. Seeck, Briefe des Libanius S. 205. 33 Die Formel der Gruppe um Akakios von Seleukeia 359 ist bei Athan. nur teilweise überliefert. Die ganze Urkunde mit Unterschriften steht bei Epiph. haer. 73, 25, 1 ff. Sokr. II 40, 8—17 entnimmt sie etwas gekürzt dem Sabinus. Regest bei Sozom. IV 22, 14—18. Noten s. Bd. III.

BKPO R

8 τὴν[a] + δὲ B | τὴν γενεὰν > P | τίς > K* 9 ἐγέννησε τὸν υἱὸν ~ K 12 θεότητι BO 19 εἰληφέναι R Sokr. 20 αἱ γραφαὶ πᾶσαι ~ K 21 ὁ διδάσκαλος > B 25 τῆς R τῆς ἁγίας BKPO 33 a. Rd. Θ́ R

καινοτομεῖσθαι ὑπό τινων τὸ ἀνόμοιον υἱοῦ πρὸς πατέρα, τούτου χάριν τὸ μὲν ὁμοούσιον
M 745 A καὶ τὸ ὁμοιοούσιον ¹ ἐκβάλλομεν ὡς ἀλλότριον τῶν γραφῶν, τὸ δὲ ἀνόμοιον ἀναθεμα-
4 τίζομεν καὶ πάντας, ὅσοι τοιοῦτοι τυγχάνουσιν, ἀλλοτρίους ἡγούμεθα τῆς ἐκκλησίας. τὸ
δὲ ὅμοιον τοῦ υἱοῦ πρὸς τὸν πατέρα σαφῶς ὁμολογοῦμεν κατὰ τὸν ἀπόστολον τὸν λέγοντα
5 περὶ τοῦ υἱοῦ· »ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου«. ὁμολογοῦμεν δὲ καὶ πιστεύο-
μεν εἰς ἕνα θεόν, πατέρα, παντοκράτορα, τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν πάντων
6 καὶ ἀοράτων. πιστεύομεν δὲ καὶ εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν υἱὸν
αὐτοῦ, τὸν ἐξ αὐτοῦ γεννηθέντα ἀπαθῶς πρὸ πάντων τῶν αἰώνων, θεὸν λόγον, θεὸν
ἐκ θεοῦ μονογενῆ, φῶς, ζωήν, ἀλήθειαν, σοφίαν, δύναμιν, δι' οὗ τὰ πάντα ἐγένετο, τὰ
7 ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς εἴτε ὁρατὰ εἴτε ἀόρατα. τοῦτον πιστεύομεν ἐπὶ
B συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν τῆς ἁμαρτίας σάρκα ἀνειληφέναι ἐκ τῆς ἁγίας παρ-
θένου καὶ ἐνανθρωπήσαντα, παθόντα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν καὶ ἀναστάντα καὶ
ἀναληφθέντα εἰς οὐρανοὺς καθέζεσθαι ἐν δεξιᾷ τοῦ πατρός, πάλιν ἐρχόμενον ἐν δόξῃ
8 κρῖναι ζῶντας καὶ νεκρούς. πιστεύομεν καὶ εἰς τὸ ἅγιον πνεῦμα, ὃ καὶ παράκλητον
ὠνόμασεν ὁ σωτὴρ καὶ κύριος ἡμῶν ἐπαγγειλάμενος μετὰ τὸ ἀπελθεῖν αὐτὸν πέμψαι
τοῖς μαθηταῖς τοῦτο, ὃ καὶ ἀπέστειλε, δι' οὗ καὶ ἁγιάζει τοὺς ἐν τῇ ἐκκλησίᾳ πιστεύοντας
9 καὶ βαπτιζομένους ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. τοὺς δὲ παρὰ
ταύτην τὴν πίστιν ἄλλο τι κηρύττοντας ἀλλοτρίους οἶδεν ἡ καθολικὴ ἐκκλησία. ὅτι
C δὲ ταύτῃ τῇ πίστει ἰσοδυναμεῖ καὶ ἡ ἐν Σιρμίῳ πρώην ἐκτεθεῖσα πίστις ἐπὶ τῆς εὐσεβείας
τοῦ βασιλέως ἡμῶν γνωρίζουσιν οἱ ἐντυγχάνοντες.

30, 1 Ταῦτα γράψαντες ἐν τῇ Ἰσαυρίᾳ ἀνελθόντες εἰς τὴν Κωνσταντινούπολιν ὥσπερ
μεταγνόντες ἤλλαξαν συνήθως ταῦτα καὶ προσθέντες λεξείδιά τινα, ὥστε μηδὲ 'ὑπόστασιν'
B 747 λέγειν ἐπὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ¹ διεπέμψαντο αὐτὰ τοῖς ἐν Ἀριμήνῳ
καὶ ἠνάγκαζον καὶ τοὺς ἐν τοῖς μέρεσι τούτοις ὑπογράφειν, τοὺς δὲ ἀντιλέγοντας αὐτοῖς
ἐποίουν ἐξορίζεσθαι παρὰ Κωνσταντίου. ἔστιν οὖν ταῦτα·

2 Πιστεύομεν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, ἐξ οὗ τὰ πάντα, καὶ εἰς τὸν μονο-
γενῆ υἱὸν τοῦ θεοῦ, τὸν πρὸ πάντων αἰώνων καὶ πρὸ πάσης ἀρχῆς γεννηθέντα ἐκ τοῦ
M 748 A 3 θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο, τὰ ¹ ὁρατὰ καὶ τὰ ἀόρατα, γεννηθέντα δὲ μονογενῆ,
μόνον ἐκ μόνου τοῦ πατρός, θεὸν ἐκ θεοῦ, ὅμοιον τῷ γεννήσαντι αὐτὸν πατρὶ κατὰ τὰς
4 γραφάς, οὗ τὴν γένεσιν οὐδεὶς γινώσκει εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατήρ. τοῦτον

5 Col. 1, 15 21 Seit Montfaucon, dem Tillemont 8, 195 beistimmt, bis in die jüngste Zeit wird c. 30. 31 als ein späterer Zusatz des Athan. zu seiner 359 verfaßten Schrift betrachtet (auch Schwartz NGG 1905, 299). Diese Auffassung geht davon aus, daß die Worte S. 231, 3 περὶ τῆς καὶ νῦν θρυλουμένης συνόδου die noch laufenden oder gerade abgeschlossenen Synoden zur Voraussetzung haben. Überhaupt soll die Schrift die Geschichte der Synoden von Rimini und Seleukeia zum Gegenstand haben. Mit dieser Auffassung läßt sich aber die Schrift nicht verstehen, vgl. S. 231 Note. Daher möchte ich nicht die c. 30. 31 einer späteren Redaktion zuschreiben, sondern die beiden Abschnitte zum Ausgangspunkt für die Datierung nehmen: nach dem Tode des Konstantius und vor der alexandrinischen Synode von 362 22 Die in Seleukeia gescheiterten Verhandlungen wurden in Konstantinopel am Hofe fortgesetzt. Akakios erreicht die Annahme seiner Formel von Seleukeia und die Beseitigung des Basilius und seiner Gruppe; da eine zu große Anzahl von Zeugnissen vorliegen, sei auf Gummerus S. 145ff. und Schwartz ZNW 34 (1935) 156ff. verwiesen. Die Synode tagte ab Mitte Dez. 359 26 Die Formel von Konstantinopel überlieferte neben Athan. unabhängig: Sokr. II 41, 8—16, Thdt. h. e. II 21, 3—7. Noten s. Bd. III

BKPO R

3 πάντες KO 6 πατέρα > B 14 nach νεκρούς Rasur von etwa 5 Buchst. R 19 ἰσοδυναμοῖ KO 21 τῇ > K 23 ἐν > B 26 a. Rd. Ι R

οἴδαμεν μονογενῆ θεοῦ υἱὸν πέμποντος τοῦ πατρὸς παραγεγενῆσθαι ἐκ τῶν οὐρανῶν,
ὡς γέγραπται, ἐπὶ καταλύσει τῆς ἁμαρτίας καὶ τοῦ θανάτου καὶ γεννηθέντα ἐκ 5
πνεύματος ἁγίου, ἐκ Μαρίας τῆς παρθένου τὸ κατὰ σάρκα, ὡς γέγραπται, καὶ ανα-
στραφέντα μετὰ τῶν μαθητῶν καὶ πάσης τῆς οἰκονομίας πληρωθείσης κατὰ τὴν πατρικὴν
βούλησιν σταυρωθέντα καὶ ἀποθανόντα καὶ ταφέντα καὶ εἰς τὰ καταχθόνια κατεληλυ-
θέναι, ὅντινα καὶ αὐτὸς ὁ ᾅδης ἔπτηξεν, ὅστις καὶ ἀνέστη ἐκ τῶν νεκρῶν τῇ τρίτῃ 6
ἡμέρᾳ καὶ διέτριψε μετὰ τῶν μαθητῶν, καὶ πληρωθεισῶν τεσσαράκοντα ἡμερῶν ἀνελήφθη B
εἰς τοὺς οὐρανοὺς καὶ καθέζεται ἐν δεξιᾷ τοῦ πατρὸς ἐλευσόμενος ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ
τῆς ἀναστάσεως ἐν τῇ πατρικῇ δόξῃ, ἵνα ἀποδῷ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. καὶ 7
εἰς τὸ ἅγιον πνεῦμα, ὅπερ αὐτὸς ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς ὁ Χριστὸς ὁ κύριος καὶ ὁ θεὸς
ἡμῶν ἐπηγγείλατο πέμπειν τῷ γένει τῶν ἀνθρώπων παράκλητον, καθάπερ γέγραπται·
»τὸ πνεῦμα τῆς ἀληθείας«, ὅπερ αὐτοῖς ἔπεμψεν, ὅτε ἀνῆλθεν εἰς τοὺς οὐρανούς. τὸ 8
δὲ ὄνομα τῆς οὐσίας, ὅπερ ἁπλούστερον ὑπὸ τῶν πατέρων ἐτέθη, ἀγνοούμενον δὲ τοῖς
λαοῖς σκάνδαλον ἔφερε, διότι μηδὲ αἱ γραφαὶ τοῦτο περιέχουσιν, ἤρεσε περιαιρεθῆναι
καὶ παντελῶς μηδεμίαν μνήμην τοῦ λοιποῦ γίνεσθαι, ἐπειδήπερ καὶ αἱ θεῖαι γραφαὶ
οὐδαμῶς ἐμνημόνευσαν περὶ οὐσίας πατρὸς καὶ υἱοῦ. καὶ γὰρ οὐδὲ ὀφείλει ὑπόστασις 9
περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὀνομάζεσθαι. ὅμοιον δὲ λέγομεν τῷ πατρὶ C
τὸν υἱόν, ὡς λέγουσιν αἱ θεῖαι γραφαὶ καὶ διδάσκουσι. πᾶσαι δὲ αἱ αἱρέσεις, αἵ τε 10
ἤδη πρότερον κατεκρίθησαν, καὶ αἵτινες ἐὰν καινότεραι γένωνται, ἐναντίαι τυγχάνουσαι
τῆς ἐκτεθείσης ταύτης γραφῆς, ἀνάθεμα ἔστωσαν.

Ἀλλ' οὐδὲ τούτοις ἐνέμειναν. κατελθόντες γὰρ ἀπὸ Κωνσταντινουπόλεως εἰς τὴν 31, 1
Ἀντιόχειαν μετέγνωσαν, ὅτι ὅλως ἔγραψαν 'ὅμοιον τῷ πατρὶ τὸν υἱὸν ὡς λέγουσιν αἱ
γραφαί.' καὶ συνθέντες ἅπερ ἐπενόησαν ἤρξαντο πάλιν ἀνατρέχειν εἰς τὰ πρῶτα ἑαυτῶν
καὶ λέγειν | ὅτι 'παντελῶς ἀνόμοιός ἐστιν ὁ υἱὸς τῷ πατρὶ καὶ κατ' οὐδένα τρόπον ὅμοιός B 748
ἐστιν ὁ υἱὸς τῷ πατρί.' τοσοῦτον μετεβάλοντο ὡς καὶ | τοὺς τὰ Ἀρείου γυμνότερον 2 M 749 A
λέγοντας προσδέχεσθαι καὶ τὰς ἐκκλησίας αὐτοῖς παραδιδόναι, ἵνα ἐπ' ἀδείας τὰ τῆς

12 Joh. 16, 13 22 Die Synode fand in Antiochien 361 (Sokr. II 45, 10) statt. Wahrscheinlich zu Beginn des Jahres, da Konstantius in Antiochien überwinterte (Amm. XX 11, 32) und zum letzten Male am 14. 2. 361 dort nachweisbar ist (Cod. Theod. XVI 2, 16). Die Synode hatte zum wesentlichen Gegenstand die Absetzung des kurz vorher (nach Chrysost. hom. in Melet. 1; II 519 D/E Montf.) inthronisierten Meletius, dem man die Reinigung des Klerus von den Anhängern des Eudoxius zum Vorwurf machte (Philost. S. 230, 14 Bidez; Hieron. chron. ol. 284, 4, S. 241, 24ff. Helm) und den man auf Grund einer in Gegenwart des Kaisers gehaltenen Predigt (Epiph. haer. 73, 29—31; III 303ff.) absetzte (Thdt. h. e. II 31, 5 ff. Sokr. II 44, 5ff. Philost. V 5), um Euzoius, den alten Genossen des Arius (vgl. S. 222, 17) aus Alexandrien, zum antiochenischen Bischof zu machen, vgl. Schwartz ZNW 34 (1935) 163 23 Sokr. II 45, 10ff. ist als einziger über die Formel von Antiochien unterrichtet. Danach gab es eine Erörterung über das Symbol zwischen den Anhängern extremer Anschauungen (gemeint ist Euzoius und sein Bischof Georg, dazu die Aetianer in Antiochien; Sokr. II 45, 14 identifiziert Georg fälschlich mit dem von Laodicea, § 15 hat Sokr. das Richtige) und den Vertretern der Konstantinopler Formel (Sokr. nennt sie Meletianer). Sokr. nennt die Einwände des Euzoius (§ 10 ist teilweise nach Athan. formuliert): ὅτι κατὰ πάντα ἀνόμοιος ὁ υἱὸς τῷ πατρί, οὐ μόνον κατὰ τὴν οὐσίαν, ἀλλὰ δὴ καὶ κατὰ βούλησιν· ἐξ οὐκ ὄντων τε αὐτὸν . . . γενέσθαι ἀπεφήναντο. Auf die Einwände der »Meletianer« erklärt man (§ 13): οὕτως εἴρηται τὸ ἐκ θεοῦ ὡς εἴρηται παρὰ τῷ ἀποστόλῳ· »τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ«. ἓν οὖν τῶν πάντων, καὶ ὁ υἱός ἐστιν τοῦ θεοῦ. καὶ διὰ τοῦτο πρόσκειται ἐν ταῖς ἐκδόσεσι τὸ κατὰ τὰς γραφὰς (vgl. oben Z. 18), vgl. dazu Epiph. haer. 73, 21, 3 (III 294, 4). Doch hat Euzoius die Formel von Konstantinopel unterschrieben, Sokr. II 45, 14

BKPO R

1 παραγεγενῆσθαι R Sokr. Thdt. παραγ. αὐτὸν BKPO 5f. κατεληλυθότα Montf. 6 ἐκ] ἀπὸ R
10 ὁ¹ POR > BK 19 τυγχάνου σι K

3 βλασφημίας προσφέρωσι. διὰ γοῦν τὴν πολλὴν ἀναίδειαν τῆς ἀσεβείας αὐτῶν
Ἀνόμοιοι παρὰ πᾶσιν ἐκλήθησαν ἔχοντες καὶ τὴν ʽἐξουκόντιονʼ ἐπωνυμίαν καὶ τὸν
αἱρετικὸν Κωνστάντιον προστάτην τῆς ἀσεβείας αὐτῶν, ὃς μέχρι τέλους διαμείνας ἐν
ἀσεβείᾳ καὶ λοιπὸν ἀποθνήσκων ἔδοξε βαπτίζεσθαι, οὐ παρὰ εὐσεβῶν ἀνδρῶν, ἀλλʼ
ὑπὸ Εὐζωίου τοῦ διὰ τὴν ἀρειανὴν αἵρεσιν οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις καθαιρεθέντος,
καὶ ὅτε διάκονος ἦν, καὶ ὅτε ἐν Ἀντιοχείᾳ ἐκαθέσθη.
32, 1 Τέως μὲν οὖν ἄχρι τούτου φθάσαντες ἔστησαν καὶ καθῃρέθησαν οἱ προειρημένοι.
ἀλλʼ οὐδὲ οὕτως εὖ οἶδα ὅτι στήσονται, ὅσοι καὶ νῦν ὑπεκρίναντο, ἀεὶ δὲ συστάσεις
B ποιήσουσι κατὰ τῆς ἀληθείας, ἕως ἂν εἰς ἑαυτοὺς ἐλθόντες εἴπωσι καὶ οὗτοι· ʽἀναστάντες
πορευσώμεθα πρὸς τοὺς πατέρας ἑαυτῶν καὶ ἐροῦμεν αὐτοῖς· ἀναθεματίζομεν μὲν τὴν
ἀρειανὴν αἵρεσιν, ἐπιγινώσκομεν δὲ τὴν ἐν Νικαίᾳ σύνοδονʼ. πρὸς ταύτην γὰρ ἔχουσι
2 τὴν ἔριν. τίς οὖν ἔτι κἂν ὀλίγην αἴσθησιν ἔχων ἀνέξεται τούτων; τίς βλέπων καθʼ
ἑκάστην σύνοδον τὰ μὲν ἀφαιρούμενα, τὰ δὲ προστιθέμενα οὐ συνορᾷ τούτους ὕποπτον
καὶ ὕπουλον ἔχοντας κατὰ Χριστοῦ τὴν διάνοιαν; τίς ὁρῶν αὐτοὺς διὰ μακρῶν ἐκτείνοντας
ἑαυτῶν τήν τε τῆς πίστεως σύνθεσιν καὶ τὴν ἀπολογίαν περὶ ὧν ἐγκαλοῦνται οὐχ ὁρᾷ
τούτους καταγινώσκοντας ἑαυτῶν καὶ πολλὰ γράφοντας ἐπίτηδες, ἵνα δόξωσι διὰ τῆς
C ἀκαίρου φιλοτιμίας καὶ τῆς τοσαύτης πολυλογίας ὑφαρπάζειν τοὺς ἀκεραίους καὶ λαν-
3 θάνειν οἷοι τὴν αἵρεσιν τυγχάνουσιν ὄντες; ἀλλʼ ὥσπερ οἱ ἐθνικοί, ὡς εἶπεν ὁ κύριος,
βαττολογοῦντες ἐν ταῖς εὐχαῖς οὐδὲν ὠφελοῦσιν, οὕτως οὗτοι τοσαῦτα καταντλήσαντες
οὐκ ἠδυνήθησαν σβέσαι τὴν κατὰ τῆς ἀρειανῆς αἱρέσεως κρίσιν, ἀλλὰ καὶ μᾶλλον ἐλεγ-
χθέντες καθῃρέθησαν, καὶ εἰκότως γε. ποίαν γὰρ αὐτῶν ὁ ἀκούων ἀποδέξεται συγ-
4 γραφήν; ἢ ποίᾳ θαρρήσαντες αὐτοὶ κατηχήσουσι τοὺς ἐρχομένους πρὸς αὐτούς; εἰ
μὲν γὰρ αἱ πᾶσαι μίαν καὶ τὴν αὐτὴν ἔχουσι συμφωνίαν, τίς ἡ χρεία τῶν πολλῶν; εἰ
δὲ τοσούτων χρεία γέγονε, δῆλόν ἐστιν ἑκάστην ἐνδεῆ καὶ μὴ πλήρη τυγχάνειν. καὶ
D τοῦτο μᾶλλον ἡμῶν αὐτοὶ διελέγχουσιν ἐν τῷ πάσας ἐναλλάττειν καὶ μεταποιεῖν. τὸ δὲ
πλῆθος τῶν συνόδων καὶ ἡ διαφορὰ τῶν γραφομένων δείκνυσι τοὺς ἐν αὐταῖς συνελθόντας
μαχομένους μὲν πρὸς τὴν ἐν Νικαίᾳ σύνοδον, ἀσθενοῦντας δὲ πρὸς τὴν ἀλήθειαν.
33, 1 Ἐπειδὴ δὲ οὕτως αὐτοὶ πρός τε ἑαυτοὺς καὶ πρὸς τοὺς πρὸ ἑαυτῶν διετέθησαν,
B 749 φέρε λοιπὸν ἡμεῖς ἐξετάσαντες μάθωμεν παρʼ αὐτῶν, | ποῖον ἄτοπον ἄρα θεωρήσαντες
M 752 A ἢ τίνα λέξιν αἰτιώμενοι τῶν | ἐγγεγραμμένων ἀπειθεῖς μὲν γονεῦσι γεγόνασι, διαμάχονται
δὲ πρὸς οἰκουμενικὴν σύνοδον. τὸ ἐκ τῆς οὐσίας, φησί, καὶ τὸ ὁμοούσιον οὐκ ἤρεσεν
2 ἡμῖν· ταῦτα γάρ τινας ἐσκανδάλισε καὶ πολλοὺς ἐθορύβησεν. ἐκεῖνοι μὲν οὖν οὕτω
γράφοντες εἰρήκασιν, ἀπαντήσειε δʼ ἄν τις αὐτοῖς εὐλόγως οὕτως· ʽεἰ μὲν οὖν αὐτὰ

4 Konstantius wurde von Euzoius in Antiochien getauft Sokr. II 47, 3; nach Philost. VI 5 (74, 1; 73, 25ff.; 226, 2ff.) empfing K. die Taufe in Mopsukrene, wo er am 3. 11. 361 starb (Philost. S. 226, 5 Bidez; Consul. Const. in: Mommsen, Chron. min. 1, 240; Sokr. II 47, 4) 5 Zu Euzoius vgl. S. 222, 17 7 καθῃρέθησαν, d. h. von der Synode von Rimini (vgl. S. 236, 30ff.; 261, 5), die Athan. noch später als orthodoxe Synode gilt (ep. ad Afros. 3 S. 311, 23ff.), obwohl er von dem Umfall der Abordnung weiß. Daher kann diese Anspielung keinen Anhalt zur Datierung der Schrift geben; Athan. liegt nichts an dem Verlauf der Synoden, sondern allein daran, daß in Rimini zunächst alle früheren Symbole zugunsten des Nicänums verurteilt wurden. Es geht Ath. allein um die Rechtfertigung des Nicänums 8 νῦν ὑπεκρίναντο: bis jetzt Symbole erheuchelt haben 18 Vgl. Mt. 6, 7 28 Von c. 33—40 Polemik gegen die Gruppe um Akakios und Eudoxius 31 Vgl. S. 259, 13ff.; 257, 35ff.; 236, 10ff.; 257, 3ff.

BKPO R 28—277, 23 = Euthymios Zigabenos, Panoplia dogm. XI (Migne PG 130, 457 Dff.) = z (cod. Vatic. gr. 666 f. 179b)

1 πολλὴν + ἀσεβείαν B, aber exp. | ἀσεβείας KPOR βλασφημίας B 9 ἑαυτὸν B 10 πρὸς] εἰς B | μὲν > R 13 οὐ συνορᾷ doppelt B, aber exp. 23 συμφωνίαν ἔχουσι ~ K 28 ἑαυτῶν] αὐτῶν Kz 33 αὐτοῖς KPOR αὐτοὺς B > z

τὰ ῥήματα καθ' ἑαυτὰ τυγχάνει ὄντα αἴτια τούτοις εἰς σκάνδαλον, ἔδει μή τινας σκαν-
δαλίζεσθαι μηδὲ πολλοὺς θορυβεῖσθαι, ἀλλὰ καὶ ἡμᾶς καὶ τοὺς ἄλλους πάντας ταὐτὸν
ἐκείνοις πάσχειν ἐξ αὐτῶν· εἰ δὲ οἱ μὲν πάντες ἀγαπῶσι τὰ ῥήματα, οἱ δὲ ταῦτα γράψαντες
οὐχ οἱ τυχόντες, ἀλλ' οἱ ἐκ πάσης τῆς οἰκουμένης συνελθόντες εἰσὶ καὶ τούτοις ἐπιμαρτυ-
ροῦσιν οἱ νῦν ἐν τῇ 'Αριμήνῳ συνελθόντες ἐπίσκοποι υ' καὶ πλείους, πῶς οὐκ ἄντικρυς
ἐλέγχει τοῦτο τοὺς κατὰ τῆς συνόδου λέγοντας, ὡς οὐ τὰ ῥήματά ἐστιν αἴτια, ἀλλ' ἡ B
κακόνοια τῶν παρεξηγουμένων τὰ τοιαῦτα; πόσοι κακῶς ἐντυγχάνοντες ταῖς θείαις 3
γραφαῖς καὶ παρανοοῦντες ταύτας κατηγοροῦσι τῶν ἁγίων, οἷοι γεγόνασιν οἱ μὲν τότε
'Ιουδαῖοι μὴ δεξάμενοι τὸν κύριον, οἱ δὲ νῦν Μανιχαῖοι βλασφημοῦντες τὸν νόμον, καὶ
οὐχ αἱ γραφαὶ γεγόνασιν αὐτοῖς αἴτιαι, ἀλλ' ἡ σφῶν αὐτῶν κακοφροσύνη. εἰ μὲν 4
οὖν ἀποδεῖξαι δύνασθε τὰ ῥήματα φαῦλα, τοῦτο ποιεῖτε, καὶ λόγος ἡγείσθω τῆς ἀπο-
δείξεως· καὶ μὴ προφασίζεσθε τοὺς σκανδαλιζομένους, ἵνα μὴ ταὐτὸν πάθητε τοῖς τότε
Φαρισαίοις. καὶ γὰρ κἀκείνων προφασιζομένων σκανδαλίζεσθαι ἐπὶ ταῖς τοῦ κυρίου
διδαχαῖς ἔλεγεν αὐτοῖς ὁ κύριος· »πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος C
ἐκριζωθήσεται«. τοῦτο δὲ λέγων ἐδείκνυεν ὡς οὐ τὰ τοῦ πατρὸς δι' αὐτοῦ φυτευόμενα 5
ῥήματα σκάνδαλον ἦσαν αὐτοῖς, ἀλλ' αὐτοὶ κακῶς ἐκδεχόμενοι τὰ καλῶς λεγόμενα ἐσκαν-
δάλιζον ἑαυτούς. ἐπεὶ καὶ οἱ αἰτιώμενοι τότε τὰς ἐπιστολὰς τοῦ ἀποστόλου, οὐ τοῦ
Παύλου, ἀλλὰ τῆς ἑαυτῶν ἀμαθίας καὶ στρεβλῆς διανοίας κατηγόρουν.
'Επεὶ (καλὸν γὰρ αὐτοὺς ἐρέσθαι τοῦτο) εἴπατε, τίνες εἰσὶν οὓς προφασίζεσθε σκαν- **34, 1**
δαλίζεσθαι καὶ θορυβεῖσθαι ἐπὶ τούτοις; τῶν μὲν γὰρ εὐσεβούντων εἰς τὸν Χριστὸν οὐ-
δείς, αὐτὰ γὰρ πρεσβεύουσι καὶ ἐκδικοῦσιν. εἰ δὲ τῶν 'Αρειανῶν εἰσιν οἱ τοῦτο πάσχοντες,
τί θαυμαστόν, εἰ ἐπὶ τοῖς ἀναιροῦσιν αὐτῶν τὴν αἵρεσιν ἄχθονται; οὐ γάρ ἐστιν αὐτοῖς
σκάνδαλον τὰ ῥήματα, ἀλλὰ λύπη ὅτι στηλογραφία κατὰ τῆς ἀσεβείας αὐτῶν ἐστιν. D
οὐκοῦν παύσασθε γογγύζοντες κατὰ τῶν πατέρων καὶ τοιαῦτα προφασιζόμενοι, ἐπεὶ 2
ὥρα ὑμᾶς καταμέμφεσθαι καὶ τῷ κυριακῷ σταυρῷ ὅτι »'Ιουδαίοις μὲν σκάνδαλόν ἐστιν,
ἔθνεσι δὲ μωρία«, ὡς εἶπεν ὁ ἀπόστολος. ἀλλ' ὥσπερ οὐ φαῦλος ὁ σταυρός· ἡμῖν | γὰρ τοῖς M 753 A
πιστεύουσίν ἐστι »Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία«, κἂν 'Ιουδαῖοι μαίνωνται, οὕτως
οὐ φαῦλα τὰ τῶν πατέρων ῥήματα, | ἀλλ' ὠφέλιμα τοῖς γνησίως ἐντυγχάνουσι καὶ ἀναι- B 750
ρετικὰ πάσης ἀσεβείας ἐστί, κἂν οἱ 'Αρειανοὶ πολλάκις διαρρηγνύωνται κατακρινόμενοι
παρ' αὐτῶν. ὅτε τοίνυν ἡ περὶ τῶν σκανδαλιζομένων ἀπίθανος δέδεικται πρόφασις, 3
εἴπατε λοιπὸν ὑμεῖς, πῶς οὐκ ἀρέσκεσθε τῷ ἐκ τῆς οὐσίας ὀνόματι; τοῦτο γὰρ πρῶτον
ἀναγκαῖον ἀνακρῖναι, καίτοι καὶ ὑμεῖς ἐγράψατε ἐκ τοῦ πατρὸς γεγεννῆσθαι τὸν υἱόν.
εἰ μὲν οὖν τὸν πατέρα ὀνομάζοντες ἢ τὸ θεὸς ὄνομα λέγοντες οὐκ οὐσίαν σημαίνετε οὐδὲ 4
αὐτὸν τὸν ὄντα ὅπερ ἐστὶ κατ' οὐσίαν νοεῖτε, ἀλλ' ἕτερόν τι περὶ αὐτὸν ἢ τὸ γοῦν χεῖρον,
ἵνα μὴ παρ' ἐμοῦ λέγηται, διὰ τούτων σημαίνετε, ἔδει μὴ γράφειν ὑμᾶς 'ἐκ τοῦ πατρὸς' τὸν
υἱόν, ἀλλ' 'ἐκ τῶν περὶ αὐτὸν ἢ τῶν ἐν αὐτῷ', ἵνα φεύγοντες λέγειν ἀληθῶς πατέρα τὸν B
θεὸν σύνθετον δὲ τὸν ἁπλοῦν καὶ σωματικῶς αὐτὸν ἐπινοοῦντες καινοτέρας βλασφημίας

---

5 Vgl. S. 235, 19 14 Mt. 15, 13 18 Vgl. II. Cor. 10, 10 25 I. Cor. 1, 23 27 I. Cor. 1, 24 32 Vgl. S. 258, 27. 28; 257, 10 33 θεός: S. 258, 29; 235, 32 35 Vgl. de decr. 22, 5 S. 19, 8f. 36 de decr. 22, 1 S. 18, 22 37 Ebenda S. 18, 21ff.

BKPO R z

---

1 τούτοις εἰς σκάνδαλον αἴτια ~ P 4 εἰσὶ — 5 συνελθόντες > K 5 υ'] τετρακόσιοι z | πλείους + οἱ νῦν ἐν τῇ — πλείους K 6 ὡς] ὥστε z 7 κακόνοια a. Rd. wiederholt B | θείαις > z 11 λόγος — 12 καὶ > z 13 σκανδαλίζεσθαι προφασιζομένων ~ z 21 αὐτὰ] αὐτῷ R | τοῦτο] ταῦτα B 22 τί] τὸ R | τὴν ἀναίρεσιν αὐτῶν ~ K | αὐτοῖς] αὐτῶν z 24 τοιαῦτα > z 25 τῷ κυριακῷ σταυρῷ BKOR τοῦ κυριακοῦ σταυροῦ P τὸν κυριακὸν σταυρὸν z | ὅτε R 26 ἔθνεσι BKPOR Ἕλλησι z 30 δέδεικται] δείκνυται B 37 δὲ B^c μὲν B* | ἐπινοοῦντες αὐτὸν ~ K

ἐφευρεταὶ γένησθε. οὕτω δὲ νοοῦντες ἐξ ἀνάγκης καὶ τὸν λόγον καὶ τὸ υἱὸς οὐκ οὐσίαν,
ἀλλ' ὄνομα μόνον νομίζετε καὶ λοιπὸν ἄχρις ὀνομάτων ἔχετε τὴν ἑαυτῶν φαντασίαν· καὶ
ἃ λέγετε οὐκ εἶναι πιστεύετε, ἀλλὰ μὴ εἶναι φρονεῖτε.
35, 1 Τοῦτο δὲ Σαδδουκαίων μᾶλλον καὶ τῶν παρ' Ἕλλησι λεχθέντων ἀθέων ἐστὶ τὸ τόλ-
C μημα. διὸ οὐδὲ τὴν κτίσιν αὐτοῦ τοῦ ὄντος θεοῦ δημιούργημα εἶναι φήσετε, εἴ γε τὸ πατὴρ
καὶ τὸ θεὸς οὐκ αὐτὴν τὴν τοῦ ὄντος οὐσίαν σημαίνουσιν, ἀλλ' ἕτερόν τι ὅπερ ὑμεῖς
2 ἀναπλάττετε. ἀλλὰ τοῦτο δυσσεβὲς καὶ λίαν ἀπρεπές ἐστι καὶ μόνον ἐνθυμεῖσθαι. εἰ
δὲ ὅταν ἀκούωμεν »ἐγώ εἰμι ὁ ὢν« καὶ »ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν«
καὶ »ἄκουε Ἰσραήλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστι« καὶ »τάδε λέγει κύριος παντοκρά-
τωρ«, οὐχ ἕτερόν τι ἀλλ' αὐτὴν τὴν ἁπλῆν καὶ μακαρίαν καὶ ἀκατάληπτον τοῦ ὄντος
οὐσίαν νοοῦμεν, κἂν γὰρ ἀδυνάτως ἔχωμεν καταλαβεῖν, ὅ τι ποτέ ἐστιν, ἀλλ' ἀκούοντες
τὸ πατὴρ καὶ τὸ θεὸς καὶ τὸ παντοκράτωρ οὐχ ἕτερόν τι, ἀλλ' αὐτὴν τὴν τοῦ ὄντος οὐσίαν
3 σημαινομένην νοοῦμεν. εἰρήκατε δὲ καὶ ὑμεῖς 'ἐκ τοῦ θεοῦ τὸν υἱόν', δηλονότι 'ἐκ τῆς
D οὐσίας τοῦ πατρὸς' αὐτὸν εἰρήκατε. ἐπειδὴ δὲ καὶ πρὸ ὑμῶν λέγουσιν αἱ γραφαὶ τὸν κύριον
υἱὸν τοῦ πατρός, καὶ πρὸ αὐτῶν αὐτὸς ὁ πατὴρ εἴρηκεν »οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγα-
4 πητός«, υἱὸς δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ ἐκ τοῦ πατρὸς γέννημα· πῶς οὐ φαίνονται
M 756 A καλῶς ' εἰρηκότες οἱ πατέρες ἐκ τῆς οὐσίας τοῦ πατρὸς τὸν υἱὸν λογισάμενοι ταυτὸν εἶναι
τὸ εἰπεῖν ὀρθῶς ἐκ τοῦ θεοῦ καὶ τὸ εἰπεῖν ἐκ τῆς οὐσίας; τὰ μὲν γὰρ κτίσματα πάντα, κἂν
ἐκ τοῦ θεοῦ λέγηται γεγενῆσθαι, ἀλλ' οὐχ ὡς ὁ υἱός εἰσιν ἐκ τοῦ θεοῦ· οὐ γὰρ γεννήματα,
B 751 5 ' ἀλλὰ ποιήματά εἰσι τὴν φύσιν. »ἐν ἀρχῇ γοῦν ὁ θεὸς« οὐκ 'ἐγέννησεν' ἀλλ' »ἐποίησε
τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς« εἴρηται. καὶ οὐχ 'ὁ γεννῶν' ἀλλ' »ὁ
6 ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα«. εἰ
δὲ ὁ ἀπόστολος εἴρηκεν· »εἷς θεός, ἐξ οὗ τὰ πάντα«, ἀλλ' οὐ τὸν υἱὸν συναριθμῶν τοῖς πᾶσι
τοῦτό φησιν. ἀλλ' ἐπειδὴ τῶν Ἑλλήνων οἱ μὲν νομίζουσι κατὰ τύχην καὶ ἐξ ἀτόμων συμ-
B πλοκῆς καὶ ὁμοιομερῶς ἐκ ταυτομάτου συνεστάναι τὴν κτίσιν καὶ μὴ ἔχειν τὸν αἴτιον, οἱ
δὲ ἐξ αἰτίου μὲν αὐτὴν γεγονέναι, οὐ μὴν καὶ διὰ τοῦ λόγου, τῶν δὲ αἱρετικῶν ἕκαστος
ὡς ἠθέλησεν ἀνεπλάσατο καὶ περὶ τῆς κτίσεως μυθολογεῖ, τούτου χάριν ὁ ἀπόστολος
7 ἀναγκαίως συνείρηκε τὸ ἐκ τοῦ θεοῦ· ἵνα καὶ τὸν ποιητὴν γνωρίσῃ καὶ τὴν ἐκ τοῦ βου-
λήματος αὐτοῦ τῶν πάντων δημιουργίαν ἀποδείξῃ, εὐθὺς δ' οὖν ἐπιφέρει »καὶ εἷς κύριος
Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα«, ἵνα τῶν πάντων ἐξάρῃ τὸν υἱόν. τὰ γὰρ 'ἐκ τοῦ θεοῦ'
λεγόμενα πάντα ταῦτα δι' υἱοῦ γέγονε καὶ οὐχ οἷόν τε ὁμοίαν ἔχειν τὰ δημιουργούμενα
τῷ δημιουργοῦντι τὴν γένεσιν, καὶ ἵνα τὸ 'ἐκ τοῦ θεοῦ' λεγόμενον ὧδε ἄλλως ἐπὶ τῶν
ποιημάτων αὐτὸ σημαίνεσθαι διδάξῃ, ἢ ὡς ἐπὶ υἱοῦ λεγόμενον νοεῖται. ὁ μὲν γὰρ γέννημα,
C τὰ δὲ ποιήματά ἐστι. διὸ καὶ ὁ μὲν υἱὸς ἴδιον τῆς οὐσίας γέννημα, τὰ δὲ τοῦ βουλήματος
δημιουργήματα.

---

2 De decr. 16, 1 S. 13, 20 6 De decr. 22, 4 S. 19, 4 Note 8 Ex. 3, 14. Gen. 1, 1, vgl. De decr. 22, 3 S. 18, 33 9 Dtn. 6, 4 — II. Reg. 7, 8 u. öfter 11 Vgl. ep. ad monachos 2 S. 182, 4 13 Vgl. S. 261, 32 15 Mt. 3, 17 16 = or. I. c. Arian. 14 (Migne 26, 41 C) 18 = De decr. 22, 4 S. 19, 1 19 = or. III. c. Arian. 60 (Migne 26, 449 C) 20 Gen. 1, 1 22 Ps. 103, 4 23 I. Cor. 8, 6 25 = De decr. 19, 3 S. 16, 11 Note 29 I. Cor. 8, 6 34 ἴδιον τῆς οὐσίας γέννημα = or. I. c. Arian. 9 (Migne 26, 28 C) 35 Vgl. or. III. c. Arian. 60. 61 (Migne 26, 449 C—452 A)

BKPO R z

---

1 τὸν > z | τὸ υἱὸς] υἱὸν z 4 δὲ > z | λεχθέντων > R z | ἀθέων] θεῶν z 7 εἰ] ἡμεῖς z 11 κἂν] καὶ z | ἔχομεν z 13 νοοῦμεν + 11 κἂν —13 νοοῦμεν B*, exp. B^c | εἰρηκότες z 14 ὑμῶν] ἡμῶν z 18 τὸ²] τῷ R^c | οὐσίας + τοῦ πατρὸς z | κἂν] εἰ καὶ z 19 λέγεται z 21 αὐτοῖς + ὡς z 24 ἀτόμων] αὐτομάτων B 25 ὁμοιομερῶς > z ὁμοιομερῶν P | ἐξ αὐτομάτου z 29 δ' οὖν BKPOR γοῦν z 30 ἐκ > B 31 ὁμοίαν Rz μίαν BKPO 33 αὐτὸ] αὐτὸς R | ἐπὶ + τοῦ K | υἱοῦ B^c θεοῦ B* 34 τοῦ KPOR z > B

Ταῦτα καὶ ἡ σύνοδος συνορῶσα καὶ εἰδυῖα τὴν ἐκ τῆς ὁμωνυμίας διαφορίαν ὑπὲρ τοῦ 36, 1
μή τινας ὑπονοεῖν κατὰ τὴν κτίσιν οὕτω λέγεσθαι καὶ τὸν υἱὸν 'ἐκ τοῦ θεοῦ' λευκότερον
ἔγραψαν 'ἐκ τῆς οὐσίας' τὸν υἱόν. ἐκ μὲν γὰρ τούτου τὸ γνήσιον ἀληθῶς υἱοῦ πρὸς 2
τὸν πατέρα γνωρίζεται, ἐκ δὲ τοῦ λέγεσθαι ἁπλῶς 'ἐκ τοῦ θεοῦ' τὸ βούλημα τῆς δημι-
ουργίας τοῦ κτίζοντος σημαίνεται. εἰ μὲν οὖν καὶ αὐτοὶ τοιαύτην ἔχοντες διάνοιαν
ἔγραψαν 'ἐκ τοῦ πατρὸς' τὸν λόγον, μὴ μεμφέσθωσαν τὴν σύνοδον· εἰ δὲ ὡς ἐπὶ τῆς κτί-
σεώς ἐστι γεγραμμένον, οὕτω καὶ ἐπὶ τοῦ υἱοῦ φρονοῦσι τὸ ἐκ τοῦ θεοῦ, ἔδει τὰ ἐπὶ τῆς D
κτίσεως λαμβάνοντας αὐτοὺς μὴ λέγειν υἱόν, ἵνα μὴ δοκῶσι φύρειν βλασφημίαν τῇ εὐσε-
βείᾳ καὶ ἢ τὸν κύριον μὴ συναριθμεῖν τοῖς κτίσμασιν ἢ μὴ | ἀνάξια καὶ μὴ ἁρμόζοντα M 757 A
περὶ τοῦ υἱοῦ γράφειν. εἰ γὰρ υἱός ἐστιν, οὐκ ἔστι κτίσμα· εἰ δὲ κτίσμα ἐστίν, οὐκ ἔστιν
υἱός. τοιαῦτα δὲ διανοούμενοι ἀρνήσονταί που καὶ τὸ ἅγιον λουτρόν, ὅτι εἰς πατέρα 3
καὶ εἰς υἱὸν καὶ οὐκ εἰς κτίστην καὶ κτίσμα δίδοται, ὡς αὐτοὶ νομίζουσιν. 'ἀλλ' οὐ γέ- 4
γραπται ταῦτα', φησίν, 'καὶ ὡς ἀγράφους τὰς φωνὰς ἐκβάλλομεν'. ἀλλὰ καὶ τοῦτο πάλιν
πρόφασις αὐτοῖς ἐστιν ἀναίσχυντος. εἰ γὰρ ἐκβλητέα | νομίζουσι τὰ μὴ γεγραμμένα, B 752
διὰ τί τῶν περὶ Ἄρειον ἐξ ἀγράφων ἐπινοησάντων τοσούτων ῥηματίων συρφετὸν τὸ
'ἐξ οὐκ ὄντων' καὶ τὸ 'οὐκ ἦν ὁ υἱὸς πρὶν γεννηθῇ καὶ ἦν ποτε ὅτε οὐκ ἦν καὶ τρεπτός ἐστι
καὶ ἄρρητος καὶ ἀόρατος ὁ πατὴρ τῷ υἱῷ καὶ ὁ υἱὸς οὐκ οἶδεν οὐδὲ τὴν ἑαυτοῦ οὐσίαν' καὶ
ὅσα ἐν τῇ γελοίῳ καὶ ἀσεβεῖ Θαλίᾳ ἑαυτοῦ φρονῶν ἐξήμεσεν Ἄρειος οὐκ ἀντειρήκασιν, B
ἀλλὰ καὶ μᾶλλον ὑπὲρ αὐτῶν ἀγωνίζονται καὶ διὰ ταῦτα πρὸς τοὺς πατέρας ἑαυτῶν δια-
μάχονται; ἐκ ποίας δὲ γραφῆς καὶ αὐτοὶ εὑρόντες τὸ ἀγένητον καὶ τὸ οὐσίας ὄνομα 5
καὶ 'τρεῖς εἰσιν ὑποστάσεις' καὶ 'οὐκ ἔστιν ἀληθινὸς θεὸς ὁ Χριστὸς' καὶ 'εἷς ἐστι τῶν ἑκατὸν
προβάτων' καὶ 'ἡ μὲν σοφία τοῦ θεοῦ ἀγέννητος καὶ ἄναρχός ἐστι, πολλαὶ δέ εἰσιν αἱ
κτισθεῖσαι δυνάμεις, ὧν μία ἐστὶν ὁ Χριστός'; ἢ πῶς ἐν τοῖς λεγομένοις Ἐγκαινίοις 6
ἀγράφοις χρησάμενοι λέξεσιν οἱ περὶ Ἀκάκιον καὶ Εὐσέβιον καὶ εἰπόντες 'οὐσίας τε καὶ
δυνάμεως καὶ βουλῆς καὶ δόξης ἀπαράλλακτον εἰκόνα τὸν πρωτότοκον τῆς κτίσεως'
γογγύζουσι κατὰ τῶν πατέρων ὡς ἀγράφων αὐτῶν μνημονευσάντων λέξεων καὶ οὐσίας C
μνημονευσάντων; ἔδει γὰρ αὐτοὺς ἢ καθ' ἑαυτῶν γογγύζειν ἢ μηδὲν τοὺς πατέρας
αἰτιᾶσθαι.

Εἰ μὲν οὖν ἄλλοι τινὲς ἐπροφασίζοντο τὰς τῆς συνόδου λέξεις, ἠδύναντό πως ἢ 37, 1
ἀγνοίας ἢ εὐλαβείας ὑπόνοιαν ἔχειν. καὶ περὶ μὲν Γεωργίου τοῦ Καππάδοκος τοῦ ἐκβληθέν-

---

10 ep. ad episc. Aeg. et Lib. 14 (Migne 25, 572 A) 12 Vgl. Synode von Ancyra 358, Epiph. 73, 3, 2 (III 271, 12 Note), or. II. c. Arian. 42 (Migne 26, 237 A) 13 So: S. 258, 2; 259, 14; 236, 13 16 ff. Vgl. Urk. 4[b], 7—10 (III 7, 20. 21; 8, 2. 4. 5) 18 Vgl. S. 242, 5 21 Vgl. S. 244, 8: τρεῖς εἰσιν ὑποστάσεις nur dort und in Antiochien 341 S. 249, 33 | S. 244, 28 21/22 S. 244, 15ff. 22 f. = or. II. c. Arian. 38 (Migne 26, 228 B): . . πολλὰς κτιστὰς δυνάμεις καὶ σοφίας εἶναι, τούτων δὲ μίαν εἶναι τὸν κύριον. Dies Zitat braucht trotz S. 246, 13 f. nicht von Asterius zu stammen (so Bardy, Lucien d'Antioche S. 345 nr. X), vgl. ferner or. I. c. Arian. 5 (Migne 26, 21 B/C). An allen diesen Stellen zieht Athan. Sätze der Gruppe um Aetius u. Eunomius an, um Akakios u. Eudoxios zu treffen 24 Akakios und Euseb v. Nikomedien als Führer der Kirchweihsynode: Sozom. III 5, 10 25 Vgl. S. 249, 17 30 Georg (vgl. hist. Arian. 75 S. 224, 29) wurde am 2. 10. 358 aus Alexandrien vertrieben (hist. Athan. 6. Cod. Veron. LX. fol. 107[a])

BKPO R z (5 εἰ — 12 νομίζουσιν > z) (20 ἐκ ποίας — 23 Χριστός > z)

---

1 διαφοράν P ἀδιαφορίαν z 2 κατὰ R* καὶ R[c] 5 κτίσαντος z 8 βλασφημία R* βλασφημίαν R[c] 9 κτίσμασιν] ποιήμασιν R 13 φασί R 14 ἐστιν αὐτοῖς ~ B 15 τοσούτων BKPO τοσοῦτον Rz | ῥημάτων z 17 ἄρρητος καὶ > z ὁ[1] + υἱὸς τῷ πατρὶ B*, exp. B[c] 18 τῇ] τῷ K | Θαλίᾳ Rz | αὐτοῦ BP > KO | ὁ Ἄρειος z | ἀντειρήκεισαν z 19 ταῦτα Rz ταῦτα καὶ BKPO | αὐτῶν KPO 19/20 διαμάχονται B[c] ἀντιμάχονται B* 22 ἀγένητος BKPO 23 δυνάμεις > P 27 μνημονευσάντων BKPOR μνησθέντων z | μηδὲν] μηδὲ R[c] μὴ z 29 εἰ μὲν] εἴπερ z 30 Καππαδόκη K | τοῦ[a] z καὶ BKPOR

τος ἀπὸ τῆς Ἀλεξανδρείας λόγος οὐδείς, ἀνθρώπου μήτε ἐκ προάγοντος βίου τὴν μαρ-
τυρίαν ἔχοντος μήτε ὅλως Χριστιανοῦ τυγχάνοντος, ἀλλὰ μόνον ὑποκριναμένου διὰ τὸν
καιρὸν τὸ ὄνομα καὶ »πορισμὸν ἡγησαμένου τὴν εὐσέβειαν«. διὸ οὐδὲ μέμψαιτο ἄν τις
αὐτὸν εἰκότως πταίοντα περὶ τὴν πίστιν, ἄνθρωπον »μήτε εἰδότα περὶ ὧν λέγει μήτε περὶ
D ὧν διαβεβαιοῦται«, ἀλλὰ πᾶσι κατὰ τὸ γεγραμμένον ὡς κέπφον ἐπακολουθοῦντα.
M 760 A 2 Ἀκάκιος δὲ καὶ Εὐδόξιος καὶ Πατρόφιλος ταῦτα λέγοντες πῶς οὐκ ἄξιοι πάσης εἰσὶ κατα-
γνώσεως; ǀ γράψαντες γὰρ ἄγραφα καὶ αὐτοὶ καὶ ἀποδεξάμενοι πολλάκις ὡς καλὸν τὸ
τῆς οὐσίας ὄνομα, μάλιστα καὶ διὰ τὴν ἐπιστολὴν Εὐσεβίου αἰτιῶνται νῦν τοὺς πρὸ αὐτῶν
ὡς τοιαύταις χρησαμένους λέξεσιν. ἀλλὰ καὶ εἰπόντες αὐτοὶ 'θεὸν ἐκ θεοῦ καὶ λόγον ζῶντα,
τῆς οὐσίας τοῦ πατρὸς ἀπαράλλακτον εἰκόνα τὸν υἱὸν' κατηγοροῦσι τῶν ἐν Νικαίᾳ εἰπόν-
3 των 'ἐκ τῆς οὐσίας καὶ ὁμοούσιον τὸν γεννηθέντα τῷ γεγεννηκότι'. τί δὲ θαυμαστὸν
B 753 εἰ τοῖς πρὸ αὐτῶν καὶ τοῖς ἰδίοις πατράσι διαμάχονται, ǀ ὅπου γε καὶ αὐτοὶ ἑαυτοῖς ἐναντι-
ούμενοι τοῖς ἑαυτῶν προσκόπτουσιν; ἐκθέμενοι γὰρ ἐν τοῖς λεγομένοις Ἐγκαινίοις ἐν Ἀντιο-
χείᾳ 'τῆς οὐσίας τοῦ πατρὸς ἀπαράλλακτον εἰκόνα εἶναι τὸν υἱὸν' ὀμόσαντές τε οὕτω
B φρονεῖν καὶ ἀναθεματίσαντες τοὺς ἄλλως φρονοῦντας, ἀλλὰ γὰρ καὶ ἐν τῇ Ἰσαυρίᾳ γρά-
ψαντες· 'οὐ φεύγομεν τὴν ἐκτεθεῖσαν αὐθεντικὴν πίστιν ἐν τοῖς Ἐγκαινίοις τοῖς κατὰ
Ἀντιόχειαν' (ἐν αὐτοῖς δὲ ἐγράφη τὸ τῆς οὐσίας ὄνομα) ὥσπερ ἐπιλαθόμενοι τούτων,
μετ' ὀλίγον ἐν τῇ αὐτῇ Ἰσαυρίᾳ τἀναντία ἔγραψαν λέγοντες· 'τὸ ὁμοούσιον καὶ τὸ ὁμοιο-
ούσιον ἐκβάλλομεν ὡς ἀλλότριον τῶν γραφῶν, καὶ τὸ τῆς οὐσίας ὄνομα περιαιροῦμεν ὡς
μὴ κείμενον ἐν ταῖς γραφαῖς'.

38, 1 Τίς οὖν ἔτι τοὺς τοιούτους Χριστιανοὺς ἡγήσεται; ἢ ποία πίστις παρὰ τούτοις,
παρ' οἷς οὐ λόγος, οὐ γράμμα βέβαιον, ἀλλὰ πάντα κατὰ καιρὸν ἀλλάσσεται καὶ μετα-
2 βάλλεται; εἰ γάρ, ὦ Ἀκάκιε καὶ Εὐδόξιε, οὐ φεύγετε τὴν ἐκτεθεῖσαν ἐν τοῖς Ἐγκαινίοις
C πίστιν, ἐν αὐτῇ δὲ γέγραπται· 'οὐσίας ἀπαράλλακτος εἰκών ἐστιν ὁ υἱός', πῶς ἐν τῇ
Ἰσαυρίᾳ γράφετε· 'ἐκβάλλομεν τὸ ὁμοούσιον'; εἰ γὰρ οὐκ ἔστι κατ' οὐσίαν ὅμοιος ὁ υἱὸς
τῷ πατρί, πῶς 'ἀπαράλλακτος τῆς οὐσίας εἰκών' ἐστιν; εἰ δὲ μετέγνωτε γράψαντες τὸ
'τῆς οὐσίας ἀπαράλλακτος εἰκών', πῶς ἀναθεματίζετε τοὺς 'ἀνόμοιον' εἶναι λέγοντας τὸν
υἱόν; εἰ γὰρ οὐχ 'ὅμοιος κατ' οὐσίαν' πάντως 'ἀνόμοιός' ἐστι. τὸ δὲ ἀνόμοιον οὐκ ἂν εἴη
3 'εἰκών'. εἰ δὲ οὕτω καθ' ὑμᾶς ἐστιν, οὐκ ἄρα »ὁ τὸν υἱὸν ἑωρακὼς ἑώρακε τὸν πατέρα«
πλείστης ὅσης οὔσης διαφορᾶς, μᾶλλον δὲ τὸ ὅλον ὄντος τούτου πρὸς ἐκεῖνον ἀνομοίου.
τὸ δὲ ἀνόμοιον οὐχ οἷόν τε ὅμοιον λέγεσθαι. ποίᾳ τοίνυν μηχανῇ τὸ ἀνόμοιον ὅμοιον λέγετε
καὶ τὸ ὅμοιον ἀνόμοιον φρονεῖτε καὶ ὑποκρίνεσθε λέγοντες 'εἰκόνα εἶναι τοῦ πατρὸς τὸν
D υἱόν'; εἰ γὰρ οὐκ ἔστι κατ' οὐσίαν ὅμοιος ὁ υἱὸς τοῦ πατρός, λείπει τι τῇ εἰκόνι καὶ οὐκ
4 ἔστι πλήρης εἰκὼν οὐδὲ τέλειον ἀπαύγασμα. πῶς οὖν ἀναγινώσκετε τὸ »ἐν αὐτῷ κατοι-

3 I. Tim. 6, 5 4 I. Tim. 1, 7 5 Vgl. Prov. 7, 22 6 Führer in Seleukeia S. 239, 15 8 Vgl. S. 241, 1 Note 9 Vgl. Antiochien 341: S. 249, 14f. 11 Nicht genau so in der nicänischen Formel, vgl. S. 36, 35f. 14 S. 249, 18 16 S. 257, 33 18 S. 258, 1f. 20 S. 259, 13ff.; 236, 10ff. 24 S. 249, 18 25 S. 258, 1 — κατ' οὐσίαν ὅμοιος lehnt die Gruppe um Akakios ab, Epiph. 73, 21, 3 (III 294, 4—5); Athan. interpretiert so das ὁμοούσιος, vgl. de decr. 20, 3 S. 17, 9 26 Vgl. Z. 14 27 S. 258, 2 29 Joh. 14, 9 31ff. Die Stelle wäre kein Beweis in der Darlegung des Athan., wenn er nicht vorher auf S. 259, 24 von der Annahme des ἀνόμοιος gesprochen hätte, das Akakios nach S. 258, 2 in Seleukeia ausdrücklich verdammen ließ 34 Col. 2, 9

BKPO R z 14—16 μεταβάλλεται = Doctrina patr. de incarnat. I 30 (10, 11 Diekamp)

4 εἰκότως αὐτὸν ∼ z πταίοντα + τι z 5 κέπφος z 7 γράφοντες B 8 μάλιστα + δὲ K 9 ζῶντα + καὶ z 14 τε > B 15 τῇ > B 17 αὐτοῖς] αὐτῇ z 18 αὐτῇ > z 19 ἀλλότρια z 21 τοὺς τοιούτους] τούτους Doctr. | ἢ — τούτοις > Doctr. 22 καιροὺς Doctr. 24 πίστιν BPRz ψῆφον KO 26 ἀπαράλλακτος + ὁ υἱὸς P*, exp. P^c 30 ἐκεῖνον z ἐκεῖνο BKPOR

κεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς« καὶ »ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες
ἐλάβομεν«; πῶς τὸν Ἀρειανὸν Ἀέτιον ὡς αἱρετικὸν ꞌ ἐκβάλλετε, καίτοι τὰ αὐτὰ ἐκείνῳ λέ- M 761 A
γοντες; καὶ γὰρ σοῦ μέν, ὦ Ἀκάκιε, ἑταῖρός ἐστιν, Εὐδοξίου δὲ διδάσκαλος εἰς τὴν τοιαύτην
ἀσέβειαν γέγονεν, ἧς ἕνεκα καὶ Λεόντιος αὐτὸν ὁ ἐπίσκοπος διάκονον κατέστησεν, ἵνα ὡς
ἐν ἐνδύματι προβάτου τῷ ὀνόματι τῆς διακονίας χρώμενος ἐπ' ἀδείας ἐξεμεῖν δύνηται τὰ
τῆς βλασφημίας ῥήματα.
Τί οὖν ὑμᾶς ἄρα τοιοῦτον ἔπεισεν, ὥστε καὶ ἑαυτοῖς εἰς τὸ ἐναντίον περιπεσεῖν καὶ το- 39, 1
σαύτην αἰσχύνην ἀπενέγκασθαι; ἀλλ' οὐδὲν εὔλογον ἂν εἴποιτε· ꞌ τοῦτο δὲ μόνον περι- B 754
λείπεται νοεῖν ὅτι πάντα νῦν ὑποκρίνεσθε καὶ πάντα προσποιούμενοι πλάττετε διὰ τὴν
παρὰ Κωνσταντίου προστασίαν καὶ τὸ παρὰ τοῦ τοιούτου κέρδος. καὶ κατηγορεῖτε 2
μὲν εὐχερῶς τῶν πατέρων, προφασίζεσθε δὲ ἁπλῶς τὰς λέξεις ὡς ἀγράφους, καὶ κατὰ τὸ B
γεγραμμένον »διετείνατε τὰ σκέλη παντὶ παρόδῳ«, ὥστε τοσαυτάκις ὑμᾶς μεταβάλλεσθαι,
ὁσάκις ἂν ὑμᾶς οἱ μισθούμενοι καὶ χορηγοῦντες ὑμῖν βούλωνται. καίτοι κἂν ἀγράφους τις
λαλῇ λέξεις, οὐδὲν διαφέρει, ἕως εὐσεβῆ τὴν διάνοιαν ἔχει. ὁ δὲ αἱρετικὸς ἀνήρ, κἂν 3
τὰς ἀπὸ τῶν γραφῶν χρήσηται λέξεις, οὐδὲν ἧττον ὕποπτος ὢν καὶ τὸν νοῦν διεφθαρμένος
ἀκούσεται παρὰ τοῦ πνεύματος »ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις
τὴν διαθήκην μου διὰ στόματός σου«. οὕτως ὁ μὲν διάβολος καίτοι λαλῶν ἀπὸ τῶν γρα-
φῶν πεφίμωται παρὰ τοῦ σωτῆρος· ὁ δὲ μακάριος Παῦλος κἂν ἐκ τῶν ἔξωθεν λαλῇ· »Κρῆτες
ἀεὶ ψεῦσται«, καὶ »τοῦ γὰρ καὶ γένος ἐσμὲν« καὶ »φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί«, C
ἀλλ' ὅμως ἅγιος ὢν ἔχει τὴν διάνοιαν εὐσεβῆ καὶ »τοῦ Χριστοῦ νοῦν ἔχων διδάσκαλός ἐστιν
ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ«, καὶ ἃ λαλεῖ μετ' εὐσεβείας φθέγγεται. ποία τοίνυν ἐν τοῖς 4
ἀρειανοῖς ῥηματίοις κἂν πιθανότης ἐστίν, ἐν οἷς προτιμᾶται τοῦ σωτῆρος ἡ κάμπη καὶ
ἡ ἀκρὶς καὶ λοιδορεῖται παρ' αὐτῶν· 'οὐκ ἦς ποτε καὶ ἐκτίσθης ξένος τε κατ' οὐσίαν τοῦ
θεοῦ τυγχάνεις' καὶ ὅλως οὐδὲν δυσφημίας ἐν αὐτοῖς παραλέλειπται; τί δὲ πρὸς εὐφημίαν
παρῆκαν οἱ πατέρες; καὶ οὐ μᾶλλον ὑψηλὴ διάνοια καὶ φιλόχριστος εὐσέβεια παρ' αὐτοῖς
ἐστι; καὶ ὅμως ταῦτα μὲν ἔγραψαν ὅτι 'ἐκβάλλομεν', ἐκείνων δὲ τῶν κατὰ τοῦ κυρίου 5
λοιδοριῶν ἀνέχονται καὶ φανεροὺς ἑαυτοὺς πᾶσι καθιστῶσιν, ὅτι δι' οὐδὲν ἕτερον μάχονται D
πρὸς τὴν σύνοδον ἐκείνην τὴν μεγάλην ἢ ὅτι τὴν ἀρειανὴν αἵρεσιν κατέκρινε. διὰ τοῦτο
γὰρ καὶ τὴν τοῦ ὁμοουσίου λέξιν διαβάλλουσι κακῶς αὐτοὶ φρονοῦντες καὶ περὶ αὐτῆς.
εἰ γὰρ ἐπίστευον ꞌ ὀρθῶς καὶ τὸν μὲν πατέρα πατέρα ἀληθῶς ὡμολόγουν, τὸν δὲ υἱὸν 6 M 764 A
γνήσιον υἱὸν καὶ φύσει ἀληθινὸν λόγον καὶ σοφίαν ἐπίστευον εἶναι τοῦ πατρός τό τε 'ἐκ
τοῦ θεοῦ' λέγειν τὸν υἱόν, εἰ μή, ὥσπερ λέγεται περὶ τῶν κτισμάτων, οὕτως ἔλεγον καὶ

1 Joh. 1, 16 2 Vgl. 234, 23. Aetius wurde auf der Synode von Konstantinopel 360 nach Mopsuestia verbannt (Thdt. h. e. II 28, 1; Philost. V 1; S. 66, 18). Die Verbannung nach Pepuza von Seleukeia aus kann nicht gemeint sein (Philost. IV 8; S. 62, 21), da Eudoxius, der hier so oft erwähnt wird, sich damals auch nach seiner Heimat Armenien zurückziehen mußte, z. Zt. von de synodis aber eine reiche Tätigkeit entfaltet 3 Die Anmerkung, Aetius sei der Genosse des Akakios, ist nur für die Tendenz der Streitschrift des Athan. aufschlußreich. — Philost. V 2^a (68, 22) nennt A. den Lehrer des Eudoxius. Vgl. vor allem den Brief des Georg v. Laodicea über die Rolle des A. in der von Eudoxius geleiteten antiochenischen Kirche (Sozom. IV 13, 2ff.) 4 So auch: Thdt. h. e. II 24, 6—8; Sokr. II 35, 5; Philost. III 17. A. durch Georg v. Alex. zum Diakon gemacht: Epiph. haer. 73, 38, 3; 76, 1, 1 (III 312, 30; 340, 16), vgl. Schwartz ZNW 34 (1935) 154[31] 12 Ez. 16, 25 16 Ps. 49, 16 18 Tit. 1, 12 19 Act. 17, 28; I. Cor. 15, 33 20 I. Cor. 2, 16; I. Tim. 2, 7 22 Vgl. S. 246, 16 23 Vgl. S. 263, 16; Urk. 4^b, 8 (III 8, 3) 26 Vgl. S. 264, 25

BKPO R z (24 τί δὲ — 27 καὶ > z)

5 ἐν > B | δυνήσεται z 10 παρὰ^2 > B 13 βούλωνται Pz βούλονται BKOR 14 λαλεῖ R ἔχῃ R 15 τὰς] ταῖς z | λέξεσιν z 16 διηγῇ R 22 Ἀρειανῶν z 24 βλασφημίας KO 27 φανεροὺς + οὖν z | καθιστᾶσιν R z

περὶ αὐτοῦ, ἀλλὰ τῆς οὐσίας τοῦ πατρὸς ἴδιον αὐτὸν ἐνόουν εἶναι γέννημα ὡς ἔστι τὸ
ἀπαύγασμα ἐκ τοῦ φωτός, οὐκ ἂν ἕκαστος αὐτῶν κατηγόρει τῶν πατέρων, ἀλλ' ἐθάρρουν,
ὅτι καλῶς ἔγραψεν ἡ σύνοδος καὶ οὕτως ἐστὶν ἡ ὀρθὴ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ πίστις.
40,1 Ἀλλ' 'ἀσαφής', φησίν, 'ἐστὶν ἡμῖν τῶν τοιούτων λέξεων ἡ διάνοια'. καὶ τοῦτο
B 755 γὰρ προεφασίσαντο λέγοντες ¹ ὅτι 'μὴ δυνάμενοι καταλαβεῖν τὴν ἑρμηνείαν αὐτῶν ἐκ-
2 βάλλομεν ταύτας τὰς λέξεις'. τοῦτο δὲ εἰ ἀληθῶς ἔλεγον, οὐκ ἔδει λέγειν αὐτοὺς 'ἐκ-
B βάλλομεν ταύτας', ἀλλ' ἀξιοῦν μαθεῖν παρὰ τῶν ἐπισταμένων, ἐπεὶ ὀφείλουσί γε, καὶ ἅπερ
ἂν ἐν ταῖς θείαις γραφαῖς μὴ νοήσωσιν ἐκβάλλειν καὶ κατηγορεῖν τοὺς γράψαντας αὐτά.
3 ἀλλὰ τοῦτο μᾶλλον αἱρετικῶν καὶ οὐχ ἡμῶν τῶν Χριστιανῶν τὸ τόλμημα. ἃ γὰρ
ἀγνοοῦμεν ἐν τοῖς λογίοις, οὐκ ἐκβάλλομεν, ἀλλὰ ζητοῦμεν οὓς ἀπεκάλυψεν ὁ κύριος καὶ
παρ' αὐτῶν μανθάνειν ἀξιοῦμεν. ἐπειδὴ δὲ καὶ οὕτω προφασίζονται τὴν ἀσάφειαν τῶν
τοιούτων λέξεων, ὁμολογείτωσαν γοῦν τὰ εὐθὺς ἐπιφερόμενα καὶ ἀναθεματιζέτωσαν τοὺς
φρονοῦντας 'ἐξ οὐκ ὄντων εἶναι τὸν υἱὸν' καὶ 'οὐκ ἦν πρὶν γεννηθῇ' καὶ ὅτι 'κτίσμα καὶ
C ποίημά ἐστιν ὁ τοῦ θεοῦ λόγος' καὶ 'τρεπτός ἐστι τῇ φύσει' καὶ 'ἐξ ἑτέρας ὑποστάσεως',
καὶ ὅλως ἀναθεματιζέτωσαν τὴν ἀρειανὴν αἵρεσιν τὴν ἐφευροῦσαν τὴν τοιαύτην ἀσέβειαν.
4 καὶ λοιπὸν μὴ λεγέτωσαν 'ἐκβάλλομεν τὰς λέξεις', ἀλλ' ὅτι 'οὔπω νοοῦμεν αὐτάς', ἵνα
οὕτω πιθανήν τινα πρόφασιν ἔχωσι τοῦ παραιτεῖσθαι ταύτας. εὖ δὲ οἶδα καὶ πέπεισμαι
καὶ αὐτοὶ δὲ τοῦτο γινώσκουσιν ὅτι ταῦτα ἐὰν ὁμολογήσωσι καὶ ἀναθεματίσωσι τὴν
5 ἀρειανὴν αἵρεσιν οὐκ ἀρνήσονται κἀκείνας τὰς τῆς συνόδου λέξεις. διὰ τοῦτο γὰρ καὶ
οἱ πατέρες εἰρηκότες 'ἐκ τῆς οὐσίας γεννητὸν τὸν υἱὸν ὁμοούσιον τῷ πατρὶ' εὐθὺς ἐπήγα-
γον · 'τοὺς δὲ λέγοντας' τὰ προειρημένα, ἅπερ ἐστὶ τῆς ἀρειανῆς αἱρέσεως, 'ἀναθεματίζο-
μεν' ἵνα δείξωσιν ὅτι ὡς ἐκ παραλλήλου λέλεκται παρ' αὐτῶν καὶ αἱ λέξεις ἐκεῖναι ταῦτα
D σημαίνουσι, καὶ ὃς ἂν ἐκείνας ὁμολογήσῃ, πάντως καὶ ταῦτα διανοηθήσεται· οἱ δὲ μήτε
ταῦτα φρονοῦντες, ἀλλὰ κἀκεῖνα διαβάλλοντες οἱ τοιοῦτοι πανταχόθεν ἐλέγχονται
χριστομάχοι.
41,1 Καὶ περὶ μὲν τῶν ἐξ ὅλου τὴν σύνοδον ἀρνουμένων ἀρκεῖ πρὸς ἔλεγχον τὰ ὀλίγα
M 765 A ταῦτα, πρὸς δὲ ¹ τοὺς ἀποδεχομένους τὰ μὲν ἄλλα πάντα τῶν ἐν Νικαίᾳ γραφέντων, περὶ
δὲ μόνον τὸ ὁμοούσιον ἀμφιβάλλοντας χρὴ μὴ ὡς πρὸς ἐχθροὺς διακεῖσθαι. καὶ γὰρ καὶ
ἡμεῖς οὐχ ὡς πρὸς Ἀρειομανίτας οὐδ' ὡς μαχομένους πρὸς τοὺς πατέρας ἐνιστάμεθα,
ἀλλ' ὡς ἀδελφοὶ πρὸς ἀδελφοὺς διαλεγόμεθα τὴν αὐτὴν μὲν ἡμῖν διάνοιαν ἔχοντας, περὶ
2 δὲ τὸ ὄνομα μόνον διστάζοντας. καὶ γὰρ ὁμολογοῦντες ἐκ τῆς οὐσίας τοῦ πατρὸς εἶναι
καὶ μὴ ἐξ ἑτέρας ὑποστάσεως τὸν υἱὸν κτίσμα τε μὴ εἶναι μηδὲ ποίημα αὐτόν, ἀλλὰ γνήσιον

1 Vgl. S. 262, 34 Note 5 S. 236, 11; 257, 7 6 S. 257, 35ff. 21ff. = de decr. 20, 5 (S. 17, 19ff.) 27 c. 41—47 Auseinandersetzung mit der Gruppe um Basilius — es ist bes. an den aus Antiochien vertriebenen Meletius zu denken — über das ὁμοούσιος. Ath. wendet sich nicht gegen die Erklärungen des Basilius auf der Synode von Sirmium 358 (vgl. Hilarius de syn. 81, erst recht nicht gegen das Synodalschreiben von Ancyra 358, vgl. Gummerus S. 94ff.), sondern gegen spätere Formulierungen, die noch entschiedener sich von den Sätzen der Gruppe des Akakios abhoben. Gummerus S. 95 (bes. Anm. 2) hat etwas von den unübersehbaren Differenzen zwischen Athan., Hilarius und etwa der Denkschrift des Georg v. Laodicea (Epiph. haer. 73, 12ff.) bemerkt, aber er harmonisiert. Die unten angezogenen Stellen verbieten das. Es ist wahrscheinlich, daß Athan. Auslassungen aus den Kreisen um Meletius (Basilius war ja seit 360 verbannt) richtigstellen will 32 ἐκ τῆς οὐσίας ist in den überlieferten Urkunden nicht zu finden

BKPO R z (23 ἵνα — 28 ταῦτα > z)

8 ἀξιοῦν z ἠξίουν BKPO R | καὶ + οὗτοι B*, exp. B^c 9 μὴ] οὐ z | τῶν γραψάντων z 11 οὓς] οἷς z 14 τὸν υἱὸν εἶναι ~ z 17 οὔπω] οὕτω B 19 δὲ > z | ἐὰν ταῦτα ~ z 21 υἱὸν + καὶ z 22 ἐστὶ] εἰσὶ K 25 διαβάλλωσιν R 27 ὀλίγα] εἰρημένα P 29 χρὴ z > BKPOR

καὶ φύσει γέννημα ἀιδίως τε αὐτὸν συνεῖναι τῷ πατρὶ λόγον ὄντα καὶ σοφίαν οὐ μακρὰν
εἰσιν ἀποδέξασθαι καὶ τὴν τοῦ ὁμοουσίου λέξιν. τοιοῦτος δέ ἐστι Βασίλειος ὁ ἀπὸ Ἀγ-
κύρας γράψας περὶ πίστεως. τὸ μὲν γὰρ 'ὅμοιον' μόνον ' λέγειν 'κατ' οὐσίαν' οὐ 3 B 756
πάντως σημαίνει καὶ τὸ 'ἐκ τῆς οὐσίας', ἐξ οὗ μᾶλλον, ὡς καὶ αὐτοὶ εἰρήκασι, σημαίνεται B
τὸ γνήσιον τοῦ υἱοῦ πρὸς τὸν πατέρα. καὶ γὰρ καὶ κασσίτερος ὅμοιός ἐστι μόνος τῷ ἀρ-
γύρῳ καὶ λύκος τῷ κυνὶ καὶ χαλκὸς χρυσίζων τῷ ἀληθινῷ χρυσῷ, οὔτε δὲ κασσίτερος ἐκ
τοῦ ἀργύρου τυγχάνει οὔτε λύκος ὡς υἱὸς τοῦ κυνὸς ἂν νομισθείη. ἐπειδὴ δὲ καὶ 'ἐκ 4
τῆς οὐσίας' καὶ 'ὁμοιοούσιον' αὐτὸν εἰρήκασι, τί ἕτερον σημαίνουσιν ἐκ τούτων ἢ τὸ
ὁμοούσιον; καὶ γὰρ ὥσπερ ὁ λέγων μόνον 'ὁμοιοούσιον' οὐ πάντως καὶ τὸ ἐκ τῆς οὐσίας
γνωρίζει οὕτως ὁ λέγων ὁμοούσιον ἀμφοτέρων τοῦ τε ὁμοιοουσίου καὶ τοῦ ἐκ τῆς οὐσίας
σημαίνει τὴν διάνοιαν. καὶ αὐτοὶ γοῦν ἐνιστάμενοι πάλιν πρὸς τοὺς κτίσμα λέγοντας 5
εἶναι τὸν λόγον, καὶ μὴ θέλοντας αὐτὸν γνήσιον υἱὸν εἶναι ἐξ ἀνθρωπίνων παραδειγμάτων C
υἱοῦ καὶ πατρὸς εἰλήφασι τὰς κατ' αὐτῶν ἀποδείξεις, ἐξαιρουμένου τούτου ὅτι μὴ ὡς ἄν-
θρωπός ἐστιν ὁ θεὸς μηδὲ ὡς ἀνθρωπίνη γονὴ οὕτως ἐστὶν ἡ τοῦ υἱοῦ γέννησις, ἀλλ' ὡς
ἡ θεῷ πρέπουσα καὶ ἡμᾶς ἁρμόζουσα νοεῖν. καὶ γὰρ καὶ πηγὴν εἰρήκασι τὸν πατέρα τῆς 6
σοφίας καὶ τῆς ζωῆς, τὸν δὲ υἱὸν ἀπαύγασμα φωτὸς ἀιδίου καὶ αὐτὸν εἶναι τὸ ἐκ τῆς πη-
γῆς γέννημα λέγοντα· »ἐγώ εἰμι ἡ ζωή« καὶ »ἐγώ εἰμι ἡ σοφία, κατεσκήνωσα βουλήν«.
τὸ δὲ ἐκ φωτὸς ἀπαύγασμα καὶ ἐκ πηγῆς γέννημα καὶ ἐκ πατρὸς υἱὸν πῶς ἄν τις ἁρμοζόντως
ὀνομάσειεν ἢ ὁμοούσιον; ἆρ' οὖν μὴ ἐπειδὴ τὰ ἐξ ἀνθρώπων γεννήματα ὁμοούσιά ἐστιν, 7
εὐλαβεῖσθαι δεῖ μὴ καὶ ὁ υἱὸς λεγόμενος ὁμοούσιος νομισθείη καὶ αὐτὸς ὡς ἀνθρώπινον γέν- D
νημα; μὴ γένοιτο· οὐκ ἔστιν οὕτως. ἀλλὰ καὶ ταχεῖαν ἔχει τὴν λύσιν τοῦτο· λόγος γὰρ 8
ἐστι καὶ σοφία τοῦ πατρὸς ὁ υἱός, ἐξ ὧν τὸ ἀπαθὲς καὶ τὸ ἀμέριστον τῆς ἐκ πατρὸς γεννήσεως
γνωρίζεται. λόγος γὰρ οὐδὲ ' ὁ τῶν ἀνθρώπων μέρος ἐστὶν οὐδὲ κατὰ πάθος ἐξ αὐτῶν M 768 A
προέρχεται, μήτι γε ὁ τοῦ θεοῦ, ὃν υἱὸν εἶναι ἑαυτοῦ ὁ πατὴρ ἐδήλωσεν, ἵνα μὴ πάλιν τις
ἀκούων μόνον λόγον νομίσῃ τοιοῦτον εἶναι, οἷός ἐστιν ὁ τῶν ἀνθρώπων ἀνυπόστατος,
ἀλλ' ἀκούων ὅτι υἱός ἐστι γινώσκῃ τοῦτον εἶναι ζῶντα λόγον καὶ ἐνούσιον σοφίαν.

Ἔπειτα ὥσπερ τὸ γέννημα λέγοντες οὐκ ἀνθρωπίνως νοοῦμεν καὶ πατέρα τὸν θεὸν 42, 1
εἰδότες οὐ σωματικήν τινα περὶ αὐτοῦ λαμβάνομεν ἔννοιαν, ἀλλὰ τὰ μὲν παραδείγματα

3f. ὅμοιος κατ' οὐσίαν: Epiph. 73, 4, 2; 6, 6f.; 11, 2; 22, 1 (III 273, 2f.; 276, 11ff.; 282, 21; 294, 23). Es fällt auf, daß Ath. sich hier so von dem Begriff distanziert, obwohl er ihn or. I. c. Arian. 20; or. III 11. 26 (Migne 26, 53 A. 344 B. 377 A) und oben S. 264, 25. 28. 31 (hier antithetisch zu ἀνόμοιος), vor allem S. 270, 30f. (positiv) gebraucht 4 Vgl. Epiph. 73, 5, 4—7 (III 274, 27ff.), auch 73, 4, 5ff. 5 = de decr. 23, 3 (S. 19, 23) 8 ὁμοιοούσιος findet sich in dem Schreiben von Ancyra 358 nie, taucht erst um 357 auf (oben S. 257, 4). Doch setzt Hilarius de syn. die Diskussion über die beiden Worte ὁμοούσιος und ὁμοιούσιος voraus 11 = Epiph. 73, 10, 1 (III 280, 25) 13 Vgl. Epiph. 73, 6, 5; 9, 1 (III 276, 3ff. 279, 19). Vgl. Meletius bei Epiph. 73, 31, 6 (III 306, 26) 15 πηγή etc.: dieser Terminus findet sich ebenfalls in Ancyra nicht. Prov. 8, 12 wird zwar Epiph. 73, 7, 3 (III 277, 5) zitiert und durch ἡ σοφία τοῦ σοφοῦ υἱός (277, 22) interpretiert. Doch πηγὴ σοφίας begegnet gerade an der Stelle (a. a. O. S. 276, 15ff.) nicht, wo der Terminus anzuführen wäre. Danach legt Athan. sich entweder den Brief von Ancyra zurecht oder benutzt, was wahrscheinlicher ist, eine andere spätere Quelle 17 Joh. 14, 6; Prov. 8, 12 19ff. Der Einwand gegen ὁμοούσιος nur hier, nicht in der Erklärung, auf die sich Hilarius de syn. bezieht. Doch haben solche Bedenken die Origenisten immer gehabt 22ff. = de decr. 11, 4—5 (S. 10, 11—17) 23ff. Vgl. or. II. c. Arian. 35 (Migne 26, 221 B/C) 25 Vgl. or. I. c. Arian. 19 (Migne 26, 52 D—53 A) und Euseb c. Marc. II 4, 21 (56, 22), Ps.Athan. or. IV. c. Arian. 8 (Migne 26, 477 C)

BKPO RE z

1 συνεῖναι] εἶναι R 5 μόνον z 10 τοῦ²] τὸ R 11/12 εἶναι λέγοντας ~ K 13 τούτου] τοῦ z | ὡς > z 14 θεὸς] υἱὸς B 17 ἡ¹ + πηγὴ B, aber exp. | εἰμι² > Rᶜ | κατεσκήνωσα βουλήν > z 18 ἁρμοζόντως ἄν τις ~ K 22 ἐκ + τοῦ B 23 μέρος + αὐτῶν z 25 λόγον μόνον ~ Pz | εἶναι > P 26 γινώσκει R

καὶ τὰς τοιαύτας λέξεις ἀκούομεν, ἁρμοζόντως δὲ περὶ θεοῦ νοοῦμεν· οὐ γὰρ ὡς ἄνθρωπος
ὁ θεός· οὕτως ἄρα καὶ τὸ ὁμοούσιον ἀκούοντες ὑπερβαίνειν ὀφείλομεν πᾶσαν αἴσθησιν καὶ
B κατὰ τὴν θείαν παροιμίαν »νοητῶς νοεῖν τὰ παρατιθέμενα ἡμῖν«, ὥστε μέντοι γινώσκειν ὅτι
μὴ θελήσει ἀλλὰ ἀληθῶς υἱός ἐστιν ἐκ πατρὸς γνήσιος ὡς ἐκ πηγῆς ζωὴ καὶ φωτὸς ἀπαύ-
B 757 2 γασμα. ἢ διὰ τί τὸ μὲν γέννημα καὶ τὸ υἱὸς οὐ σωματικῶς, τὸ ׀ δὲ ὁμοούσιον ὡς ἐπὶ
σωμάτων διανοούμεθα, καὶ μάλιστα ὅτι οὐ περὶ ἄλλου καὶ ἄλλου ἐστὶ τὰ λεγόμενα, ἀλλὰ
περὶ οὗ τὸ γέννημα, περὶ τούτου καὶ τὸ ὁμοούσιον ἐλέχθη, καὶ πρέπει τὴν αὐτὴν διάνοιαν
ἀμφοτέρων τῶν λέξεων ἐπὶ τοῦ σωτῆρος διασῴζειν καὶ μὴ τὸ μὲν γέννημα καλῶς ἐξηγεῖσθαι,
τὸ δὲ ὁμοούσιον ἄλλως, ἐπεὶ ἀκόλουθόν ἐστιν οὕτω διακειμένους ὑμᾶς καὶ λέγοντας λόγον
καὶ σοφίαν τοῦ πατρὸς τὸν υἱὸν διάφορον ἔχειν καὶ περὶ τούτων τὴν διάνοιαν, καὶ ἄλλως
C μὲν τὸν λόγον νοεῖν, ἑτέρως δὲ τὴν σοφίαν. ἀλλ ὥσπερ ἄτοπον τοῦτο, λόγος γὰρ καὶ
σοφία τοῦ πατρός ἐστιν ὁ υἱὸς καὶ ἕν ἐστι τὸ ἐκ πατρὸς γέννημα καὶ ἴδιον τῆς οὐσίας αὐτοῦ,
οὕτως εἷς ἐστιν ὁ νοῦς τοῦ γεννήματος καὶ τοῦ ὁμοουσίου καὶ ὁ φρονῶν γέννημα τὸν υἱὸν
φρονεῖ τοῦτον ὀρθῶς καὶ ὁμοούσιον.

43,1 Αὐτάρκη μὲν οὖν ταῦτα δεῖξαι τῶν ἀγαπητῶν τὴν διάνοιαν μὴ ἀλλοτρίαν μηδὲ
μακρὰν οὖσαν τοῦ ὁμοουσίου. ἐπειδὴ δέ, ὡς αὐτοί φασι (τὴν γὰρ ἐπιστολὴν οὐκ ἔσχον
ἐγώ), οἱ τὸν Σαμοσατέα κατακρίναντες ἐπίσκοποι γράφοντες εἰρήκασι μὴ εἶναι ὁμοούσιον
τὸν υἱὸν τοῦ θεοῦ τῷ πατρί, καὶ λοιπὸν αὐτοὶ διὰ τὴν πρὸς τοὺς εἰρηκότας εὐλάβειάν τε
D καὶ τιμὴν οὕτω περὶ τὴν λέξιν διάκεινται· καλὸν μετ' αὐτῶν μετ' εὐλαβείας καὶ περὶ
2 τούτου διασκέψασθαι. συγκρούειν μὲν τούτους πρὸς ἐκείνους ἀπρεπές· πάντες γάρ εἰσι
πατέρες· διακρίνειν δὲ πάλιν ὡς οὗτοι μὲν καλῶς, ἐκεῖνοι δὲ τοὐναντίον εἰρήκασιν οὐχ
ὅσιον· οἱ πάντες γὰρ ἐκοιμήθησαν ἐν Χριστῷ. οὐ χρὴ δὲ φιλονεικεῖν οὐδὲ τῶν συνελθόντων
M 769 A τὸν ἀριθμὸν συμβάλλειν, ἵνα μὴ δοκῶσιν οἱ πλείους ׀ τοὺς ἐλάττονας ἐπικρύπτειν, οὐδ' αὖ
πάλιν τὸν χρόνον ἀναμετρεῖν, ἵνα μὴ δοκῶσιν οἱ προλαβόντες ἀφανίζειν τοὺς μετὰ ταῦτα
3 γενομένους. οἱ πάντες γάρ, καθὰ προείρηται, πατέρες εἰσί· καὶ ὅμως οὐδὲ οἱ τ' νεώτερόν
τι φρονήσαντες ἔγραψαν οὐδὲ ἑαυτοῖς καταθαρσήσαντες ἀγράφων προέστησαν λέξεων,
4 ἀλλ' ἐκ πατέρων ὁρμώμενοι καὶ αὐτοὶ τοῖς ἐκείνων ἐχρήσαντο ῥήμασι. Διονύσιοι γὰρ
δύο γεγόνασιν ἔμπροσθεν πολὺ τῶν ἑβδομήκοντα τῶν καθελόντων τὸν Σαμοσατέα· τού-
των ὁ μὲν τῆς Ῥώμης, ὁ δὲ τῆς Ἀλεξανδρείας ἦν ἐπίσκοπος. ἀλλά τινων αἰτιασαμένων

2 Vgl. ep. ad monachos 2 S. 182, 4 3 Prov. 23, 2 4 S. 243, 3 5 Vgl. 267, 19ff. 9 Das trifft für die Gruppe um Basilius zu 16ff. Es handelt sich hier wahrscheinlich um die Erklärung von 358, von der Hilarius berichtet, da hier Athan. sich ausdrücklich auf einen Brief bezieht, der nach dem Zeugnis des Hilarius de syn. 18 Thesen gegen ὁμοούσιος unter Bezugnahme auf die Synode gegen Paul v. Samosata und die nicänische Synode enthielt. Immerhin ist es keineswegs zwingend, die Darlegung des Athan. hier mit dem Dokument von 358 zu verbinden, da Georg v. Laodicea Epiph. 73, 12, 3 (III 285, 4ff.) 359 auch noch das ὁμοούσιος aus der Situation des Kampfes gegen Paul zu erklären sucht. Zwischen Athan. Referat hier und der durch Hilarius bezeugten Erklärung von 358 besteht ein durch die Personen und die Sache gegebener Zusammenhang, in der Form sind die Differenzen nicht zu übersehen — Hilarius de syn. 81 (II 509 B Maffei): secundo quoque id addidistis, quod patres nostri, cum Paulus Samosateus haereticus pronuntiatus est, etiam homousion repudiaverint: quia per hanc unius essentiae nuncupationem solitarium atque unicum sibi esse patrem et filium praedicabat 28 70 Teilnehmer: 80, so Hilarius de syn. 86 (II 513 A Maffei); 180, so Basilius monachus 431 (Acta conc. oec. I 1, 5 S. 7, 20 Schwartz) 29 Vgl. Athan. de sent. Dion. 13, 1. 2 (S. 55, 12 Note) und Opitz, Quantulacumque pres. to Kirsopp Lake, London 1937 S. 45ff.

BKPO R z

8 διασῴζειν] διδάσκειν z 12 ἐστιν ὁ υἱὸς B ὁ υἱός ἐστι KPORz 13 ὁ νοῦς z ὁ υἱὸς RO* υἱὸς BKPO[c] 16 φασιν αὐτοὶ ~ P 19 καὶ περὶ τούτου μετ' εὐλαβείας ~ z 20 μὲν + γὰρ z 23 πλείους z τριακόσιοι BKPOR 26 θαρρήσαντες z 28 καθελκόντων O

παρὰ τῷ ἐπισκόπῳ 'Ρώμης τὸν τῆς 'Αλεξανδρείας ἐπίσκοπον ὡς λέγοντα ποίημα καὶ μὴ
ὁμοούσιον τὸν υἱὸν τῷ πατρὶ ἡ μὲν κατὰ 'Ρώμην σύνοδος ἠγανάκτησεν, ὁ δὲ τῆς 'Ρώμης B
ἐπίσκοπος τὴν πάντων γνώμην γράφει πρὸς τὸν ὁμώνυμον ἑαυτοῦ. κἀκεῖνος λοιπὸν ἀπο-
λογούμενος τὸ μὲν βιβλίον ἐπιγράφει 'ἐλέγχου καὶ | ἀπολογίας'. γράφει δὲ ταῦτα πρὸς B 758
ἐκεῖνον·

»Καὶ δι' ἄλλης ἐπιστολῆς ἔγραψα, ἐν οἷς ἤλεγξα καὶ ὃ προφέρουσιν ἔγκλημα κατ' ἐμοῦ 44, 1
»ψεῦδος ὂν ὡς οὐ λέγοντος τὸν Χριστὸν ὁμοούσιον εἶναι τῷ θεῷ. εἰ γὰρ καὶ τὸ ὄνομα τοῦτό
»φημι μὴ εὑρηκέναι μηδ' ἀνεγνωκέναι που τῶν ἁγίων γραφῶν, ἀλλά γε τὰ ἐπιχειρήματά
»μου τὰ ἑξῆς ἃ σεσιωπήκασι, τῆς διανοίας ταύτης οὐκ ἀπᾴδει. καὶ γὰρ ἀνθρωπείαν γονὴν
»παρεθέμην δῆλον ὡς οὖσαν ὁμογενῆ, φήσας πάντως τοὺς γονεῖς μόνον ἑτέρους εἶναι τῶν
»τέκνων, ὅτι μὴ αὐτοὶ εἶεν τὰ τέκνα, ἢ μήτε γονεῖς ἀναγκαῖον ὑπάρχειν εἶναι μήτε τέκνα.
»καὶ τὴν μὲν ἐπιστολήν, ὡς προεῖπον, διὰ τὰς περιστάσεις οὐκ ἔχω προκομίσαι· εἰ δ' οὖν, 2
»αὐτά σοι τὰ τότε ῥήματα, μᾶλλον δὲ καὶ πάσης ἀνέπεμψα τὸ ἀντίγραφον· ὅπερ ἐὰν C
»εὐπορήσω, ποιήσω. οἶδα δὲ καὶ μέμνημαι πλείονα προσθεὶς τῶν συγγενῶν ὁμοιώματα·
»καὶ γὰρ καὶ φυτὸν εἶπον ἀπὸ σπέρματος ἢ ἀπὸ ῥίζης ἀνελθὸν ἕτερον εἶναι τοῦ ὅθεν ἐβλάσ-
»τησε, καὶ πάντως ἐκείνῳ καθέστηκεν ὁμοφυές. καὶ ποταμὸν ἀπὸ πηγῆς ῥέοντα ἕτερον καὶ
»σχῆμα καὶ ὄνομα μετειληφέναι· μήτε γὰρ τὴν πηγὴν ποταμὸν μήτε τὸν ποταμὸν πηγὴν
»λέγεσθαι καὶ ἀμφότερα ὑπάρχειν καὶ τὴν μὲν πηγὴν οἱονεὶ πατέρα εἶναι, τὸν δὲ | ποταμὸν M 772 A
»εἶναι τὸ ἐκ τῆς πηγῆς γεννώμενον.« οὕτως εἴρηκεν ὁ ἐπίσκοπος.

Εἴπερ οὖν μέμφεταί τις τοῖς ἐν Νικαίᾳ συνελθοῦσιν ὡς εἰρηκόσι παρὰ τὰ δόξαντα τοῖς 45, 1
πρὸ αὐτῶν, ὁ αὐτὸς μέμψαιτ' ἂν εἰκότως καὶ τοῖς ἑβδομήκοντα, ὅτι μὴ τὰ τῶν πρὸ αὐτῶν
ἐφύλαξαν· πρὸ αὐτῶν δὲ ἦσαν οἱ Διονύσιοι καὶ οἱ ἐν 'Ρώμῃ τὸ τηνικαῦτα συνελθόντες
ἐπίσκοποι. ἀλλ' οὔτε τούτους οὔτε ἐκείνους ὅσιον αἰτιάσασθαι· πάντες γὰρ ἐπρέσβευον 2
τὰ Χριστοῦ καὶ πάντες σπουδὴν ἐσχήκασι κατὰ τῶν αἱρετικῶν, καὶ οἱ μὲν τὸν Σαμοσατέα,
οἱ δὲ τὴν ἀρειανὴν αἵρεσιν κατέκριναν. ὀρθῶς δὲ καὶ οὗτοι κἀκεῖνοι καὶ καλῶς πρὸς τὴν
ὑποκειμένην ὑπόθεσιν γεγράφασι. καὶ ὥσπερ ὁ μακάριος ἀπόστολος 'Ρωμαίοις μὲν 3
ἐπιστέλλων ἔλεγεν· »ὁ νόμος πνευματικός ἐστι« καὶ »ὁ νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ B
δικαία καὶ ἀγαθή«, καὶ μετ' ὀλίγον· »τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει«, 'Εβραίοις
δὲ ἔγραφεν· »ὁ νόμος οὐδένα τετελείωκε«, καὶ Γαλάταις μέν· »ἐν νόμῳ οὐδεὶς δικαιοῦται«,
Τιμοθέῳ δὲ ὅτι »καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται«, καὶ οὐκ ἄν τις αἰτιάσαιτο
τὸν ἅγιον ὡς ἐναντία καὶ μαχόμενα γράφοντα, ἀλλὰ καὶ μᾶλλον θαυμάσειεν ἁρμοζόντως
πρὸς ἑκάστους ἐπιστέλλοντα, ἵνα οἱ μὲν | 'Ρωμαῖοι καὶ οἱ ἄλλοι μάθωσιν ἀπὸ τοῦ γράμ- B 759
ματος ἐπιστρέφειν εἰς τὸ πνεῦμα, οἱ δὲ 'Εβραῖοι καὶ Γαλάται παιδευθῶσι μὴ εἰς τὸν νόμον,
ἀλλ' εἰς τὸν κύριον τὸν δεδωκότα τὸν νόμον ἔχειν τὰς ἐλπίδας, οὕτως εἰ ἀμφοτέρων τῶν
συνόδων οἱ πατέρες διαφόρως ἐμνημόνευσαν περὶ τοῦ ὁμοουσίου, οὐ χρὴ πάντως ἡμᾶς C
διαφέρεσθαι πρὸς αὐτούς, ἀλλὰ τὴν διάνοιαν αὐτῶν ἐρευνᾶν, καὶ πάντως εὑρήσομεν
ἀμφοτέρων τῶν συνόδων τὴν ὁμόνοιαν. οἱ μὲν γὰρ τὸν Σαμοσατέα καθελόντες σω- 4
ματικῶς ἐκλαμβάνοντες τὸ ὁμοούσιον τοῦ Παύλου σοφίζεσθαί τε θέλοντος καὶ λέγοντος·

---

6 Dieses Dionyszitat bringt Athan. de sent. Dion. 18 (S. 59, 3ff., vgl. dort die Noten) und de decr. 25, 4—5 (S. 21, 16) bei, übrigens in de decr. in dem gleichen Umfang wie hier 27 Rm. 7, 14; Rm. 7, 12 28 Rm. 8, 3 29 Hebr. 7, 19; Gal. 3, 11 30 I. Tim. 1, 8 38ff. Vgl. die S. 268, 16ff. Note angezogene Stelle aus Hilarius. Ferner de syn. 68 (II 501 A Maffei): est praeterea error hic tertius, ut cum unius substantiae pater et filius esse dicatur, significari existimetur sub-

---

BKPO R z (37/38 σωματικῶς — S. 270, 3 Σαμοσατέως > z)

---

2 τῷ πατρὶ τὸν υἱὸν ~ z 3 γράφει > P | ἑαυτῷ z 9 γὰρ + καὶ B 10 μόνος z 12 προκομίζειν z | εἰ δ' οὖν] ἢ γὰρ ἂν z 13 ἂν ἔπεμψα z 18 ἀμφότερα + ἐν z 19 οὕτως z > BKPOR 20 παρὰ] πάντα B 26 γεγράφασι > P

'εἰ μὴ ἐξ ἀνθρώπου γέγονεν ὁ Χριστὸς θεός, οὐκοῦν ὁμοούσιός ἐστι τῷ πατρὶ καὶ ἀνάγκη
τρεῖς οὐσίας εἶναι, μίαν μὲν προηγουμένην, τὰς δὲ δύο ἐξ ἐκείνης', διὰ τοῦτ' εἰκότως
εὐλαβηθέντες τὸ τοιοῦτον σόφισμα τοῦ Σαμοσατέως εἰρήκασι μὴ εἶναι τὸν Χριστὸν
ὁμοούσιον· οὐκ ἔστι γὰρ οὕτως ὁ υἱὸς πρὸς τὸν πατέρα ὡς ἐκεῖνος ἐνόει· οἱ δὲ τὴν ἀρειανὴν
D αἵρεσιν ἀναθεματίσαντες, θεωρήσαντες τὴν πανουργίαν τοῦ Παύλου, καὶ λογισάμενοι μὴ
οὕτως καὶ ἐπὶ τῶν ἀσωμάτων καὶ μάλιστα ἐπὶ θεοῦ τὸ ὁμοούσιον σημαίνεσθαι γινώσκοντές
τε μὴ κτίσμα, ἀλλ' ἐκ τῆς οὐσίας γέννημα εἶναι τὸν λόγον καὶ τὴν οὐσίαν τοῦ πατρὸς
ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν εἶναι τοῦ υἱοῦ καὶ αὐτοαληθὴς ὁμοιότης ἦν τοῦ γεννήσαντος,
M 773 A οὐχ ὡς ἑτεροφυὴς | ὥσπερ ἡμεῖς ἐσμεν, χωριζόμενός ἐστι τοῦ πατρός, ἀλλ' ὡς ἐξ αὐτοῦ
υἱὸς ἀδιαίρετος ὑπάρχει ὡς ἔστι τὸ ἀπαύγασμα πρὸς τὸ φῶς, ἔχοντες δὲ καὶ τὰ τῶν
περὶ Διονύσιον παραδείγματα τήν πηγὴν καὶ τὴν περὶ τοῦ ὁμοουσίου ἀπολογίαν, πρὸ
δὲ τούτων τὴν τοῦ σωτῆρος ἐνοειδῆ φωνήν, »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν« καὶ »ὁ ἑωρακὼς
5 ἐμὲ ἑώρακε τὸν πατέρα«, τούτου ἕνεκεν εἰκότως εἰρήκασι καὶ αὐτοὶ ὁμοούσιον τὸν υἱόν.
καὶ ὥσπερ, καθὰ προεῖπον, οὐκ ἄν τις αἰτιάσαιτο τὸν ἀπόστολον, εἰ περὶ τοῦ νόμου
'Ρωμαίοις μὲν οὕτως, 'Εβραίοις δὲ οὕτως ἔγραψε, τὸν αὐτὸν τρόπον οὔτε οἱ νῦν τοῖς
προτέροις ἐγκαλέσαιεν βλέποντες αὐτῶν τὴν ἑρμηνείαν, οὔτε οἱ πρότεροι τοὺς μετ' αὐτοὺς
μέμψαιντ' ἂν ὁρῶντες τὴν ἑρμηνείαν αὐτῶν καὶ τὴν χρείαν δι' ἣν οὕτως ἔγραψαν περὶ
B τοῦ κυρίου. καὶ γὰρ καὶ τὴν αἰτίαν ἑκάστη σύνοδος εὔλογον ἔχει δι' ἣν οἱ μὲν οὕτως,
6 οἱ δὲ οὕτως εἰρήκασιν. ἐπειδὴ γὰρ ὁ Σαμοσατεὺς ἐφρόνει μὴ εἶναι πρὸ Μαρίας τὸν
υἱόν, ἀλλ' ἀπ' αὐτῆς ἀρχὴν ἐσχηκέναι τοῦ εἶναι, τούτου ἕνεκεν οἱ τότε συνελθόντες
καθεῖλον μὲν αὐτὸν καὶ αἱρετικὸν ἀπέφηναν, περὶ δὲ τῆς τοῦ υἱοῦ θεότητος ἁπλούστερον
γράφοντες οὐ κατεγένοντο περὶ τὴν τοῦ ὁμοουσίου ἀκρίβειαν, ἀλλ' οὕτως ὡς ἐξειλήφασι
περὶ τοῦ ὁμοουσίου εἰρήκασι. τὴν φροντίδα γὰρ εἶχον πᾶσαν, ὅπερ ἐπενόησεν ὁ Σαμο-
σατεὺς ἀνελεῖν καὶ δεῖξαι πρὸ πάντων εἶναι τὸν υἱὸν καὶ ὅτι οὐκ ἐξ ἀνθρώπων γέγονε
B 760 θεός, ἀλλὰ θεὸς ὢν ἐνεδύσατο δούλου μορφὴν | καὶ λόγος ὢν γέγονε σάρξ, ὡς εἶπεν ὁ
7 'Ιωάννης καὶ οὕτω μὲν κατὰ τῆς βλασφημίας Παύλου πέπρακται. ἐπειδὴ δὲ καὶ οἱ
C περὶ Εὐσέβιον καὶ Ἄρειον πρὸ χρόνων μὲν εἶναι τὸν υἱὸν ἔλεγον, πεποιῆσθαι μέντοι
καὶ ἕνα τῶν κτισμάτων αὐτὸν ἐδίδασκον, καὶ τὸ ἐκ τοῦ θεοῦ οὐχ ὡς υἱὸν ἐκ πατρὸς
γνήσιον ἐπίστευον, ἀλλ' ὡς τὰ κτίσματα, οὕτω καὶ ἐπ' αὐτοῦ τὸ ἐκ τοῦ θεοῦ εἶναι
διεβεβαιοῦντο, τήν τε τῆς ὁμοιώσεως ἑνότητα τοῦ υἱοῦ πρὸς τὸν πατέρα οὐκ ἔλεγον

---

stantia prior, quam inter se duo pares habeant, ac si tres res sermo significet, substantiam unam et duos unius substantiae velut coheredes. Ebenda 82 (509 D): quis enim sanae mentis tertiam substantiam, quae et patri et filio communis sit, praedicabit? uel quis secundum Samosateum in Christo renatus et filium confessus ac patrem, quod Christus in se sibi et pater et filius sit confitebitur? — Loofs, Paul v. Sam. S. 149f. hat mit Recht darauf hingewiesen, daß Ath. nicht genau über P. v. S. unterrichtet ist, da die besser informierte ep. Sirmiensis bei Hilarius das ὁμοούσιος für Paul ausdrücklich bezeugt 6ff. Hilarius de syn. 83 (510 A/B): displicet cuiquam in synodo Nicaena homousion esse susceptum? hoc si cui displicet, placeat necesse est, quod ab Arianis sit negatum. negatum enim idcirco est homousion, ne ex substantia dei patris deus filius natus, sed secundum creaturas ex nihilo conditus praedicaretur 11 S. 269, 17 12 Joh. 10, 30 12f. Joh. 14, 9 19 Vgl. Loofs a. a. O. S. 254. Ich kann dies Zeugnis nicht unbedingt verwerfen, wenn auch zuzugeben ist, daß Athan. Paul nicht verstanden hat. Doch hat sich Paul immerhin wie bei Loofs S. 331, 8—12 geäußert 25 Vgl. Phil. 2, 7; Joh. 1, 14

BKPO R z (8 καὶ 3 — 10 φῶς > z) 18 καὶ γὰρ — 26 'Ιωάννης = Severus (Sev.) Antiochenus, lib. c. Gramm. III 27 (CSCO Script. syri IV 6 S. 76, 27ff. Lebon)

---

2 τὰς] τὰ P 4 υἱὸς + ὁμοούσιος z 5 nach Παύλου Rasur von ca. 5 Buchst. R 7 οὐσίας + τοῦ πατρὸς z 11 περὶ [1] + τὸν z 13 καὶ > z 17 μέμψαιτ' R 18 καὶ [2] > z Sev. | ἑκάστη σύνοδος z Sev. ἑκάστης συνόδου BKPOR 22/23 ἀλλ' — εἰρήκασι > z 23 ἅπερ Sev. 26 μὲν + τὰ z 29 γνήσιον > z | τὰ κτίσματα] ἐπὶ τῶν κτισμάτων z

κατὰ τὴν οὐσίαν οὐδὲ κατὰ τὴν φύσιν, ὡς ἔστιν υἱὸς ὅμοιος πατρί, ἀλλὰ διὰ τὴν συμ-
φωνίαν τῶν δογμάτων καὶ τῆς διδασκαλίας, ἀλλὰ γὰρ καὶ ἀπεσχοίνιζον καὶ ἀπεξενοῦντο
παντελῶς τὴν οὐσίαν τοῦ υἱοῦ ἀπὸ τοῦ πατρὸς ἑτέραν ἀρχὴν αὐτῷ τοῦ εἶναι παρὰ τὸν
πατέρα ἐπινοοῦντες καὶ εἰς τὰ κτίσματα καταφέροντες αὐτόν, τούτου χάριν οἱ ἐν Νικαίᾳ D
συνελθόντες θεωρήσαντες τὴν πανουργίαν τῶν οὕτω φρονούντων καὶ συναγαγόντες ἐκ
τῶν γραφῶν τὴν διάνοιαν λευκότερον γράφοντες εἰρήκασι τὸ ὁμοούσιον, ἵνα καὶ τὸ
γνήσιον ἀληθῶς ἐκ τούτου γνωσθῇ τοῦ υἱοῦ καὶ μηδὲν κοινὸν ἔχῃ πρὸς τοῦτον τὰ 8
γενητά. ἡ γὰρ τῆς λέξεως ταύτης ἀκρίβεια τήν τε ὑπόκρισιν αὐτῶν ἐὰν λέγωσι ¹ τὸ M 776 A
ἐκ τοῦ θεοῦ ῥητόν, διελέγχει καὶ πάσας αὐτῶν τὰς πιθανότητας, ἐν αἷς ὑφαρπάζουσι
τοὺς ἀκεραίους, ἐκβάλλει. πάντα γοῦν δυνάμενοι σοφίζεσθαι καὶ μεταποιεῖν ὡς θέλουσι,
ταύτην μόνην τὴν λέξιν ὡς διελέγχουσαν αὐτῶν τὴν αἵρεσιν δεδίασιν, ἣν οἱ πατέρες
ὥσπερ ἐπιτείχισμα κατὰ πάσης ἀσεβοῦς ἐπινοίας αὐτῶν ἔγραψαν.

Πεπαύσθω τοίνυν πᾶσα φιλονεικία καὶ μηκέτι προσκόπτωμεν ἡμεῖς, εἰ διαφόρως **46, 1**
ἐξειλήφασιν αἱ σύνοδοι τὴν τοῦ ὁμοουσίου λέξιν. ἔχομεν γὰρ εἰς ἀπολογίαν εὐλόγους
περὶ αὐτῶν αἰτίας, τὰς προειρημένας μέν, καὶ ταύτην δέ. τὸ ἀγέννητον εἰ καὶ μὴ παρὰ 2
τῶν γραφῶν τοῦτο μεμαθήκαμεν (οὐδαμοῦ γὰρ ἀγέννητον τὸν θεὸν εἰρήκασιν αἱ γραφαί),
ὅμως ἐπειδὴ καὶ πολλοὶ τῶν δοκούντων ἐμνημόνευσαν τοῦ ὀνόματος, φιλοπευστήσαντες B
ἔγνωμεν ὅτι καὶ τοῦτο τὸ ὄνομα διάφορα ἔχει τὰ σημαινόμενα. καὶ οἱ μὲν τὸ ὂν **μέν**,
μήτε δὲ γεννηθὲν μήτε ὅλως ἔχον τὸν αἴτιον λέγουσιν ἀγέννητον, οἱ δὲ τὸ ἄκτιστον.
ὥσπερ οὖν τούτων οὕτω σημαινομένων, εἰ μέν τις ἀποβλέπων εἰς τὸ πρότερον σημαινό- 3
μενον τὸ ‘μὴ ἔχον τὸν αἴτιον’ ἔλεγε ‘μὴ εἶναι ἀγέννητον τὸν υἱόν’, οὐκ ἂν κατηγόρει
βλέπων ἕτερον βλέποντα εἰς τὸ μὴ εἶναι ποίημα μηδὲ κτίσμα, ἀλλ’ ἀίδιον γέννημα καὶ
λέγοντα ἀγέννητον τὸν υἱόν· ἀμφότεροι γὰρ ¹ πρὸς τὸν ἴδιον σκοπὸν ὁρῶντες καλῶς B 761
εἰρήκασιν· οὕτως εἰ καὶ τῶν πατέρων οἱ μὲν οὕτως, οἱ δὲ οὕτως εἰρήκασι περὶ τοῦ ὁμο-
ουσίου, μὴ φιλονεικῶμεν ἡμεῖς, ἀλλ’ εὐσεβῶς τὰ παρ’ αὐτῶν δεχώμεθα, ἕως μάλιστα τὴν
σπουδὴν εἶχον εἰς εὐσέβειαν. C

Ἰγνάτιος οὖν ὁ μετὰ τοὺς ἀποστόλους ἐν Ἀντιοχείᾳ κατασταθεὶς ἐπίσκοπος καὶ **47, 1**
μάρτυς τοῦ Χριστοῦ γενόμενος γράφων περὶ τοῦ κυρίου εἴρηκεν »εἷς ἰατρός ἐστι, σαρκικὸς
καὶ πνευματικός, γενητὸς καὶ ἀγένητος, ἐν ἀνθρώπῳ θεός, ἐν θανάτῳ ζωὴ ἀληθινή, καὶ
ἐκ Μαρίας καὶ ἐκ θεοῦ.« τινὲς δὲ καὶ τῶν μετὰ Ἰγνάτιον διδάσκαλοι καὶ αὐτοὶ γράφουσιν
»ἓν τὸ ἀγένητον ὁ πατὴρ καὶ εἷς ὁ ἐξ αὐτοῦ υἱὸς γνήσιος, γέννημα ἀληθινόν, λόγος καὶ

1 διὰ τὴν συμφωνίαν: kaum zur Zeit von Nicäa geprägt. Die Formel findet sich in dem Symbol von 341, S. 249, 33 5 = de decr. 20, 3 (S. 17, 7ff.) 16 Vgl. Epiph. 73, 19, 1 (III 291, 31) 18 Der Abschnitt über die verschiedenen Bedeutungen von ἀγέννητος gehört sachlich nicht zum Thema. De decr. 28 und Parallelen sind nicht heranzuziehen 19 Vgl. Alexander Urk. 14, 46 (III 27, 1): πιστεύομεν . . . εἰς μόνον ἀγέννητον πατέρα, οὐδένα τοῦ εἶναι αὐτῷ τὸν αἴτιον ἔχοντα. Zu der 2. Definition vgl. Asterius bei Athan. or. I. c. Arian. 30 (Migne 26, 76 A): ἀγένητον εἶναι τὸ μὴ ποιηθέν, ἀλλ’ ἀεὶ ὄν 28 Ignatius ad Ephes. 7, 2 31 Der Satz setzt die trinitarische Kontroverse voraus, ist daher wohl eine Reminiszenz des Athan. Or. I. c. Arian. 31 (Migne 26, 76 C): εἰ ἀγένητος ὁ θεός, οὐ γενητή, ἀλλὰ γέννημά ἐστιν ἡ τούτου εἰκών, ἥτις ἐστὶν ὁ λόγος αὐτοῦ καὶ ἡ σοφία. Vgl. Urk. 14, 44ff. (III 26, 25ff.)

BKPO R z

1 ἔστιν + ὁ z | ὅμοιος + τῷ z | πατρὶ + κατὰ ταῦτα z 2 ἀπεξένουν z 3 ἀπὸ + τῆς z 3/4 παρὰ τὸν πατέρα Rz > BKPO 5 καὶ Rz > BKPO 9 τοῦ > z 10 θέλουσι] βούλονται z 12 αὐτῶν z αὐτῶν ταύτην BKPOK R 14 γὰρ z > BKPOR 16 τοῦτο z > BKPOR | εἰρήκαμεν P 19 ἀγέννητον BKPO^{c}R^c z ἀγένητον R*O* | οἱ δὲ τὸ ἄκτιστον z > BKPOR 20 μὲν P ὁ μὲν KOR z μὲν ὁ B 21 ἀγέννητον R^c z ἀγένητον BKPOR* 22 ἀλλὰ ἴδιον z 23 ἀγέννητον BPO^{c}R ἀγένητον KO*R^{c}z 24/25 ὁμοουσίου + καὶ B 27 οὖν] γοῦν R z 29 καὶ^3 + γὰρ z 30 τῶν > z | μετὰ + τὸν z 31 ἀγέννητον R^{c}z

2 σοφία τοῦ πατρός.« εἰ μὲν οὖν καὶ πρὸς τούτους ἐναντίως διακείμεθα, ἔστω καὶ πρὸς
M 777 A τὰς συνόδους ἡμῖν ἡ μάχη· εἰ δὲ τὴν ἐν Χριστῷ πίστιν αὐτῶν | γινώσκοντες πεπείσμεθα ὅτι
καὶ ὁ μακάριος Ἰγνάτιος ὀρθῶς ἔγραψε γενητὸν αὐτὸν λέγων διὰ τὴν σάρκα (ὁ γὰρ
Χριστὸς σὰρξ ἐγένετο), ἀγένητον δέ, ὅτι μὴ τῶν ποιημάτων καὶ γενητῶν ἐστιν, ἀλλ'
υἱὸς ἐκ πατρός, οὐκ ἀγνοοῦμεν δὲ ὅτι καὶ οἱ εἰρηκότες ἓν τὸ ἀγένητον τὸν πατέρα λέγοντες
οὐχ ὡς γενητοῦ καὶ ποιήματος ὄντος τοῦ λόγου οὕτως ἔγραψαν, ἀλλ' ὅτι μὴ ἔχει τὸν
αἴτιον· καὶ μᾶλλον αὐτὸς πατὴρ μέν ἐστι τῆς σοφίας, τὰ δὲ γενητὰ πάντα ἐν σοφίᾳ
πεποίηκε· διὰ τί μὴ καὶ τοὺς πατέρας τούς τε τὸν Σαμοσατέα καθελόντας καὶ τὴν ἀρειανὴν
αἵρεσιν στηλιτεύσαντας εἰς εὐσέβειαν συνάγομεν, ἀλλὰ διαστέλλομεν ἀνὰ μέσον αὐτῶν
καὶ οὐ μᾶλλον ὀρθῶς περὶ αὐτῶν φρονοῦμεν; ὅτι κἀκεῖνοι, καθάπερ εἶπον, πρὸς τὸ σόφισμα
B τοῦ Σαμοσατέως καὶ τὴν ἑρμηνείαν αὐτοῦ τὴν διάνοιαν ἔχοντες ἔγραψαν· 'οὐκ ἔστιν
3 ὁμοούσιος', καὶ οὗτοι δὲ καλῶς νοήσαντες εἰρήκασιν ὁμοούσιον εἶναι τὸν υἱόν. καὶ
γὰρ κἀγὼ τοιαῦτα μὲν νοῶν περὶ τῶν εὐσεβούντων εἰς τὸν Χριστὸν δι' ὀλίγων ἔγραψα,
εἰ δὲ δυνατὸν ἦν εὐπορῆσαι καὶ τῆς ἐπιστολῆς ἣν λέγουσιν ἐκείνους γεγραφέναι, ἡγοῦμαι
πλείους εὑρεθήσεσθαι τὰς προφάσεις, δι' ἃς ἠναγκάσθησαν οὕτω γράψαι οἱ μακάριοι
4 ἐκεῖνοι. δεῖ γὰρ ἡμᾶς καὶ πρέπει τοιαῦτα φρονεῖν τοιαύτην τε σώζειν ἀγαθὴν συνείδησιν
πρὸς τοὺς πατέρας, εἴγε μὴ νόθοι τυγχάνομεν, ἀλλ' ἐξ αὐτῶν ἔχομεν τὰς παραδόσεις
καὶ παρ' αὐτῶν τὴν τῆς εὐσεβείας διδασκαλίαν.
48, 1 Τοιαύτη μὲν οὖν ἡ διάνοια τῶν πατέρων λεγέσθω καὶ πιστευέσθω. φέρε δὲ καὶ
C μετ' αὐτῶν πάλιν ἐξετάσωμεν τὸ πρᾶγμα πράως καὶ μετὰ συνειδήσεως ἀγαθῆς μνημο-
νεύσαντες καὶ τῶν προειρημένων, εἰ μὴ τῷ ὄντι δείκνυνται καλῶς φρονήσαντες οἱ ἐν τῇ
B 762 2 Νικαίᾳ συνελθόντες | ἐπίσκοποι. εἰ μὲν ποίημά ἐστιν ὁ λόγος καὶ ἀλλότριος τῆς τοῦ
πατρὸς οὐσίας, ὥστε καὶ χωρίζεσθαι αὐτὸν ἀπὸ τοῦ πατρὸς τῷ ἑτεροφυεῖ χωρισμῷ,
οὐκ ἂν εἴη ὁμοούσιος τῷ πατρί, ἀλλὰ μᾶλλον ὁμογενὴς τῇ φύσει τοῖς ποιήμασι, κἂν
ὑπερβάλλῃ τῇ χάριτι· εἰ δὲ ὁμολογοῦμεν μὴ εἶναι αὐτὸν ποίημα, ἀλλὰ γνήσιον ἐκ τῆς
οὐσίας τοῦ πατρὸς γέννημα, ἀκόλουθον ἂν εἴη καὶ ἀχώριστον αὐτὸν εἶναι τοῦ πατρὸς
ὁμοφυῆ ὄντα διὰ τὸ ἐξ αὐτοῦ γεγεννῆσθαι. τοιοῦτος δὲ ὢν ἰκότως καὶ ὁμοούσιος ἂν
3 λέγοιτο. ἔπειτα εἰ μὴ ἐκ μετουσίας ἐστὶν ὁ υἱός, ἀλλὰ τῇ οὐσίᾳ λόγος ἐστὶ καὶ σοφία τοῦ
D πατρός, ἡ δὲ οὐσία αὕτη τῆς οὐσίας τῆς πατρικῆς ἐστι γέννημα καὶ ὁμοιότης αὐτῆς ὥσπερ
καὶ τὸ ἀπαύγασμα τοῦ φωτός· λέγει δὲ ὁ υἱὸς »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν« καὶ »ὁ ἐμὲ
ἑωρακὼς ἑώρακε τὸν πατέρα«· πῶς δεῖ νοεῖν ταύτας τὰς φωνάς; ἢ πῶς αὐτὰς ἐκλαμ-
M 780 A 4 βάνοντες σώσομεν τὸ ἓν εἶναι | τὸν πατέρα καὶ τὸν υἱόν; εἰ μὲν οὖν τῇ συμφωνίᾳ
τῶν δογμάτων καὶ τῷ μὴ διαφωνεῖν πρὸς τὸν πατέρα, ὡς οἱ Ἀρειανοὶ λέγουσι, φαῦλος

---

6 Vgl. Alexander in dem oben S. 271, 19 Note zitierten Satz 14 Gemeint ist der Brief der Synode von 268; λέγουσιν: die Synodalen von Sirmium 358 vgl. S. 268, 16 19ff. c. 48—54 positive Darlegung über das ὁμοούσιος 25ff. Hilarius de syn. 88 (II 514 A Maffei) definiert so: Homousion intelligo ex deo deum, non dissimilis essentiae, non divisum, sed natum et ex innascibilis dei substantia congenitam in filio secundum similitudinem unigenitam nativitatem 27 ὁμοφυής: vgl. Dionys v. Alex. bei Athan. de sent. Dion. 18, 2 (S. 59, 8 Note). Athan. or. I. c. Arian. 58 (Migne 26, 133 B): ἑτερογενὴς ἄρα καὶ ἑτεροούσιός ἐστιν ὁ υἱὸς τῶν γενητῶν καὶ μᾶλλον τῆς τοῦ πατρὸς οὐσίας ἴδιος καὶ ὁμοφυὴς τυγχάνει 29 Vgl. Ancyra 358: Epiph. 73, 10, 9 (III 282, 6ff.): φανερὸν γὰρ ὅτι τῆς ζωῆς τῆς ἐν τῷ πατρὶ νοουμένης οὐσίας σημαινομένης καὶ τῆς ζωῆς τῆς τοῦ μονογενοῦς τῆς ἐκ τοῦ πατρὸς γεγεννημένης οὐσίας νοουμένης, τὸ »οὕτως« (Joh. 6, 57) τὴν ὁμοιότητα τῆς οὐσίας πρὸς οὐσίαν σημαίνει 30 Joh. 10, 30; Joh. 14, 9 32 Vgl. S. 249, 33 — Die gleiche Argumentation: or. III. c. Arian. 10 (Migne 26, 341 Aff.)

BKPO R z

---

3 γεννητὸν Pc 5 ἀγέννητον Rcz 6 ἔχῃ R 8 καὶ² + τοὺς z 14 ἐκεῖνον B 20/21 μνημονεύοντες z 25 ὑπερβάλλει R ὑποβάλλῃ K 27/28 λέγοιτο ἂν ~ P 29 τῆς οὐσίας > BK

ὁ τοιοῦτος νοῦς. καὶ γὰρ καὶ οἱ ἅγιοι καὶ μᾶλλόν γε ἄγγελοι καὶ ἀρχάγγελοι τὴν τοιαύτην
ἔχουσι πρὸς τὸν θεὸν συμφωνίαν καὶ οὐδεμία παρ' αὐτοῖς ἐστι διαφωνία. ὁ γὰρ δια-
φωνήσας διάβολος ἐθεωρήθη πίπτων ἐκ τῶν οὐρανῶν, ὡς εἶπεν ὁ κύριος. οὐκοῦν εἰ διὰ
τὴν συμφωνίαν ἕν ἐστιν ὁ πατὴρ καὶ ὁ υἱός, εἴη ἂν καὶ τῶν γενητῶν τὰ συμφωνοῦντα
οὕτω πρὸς τὸν θεὸν καὶ εἴποι ἂν ἕκαστος· »ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν«. εἰ δὲ τοῦτο 5
ἄτοπον· ἄτοπον γάρ ἐστιν ἀληθῶς· ἀνάγκη λοιπὸν κατὰ τὴν οὐσίαν νοεῖν καὶ τὴν
υἱοῦ καὶ πατρὸς ἑνότητα. τὰ μὲν γὰρ γενητά, κἂν συμφωνίαν ἔχῃ πρὸς τὸν πεποιηκότα,
ἀλλ' ἐν κινήσει καὶ μετουσίᾳ καὶ νῷ ταύτην ἔχει, ἥνπερ ὁ μὴ φυλάξας ἐκβέβληται τῶν B
οὐρανῶν, ὁ δὲ υἱὸς ἐκ τῆς οὐσίας ὢν γέννημα τῇ οὐσίᾳ ἕν ἐστιν αὐτὸς καὶ ὁ γεννήσας
αὐτὸν πατήρ.

Διὰ τοῦτο γὰρ καὶ τὸ ἰσάζον ἔχει πρὸς τὸν πατέρα ταῖς ἑνοειδέσι φωναῖς καὶ τὰ 49, 1
ἐπὶ τοῦ πατρὸς λεγόμενα ταῦτα καὶ ἐπὶ υἱοῦ λέγουσιν αἱ γραφαὶ χωρὶς μόνου τοῦ λέγεσθαι
αὐτὸν πατέρα. αὐτὸς γὰρ εἶπεν ὁ υἱός· »πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι«, τῷ τε 2
πατρὶ ἔλεγε· »πάντα τὰ ἐμὰ σά ἐστι καὶ τὰ σὰ ἐμά«, οἷον τὸ θεός· »θεὸς γὰρ ἦν ὁ λόγος«,
τὸ παντοκράτωρ· »τάδε λέγει ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος ὁ παντοκράτωρ·«, τὸ εἶναι
φῶς· »ἐγώ εἰμι«, φησί, »τὸ φῶς«, τὸ δημιουργικὸν αἴτιον· »πάντα γὰρ δι' αὐτοῦ ἐγένετο«
καὶ »ἃ βλέπω τὸν πατέρα ποιοῦντα, ταῦτα κἀγὼ ποιῶ«, τὸ εἶναι ἀΐδιον· »ἥ τε γὰρ C
ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης« καὶ »ἐν ἀρχῇ ἦν ὁ λόγος« καὶ »ἦν τὸ φῶς τὸ ἀληθινόν,
ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον«, τὸ εἶναι κύριος· | »ἔβρεξε γὰρ B 763
κύριος θεῖον καὶ πῦρ παρὰ κυρίου«. καὶ ὁ μὲν πατήρ φησιν· »ἐγὼ κύριος« καὶ »τάδε 3
λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ«, περὶ δὲ τοῦ υἱοῦ ὁ Παῦλός φησιν· »εἷς κύριος Ἰησοῦς
Χριστός, δι' οὗ τὰ πάντα«. καὶ τῷ μὲν πατρὶ λειτουργοῦσιν ἄγγελοι, ὁ δὲ υἱὸς 4
προσκυνεῖται παρ' αὐτῶν· »καὶ προσκυνησάτωσαν γὰρ αὐτῷ πάντες ἄγγελοι θεοῦ«.
λέγεται δὲ εἶναι καὶ κύριος ἀγγέλων· »διηκόνουν γὰρ αὐτῷ οἱ ἄγγελοι« καὶ »ἀποστελεῖ
ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ«, τὸ τιμᾶσθαι ὡς τὸν πατέρα· »ἵνα γάρ«, D
φησί, »τιμῶσι τὸν υἱόν, καθὼς τιμῶσι τὸν πατέρα«, τὸ εἶναι ἴσα θεῷ· »οὐχ ἁρπαγμὸν
ἡγήσατο τὸ εἶναι ἴσα | θεῷ«, τὸ εἶναι ἐξ ἀληθινοῦ ἀλήθειαν καὶ ἐκ ζῶντος ζωὴν ὡς πηγῆς M 781 A
ὄντος τοῦ πατρός, τὸ ζωοποιεῖν τὸν υἱὸν καὶ ἐγείρειν τοὺς νεκροὺς ὥσπερ ὁ πατήρ· οὕτω
γὰρ ἐν τῷ εὐαγγελίῳ γέγραπται, καὶ περὶ μὲν τοῦ πατρὸς γέγραπται· »κύριος ὁ 5
θεός σου κύριος εἷς ἐστι« καὶ »θεὸς θεῶν κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν«, περὶ δὲ
τοῦ υἱοῦ· »θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν« καὶ »ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν Σιών«.
πάλιν τε περὶ μὲν τοῦ θεοῦ φησιν ὁ Ἡσαίας· »τίς θεὸς ὥσπερ σὺ ἐξαίρων ἀνομίας καὶ
ὑπερβαίνων ἀδικίας;« ὁ δὲ υἱὸς ἔλεγεν οἷς ἤθελεν· »ἀφέωνταί σου αἱ ἁμαρτίαι«, ὅτε καὶ

3 Vgl. Lc. 10, 18 5f. Vgl. Erklärung der Synode von Paris 360, Coll. antiar. Paris. A I (CSEL 65, 44, 14ff.): eam solam similitudinem dignam ad patrem intellegentes, quae dei ueri sit ad deum uerum, ita ut non unio diuinitatis, sed unitas intellegatur, quia unio sit singularis, unitas uero secundum natiuitatis ueritatem plenitudo nascentis sit. S. auch de decr. 23, 1 (S. 19, 14). Joh. 10, 30 13 Joh. 16, 15 14 Joh. 17, 10; Joh. 1, 1 15 Apc. 1, 8 16 Joh. 8, 12; Joh. 1, 3 17 Joh. 5, 19; Rm. 1, 20 18 Joh. 1, 1. 9 19 Gen. 19, 24 20 Amos 3, 13; vgl. Apc. 1, 8 21 I. Cor. 8, 6 23 Hebr. 1, 6 24 Mt. 4, 11; Mt. 24, 31 25 Joh. 5, 23 26 Phil. 2, 6 29 Dtn. 6, 4 30 Ps. 49, 1 31 Ps. 117, 27; Ps. 83, 8 32 Mi. 7, 18 33 Mt. 9, 2

BKPO R z

1 καὶ[2] > z 6 τὴν[2] + τοῦ z 7 καὶ + τοῦ z 8 ἔχῃ R | ἥνπερ z ὥσπερ BKPO R 9 τῇ οὐσίᾳ z οὐσίᾳ καὶ BKPOR | αὐτὸς — 10 πατήρ] πρὸς τὸν γεννήσαντα αὐτὸν πατέρα z 12 ἐπὶ[2] + τοῦ z 14 θεός[1] + καὶ Rz 15 τὸ[1] + ὁ z | ὁ[3] > R 16 τὸ φῶς φησι ~ K 18 καὶ[1] + ἡ B 23 γὰρ > B*R | γάρ + φησιν z 24 δὲ] γὰρ B > R 26 οὐχ — 27 θεῷ > KOR 27 ὡς z ὡς ἀπὸ BKPOR 28 ὄντος Rz ὄντως BKPO 31 Σιών + καὶ B 32 θεοῦ] υἱοῦ z 33 σου] σοι z | ἁμαρτίαι + σου z

τῶν Ἰουδαίων γογγυζόντων ἔργῳ τὴν ἄφεσιν ἐδείκνυε λέγων τῷ παραλυτικῷ· »ἔγειραι,
B ἆρον τὸν κράββατόν σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου«. καὶ περὶ μὲν τοῦ θεοῦ ἔλεγεν
ὁ Παῦλος· »τῷ δὲ βασιλεῖ τῶν αἰώνων«, περὶ δὲ τοῦ υἱοῦ ὁ μὲν Δαυὶδ ἔψαλλεν· »ἄρατε
πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς
δόξης«, ὁ δὲ Δανιὴλ ἤκουσεν· »ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος« καὶ »ἡ βασιλεία
αὐτοῦ οὐ διαφθαρήσεται«. καὶ ὅλως ὅσα ἂν εὕροις περὶ τοῦ πατρὸς λεγόμενα, τοσαῦτα
ἂν εὕροις καὶ περὶ τοῦ υἱοῦ λεγόμενα χωρὶς μόνου τοῦ εἶναι αὐτὸν πατέρα, καθάπερ
εἴρηται.

50, 1 Εἰ μὲν οὖν ἄλλην ἀρχὴν ἐνθυμεῖταί τις καὶ ἄλλον πατέρα διὰ τὸ ἰσάζον τῶν λεγο-
μένων, μανικὸν τὸ ἐνθύμημα, εἰ δὲ διὰ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸν υἱὸν πάντα τὰ τοῦ πατρὸς
C ὡς ἐν εἰκόνι καὶ χαρακτῆρι τοῦ υἱοῦ ἐστι, λογισώμεθα εὐμενῶς, εἰ ξένη οὐσία τῆς τοῦ πατρὸς
οὐσίας δεκτικὴ τῶν τοιούτων ἐστί, καὶ εἰ ὁ τοιοῦτος ἑτεροφυὴς καὶ ἀλλοτριοούσιός ἐστι,
2 καὶ οὐχ ὁμοούσιος τῷ πατρί. εὐλαβητέον γὰρ μὴ τὰ τοῦ πατρὸς ἴδια μεταφέροντες ἐπὶ
τὸ ἀνομοιοούσιον αὐτῷ καὶ ἐν ἀνομοιογενεῖ καὶ ἀλλοτριοουσίῳ χαρακτηρίζοντες τὴν τοῦ
πατρὸς θεότητα, ξένην μὲν ἄλλην εἰσάξωμεν οὐσίαν, δεκτικὴν τῶν τῆς πρώτης οὐσίας
ἰδιωμάτων, ἐντραπῶμεν δὲ ὑπ' αὐτοῦ τοῦ θεοῦ λέγοντος· »τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω«
καὶ εὑρεθῶμεν προσκυνοῦντες τῷ ἀλλοτρίῳ καὶ νομισθῶμεν εἶναι τοιοῦτοι, οἷοι ἦσαν οἱ τότε
B 764 Ἰουδαῖοι λέγοντες· | »διὰ τί σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν«, ὅτε καὶ τὰ τοῦ πνεύ-
D ματος μεταφέροντες ἐβλασφήμουν λέγοντες ὅτι· »ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια«.
M 784 A 3 εἰ δὲ τοῦτο ἀπρεπές, δῆλον ὅτι οὐκ ἀνομοιοούσιος ἂν | εἴη ὁ υἱός, ἀλλὰ ὁμοούσιος τῷ πατρί·
καὶ γὰρ εἰ τὰ τοῦ πατρὸς φυσικῶς τοῦ υἱοῦ ἐστιν, αὐτός τε ὁ υἱὸς ἐκ τοῦ πατρός ἐστι καὶ
διὰ τὴν τοιαύτην ἑνότητα τῆς θεότητος καὶ τῆς φύσεως αὐτὸς καὶ ὁ πατὴρ ἕν εἰσι, καὶ »ὁ
ἑωρακὼς τὸν υἱὸν ἑώρακε τὸν πατέρα«, εἰκότως ἐλέχθη παρὰ τῶν πατέρων ὁμοούσιος, οὐ
γὰρ ἑτεροουσίου τὰ τοιαῦτα ἔχειν ἐστί.

51, 1 Πάλιν τε εἰ, καθὰ προείπομεν, οὐκ ἐκ μετουσίας ἐστὶν ὁ υἱός, ἀλλὰ τὰ μὲν γενητὰ
πάντα ἐκ μετουσίας ἔχει τὴν παρὰ θεοῦ χάριν, αὐτὸς δὲ τοῦ πατρὸς σοφία καὶ λόγος ἐστίν,
οὗ μετέχει τὰ πάντα, δῆλον ὅτι αὐτὸς ὢν τὸ θεοποιὸν καὶ φωτιστικὸν τοῦ πατρός, ἐν ᾧ
B τὰ πάντα θεοποιεῖται καὶ ζωοποιεῖται, οὐκ ἀλλοτριοούσιός ἐστι τοῦ πατρός, ἀλλ' ὁμο-
ούσιος. τούτου γὰρ μεταλαμβάνοντες τοῦ πατρὸς μετέχομεν διὰ τὸ τοῦ πατρὸς εἶναι
2 ἴδιον τὸν λόγον. ὅθεν εἰ ἦν ἐκ μετουσίας καὶ αὐτὸς καὶ μὴ ἐξ αὐτοῦ οὐσιώδης θεότης
καὶ εἰκὼν τοῦ πατρός, οὐκ ἂν ἐθεοποίησε θεοποιούμενος καὶ αὐτός. οὐ γὰρ οἷόν τε τὸν ἐκ
μετουσίας ἔχοντα μεταδιδόναι τῆς μεταλήψεως ἑτέροις, ὅτι μὴ αὐτοῦ ἐστιν ὃ ἔχει, ἀλλὰ τοῦ
3 δεδωκότος, καὶ ὃ ἔλαβε μόγις τὴν ἀρκοῦσαν αὐτῷ χάριν ἔλαβε. καὶ τὴν αἰτίαν δὲ
ὅμως, δι' ἣν τινες, ὡς λέγεται, παραιτοῦνται τὸ ὁμοούσιον, ἐξετάσωμεν ἀληθῶς, μὴ ἄρα
μᾶλλον ἐκ ταύτης ὁμοούσιος δείκνυται ὁ υἱὸς τῷ πατρί. φασὶ τοίνυν, ὡς ὑμεῖς ἐγράψατε,

---

1 Mt. 9, 6 (Mc. 2, 11) 3 I. Tim. 1, 17 3/4 Ps. 23, 7 5 Dan. 4, 31; Dan. 7, 14 15/16 Hier zum ersten Male der Begriff ἰδιώματα τῆς οὐσίας bezeugt 16 Jes. 42, 8 18 Joh. 10, 33 19 Lc. 11, 15 22 Vgl. die oben S. 273, 5f. Note angezogene Stelle, und S. 276, 6. Zu ἑνότης τῆς φύσεως: de decr. 24, 1 (S. 20, 4) 25 = or. I. c. Arian. 15 (Migne 26, 44 B) 31 Vgl. or. I. c. Arian. 39 (Migne 26, 93 A) 35ff. S. die oben S. 269, 38 angezogene Stelle aus Hilarius; in Fortsetzung des Zitates heißt es (II 501 A Maffei): ut enim coheredes duo sunt et hereditas anterior est cuius duo sunt coheredes, ita unius substantiae anterioris duo pares possunt uideri esse consortes. atquin ita una substantia patris et filii praedicata aut unum qui duas nuncupationes habeat subsistentem significat; aut divisam unam substantiam, duas

---

BKPO R z (31 οὐ — 33 ἔλαβε^2 > z)

---

2 ἔλεγεν Rz ἔγραφεν BKPO 4 ὑμῶν] ἡμῶν PO 6 εὕρης KO 10 μανιχαικὸν K 14 ἀλλοτριουσίῳ O 17 οἷοι R^c οἱ R^* 18/19 πνεύματος] πατρὸς P 21 τοῦ υἱοῦ] τῷ υἱῷ P 23 οὐ] εἰ P 25 ὁ > z 31 ἐθεοποίει z 32 ἑτέροις O^c ἐκείνοις O^* 34 τινες O^c τινα O^*

μὴ χρῆναι λέγειν ὁμοούσιον τὸν υἱὸν τῷ πατρί, ὅτι ὁ λέγων ὁμοούσιον τρία λέγει, οὐσίαν
τινὰ προυποκειμένην καὶ τοὺς ἐκ ταύτης γεννωμένους ὁμοουσίους εἶναι. καὶ ἐπιλέγουσιν· C
'ἐὰν οὖν ὁ υἱὸς ὁμοούσιος ᾖ τῷ πατρί, ἀνάγκη προυποκεῖσθαι αὐτῶν οὐσίαν, ἐξ ἧς καὶ ἐγεν-
νήθησαν, καὶ μὴ εἶναι τὸν μὲν πατέρα, τὸν δὲ υἱόν, ἀλλ' ἀμφοτέρους ἀδελφούς.' ταῦτα 4
εἰ καὶ 'Ελλήνων εἰσὶν ἑρμηνεῖαι καὶ οὐκ ἀναγκαῖα ἡμῖν τὰ παρ' ἐκείνων, ἀλλ' ἴδωμεν τὰ
εἰρημένα τὰ ὁμοούσια τὰ ἐκ τῆς προνοουμένης οὐσίας ἀδελφά, πότερον ἑαυτῶν εἰσιν ὁμο-
ούσια ἢ τῆς οὐσίας ἐξ ἧς καὶ ἐγεννήθησαν. εἰ μὲν γὰρ ἑαυτῶν ἑτεροούσια καὶ ἀνόμοια 5
ἔσται πρὸς τὴν γεννήσασαν αὐτὰ οὐσίαν· ἀντίκειται γὰρ τῷ ὁμοουσίῳ τὸ ἑτεροούσιον·
εἰ δὲ τῆς γεννησάσης αὐτὰ οὐσίας ἐστὶν ἕκαστον ὁμοούσιον, δῆλον ὅτι τὸ ἔκ τινος γεννώ-
μενον ὁμοούσιόν ἐστι τῷ γεννήσαντι. καὶ οὐκέτι χρὴ ζητεῖν τρεῖς οὐσίας, ἀλλὰ μόνον D
ζητεῖν, εἰ τόδε ἀληθὲς ' ἐκ τοῦδέ ἐστι. κἂν γὰρ συμβῇ μὴ εἶναι δύο ἀδελφούς, ἀλλὰ 6 B 765
καὶ μόνον ἕνα ἐξ ἐκείνης τῆς οὐσίας γενέσθαι, οὐ διὰ τὸ μὴ εἶναι ἕτερον ἀλλοτριοούσιος ἂν
λεχθείη ὁ γεννηθείς, ἀλλὰ καὶ μόνος ὢν εἴη ἂν καὶ αὐτὸς ὁμοούσιος τῷ γεννήσαντι. ἐπεὶ
τί ἂν εἴποιμεν περὶ τῆς θυγατρὸς τοῦ 'Ιεφθάε ὅτι »μονογενὴς ἦν καὶ οὐκ ἦν«, φησίν, »ἄλλο
' τέκνον αὐτῷ«, καὶ περὶ τοῦ υἱοῦ δὲ τῆς χήρας, ὃν ἤγειρεν ἐκ νεκρῶν ὁ κύριος, ὅτι καὶ M 785 A
αὐτὸς οὐκ εἶχεν ἀδελφόν, ἀλλὰ μονογενὴς ἦν, ἄρα οὐκ ἦν ὁμοούσιος ἕκαστος αὐτῶν τῷ
γεννήσαντι; καὶ μὴν ἦσαν· τέκνα γὰρ ἦσαν· καὶ τοῦτο τέκνων ἴδιόν ἐστι πρὸς γονέας.
οὕτω καὶ τὸν τοῦ θεοῦ υἱὸν ἐκ τῆς οὐσίας εἰπόντες οἱ πατέρες εἰκότως καὶ ὁμοούσιον εἰρή- 7
κασι· ταύτην γὰρ ἔχει καὶ τὸ ἀπαύγασμα δύναμιν πρὸς τὸ φῶς. ἕπεται δὲ τούτοις μηδὲ
τὴν κτίσιν ἐκ τοῦ μὴ ὄντος γεγονέναι. οἱ γὰρ κατὰ πάθος γεννῶντες ἄνθρωποι αὐτοὶ καὶ
τὴν ὑποκειμένην ὕλην ἐργάζονται, καὶ ἄλλως οὐκ ἂν δύναιντο ποιεῖν· εἰ δὲ τὸ κτίζειν οὐκ
ἀνθρωπίνως νοοῦμεν ἐπὶ θεοῦ, πολλῷ μᾶλλον οὐδὲ τὸ γεννᾶν ἀνθρωπίνως πρέπει νοεῖν
ἐπὶ θεοῦ οὐδὲ τὸ ὁμοούσιον σωματικῶς ἐκλαμβάνειν, ἀλλ' ἀναχωρεῖν δεῖ ἀπὸ τῶν γενητῶν, B
καὶ ἀποτιθέντας κάτω που τὰς ἀνθρωπίνας εἰκόνας καὶ πάσας ἁπλῶς τὰς αἰσθήσεις
ἀνιέναι ἐπὶ τὸν πατέρα, μὴ λάθωμεν ἀφαιροῦντες τὸν υἱὸν ἀπὸ τοῦ πατρὸς καὶ προστι-
θέντες τοῖς ἑαυτοῦ κτίσμασι.

Καὶ ἄλλως δέ, εἰ μὲν πατέρα καὶ υἱὸν ὁμολογοῦντες δύο τινὰς ἀρχὰς ἢ δύο θεοὺς 52, 1
καθάπερ Μαρκίων καὶ Οὐαλεντῖνος λέγομεν ἢ ἕτερόν τινα τρόπον θεότητος ἔχειν τὸν υἱὸν
καὶ μὴ εἰκόνα καὶ χαρακτῆρα τοῦ πατρὸς εἶναι τὸν υἱὸν διὰ τὸ ἐξ αὐτοῦ πεφυκέναι, ἔστω
ἀνόμοιος· ξέναι γάρ εἰσι παντάπασιν ἀλλήλων αἱ τοιαῦται οὐσίαι· εἰ δὲ μίαν οἴδαμεν καὶ
μόνην θεότητα τὴν τοῦ πατρὸς τούτου τε λόγον καὶ σοφίαν εἶναι τὸν υἱὸν καὶ οὕτω πιστεύ- C
οντες οὐ λέγομεν δύο θεοὺς τήν τε ἑνότητα τοῦ υἱοῦ πρὸς τὸν πατέρα οὐχ ὁμοιώσει διδα-
σκαλίας, ἀλλὰ κατὰ τὴν οὐσίαν καὶ ἀληθείᾳ φρονοῦμεν, ὥστε διὰ τοῦτο μὴ λέγειν δύο
θεούς, ἀλλ' ἕνα θεὸν ἑνὸς ὄντος εἴδους θεότητος ὡς ἔστι τὸ φῶς καὶ τὸ ἀπαύγασμα. τοῦτο 2

---

imperfectas fecisse substantias; aut tertiam priorem substantiam, quae a duobus et usurpata sit et assumta, quae idcirco una dicatur, quia in duas una desecta sit p. 274, 35 ὡς ὑμεῖς ἐγράψατε: es haben sich also wie in de decr. de sent. Dion. ep. ad Serap. Anhänger an Athan. mit der Bitte um eine Erklärung über die Bedeutung der Formeln von Seleukeia-Konstantinopel gewandt 14 Jud. 11, 34 16 Vgl. Lc. 7, 12 21 = de decr. 11, 2 (S. 9, 38) 22 Ancyra 358 (Epiph. 73, 4, 4; III 273, 14): πατὴρ δὲ μονογενοῦς ὢν οὐχ ὡς κτίστης, ἀλλ' ὡς πατὴρ γεννήσας νοεῖται. Vgl. ebenda 3, 6 (III 272, 2ff.). Ferner Athan. or. II. c. Arian. 3. 5 (Migne 26, 152 C. 156 D—157 A) 24 = de decr. 24, 1 (S. 19, 31ff.) 27 Dionys v. Rom in de decr. 26, 3 (S. 22, 12f.) 32 Vgl. S. 273, 5 Note

---

BKPO R z

---

2 ἐπιλέγουσιν] ἐπεὶ λέγουσιν KO 3 οὖν > BK 6 προεπινοουμένης z 8 τὴν γεννήσασαν] τὸν γεννήσαντα O 11 ἀληθὲς] ἀληθῶς z | δύο εἶναι ∼ z 12 καὶ > K | ἀλλοτριοούσιος] ἑτεροούσιος z 18 οὐσίας + τοῦ πατρὸς z 19 ταύτην — φῶς > z 23 δεῖ > z 29 εἶναι τοῦ πατρὸς ∼ z 30 ἀλλήλων παντάπασιν ∼ z 31 τε] δὲ z καὶ[2]] οἱ z

γὰρ ὤφθη τῷ πατριάρχῃ Ἰακώβ, καί φησιν ἡ γραφή· »ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα
παρῆλθε τὸ εἶδος τοῦ θεοῦ«. καὶ τοῦτο θεωροῦντες οἱ ἅγιοι προφῆται καὶ νοοῦντες, τίνος
ἐστὶν υἱὸς καὶ εἰκών, ἔλεγον· »ἐγένετο λόγος κυρίου πρός με« γινώσκοντες τὸν ἐν αὐτῷ
D θεωρούμενον καὶ ἀποκαλυπτόμενον πατέρα ἐθάρρουν εἰπεῖν· »ὤφθη μοι ὁ θεὸς τῶν πα-
3 τέρων ἡμῶν, ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ«. τούτου δὲ οὕτως ὄντος, διὰ τί
B 766 τὸν ἕνα ὄντα πρὸς τὸν πατέρα καὶ φαινόμενον ὡς ἔστι πατέρα, κατὰ τὴν ὁμοιότητα | καὶ
μίαν θεότητα εὐλαβούμεθα εἰπεῖν ὁμοούσιον; εἰ μὲν γάρ, ὥσπερ εἴρηται πολλάκις, οὐκ ἔχει
τὴν ἰδιότητα τῆς πατρικῆς οὐσίας οὐδὲ τὴν ἐμφέρειαν ὡς υἱός, καλῶς εὐλαβούμεθα, εἰ δὲ
M 788 A τοῦτό | ἐστι τὸ φωτιστικὸν καὶ δημιουργικὸν τὸ ἰδιαίτατον τοῦ πατρός, οὗ ἄνευ οὔτε δη-
μιουργεῖ οὔτε γινώσκεται (»πάντα γὰρ δι' αὐτοῦ καὶ ἐν αὐτῷ συνέστηκε«), διὰ τί τὸ
πρᾶγμα νοοῦντες παραιτούμεθα τὴν τοῦτο σημαίνουσαν λέξιν εἰπεῖν; τί γάρ ἐστι τὸ
4 οὕτως ὁμοφυὲς τῷ πατρὶ ἢ ὁμοούσιον αὐτοῦ; οὐ γὰρ ἀλλότριον ὡς ὑπουργοῦ δεόμενος
προσελάβετο ὁ θεὸς τὸν υἱὸν οὐδὲ τὰ ποιήματα ἰσάξια τοῦ κτίσαντος, ὥστε τιμᾶσθαι ταῦτα
ὡς ἐκεῖνον ἢ νομίζειν ὅτι ταῦτα καὶ ὁ πατὴρ ἕν εἰσιν. ἢ τολμησάτω τις διελεῖν καὶ εἰπεῖν δύο
φῶτα εἶναι τὸν ἥλιον καὶ τὸ ἀπαύγασμα ἢ ἑτέραν τινὰ εἶναι οὐσίαν ἢ ὅτι ἐπισυμβέβηκε
τὸ ἀπαύγασμα καὶ μὴ ἁπλοῦν εἶναι καὶ καθαρὸν γέννημα ἐκ τοῦ ἡλίου τοῦτο, ὥστε δύο
μὲν εἶναι ἥλιον καὶ ἀπαύγασμα, ἓν δὲ τὸ φῶς διὰ τὸ ἐκ τοῦ ἡλίου εἶναι τοῦτο γέννημα.
5 τοιαύτης δὲ οὔσης καὶ μᾶλλον ἀδιαιρέτου τῆς φύσεως τοῦ υἱοῦ πρὸς τὸν πατέρα καὶ οὐκ
B ἐπισυμβάσης τῆς θεότητος τῷ υἱῷ, ἀλλὰ τῆς πατρικῆς θεότητος οὔσης ἐν τῷ υἱῷ, ὥστε τὸν
ἑωρακότα τὸν υἱὸν ὁρᾶν ἐν αὐτῷ τὸν πατέρα, διὰ τί ὁ τοιοῦτος μὴ ἂν λέγοιτο ὁμοούσιος;
53, 1 Ἔστι μὲν οὖν ἱκανὰ καὶ ταῦτα πεῖσαι ὑμᾶς μὴ κατηγορεῖν τῶν εἰρηκότων ὁμοούσιον
εἶναι τὸν υἱὸν τῷ πατρί, καὶ αὐτὴν δὲ ὅμως τὴν τοῦ ὁμοουσίου λέξιν καθ' ἑαυτὴν ἐξετάσω-
μεν ἵνα γνῶμεν, εἰ χρὴ λέγειν ὅλως ὁμοούσιον καὶ εἰ κυρία λέξις ἐστὶ καὶ ἁρμοζόντως ἐστὶν
2 αὕτη ἐπὶ υἱοῦ λεγομένη. οἴδατε γὰρ καὶ ὑμεῖς καὶ οὐδ' ἄν τις ἀμφιβάλλοι ὅτι τὸ ὅμοιον
C οὐκ ἐπὶ τῶν οὐσιῶν, ἀλλ' ἐπὶ σχημάτων καὶ ποιοτήτων λέγεται ὅμοιον· ἐπὶ γὰρ τῶν
3 οὐσιῶν οὐχ ὁμοιότης, ἀλλὰ ταυτότης ἂν λεχθείη. ἄνθρωπος γοῦν ἀνθρώπῳ ὅμοιος
λέγεται οὐ κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὸ σχῆμα καὶ τὸν χαρακτῆρα· τῇ γὰρ οὐσίᾳ
ὁμοφυεῖς εἰσι. καὶ πάλιν ἄνθρωπος κυνὶ οὐκ ἀνόμοιος λέγεται, ἀλλ' ἑτεροφυής· οὐκοῦν
τὸ μὲν ὁμοφυὲς καὶ ὁμοούσιον, τὸ δὲ ἑτεροφυὲς καὶ ἑτεροούσιον. διὸ καὶ ὁ λέγων ὅμοιον
κατ' οὐσίαν ἐκ μετουσίας τοῦτο λέγει ὅμοιον. τὸ γὰρ ὅμοιον ποιότης ἐστίν, ἥτις τῇ οὐσίᾳ
προσγένοιτ' ἄν. τοῦτο δὲ τῶν ποιημάτων ἴδιον ἂν εἴη· ταῦτα γὰρ ἐκ μετοχῆς ὁμοιοῦται
τῷ θεῷ. »ὅταν γάρ«, φησί, »φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα« ὅμοιοι δηλονότι οὐ τῇ
4 οὐσίᾳ, ἀλλὰ τῇ υἱότητι, ἧς μεταλαμβάνομεν παρ' αὐτοῦ. εἰ μὲν οὖν καὶ τὸν υἱὸν ἐκ
D μετουσίας λέγετε, λεγέσθω μὲν παρ' ὑμῶν ὁμοιοούσιος. οὐκ ἔστι μέντοι λεγόμενος οὕτως
B 767 ἀληθείᾳ οὐδὲ ὅλως φῶς οὐδὲ φύσει θεός. τὰ γὰρ ἐκ μετουσίας | οὐκ ἀληθείᾳ, ἀλλ' ὁμοιώσει
τῆς ἀληθείας λέγεται ὅμοια, ὥστε καὶ μεταπίπτειν καὶ ἀφαιρεῖσθαι δύνασθαι ἀπὸ τῶν μετ-

1 Gen. 32, 31 3 Jer. 1, 11 4 Ex. 3, 16 6f. Vgl. S. 274, 22 Note 8 Vgl. S. 274, 27 10 Col. 1, 16. 17 12f. Vgl. de decr. 8, 1 (S. 7, 19 Note), or. II. c. Arian. 29 (Migne 26, 208 B) 14f. = de decr. 24, 2 (S. 20, 6ff.) 18 Vgl. de decr. 22, 1 (S. 18, 21ff.) 26 Vgl. de decr. 20, 3; 23, 2 (S. 17, 9; 19, 17) 30 Der Begriff μετουσία begegnet in den erhaltenen Urkunden nicht Vgl. Ps. Athan. or. IV. c. Arian. 2 (Migne 26, 469 B) 32 I. Joh. 3, 2 35 Vgl. or. I. c. Arian. 15 (Migne 26, 44 B)

BKPO R z

2 καί[1] > B 3 μέ + καί z 6 ἕνα] ἓν z πατέρα[2] BKPOR ὁ πατήρ z 12 αὐτοῦ] αὐτῷ z 13 τὸν υἱὸν ὁ θεὸς ~ K 15 εἶναι[2] > z 16 γένημα B 18 τοῦ υἱοῦ > z 21 ἔστι] ἔσται z | ὑμᾶς] ἡμᾶς R 22 τῷ πατρὶ τὸν υἱὸν ~ K 24 οὐδ'] οὐκ K καὶ οὐκ O | ἀμφιβάλοι B[c] KPR z 27 λέγεται ὅμοιος ~ z | τὸν > R 28 λέγηται P 29 μὲν z > BKPOR 35 ἀληθείᾳ[1] O z ἀλήθεια BKPR | οὐδὲ ὅλως φῶς > z

εχόντων τὴν μετάληψιν. τοῦτο δὲ πάλιν ἴδιον τῶν κτισμάτων καὶ ποιημάτων ἐστίν. οὐκ- 5
οῦν εἰ τοῦτο ἄτοπον, οὐκ ἂν εἴη ἐκ μετουσίας, ἀλλὰ φύσει καὶ ' ἀληθείᾳ υἱός, φῶς, σοφία, M 789 A
θεός. φύσει δὲ ὢν καὶ οὐ μετοχῇ οὐκ ἂν κυρίως λεχθείη ὁμοιοούσιος, ἀλλ' ὁμοούσιος. ὃ δὲ
μηδὲ ἐπ' ἄλλων ἄν τις εἴποι· ἐδείχθη γὰρ τὸ ὅμοιον μὴ ἐπὶ τῶν οὐσιῶν λεγόμενον· πῶς
οὐκ ἀνόητον μὲν ἢ τάχα καὶ χαλεπὸν τοῦτο προφέρειν ἐπὶ υἱοῦ καὶ μὴ μᾶλλον τὸ ὁμοούσιον;

Διὰ τοῦτο γὰρ καὶ ἡ ἐν Νικαίᾳ σύνοδος καλῶς ἔγραψεν, ὅπερ ἔπρεπεν εἰπεῖν, γεννη- 54, 1
τὸν ἐκ τῆς οὐσίας τοῦ πατρὸς τὸν υἱὸν ὁμοούσιον. ταῦτα καὶ ἡμεῖς μαθόντες μὴ σκιαμαχῶ-
μεν καὶ μάλιστα γινώσκοντες ὅτι καὶ οἱ ταῦτα γράψαντες οὐχ ὡς παρεξηγούμενοι τὴν
ἀλήθειαν, ἀλλ' ἐκδικοῦντες μὲν τὴν ἀλήθειαν καὶ τὴν εἰς Χριστὸν εὐσέβειαν, καθαιροῦντες δὲ
τὰς κατ' αὐτοῦ τῶν 'Αρειομανιτῶν βλασφημίας οὕτως ὡμολόγησαν τὴν πίστιν. σκεπ- 2
τέον γὰρ καὶ κατανοητέον ἀκριβῶς ὅτι λέγοντες μὲν ἀνομοιοούσιον καὶ ἑτεροούσιον οὐ B
σημαίνομεν τὸν ἀληθινὸν υἱόν, ἀλλ' ἕν τι τῶν ποιημάτων καὶ τὸν εἰσποιητὸν καὶ θέσει
υἱόν, ὅπερ τοῖς αἱρετικοῖς δοκεῖ· λέγοντες δὲ μὴ ἐριστικῶς τὸ ὁμοούσιον υἱὸν σημαίνομεν
γνήσιον ἐκ τοῦ πατρὸς πεφυκότα, κἂν ἐν τούτῳ διαρρηγνύωνται πολλάκις οἱ χριστομάχοι.
ταῦτα μὲν ἅπερ ἔγνων ἐγὼ καὶ διαλεγομένων ἤκουσα φρονίμων δι' ὀλίγων γέγραφα, 3
ὑμεῖς δὲ μένοντες ἐπὶ »τὸν θεμέλιον τῶν ἀποστόλων« καὶ τὰς παραδόσεις τῶν πατέρων
κατέχοντες εὔχεσθε, ἵνα ἤδη ποτὲ παύσηται πᾶσα λοιπὸν ἔρις καὶ ζῆλος, τῶν τε αἱρετικῶν
αἱ μωραὶ ζητήσεις καταγνωσθῶσι καὶ πᾶσα λογομαχία, καὶ ἡ μὲν δυσώνυμος καὶ ἀνθρω-
ποκτόνος τῶν 'Αρειανῶν αἵρεσις ἐξαφανισθείη, ἀναλάμψειε δὲ πάντων ἐν ταῖς καρδίαις C
ἡ ἀλήθεια, ὥστε πάντας πανταχοῦ »τὸ αὐτὸ λέγειν« καὶ τὸ αὐτὸ φρονεῖν, μηδεμιᾶς δὲ ἔτι
περιλειπομένης ἀρειανῆς δυσφημίας λέγηται καὶ ὁμολογῆται κατὰ πᾶσαν ἐκκλησίαν »εἷς
κύριος, μία πίστις, ἓν βάπτισμα«, ἐν Χριστῷ 'Ιησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ τῷ πατρὶ ἡ
δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μετὰ τὸ γράψαι με τὰ περὶ τῶν συνόδων ἔγνων γράψαντα τὸν ἀσεβέστατον Κων- 55, 1
στάντιον πρὸς τοὺς ἐν 'Αριμήνῳ μείναντας ἐπισκόπους. καὶ σπουδὴν ἔσχον λαβεῖν τὰ
ἀντίγραφα παρὰ γνησίων ἀδελφῶν καὶ ἀποστεῖλαι ὑμῖν καὶ τὰ παρὰ τῶν ἐπισκόπων D
ἀντιγραφέντα, ἵνα γνῶτε τοῦ μὲν βασιλέως τὴν ἀσεβῆ πανουργίαν ' τῶν δὲ ἐπισκόπων B 768
τὸ ἑδραῖον καὶ ἀκλινὲς τῆς πρὸς τὴν ἀλήθειαν γνώμης.

' Ἑρμηνεία τῆς ἐπιστολῆς M 792 A

Κωνστάντιος Νικητὴς καὶ Θριαμβευτὴς Αὔγουστος πᾶσιν ἐπισκόποις τοῖς ἐν 'Αρι- 2
μήνῳ συνελθοῦσιν.

'Αεὶ μὲν προηγουμένην ἡμᾶς ἔχειν φροντίδα περὶ τοῦ θείου καὶ προσκυνητοῦ νόμου
οὐδὲ ἡ ὑμετέρα χρηστότης ἀγνοεῖ, ἀλλὰ νῦν τοὺς παρὰ τῆς συνέσεως ὑμῶν ἀποσταλέντας

16 Eph. 2, 20 20 I. Cor. 1, 10 21 f. Eph. 4, 5 24 c. 55 ist ein Anhang, dessen Anlaß und Zweck Athan. selbst erklärt. Durch die beiden Urkunden fällt auf die Orthodoxie der Teilnehmer der Synode von Rimini ein noch stärkeres Licht, vgl. Z. 28 29 Der Brief des Konstantius (Noten s. Bd. III) ist vor dem 10. 10. 359 geschrieben (CSEL 65, 85, 22), dem Datum der Schlußverhandlung in Nice. Nach Athan. überliefert den Text Sokr. II 37, 78—81. Ein Regest hat Sozom. IV 19, 2

BKPO R z (bis Z. 23)

1 ποιημάτων καὶ κτισμάτων ~ BKPO 6 εἰπεῖν + τὸν z 7 τὸν υἱὸν > z 8 καὶ οἱ BKPO z οἱ καὶ R 12 τῶν εἰσποιητῶν z 13 υἱὸν[1]] υἱῶν z 16 τῷ θεμελίῳ z | πατέρων] ἀποστόλων BKO 17 πᾶσα > z 20 καὶ > z | δὲ > z 21 παραλειπομένης z | ἀρειανῆς + αἱρέσεώς τε καὶ KO | δυσφημίας] βλασφημίας καὶ z | λέγητε R | καὶ > B | ὁμολογεῖτε R 22 δι' οὗ τῷ πατρὶ] ᾧ z 29 ἐπιστολὴ τοῦ βασιλέως K 30 a. Rd. κγ̄ P

εἴκοσιν ἐπισκόπους ἀναδεξαμένους τὴν παρ' ὑμῶν πρεσβείαν τέως οὐκ ἠδυνήθημεν αὐτοὺς
ἰδεῖν. ἀναγκαία γάρ τις ἡμᾶς ἤπειγεν ἡ πρὸς τοὺς βαρβάρους ὁδός, καί, ὡς οἴδατε, πρέπει
τὴν ψυχὴν καθαρὰν οὖσαν ἀπὸ πάσης φροντίδος τὰ περὶ τοῦ θείου νόμου διαγυμνάζειν.
3 τοιγαροῦν τοὺς ἐπισκόπους διεκελεύσαμεν ἐν τῇ Ἀδριανουπόλει ἐκδέξασθαι τὴν ἡμετέραν
ἐπάνοδον, ἵνα, ἐπειδὰν πάντα καλῶς διατεθῇ τὰ δημόσια, τότε λοιπὸν ἅπερ ἂν ὑπο-
B βάλωσιν ἀκοῦσαι καὶ δοκιμάσαι δυνηθῶμεν. τῇ μέντοι στερρότητι ὑμῶν μὴ βαρὺ φαινέσθω,
ὥστε ἐκδέξασθαι τὴν αὐτῶν ἐπάνοδον, ἵνα, ἐπειδὰν ἐπανέλθωσι κομίζοντες ὑμῖν τὰς ἡμε-
τέρας ἀποκρίσεις, δυνηθῆτε εἰς πέρας ἀγαγεῖν τὰ πρὸς τὴν λυσιτέλειαν ἀνήκοντα τῇ
καθολικῇ ἐκκλησίᾳ.

4 Ταῦτα ἐδέξαντο οἱ ἐπίσκοποι ἐπαγομένων τριῶν.

Ἀντίγραφον τῶν ἐπισκόπων

Τὰ γράμματα τῆς σῆς φιλανθρωπίας ἐδεξάμεθα, κύριε θεοφιλέστατε βασιλεῦ, τὰ
περιέχοντα διὰ τὴν τῶν δημοσίων ἀνάγκην τέως μὴ δεδυνῆσθαί σε τοὺς ἡμετέρους πρέσ-
C βεις θεωρῆσαι, ἡμᾶς τε κελεύεις ἐκδέξασθαι τὴν αὐτῶν ἐπάνοδον, ἕως ἂν τὰ παρ' ἡμῶν
5 ὁρισθέντα ἀκολούθως τοῖς προγόνοις ἡμῶν ἐπιγνῷ παρ' αὐτῶν ἡ σὴ εὐσέβεια. ἀλλὰ καὶ
νῦν διὰ τούτων τῶν γραμμάτων ὁμολογοῦμεν καὶ διαβεβαιούμεθα μηδαμῶς ἡμᾶς ἀναχωρεῖν
6 τῆς ἡμετέρας προθέσεως· τοῦτο γὰρ καὶ τοῖς πρέσβεσιν ἡμῶν ἐνετειλάμεθα. ἀξιοῦμεν
τοίνυν ὅπως γαληναίᾳ τῇ προσόψει τά τε νῦν γράμματα τῆς ἡμετέρας μετριότητος κε-
λεύσῃς ἀναγνωσθῆναι, ἀλλὰ γὰρ κἀκεῖνα, ἃ διὰ τῶν πρέσβεων ἡμῶν ἐνετειλάμεθα, ἡδέως
7 ὑποδέξῃ. ἐκεῖνο μέντοι συνορᾷ μεθ' ἡμῶν καὶ ἡ σὴ ἡμερότης, ὅση νῦν ἐστι λύπη καὶ
κατήφεια, ὅτι ἐν τοῖς σοῖς μακαριωτάτοις καιροῖς τοσαῦται ἐκκλησίαι χωρὶς ἐπισκόπων
D εἰσί· καὶ διὰ τοῦτο καὶ πάλιν τὴν σὴν φιλανθρωπίαν ἀξιοῦμεν, κύριε θεοσεβέστατε βασιλεῦ,
B 769 ὅπως πρὸ τῆς τραχύτητος τῶν χειμώνων, εἴπερ | ἀρέσειε τῇ σῇ εὐσεβείᾳ, κελεύσῃς ἡμᾶς
M 793 A εἰς τὰς ἡμετέρας ἐκκλησίας ἐπανελθεῖν ὑπὲρ τοῦ δύνασθαι ἡμᾶς τῷ | παντοκράτορι θεῷ καὶ
τῷ δεσπότῃ καὶ σωτῆρι ἡμῶν Χριστῷ, τῷ υἱῷ αὐτοῦ τῷ μονογενεῖ, ὑπὲρ τῆς σῆς βασιλείας
τὰς ἐθίμους εὐχὰς μετὰ τῶν λαῶν ἀποπληροῦν, καθὼς καὶ ἀεὶ ἐπετελέσαμεν καὶ νῦν ποιοῦμεν
εὐχόμενοι.

---

12 Die Antwort der Synodalen von Rimini auf den vorhergehenden Brief (Noten s. Bd. III) ist nach Athan. bei Sokr. II 37, 83—87 überliefert. Thdt. h. e. II 20 hat eine andere Übersetzung des lateinischen Originals. Erwähnt bei Sozom. IV 19, 3

BKPO R

---

4 διεκελεύσαμεν BKPO ἐκελεύσαμεν R   7/8 ὑμετέρας B   11 a. Rd. κδ P   14 ἑαυτῶν KO
18 γαληναίῳ R   18/19 κελεύσεις R   21 ἐν > B

Τοῦ αὐτοῦ ἀπολογία πρὸς τὸν βασιλέα Κωνστάντιον

Ἐκ πολλῶν ἐτῶν ὄντα σε Χριστιανὸν καὶ ἐκ προγόνων φιλόθεον ἐπιστάμενος 1, 1
εὐθύμως τὰ περὶ ἐμαυτοῦ νῦν ἀπολογοῦμαι. τοῖς γὰρ τοῦ μακαρίου Παύλου λόγοις M 596 A B 295
χρώμενος αὐτόν σοι πρεσβευτὴν ὑπὲρ ἐμαυτοῦ ποιοῦμαι, εἰδὼς αὐτὸν μὲν κήρυκα
τῆς ἀληθείας, σὲ δὲ τῶν αὐτοῦ ῥημάτων φιλήκοον, θεοφιλέστατε Αὔγουστε. περὶ
μὲν οὖν τῶν ἐκκλησιαστικῶν καὶ τῆς κατ' ἐμοῦ γενομένης συσκευῆς αὐτάρκη τὰ
γραφέντα παρὰ τῶν τοσούτων ἐπισκόπων μαρτυρῆσαι τῇ σῇ εὐλαβείᾳ, ἱκανὰ δὲ 2
καὶ τὰ τῆς μετανοίας Οὐρσακίου καὶ Οὐάλεντος δεῖξαι πᾶσιν ὅτι μηδὲν ὧν ἐπέστησαν
καθ' ἡμῶν εἶχεν ἀληθές. τί γὰρ τοσοῦτον ἄλλοι δύνανται μαρτυρεῖν, ὅσον οὗτοι
γράφοντες εἰρήκασιν; 'ἐψευσάμεθα, ἐπλασάμεθα, καὶ πάντα τὰ κατὰ Ἀθανασίου
συκοφαντίας γέμει'. προσθήκη δὲ πρὸς φανερὰν ἀπόδειξιν, εἰ καταξιώσειας
μαθεῖν, ὅτι παρόντων μὲν ἡμῶν οὐδὲν ἀπέδειξαν οἱ κατηγοροῦντες κατὰ Μακαρίου τοῦ 3 B
πρεσβυτέρου, ἀπόντων δὲ ἡμῶν κατὰ μόνας ἔπραξαν ἅπερ ἠθέλησαν. τὰ δὲ τοιαῦτα
προηγουμένως μὲν ὁ θεῖος νόμος, ἔπειτα δὲ καὶ οἱ ἡμέτεροι νόμοι μηδεμίαν ἔχειν δύναμιν 4
| ἀπεφήναντο. ἀπὸ μὲν οὖν τούτων οἶδα ὅτι καὶ ἡ σὴ εὐσέβεια φιλαλήθης οὖσα καὶ φιλό-
θεος ἡμᾶς μὲν ἐλευθέρους ἀπὸ πάσης ὑποψίας συνορᾷ, τοὺς δὲ καθ' ἡμῶν γενομένους συκο- M 597 A
φάντας ἀποφαίνει.

In der apol. ad Const. verteidigt sich Athan. gegen vier gegen ihn, wahrscheinlich in dem Haftbefehl (c. 29, 3 S. 295, 35) von 357, erhobene Anklagen wegen: 1. Aufhetzung des Konstans gegen Konstantius (c. 2ff.), 2. Hochverrats mit Magnentius (c. 6ff.), 3. frühzeitiger Benutzung der von Konstantius gebauten Kirche in Alexandrien (c. 14ff.), 4. Widerstand gegen kaiserliche Befehle (c. 19). Die Schrift ist das wichtigste Dokument aus dem Kampf des Konstantius gegen seinen bedeutendsten politischen Gegner im Orient. Der Prozeß wegen crimen laesae maiestatis — darum handelt es sich in den vier Punkten — ist nach dem Einzug Georgs und der Flucht des Athan. (c. 34) angestrengt worden, als der kirchliche Prozeß seine Wirkung wegen des Widerstandes der gesamten ägyptischen Kirche verfehlt hatte. Die Art der Verteidigung des Athan. beweist am besten, daß es sich in dem Konflikt zwischen der Reichsgewalt und Athanasius, der von Ägypten aus nichts weniger als eine Kontrolle über das ganze Reich ausüben wollte, um die Sicherung der Einheit des Imperiums handelte; das schloß allerdings die religiös-kirchliche Frage ein. Die Schrift ist in der zweiten Hälfte des Jahres 357 verfaßt, nach der Apologia secunda und gleichzeitig mit der apologia de fuga, vgl. S. 210, 36 Note 3 Vgl. Acta 26, 2. 3 7ff. Hier wird unverkennbar auf das Beweisziel der apologia secunda Bezug genommen, vgl. S. 87 Note. Diese Schrift widmet sich der Widerlegung der Klagepunkte von Tyrus und Serdika, die seit der Zurücknahme der Erklärung von 347 durch Valens und Ursacius wieder der Anlaß zur Verurteilung des Athan. in Arles und Mailand 353 und 355 geworden waren. Athan. setzt in der apol. ad Const. voraus, daß in der apol. secunda der Beweis für seine kanonische Rehabilitierung und damit für die verbrecherische Angeberei seiner Gegner erbracht ist 10 ff. Vgl. apol. sec. 58 12 παρόντων ἡμῶν, d. i. in Psamathia 331, apol. sec. 60 (S. 140) 13 ἀπόντων ἡμῶν, d. i. während der Synode von Tyrus, als die Kommission in der Mareotis Untersuchungen anstellte, vgl. apol. sec. c. 72, 4ff. (S. 151ff.) 14 ἡμέτεροι νόμοι, d. i. Serdika 15ff. Vgl. die Briefe des Konstantius, apol. sec. c. 44ff.

BKPO REV

---

1 a. Rd. ο̅θ̅ B ξ̅ϛ̅ K κ̅ε̅ P ο̅δ̅ R κ̅α̅ E*κβ̅ Ec⟨κβ̅⟩ V | αὐτοῦ] ἁγίου Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας B 2 ἐτῶν > E*, nachgetragen nach σε Ec 14 ὑμέτεροι V 15 οἶδα Op. οἶδας BKPORE ἐπεὶ V | οὖσα] ἐστί V

2, 1 Περὶ δὲ τῆς διαβολῆς τῆς κατ' ἐμοῦ γενομένης παρὰ τῇ σῇ φιλανθρωπίᾳ διὰ τὸν εὐσε-
βέστατον Αὔγουστον καὶ μακαρίας μνήμης καὶ αἰωνίου Κώνσταντα τὸν ἀδελφόν σου
(τοῦτο γὰρ οἱ ἐχθροὶ θρυλοῦσι καὶ γράψαι τετολμήκασιν) ἱκανὰ τὰ πρῶτα δεῖξαι καὶ
2 ταῦτα μὴ ἀληθῆ. εἰ μὲν γὰρ ἄλλοι τινὲς ἦσαν οἱ τοῦτο λέγοντες, δικάσιμον ἦν τὸ
B 296 πρᾶγμα χρεία τε πολλῆς ἀποδείξεως καὶ τῶν εἰς πρόσωπον ¹ ἐλέγχων, εἰ δὲ οἱ τὰ πρῶτα
πλάσαντες αὐτοὶ καὶ ταῦτα συνέθηκαν, πῶς οὐκ ἐξ ἐκείνων εἰκότως καὶ ταῦτα πεπλασμένα
B δείκνυται; διὰ τοῦτο γὰρ πάλιν κατὰ μόνας λαλοῦσι νομίζοντες ὑφαρπάζειν δύνασθαι
3 τὴν σὴν θεοσέβειαν. ἀλλ' ἐσφάλησαν· οὐ γὰρ ὡς ἠθέλησαν ἤκουσας, ἀλλὰ τῇ μακρο-
θυμίᾳ δέδωκας καὶ ἡμῖν χώραν ἀπολογεῖσθαι. τὸ γὰρ μὴ παραυτὰ κινηθῆναι καὶ τιμωρίαν
ἀπαιτῆσαι οὐδὲν ἦν ἕτερον ἢ ὡς δίκαιον βασιλέα περιμεῖναι καὶ τὴν τοῦ διαβληθέντος
ἀπολογίαν· ἧς ἐὰν καταξιώσῃς ἀκοῦσαι, τεθάρσηκα ὡς καὶ ἐν τούτοις καταγνώσῃ τῶν
προπετευσαμένων καὶ μὴ φοβηθέντων τὸν θεὸν ἐντειλάμενον »μηδὲν ψεῦδος ἀπὸ στόματος
βασιλεῖ λέγεσθαι.«
3, 1 Αἰσχύνομαι μὲν οὖν ἀληθῶς καὶ ἀπολογούμενος περὶ τοιούτων, περὶ ὧν οὐδὲ αὐτὸν
C οἶμαι τὸν κατήγορον ἔτι παρόντων ἡμῶν μνημονεύσειν. οἶδε γὰρ ἀκριβῶς ὅτι τε αὐτὸς
ψεύδεται καὶ οὔτε ἐμάνην ἐγὼ οὔτε τῶν φρενῶν ἐξέστηκα, ἵνα κἂν ὡς ἐνθυμηθείς τι τοι-
2 οῦτον ὑπονοηθῶ. διὸ οὐδ' ἂν ἄλλοις ἐρωτῶσιν ἀπεκρινάμην, ἵνα μηδὲ ἐν τῷ χρόνῳ
τῆς ἀπολογίας οἱ ἀκούοντες κρεμομένην ἔχωσι τὴν διάνοιαν, τῇ δὲ σῇ εὐσεβείᾳ λαμπρᾷ
καὶ μεγάλῃ τῇ φωνῇ ἀπολογοῦμαι καὶ τὴν χεῖρα ἐκτείνας, ὃ μεμάθηκα παρὰ τοῦ ἀποστό-
λου, »μάρτυρα τὸν θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμαυτοῦ ψυχήν«, καὶ ὡς γέγραπται ἐν ταῖς
Βασιλικαῖς ἱστορίαις· »μάρτυς κύριος καὶ μάρτυς ὁ Χριστὸς αὐτοῦ« (κἀμοὶ συγχώρησον
3 εἰπεῖν)· οὐδεπώποτε περὶ τῆς σῆς εὐσεβείας κακῶς ἐμνημόνευσα παρὰ τῷ ἀδελφῷ σου
τῷ τῆς μακαρίας μνήμης Κώνσταντι, τῷ εὐσεβεστάτῳ Αὐγούστῳ· οὐ παρώξυνα τοῦτον,
ὡς οὗτοι διαβεβλήκασιν, ἀλλ' εἴ ποτε καὶ εἰσελθόντων ἡμῶν πρὸς αὐτὸν ἐμνημόνευσεν
αὐτὸς τῆς σῆς φιλανθρωπίας ἐμνημόνευσε δὲ καὶ ὅτε οἱ περὶ Θάλασσον ἦλθον εἰς τὴν Πιτυ-
4 βίωνα καὶ ἡμεῖς ἐν τῇ Ἀκυληίᾳ διετρίβομεν. μάρτυς ὁ κύριος, ὅπως ἐμνημόνευον ἐγὼ
M 600 A τῆς σῆς θεοσεβείας καὶ ταῦτα ἔλεγον, ἅπερ ὁ θεὸς ¹ ἀποκαλύψει τῇ σῇ ψυχῇ, ἵνα κατα-

5 ff. Man hatte Athan. beschuldigt, die Kaiser Konstans und Konstantius aufeinandergehetzt zu haben, d. h. in der Zeit vor und nach Serdika, vgl. Z. 22 ff. Konstantius sagt 355 in Mailand zu Liberius v. Rom (Thdt. h. e. II 16, 21 S. 134, 20 ff.): πάντας μὲν κοινῶς ἠδίκησεν (sc. Athan.), οὐδένα δὲ οὕτως ὡς ἐμέ. ὅστις μὴ ἀρκεσθεὶς ἐπὶ τῇ ἀπωλείᾳ τοῦ μειζοτέρου μου ἀδελφοῦ (sc. Konstantin II.), οὐδὲ τὸν μακαρίτην Κώνσταντα ἐπαύσατο παροξύνων εἰς ἡμετέραν ἔχθραν, εἰ μὴ ἡμεῖς πλείονι ἡμερότητι ὑπηνέγκαμεν τὴν τοῦ παροξύνοντος καὶ τοῦ παροξυνομένου ῥοπήν. οὐδὲν δέ μοι τοιοῦτον κατόρθωμα οὐδὲ τὸ κατὰ Μαγνέντιον καὶ Σιλβανόν, ὡς τοῦ μιαροῦ ἐκείνου περιαιρουμένου τῶν ἐκκλησιαστικῶν πραγμάτων. Lucifer Cal. de s. Athan. I 29 (CSEL 14, 116, 20) führt aus, Konstantius habe 346 Athan. aus Furcht vor Konstans zurückkehren lassen: timui (so sagt Konstantius) ne inter nos bella fuissent orta. Vgl. die Note zu S. 194, 10, über die Briefe bei den Kirchenhistorikern vgl. S. 193, 14 Note. Die Reichseinheit bzw. das Zusammenwirken der beiden Kaiser war in der Tat bedroht, wenn es auch fraglich ist, ob tatsächlich Kriegsdrohungen in diesem Zusammenhang gefallen sind. Vgl. das zu S. 291, 22 Angemerkte 12/13 Prov. 24, 22[b] 20 II. Cor. 1, 23 21 I. Reg. 12, 5 25 Zu Thalassius vgl. hist. Arian. 22 S. 194,15 Note. Athan. war 343 in Nisch zum Osterfest (vgl. Keph. zum 16. Festbrief 344), 345 feierte er Ostern in Aquileja (vgl. S. 282, 9). Inzwischen wird Athan. sich in Pettau aufgehalten haben

BKPO REV

2 σου > V 4 οἱ τοῦτο > KO | δικάσιμον + ἂν V 6 πεπλασμένως EV 8 ἠθέλησαν + ὡς E*, getilgt E[c] 9 καὶ ἡμῖν δέδωκας ~ K 12 πετευσαμένων B | θεὸν + τὸν V 14 περὶ[1] + τῶν KO 18 κρεμομένην RE κρεμωμένην B κρεμαμένην KPOV | εὐσεβείᾳ] εὐλαβείᾳ B 18/19 μεγάλῃ καὶ λαμπρᾷ ~ B 20 ἐν > B 23 τοῦτον] ἐκεῖνον V 25 Θάλασσον BPR Θάλασον KO Θάλασσαν EV 27 ἅπερ + αὐτὸς REV